V. SS. C. Ioannes
112 e

<36618175770012

<36618175770012

Bayer. Staatsbibliothek

ΜΝΗΜΕΙΑ ΑΓΙΟΛΟΓΙΚΑ

ΝΥΝ ΠΡΩΤΟΝ

ΕΚΔΙΔΟΜΕΝΑ

ΥΠΟ

Ἱεροδιακόνου

ΘΕΟΦΙΛΟΥ ΙΩΑΝΝΟΥ

Διδάκτορος τῆς Φιλολογίας.

ΒΕΝΕΤΙΑι
ΤΥΠΟΙΣ ΦΟΙΝΙΚΟΣ
1884

539

ΜΝΗΜΕΙΑ ΑΓΙΟΛΟΓΙΚΑ

ΝΥΝ ΠΡΩΤΟΝ

ΕΚΔΙΔΟΜΕΝΑ

ΥΠΟ

Ἱεροδιακόνου

ΘΕΟΦΙΛΟΥ ΙΩΑΝΝΟΥ

Διδάκτορος τῆς Φιλολογίας.

ΒΕΝΕΤΙΑι

ΤΥΠΟΙΣ ΦΟΙΝΙΚΟΣ

1884

BIBLIOTHECA
REGIA
MONACENSIS

ΤΗ

ΦΙΛΕΥΣΕΒΕΙ ΚΟΙΝΟΤΗΤΙ

ΤΩΝ ΕΝ ΤΕΡΓΕΣΤΗ

ΟΡΘΟΔΟΞΩΝ ΕΛΛΗΝΩΝ

ΕΥΓΝΩΜΟΝΩΣ

ΑΝΑΤΙΘΕΤΑΙ.

Bayerische
Staatsbibliothek
MÜNCHEN

Κ ιν τελ ιερουσαλὴμ

θεὸν ρο δὸν ἐμεμψε

χρν. εἰσ ὀσμὴν μύρου

δι ἀπὸ τὴν χριστοῦ

εὐλαστησασ θεό

δωρε. τῆσ ἀσκητι

κῆσ σου ἀναζωῆσ.

τὴν εἰσ δι ἀν περ

σοι σὰσ θι σι ανζω

σαν αυτου. ιασαι

ωμει ματων απει

λη φασ την ζωη

σι αν. ι ο μενου

σασαν μαλαιε

αν. δι ο ο. ιενε

ι εραρ χησασ τησ



Σικόμως καὶ ἀλίμοι λιμαν δρυάμπω, διατουτο πά στως εἰς τὸν εἰμιβρον βίον εἰσοίχθησαν· ἅμα
C. 351

Πλεῖν δὲ τοῦ ἐρνηπίου ... ὑπὲ ... πλοίου ἐκμελπό ... ὅρμου ... καὶ ... μλρὸς κολληθεῖσα αὐτ...
C. 363

Τ[illegible] ἐκ [illegible] σαλμῶ ὅπως [illegible] τῆς [illegible] [illegible] [illegible]
C. 168

ἀκούσασ δὲ τοῦτο καὶ θεοδ... οσ ὁ ἐπίσκοποσ ... ἀναστασίου τῶν ...
C. 359

Π[illegible]
C. 60

εκλελησιασ. απο φυλ ιεσσ τον λεσμον φελεσας,

ζωε ρη μον ωρεσιες ομο σι ο τατε C. 359

Bayerische
Staatsbibliothek
MÜNCHEN

ΠΡΟΛΟΓΟΣ

Α΄.

Οἱ ἐν τῇ ἑλληνικῇ γλώσσῃ συντεταγμένοι βίοι τῶν ὑπὲρ τῆς ἱερᾶς ἡμῶν θρησκείας μαρτυρησάντων ἢ καὶ ἐν χριστιανικαῖς ἀρεταῖς διαλαμψάντων θεοφόρων ἀνδρῶν ὑπὸ πολλὰς ἐπόψεις ἐνδιαφέρουσιν εἴς τε τὴν ἐκκλησιαστικὴν ἱστορίαν καὶ αὐτὴν τὴν ἑλληνικὴν φιλολογίαν ὡς καὶ τὴν πολιτικὴν τοῦ μέσου αἰῶνος ἱστορίαν. Διὰ τούτων συμπληροῦνται τὰ χρονικὰ τῆς ἁγίας ἡμῶν Ἐκκλησίας καὶ γινώσκεται ἡ ἱστορία τῶν ἑλληνικῶν χωρῶν, περὶ ὧν ἐντελῶς σιωπᾷ ἡ πολιτικὴ ἱστορία τοῦ Βυζαντίου.

Οἱ βίοι οὗτοι ὡς ἐπὶ τὸ πλεῖστον οὐχὶ ἐν τῷ ἐπιτετηδευμένῳ τῶν λογίων ὕφει, ἀλλ' ἐν τῇ μέσῃ καὶ ὑπὸ πάντων καταληπτῇ γλώσσῃ, τῇ καὶ δίκην γεφύρας τὴν τῶν ἀθανάτων ἡμῶν προγόνων πρὸς τὴν καθ' ἡμᾶς συνδεούσῃ, ἐνίοτε δὲ καὶ ἐν αὐτῇ τῇ τοῦ δήμου, ἀποτελοῦσι τὰ πιστότερα μνημεῖα τῆς ὑπὸ τῶν σημερινῶν Ἑλλήνων λαλουμένης καὶ γραφομένης γλώσσης.

Τὴν μεγάλην ἀξίαν τῶν ἁγιολογικῶν τούτων ὑπομνημάτων ἐκτιμῶσα ἡ ῥωμάνα Ἐκκλησία, ἐν καιρῷ ἵδρυσεν ἐξεπίτηδες σχολὴν λογίων καὶ φιλοπόνων μοναχῶν, ἥτις ἀπὸ τοῦ ἱδρυτοῦ αὐτῆς Ἰωάννου Βολλάνδου καὶ το ὄνομα λαβοῦσα (οἱ Βολλανδισταὶ), μετὰ πολλοῦ ζήλου καὶ χριστιανικῆς ὑπομονῆς,

οὐχὶ ὅμως καὶ μετὰ τῆς ἐμπρεπούσης ἀληθοῦς ἀδελφικῆς ἀγάπης καὶ ἀμεροληψίας, ἀποκλειστικῶς ἐπεδόθη εἰς περισύναξιν καὶ καταρτισμὸν τῆς γνωστῆς πολυτίμου καὶ γιγαντιαίας ἁγιολογικῆς σειρᾶς Acta Sanctorum.

Ἐν τῇ συλλογῇ ταύτῃ συμπεριλαμβάνονται καὶ ἱκανοὶ βίοι ἁγίων τῆς ὀρθοδόξου ἡμῶν Ἐκκλησίας· δυστυχῶς ὅμως ὁ ἄλογος φανατισμὸς τῶν ἐκδοτῶν, παρεκτρεπόμενος εἰς ἀγενεῖς προπηλακισμοὺς κατὰ παντὸς πρὸς τὴν Ὀρθοδοξίαν ἀναγομένου, καὶ ἡ ἐκ τῆς ἀγνοίας τῆς ἑλληνικῆς γλώσσης παρανόησις τῶν κειμένων, καθιστῶσιν ἀπαραίτητον τὴν ἀναδημοσίευσιν καὶ αὐτῶν τῶν ὑπὸ τῶν Βολλανδιστῶν κακῶς ἐκδεδομένων ὀλίγων ἁγιολογικῶν μνημείων.

Ἡ ἐν Κωνσταντινουπόλει μεγάλη Ἐκκλησία, συγκεντρώσασα ἐπὶ τῆς τουρκικῆς τυραννίας τήν τε πολιτικὴν καὶ πνευματικὴν τοῦ ἑλληνικοῦ γένους προστασίαν, οὔτε καιρὸν οὔτε νοῦν εἶχεν ἐν χρόνοις τοσοῦτον στυγητοῖς καὶ ἀπαισίοις, ἵνα σκεφθῇ περὶ ἐπιχειρήσεως, ἱερᾶς μέν, ἀπαιτούσης ὅμως καὶ χεῖρας καὶ χρήματα· διότι ἀμφότεροι οἱ πνευματικοὶ οὗτοι παράγοντες ἔλειπον τότε παρ' ἡμῖν. Οἱ μὲν ὀλίγοι τῶν λογίων κληρικῶν ἐξεπλήρουν ἱερωτέραν ἀποστολήν, ποιμαίνοντες τοὺς ἁπανταχόθεν ἀπειλουμένους καὶ πάσχοντας πιστοὺς τῶν ἐπαρχιῶν, τὰ δὲ γλίσχρα ἐλέη, ἅτινα ὁ ζῆλος τῶν πτωχῶν εὐσεβῶν συνεισέφερεν εἰς ἁπλῆν συντήρησιν τῆς Ἐκκλησίας, ἐδεκάτιζε καὶ ἥρπαζεν ἡ ἀπληστία καὶ αὐθαιρεσία τῶν κρατούντων.

Ἐν τούτοις, ἅμα ὁ πολύτλας πατριάρχης Ἱερεμίας Β'. κατώρθωσε δι' ἀνδρικῆς καὶ λελογισμένης καρτερίας, ἵνα ἐξαγάγῃ τὴν Ἐκκλησίαν ἀπὸ τοῦ χάους, εἰς ὃ εἶχε ῥίψει αὐτὴν ἡ τουρκικὴ ἀφ' ἑνὸς ὠμότης καὶ ἡ συνένοχος ἀφ' ἑτέρου αὐτῇ καὶ ἐπάρατος φιλοπρωτία ἀξέστων τινῶν ἐκ τῶν ἡμετέρων, ἀμέσως ἐδόθη σπουδαία τις ὤθησις εἰς τὴν πνευματικὴν τοῦ γένους ἀναγέννησιν. Εἰς τὸν πολυμαθῆ Κρῆτα καὶ προσωπικὸν τοῦ Ἱερεμίου

φίλον, Μάξιμον τὸν Μαργούνιον, ἐπίσκοπον τότε Κυθήρων, ἀνετέθη ἡ δημοσίευσις βιβλίων συντελούντων εἰς τὴν θρησκευτικὴν ἀνατροφὴν τοῦ ἑλληνικοῦ ἔθνους. Οὗτος πρὸς τοῖς ἄλλοις ἐξέδωκε καὶ τοὺς Βίους Ἁγίων (1).

Τὸ σύγγραμμα τοῦτο οὐδὲν ἕτερόν ἐστιν ἢ ὁ λεγόμενος Συναξαριστής, ἤτοι οἱ ἐν τοῖς λειτουργικοῖς Μηναίοις προτασσόμενοι βίοι τῶν ἐν ὅλῳ τῷ ἐνιαυτῷ ὑπὸ τῆς ὀρθοδόξου Ἐκκλησίας ὑμνουμένων ἁγίων. Πλὴν τούτου ὁ Μαργούνιος διενοεῖτο καὶ τὴν ἔκδοσιν ἐκτενεστέρων βίων, ὑπ' αὐτοῦ συνειλεγμένων (2)· ὁ θάνατος ὅμως ἐκώλυσε τὸν σοφὸν ἱεράρχην, ὅπως ἐκπληρώσῃ τὴν ἐπιθυμίαν καὶ ὑπόσχεσιν, ἣν μετ' οὐ πολὺ ἕτερος Κρής, ὁ ἐν ἱερομονάχοις Ἀγάπιος, ἐξετέλεσεν, ἐκδοὺς τὴν Καλοκαιρινήν, ἤτοι βίους τῶν ἐν τῷ καλοκαιρίῳ (ἔαρι) ἑορταζομένων ἁγίων, τὸν Παράδεισον, τὸν Νέον Παράδεισον, τὸ Ἐκλόγιον, τὴν Ἁμαρτωλῶν Σωτηρίαν, τὸν Νέον Θησαυρόν, καὶ ἕτερα ἄλλα ψυχωφελῆ βιβλία, περιέ-

(1) «Βίοι Ἁγίων ἐκ τῆς ἑλληνικῆς γλώττης ἤτοι ἐκ τῶν συναξαρίων μεταφρασθέντες παρὰ Μαξίμου ταπεινοῦ ἐπισκόπου Κυθήρων εἰς κοινὴν ὠφέλειαν. Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων ᾳχπε'.» Ὡς ῥητῶς λέγει ὁ ἐκδότης «ἔκρινον....... νέοις τύποις ἀνακαινίσαι αὐτό.» εἰκάζεται, ὅτι ἡ παροῦσά ἐστιν ἁπλῆ ἀνατύπωσις, προηγουμένης ἀγνώστου ἐκδόσεως· ἀλλὰ πότε πρῶτον ἐτυπώθη τὸ σύγγραμα; Ὁ μακαρίτης Παπαδόπουλος Βρετὸς (κατάλογος, Α'. σελ. 4) ἀναφέρει «Μηνολόγιον ὑπὸ Μαξίμου Μαργουνίου ἐπισκόπου Κυθήρων. Ἑνετίῃσι 1529·» ἀλλ' ὁ τίτλος οὗτός ἐστι πλαστός, διότι ἐν ἔτει 1529 οὔτε ἐπίσκοπος Κυθήρων ἦν ὁ Μαργούνιος, οὔτε ἴσως εἶχε γεννηθῆ.

(2) «Ἀπολαύετε λοιπὸν εἰς τοῦτο τὸ μέσον, ὦ φιλόχριστοι, τοῦτο τὸ μικρὸν φιλοδώρημα ἀπὸ τὸ πτωχικόν μου γαζοφυλάκιον, ἀναμένοντες ἔπειτα ἀπὸ ἡμᾶς.... (τῆς τοῦ θεοῦ χάριτος) καὶ ὅλους τοὺς βίους τῶν ἁγίων ὁλοκλήρους, παρακαλοῦντές τον (τὸν Θεὸν) νὰ μᾶς δώσῃ δύναμιν νὰ τελειώσωμεν καὶ τοῦτο εἰς δόξαν του καὶ εἰς πολλῶν ψυχῶν σωτηρίαν.» Προλεγ. Μαργουνίου εἰς Βίους Ἁγίων.

χοντα πολλοὺς βίους ἁγίων, καλῶς ἢ κακῶς ἐκ τοῦ ἑλληνικοῦ πρωτοτύπου μετενηνεγμένους εἰς τὴν τοῦ δήμου γλῶσσαν.

Ἐν τῇ ἀρχῇ τῆς ἐνεστώσης ἑκατονταετηρίδος ὁ ἀρχιεπίσκοπος Κορινθίας, Μακάριος ὁ Νοταρᾶς, συνέγραψε τὸ Λειμωνάριον περιέχον ἀρκετοὺς βίους παλαιῶν τε καὶ νεωτέρων ἁγίων. Τοῦτο συμπληρώσας ἐξέδωκε τύποις ὁ λόγιος ἐν ἱερομονάχοις Νικηφόρος ὁ Χῖος. Ἐν τῇ αὐτῇ δὲ περιόδῳ ἐξεδόθησαν καὶ ὑπὸ τοῦ φιλοπόνου καὶ πολυγράφου ἐν μοναχοῖς Νικοδήμου τοῦ Ναξίου τὸ Νέον Ἐκλόγιον (1803), περιέχον βίους ἁγίων κατὰ χρονολογικὴν τάξιν, τὸ Νέον Μαρτυρολόγιον (1799), περιλαμβάνον βίους τῶν ἐπὶ τουρκοκρατίας μαρτυρησάντων ὀρθοδόξων καὶ μετάφρασιν τοῦ Συναξαριστοῦ (1819) (1).

Αἱ ἀνωτέρω ἐκδόσεις δύνανται μὲν, ἵνα θεωρηθῶσι γλωσσικὰ, οὐχὶ ὅμως καὶ ἁγιολογικὰ μνημεῖα. Ὁ Ἀγάπιος καὶ ὁ Νικόδημος, μεταφράζοντες, αὐτογνωμόνως περικόπτουσιν ἢ ἀναπτύσσουσι τὰ παλαιὰ κείμενα, πρὸς ἃ ὤφειλον μεγαλήτερον σεβασμὸν ὡς ἀνεγνωρισμένα ὑπὸ τῆς ἱερᾶς παραδόσεως τῆς ὀρθοδόξου ἡμῶν Ἐκκλησίας· μόνος ὁ Μαργούνιος ἐν τῇ μεταφράσει τοῦ Συναξαριστοῦ κατενόησε καὶ ἐσεβάσθη τὴν ἱερότητα τῶν τοιούτων κειμένων. Καὶ τοιαύτη μὲν ἐν συντόμῳ ἡ ἁγιολογικὴ ἡμῶν φιλολογία μετὰ τὴν πτῶσιν τῆς βυζαντινῆς αὐτοκρατορίας.

Β'.

Ἀναντίῤῥητον ὅτι πολλοὶ βίοι τῶν πρώτων τῆς πίστεως μαρτύρων ἐγράφησαν ὑπ' αὐτῶν τῶν αὐτοπτῶν τοῦ μαρτυρίου

(1) Ἡ νέα αὕτη τοῦ Συναξαριστοῦ μετάφρασις στερεῖται μὲν τῆς γλωσσικῆς ἀξίας τῆς ὑπὸ Μαργουνίου ἐκπονηθείσης, ὑπερέχει ὅμως ταύτης διὰ τὰς πολυτίμους ὄντως ἱστορικὰς καὶ ἁγιολογικὰς σημειώσεις καὶ προσθήκας δι' ὧν ἐπλούτισεν αὐτὴν ὁ ἐν μοναχοῖς Νικόδημος.

χριστιανῶν· ἀλλὰ τὰ ἁγιολογικὰ ταῦτα ὑπομνήματα, συντεθειμένα κατὰ τὸ πλεῖστον ὑπὸ ἁπλοϊκῶν ἀνθρώπων, ἐνοθεύθησαν, τοῦ χρόνου προϊόντος, εἴτε ὑπὸ τῶν ἐχθρῶν τοῦ χριστιανισμοῦ, εἴτε καὶ ὑπὸ τῶν αἱρετικῶν πρὸς διακωμῴδησιν τῆς ἱερᾶς καὶ ἀμωμήτου ἡμῶν πίστεως. Διὰ τὸν λόγον τοῦτον ἡ μὲν Ἐκκλησία μετὰ πολλῆς περισκέψεως καὶ προσοχῆς ἀνεγνώρισε τὸ κῦρος τῶν τοιούτων συνταγμάτων, αὐτοὶ δὲ οἱ μεγάλοι ὡς γνωστὸν τῆς Ἐκκλησίας πατέρες ἔδωκαν πρῶτοι τὸ παράδειγμα τῆς ἀνακαθάρσεως τῶν ἁγιολογικῶν μνημείων. Οὕτως π. χ. ὁ μὲν ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης συνέθετο τοὺς βίους τοῦ ἁγίου Μάμαντος, τοῦ μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος, τῶν ἁγίων Τεσσαράκοντα μαρτύρων, ὁ μέγας Ἀθανάσιος τὸν βίον τοῦ ὁσίου Ἀντωνίου, ὁ θεῖος Ἰωάννης ὁ Χρυσόστομος τὸ μαρτύριον τοῦ ἁγίου Βαβύλα, ὁ μέγας Βασίλειος τοὺς βίους τῶν μαρτύρων Γορδίου καὶ Μάμαντος, καὶ ἄλλοι ἄλλους, τηρήσαντες μὲν μετὰ θρησκευτικῆς εὐλαβείας τὰ πραγματικὰ γεγονότα, ἀποβαλόντες δὲ πᾶν ὅ,τι ὕποπτον καὶ ἐπείσακτον, καὶ πρὸ πάντων ἀντικαταστήσαντες τὴν ἁπλοικὴν γλῶσσαν δι' ἀνθηρᾶς ἑλληνικῆς, τῆς μᾶλλον ἁρμοζούσης εἰς τοιαῦτα σοβαρὰ καὶ ἱερὰ θέματα.

Λέγεται δὲ μάλιστα ὅτι καὶ ὁ πρῶτος τῆς Ἐκκλησίας χρονογράφος, Εὐσέβιος ὁ Παμφίλου, συνέγραψεν ἐν εἴκοσι βιβλίοις τοὺς βίους ἁπάντων τῶν ὑπὲρ πίστεως μαρτυρησάντων ἁγίων (1). Τὸ λεγομένον ὅμως τοῦτο, μὴ ἐπικυρούμενον καὶ ὑπό τινος μᾶλ-

(1) «Ὁ ἡμέτερος ἱστοριογράφος Εὐσέβιος, ἡνίκα τὴν ἐκκλησιαστικὴν ἔγραφεν ἱστορίαν, παραλέλοιπεν ἐκεῖνα, ὧν μνήμην ἐποιήσατο ἐν ἑτέροις αὐτοῦ πονήμασι· καὶ γὰρ ἐν εἴκοσι λόγοις, τουτέστιν ἐν δύο δεκάσι, σχεδὸν τῶν ἐν ἁπάσαις ἐπαρχίαις μαρτύρων, ἐπισκόπων, ὁμολογητῶν καὶ ἁγίων γυναικῶν καὶ παρθένων παρεσκεύασε τὰ πάθη φέρεσθαι.» Βίος ἁγίου Σιλβέστρου (ἐν Fabricii Bibliotheca Graeca, X, σελ. 138. ἔκδοσις Ἁρλεσίου).

λον ἀξιοπίστου ἐκκλησιαστικῆς μαρτυρίας, θεωρεῖταί πως ὡς φήμη ἀδέσποτος, ἐκτὸς ἂν ὑποτεθῇ ὅτι τὸ σύγγραμμα τοῦ ἀρειανίζοντος χρονογράφου, μὴ περιβληθὲν τὸ προσῆκον ἐκκλησιαστικὸν κῦρος, ἐνωρὶς λίαν ἐλησμονήθη καὶ ἀπωλέσθη, ὅπερ καὶ πιθανὸν φαίνεται.

Τὸ βέβαιον ὅτι μέχρι τῆς Ι'. ἑκατονταετηρίδος τὸ ἁγιολογικὸν ζήτημα ἔμενεν ἐκκρεμές, τῆς Ἐκκλησίας σεβασθείσης τὰ παλαιὰ μαρτύρια, εἰ καὶ πολλοὶ τῶν κομψευομένων ἐχλεύαζον ταῦτα ὡς ἁπλοϊκῶν ἀνθρώπων ἀφελεῖς διηγήσεις (1) Ἡ πρώτη δὲ τιμὴ τῆς περισυνάξεως, ἀνακαθάρσεως καὶ τῆς εἰς ἓν ὁμοειδὲς συμπήξεως καὶ καταρτίσεως τῶν ἁγιολογικῶν μνημείων δικαίως ἀνήκει εἰς Συμεῶνα τὸν ἐπονομασθέντα Μεταφραστήν. Ὅθεν καὶ ἡ Ἐκκλησία, τιμῶσα τοὺς ἀτρύτους κόπους καὶ τὰς ἀρετὰς τοῦ μεγάλου ἀνδρός, κατέταξεν αὐτὸν ἐν

(1) Ἰδοὺ πῶς ἐξεικονίζει ὁ Μιχαὴλ Ψελλὸς τὴν πρὸ τοῦ Μεταφραστοῦ κατάστασιν τῆς ἁγιολογίας. «Οἱ δὲ πρὸ τοῦ θαυμασίου τοῦδε ἀνδρὸς ἐνταῦθα τὰς ἐκείνων πράξεις ἀναγραψάμενοι, οὔμενουν τῆς μεγαλοπρεπείας ἐκείνων ἐφίκοντο· ἀλλὰ τὰ μὲν αὐτῶν κατεψεύσαντο, τὰ δὲ μὴ δυνηθέντες κατάλληλα θεῖναι, ἄκομψον ἐκείνοις τὸ ἀγαθὸν καὶ ἀφιλότιμον συγγεγράφασιν, οὔτε καλὴν ὑποθέμενοι ἔννοιαν, οὔτε μὴν εὐπρεπέσι καταkοσμήσαντες λέξεσιν..... Ἔνθεν τοι οἱ μὲν οὐδὲ ψιλὴν ἐκαρτέρουν τὴν τῶν ὑπομνηματισθέντων ἀνάγνωσιν, τοῖς δὲ καὶ γέλως ἀφορμὴν τὰ λεγόμενα ἐγνωρίζετο· καὶ τὸ τῆς συνθήκης δὲ ἀκαλλὲς καὶ τὸ ἀνακόλουθον τῆς ἐννοίας, καὶ τὸ τῆς λέξεως εὐτελὲς ἀγλευκῆ τοῖς ἀκούουσιν ἦν, καὶ ἀπηχθάνοντο μᾶλλον ἢ προσίεντο, καὶ τὸ ἐπ τοῖς ἀναγραψαμένοις διεκωμῳδεῖτο ἡμῖν τὰ θαυμάσια τῶν τοῦ Χριστοῦ θεραπόντων ἀγωνίσματά τε καὶ τρόπαια. Καὶ ξύμπαντες μὲν διελοιδοροῦντο σαφῶς τοῖς συγγράμμασιν, ἀντεισενεγκεῖν δὲ τούτων τὰ κρείττονα, οἱ μὲν δι' ὄκνον ψυχῆς, οἱ δὲ ὡς τελειότατον σπούδασμα..... οὔτε βουλομένοις δύναμίς τις προσῆν, οὔτε δυναμένοις βούλησις.» Ἐγκώμιον εἰς Συμεὼν τὸν Μεταφραστὴν (Migne Patrologia Graeca τόμ. 114, σελ. 192).

τῇ χορείᾳ τῶν ὁσίων· εἷς δὲ τῶν πολυμαθεστέρων ἀνδρῶν τοῦ Βυζαντίου, ὁ Μιχαὴλ Ψελλὸς, ἐπαξίως ἐξύμνησε τὸ θαυμάσιον ἔργον, εἰς ὃ ἀφιέρωσεν ὁ Συμεὼν τὸν βίον, εἰς δόξαν μὲν τῆς Ἐκκλησίας, ἀθανασίαν δὲ καὶ εὔκλειαν τοῦ ἰδίου ὀνόματος.

Ἀλλ' ἐνῷ ἡ ὀρθόδοξος Ἐκκλησία ἐτίμησε τὴν μνήμην τοῦ Μεταφραστοῦ, οὐκ ὀλίγοι τῶν ἑτεροδόξων, παπιστῶν τε καὶ διαμαρτυρομένων, πικρῶς διέσυραν αὐτόν τε καὶ τὸ ἔργον αὐτοῦ, ἐνῷ παραδόξως ἠγνόουν καὶ αὐτὴν τὴν ἱστορικὴν ὕπαρξιν καὶ τοὺς ἐπὶ τῆς χριστιανικῆς εὐγνωμοσύνης τίτλους αὐτοῦ. Εἰς τὸν πολυμαθῆ Χῖον, Λέοντα τὸν Ἀλλάτιον, ἀπέκειτο ἡ τιμὴ τῆς ἐκδικήσεως τῆς μνήμης τοῦ ὁσίου κατὰ τῶν συκοφαντιῶν, ἃς κατ' αὐτοῦ βασκανία μόνη καὶ ἀγενὴς ἐμπάθεια, ἁμιλλωμένη πρὸς ἀκατονόμαστον ἀμάθειαν, ἐπεσώρευσεν. Ἡ περὶ τοῦ Μεταφραστοῦ μονογραφία τοῦ Ἀλλατίου (1) δύναται, ἵνα θεωρηθῇ ὡς ἡ πρώτη βάσις καὶ ἀφετηρία ἐπιστημονικῆς ἐρεύνης τε καὶ ἐκτιμήσεως τῶν ἁγιολογικῶν μνημείων τῆς ὀρθοδόξου ἡμῶν Ἐκκλησίας. Διὰ τῆς ἐμβριθοῦς ταύτης μελέτης ὡρίσθη μὲν ὁ χρόνος τῆς ἀκμῆς τοῦ μεγάλου ἁγιογράφου, ἐταξινομήθησαν δέ πως καὶ οἱ ἐπ' ὀνόματι αὐτοῦ φερόμενοι βίοι· ἐν τούτοις ἱκανὸν ἔτι σκότος καὶ ἀχλὺς περιβάλλει τὸν ἔξοχον ἄνδρα περὶ ὃν, ὡς περὶ κύκλον φαεινὸν, περιστρέφεται ἅπασα ἡ ἐπίσημος ἁγιολογία τῆς ἡμετέρας Ἐκκλησίας. Τὸ μόνον ἀναντίρρητον ἐξαγόμενον ἐκ τῆς μελέτης τοῦ Ἀλλατίου ἐστὶν, ὅτι ὁ Συμεὼν ἤκμασεν ἐπὶ τοῦ αὐτοκράτορος Λέοντος τοῦ ἐπονομαζομένου Σοφοῦ (2), ὡς αὐτὸς ὁ Μεταφραστὴς ἐν τῷ βίῳ τῆς Θεοκτίστης ἐδήλωσε (σελ. 19).

(1) Leonis Allatii, de Symeonum scriptis. Parisiis 1664.

(2) Βλέπε τοῦ σοφωτάτου βασιλέως Λέοντος τὰ εὑρισκόμενα πάντα. Paris 1863 (τόμ. 107 τῆς ἑλληνικῆς Πατρολογίας, τοῦ ἀββᾶ Migne).

Τίς ὁ λόγος, δι' ὃν ἀπενεμήθη εἰς τὸν ἡγεμόνα τοῦτον τὸ ἐπώνυμον Σοφὸς, δὲν διηυκρινίσθη ἔτι· βέβαιον ὅμως ἐστὶν, ὅτι ὁ αὐτοκράτωρ Λέων ἰδιαζόντως ἠσχολήθη περὶ τὴν ἐκκλησιαστικὴν φιλολογίαν καὶ πολλοὺς ἔγραψε βίους ἁγίων καὶ ἐγκώμια, καὶ μέλη ἐποίησεν, ἅτινα ἡ Ἐκκλησία, καίτοι μὴ ἐν ἁρμονίᾳ ζήσασα πρὸς τὸν ἐστεμμένον μελῳδὸν καὶ ἁγιογράφον, δεόντως ἐξετίμησε, καὶ ἐνεστερνίσατο τὰ ποιήματα αὐτοῦ, ἐν τοῖς λειτουργικοῖς βιβλίοις εἰσαγαγοῦσα. Ὁ Ψελλὸς ῥητῶς λέγει ὅτι κελεύσει τοῦ αὐτοκράτορος ὁ Συμεὼν ἐπεδόθη εἰς τὴν ἁγιογραφίαν (1). Ἐν τοιαύτῃ δὲ περιπτώσει ὑποτίθεται, ὅτι αὐτὸς ὁ αὐτοκράτωρ, ὁ τοσοῦτον φιλόμουσος, ἐνέπνευσεν εἰς τὸν εὐνοούμενον αὐτοῦ ὑπουργὸν τὴν πρώτην ἰδέαν τῆς ἀνακαθάρσεως τῆς ἁγιολογίας κατὰ τὴν ὑποδειχθεῖσαν μέθοδον ὑπὸ τοῦ ἐστεμμένου ἁγιογράφου.

Ἐν τούτοις ὁ ἀτελῶς γινωσκόμενος βίος τοῦ Μεταφραστοῦ, αἱ ὑπὸ τοῦ Ψελλοῦ ἐγκωμιαζόμεναι μεγάλαι αὐτοῦ ἀρεταὶ καὶ ὑπηρεσίαι ἐν τῇ πολιτείᾳ, ἰδίᾳ δὲ ὁ ἀνακαινισμὸς τῶν ἁγιολογικῶν ὑπομνημάτων, ἡ μέθοδος, ᾗ ἠκολούθησεν ἐν τῷ μεγάλῳ αὐτοῦ ἔργῳ ὁ Συμεὼν, τότε μόνον θέλουσι γνωσθῇ καὶ κατ' ἀξίαν ἐκτιμηθῇ, ὅταν αὐτὰ τὰ κείμενα τῶν ἐπ' ὀνόματι αὐτοῦ ἢ καὶ ἄλλων φερομένων βίων δημοσιευθῶσι· τότε ἐκ τῆς ἀντιβολῆς τῶν κειμένων, τῆς γλώσσης, τῶν ἰδεῶν, τοῦ ὕφους καὶ ἄλλων λανθανόντων περιστατικῶν, ἡ κριτικὴ δυνηθήσεται, ἵνα ἐκφέρῃ ἀσφαλῶς εὐσυνείδητον γνώμην περὶ τοῦ Μεταφραστοῦ, περὶ ὃν ἅπασα ἡ ἁγιολογία τῆς Ἐκκλησίας, συγκεντροῦται καὶ περιστρέφεται.

Διὰ τὸν λόγον τοῦτον περιορισθέντες εἰς τὴν δημοσίευσιν αὐ-

(1) « Βασίλειοι δὲ τοῦτον παρακλήσεις ἐπὶ τοῦτο προήνεγκαν καὶ οἷς ἐφροντίζετο λόγος καὶ σύνεσις. » (Migne, Patrologia Graeca τόμ. 114, σελ. 197).

τῶν τῶν κειμένων, ἀπέχομεν, τό γε νῦν ἔχον, παρακεκινδυνευμένων γνωμῶν, αἵτινες ὅσῳ καὶ ἂν παρουσιασθῶσιν εὔλογοι, ὑπὸ ἄλλων ἀγνώστων μαρτυριῶν ἀκολούθως δύνανται, ἵνα καταδειχθῶσιν ἀνυπόστατοι. Ἀλλ' αὐτὰ τὰ νῦν δημοσιευόμενα κείμενα ἀναγκάζουσιν ἡμᾶς, ὅπως παραβῶμεν τὴν ὑπόσχεσιν ταύτην καὶ ἁπλῶς ὑποβάλωμεν τὴν ἡμετέραν γνώμην ἐφ' ἑνὸς τῶν ἀκανθωδεστέρων ζητημάτων τῶν εἰς τὸν Μεταφραστὴν ἀναφερομένων.

Γ΄.

Ὡς βλέπει ὁ ἀναγνώστης, τὸ πρῶτον ἐν τῇ συλλογῇ ταύτῃ ἐκδιδόμενον ἁγιολογικὸν ὑπόμνημά ἐστιν αὐτὸ τὸ πρῶτον τὸ ὑπὸ τοῦ Μεταφραστοῦ συνταχθέν. Ἀλλ' ὁ βίος οὗτος τῆς ὁσίας Θεοκτίστης τῆς Λεσβίας περιεσώθη ἐν δυσὶ κειμένοις, ἐν μόνῳ τῷ προοιμίῳ καὶ ἐπιλόγῳ παραλλάσσουσι, καὶ παραδόξως φέρουσι δύο διάφορα ὀνόματα συντακτῶν, τὸ τοῦ μαγίστρου Νικήτα, καὶ τὸ τοῦ Συμεὼν Μεταφραστοῦ.

Πότερος οὖν τῶν δύο τούτων ὁ ἀληθής ἐστιν συγγραφεύς, καὶ ἑπομένως τίς ὁ τὰ ἀλλότρια οἰκειοποιθείς; Ἀναντιλέκτως ὁ Νικήτας, ἀφοῦ ἡ εἰς Συμεὼν τὸν Μεταφραστὴν ἐκκλησιαστικὴ ἀκολουθία διαῤῥήδην λέγει, ὅτι τὸ πρῶτον ἔργον τούτου ἐστὶν ὁ ἐν λόγῳ βίος (1). Ἀλλὰ τότε πῶς δυνατὸν, ἵνα ὑποθέσῃ τις ὅτι εὑρέθη ἄνθρωπος, ὁ μάγιστρος Νικήτας, εἰς τοσοῦτον προβὰς ἀναισχυντίας, ὥστε ὑποκλέψας τοὺς πόνους τῶν ἄλλων, νὰ μεταφέρῃ ἁπλῶς εἰς τὸ ὄνομά του τούτους καὶ

(1) «Τὸ πρῶτόν σου σύγγραμμα ἐκ προνοίας θεϊκῆς καὶ ὁμιλίας γέγονε τοῦ ἱεροῦ πρεσβύτου καὶ μοναστοῦ, Συμεὼν θεσπέσιε, ὃν ἐν Πάρῳ τῇ νήσῳ τεθεώρηκας. Ἀξίως ἐξύμνησας τῆς Λεσβίας τὰ λαμπρὰ καὶ θεῖα ἀγωνίσματα Θεοκτίστης.» Ὠδὴ ΣΤ΄. τῆς εἰς Συμεῶνα ἀκολουθίας.

νοσφισθῇ οὕτω συγγράμματα πασίγνωστα, ἐν ἁπάσαις ταῖς ἐκκλησίαις ἀναγινωσκόμενα καὶ ὑπὸ πάντων οὕτως εἰπεῖν ἀποστηθιζόμενα;

Ἐπειδὴ δὲ καὶ ἄλλοι βίοι ἁγίων ἐν διαφόροις κώδιξιν ἀδιαφόρως φέρουσι τὸ τοῦ Νικήτα ἢ τὸ τοῦ Συμεὼν ὄνομα, ἀποκλίνομεν μᾶλλον εἰς τὴν ὑπόθεσιν μὴ Νικήτας ὁ μάγιστρος καὶ Συμεὼν ὁ μάγιστρος, ἤτοι ὁ Μεταφραστής, εἰσὶν ἓν καὶ τὸ αὐτὸ πρόσωπον, ἐν τοῖς κοσμικοῖς μὲν Νικήτας, ἐν δὲ τῷ μοναχικῷ βίῳ Συμεὼν ὀνομαζόμενος.

Πρὶν ὅμως ἐπικαλεσθῶμεν ἑτέρας ἀποδείξεις εἰς ἐπίῤῥωσιν τῆς ἡμετέρας ὑποθέσεως, ὀφείλομεν, ἵνα διαλευκάνωμεν καὶ ἑτέραν οὐχ ἥκιστα σπουδαίαν ἀμφιβολίαν. Ὡς γνωστὸν ὁ Ἀλλάτιος ὄχι μόνον δὲν ἐνδοιάζει, ὅπως ἐκφρασθῇ περὶ τοῦ ἂν ὁ Συμεὼν ἠσπάσθη τὸν μοναχικὸν βίον, ἀλλὰ καὶ διαῤῥήδην ἀποφαίνεται, ὅτι οὐδέποτε οὗτος ἐνεγράψατο εἰς λεύκωμα μοναχῶν (1). Ἀλλὰ τοῦτο, ὅτι δηλονότι ἠσπάσθη τὸ μοναχικὸν σχῆμα, ῥητῶς ὁμολογεῖ ὁ Ψελλὸς οὐ μόνον ἐν τῷ ἐγκωμίῳ, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἀκολουθίᾳ (2). Ὁ δὲ πολυμαθὴς Χῖος

(1) Symeon vero noster, et Constantinopolitanus et civilibus rebus addictissimus, monachorum albo nunquam se adscripserat, quod ipse sciam. Allatius, Diatriba de Symeonum 6 17. 41.

(2) «Σοφίας θείας ἐραστὴς ἀπαλῶν ἐξ ὀνύχων γεγονὼς, θεορρήμων, περιεπλάκης αὐτήν.» Ἀκολουθία, ᾠδὴ Γ'. — «Ἐπεὶ δὲ πρὸς τὰς διατριβὰς τῶν φιλοσοφούντων ἀπέβλεπε καί τινας ἐκεῖθεν ἀρχὰς ἐκομίσατο.... ἀνέκυψε δὲ ἀθρόον καὶ ἤρθη μετέωρος.... Ἐντεῦθεν οὔτε τοὺς ἀργοτέρους τῶν φιλοσοφησάντων.....ζηλοῖ. Οἱ μὲν γὰρ ὥσπερ ἀπλέτῳ φωτὶ ταῖς ἀπὸ τῆς φιλοσοφίας καταστραφθέντες ἀκτῖσιν, αὐτίκα ἐπέμυσαν, καὶ οὐ προεβίβασαν εἰς πρᾶξιν τὴν ἀρετὴν, οὐδὲ ἐχρήσαντο τοῖς δόγμασι μεγαλοπρεπῶς, οὐδὲ ἡγεμόνες γεγόνασι πόλεων, οὐδὲ φέροντες, ἃ μεμαθήκασιν εἰς μέσους τοὺς πολλοὺς προτεθείκασιν, ἀλλὰ μακροὺς μὲν ἐξέθρεψαν πώγωνας καὶ σκυθρωποὶ τοῖς προσώποις γεγόνασιν.» Ἐγκώμιον § 3—4.

παρανοήσας τὰς παρὰ τῷ Ψελλῷ φερομένας λέξεις φιλοσοφία, φιλοσοφῶ, ἐξέλαβε ταύτας ἐν τῇ παλαιᾷ σημασίᾳ αὐτῶν, ἐνῷ γνωστόν ἐστιν, ὅτι ἀπὸ τῆς Δ'. ἑκατονταετηρίδος αἱ λέξεις αὗται προσέλαβον καὶ τὴν ἐκκλησιαστικὴν σημασίαν, τῆς μὲν φιλοσοφίας σημαινούσης τὸν μοναχικὸν βίον, τοῦ δὲ ῥήματος φιλοσοφῶ, τὸ ἀσκητεύω ἢ μονάζω (1). Πολλαχοῦ τῶν συγγραμμάτων ἰδίᾳ τοῦ Ψελλοῦ ἀναφέρονται αἱ λέξεις ἐν τοιαύτῃ σημασίᾳ· ἄλλοτε δὲ παρὰ τῷ αὐτῷ συγγραφεῖ προσλαμβάνουσι καί τινα διασταλτικώτερα ἐπίθετα, ὡς ἡ χριστιανικὴ φιλοσοφία, ἡ ἡμετέρα φιλοσοφία, πρὸς διάκρισιν τῆς παλαιᾶς φιλοσοφίας, λεγομένης, ἡ ἑλληνικὴ, ἡ θύραθεν, ἡ ἔξω, ἡ ἀπόβλητος φιλοσοφία.

Ἀλλ' ἐνῷ ὁ Ψελλὸς βεβαιοῖ, ὅτι ὁ Μεταφραστὴς ἠσπάσθη τὸν μοναχικὸν βίον, ἐπιλέγει, ὅτι μετὰ τὴν ἐκπλήρωσιν τῆς εὐχῆς ταύτης οὔτε ἐν μονῇ τινὶ κατετάχθη, οὔτε τῶν κοσμικῶν ἀπεμακρύνθη. Τοῦτο δύναται μὲν ἵνα φανῇ ἡμῖν παράδοξον, οὐχὶ δὲ καὶ ἐν τοῖς χρόνοις τοῦ Συμεών. Ἐν τῇ ἐποχῇ ἐκείνῃ μεγάλη μερὶς ἠσπάζετο τὴν γνώμην, ὅτι ὁ μοναχὸς δὲν ὑπεχρεοῦτο, οὔτε ἀναγκαῖον ἦν, ἵνα ἀρνηθῇ τὸν κόσμον, τοὐναντίον μάλιστα, ὅτι δυνάμενος ὤφειλεν ἵνα μένῃ ἐν τῇ πολιτείᾳ καὶ ἐξακολουθῇ ὑπηρετῶν ταύτην τε καὶ τὴν κοινωνίαν.

Τοιοῦτος ἦν καὶ αὐτὸς ὁ Ψελλὸς, οὗτινος ἡ ἐκ τῶν μονῶν τοῦ ἐν Βιθυνίᾳ Ὀλύμπου ἀπομάκρυνσις ἐθεωρήθη ὄχι μόνον ὡς ἀληθὴς δραπέτευσις, ἀλλὰ καὶ ἐκακίσθη καὶ σάτυραι ἐλεειναὶ καὶ

(1) Ὁ πολυμαθὴς Θεσσαλὸς Ἐ. Σοφοκλῆς πολὺ ὀρθῶς ἐξήγησε τὴν σημασίαν τῶν λέξεων τούτων, ὑποδείξας καὶ τὰς ἐκκλησιαστικὰς πηγὰς, ἐν αἷς ἀπαντῶσιν αἱ λέξεις μετὰ τοιαύτης σημασίας. Βλέπε Greek Lexicon ofthe Roman and Byzantine periods, by. E. Sophocles, Boston 1870, σελ. 1145.

κακοήθεις ἀντηλλάγησαν μεταξὺ αὐτοῦ καὶ τῶν ἀπαιτούντων μοναχῶν τὴν ἐν τῇ μονῇ, ἐν ᾗ ἀφωσιώθη ἐγκαταβίωσιν (1). Κατὰ τὸν Ψελλὸν λοιπὸν τοιοῦτος ἦν καὶ ὁ Μεταφραστής, ὅστις καρεὶς μοναχὸς, ἐν οὐδεμιᾷ ἐτάχθη μονῇ, ἀλλὰ διετέλεσεν ὑπηρετῶν τὸν εὐνοοῦντα αὐτὸν αὐτοκράτορα Λέοντα ὡς ὑπουργὸς, πρέσβυς, καὶ δὴ καὶ ὡς στρατηγὸς δόκιμος· τὸ δὲ παραδοξότερον, ὅτι οὔτε τὴν κοσμικὴν ἐνδυμασίαν μετήλλαξε ῥυθμίζων αὐτὴν πρὸς τὸν εἰθισμένον μοναχικὸν μανδύαν (2).

Ἀλλ' ἐπανέλθωμεν εἰς τὴν ὑπόθεσιν τῆς συνταυτίσεως τοῦ τε Νικήτα καὶ τοῦ Συμεὼν, ἐξ ἧς ἐξέβημεν μικρόν. Ἀληθὲς, ὅτι ἔν τισι τῶν ἁγιολογικῶν κωδίκων, ὁ Νικήτας φέρει καὶ τὸ ἐπώνυμον Παφλαγὼν, ἐνῷ ῥητῶς ὁ Ψελλὸς λέγει τὸν Μεταφραστὴν Βυζάντιον (3) Ἀλλ' ἕτερον μὴ ἁγιολογικὸν μνημεῖον, ἐνῷ καὶ πάλιν συγχέονται τὰ δύο ταῦτα ὀνόματα, πληροφορεῖ ἡμᾶς ὅτι τὸ ἐπίθετον Παφλαγὼν, δὲν ἦν ἐθνικὸν, ἀλλ' ἁπλοῦν ἐπώνυμον, διότι καὶ Νικήτας ὁ Παφλαγὼν ἦν Βυζάντιος.

Ὡς γνωστὸν ὁ Μεταφραστὴς συνέταξε καὶ χρονικὰ, τὰ ὁποῖα,

(1) Βλέπε περὶ τούτου τὴν μεσαιωνικὴν Βιβλιοθήκην τοῦ κ. Σάθα (τόμ. Δ'. σελ. LXIX).

(2) «Ἀλλ' ἐκεῖνος οὐχ οὕτως, πολλοῦ γε καὶ δεῖ, ἀλλὰ μήτε τὴν ἐσθῆτα μεταλλάξας, μήτε τι τοῦ μεγαλοπρεποῦς καθυφείς.... Μεγαλοπρεπῶς δὲ ἔχων καὶ τῆς στολῆς καὶ τοῦ σχήματος ἅμα καὶ τοῦ βαδίσματος...» § 5–6. Ὁ ἐν μοναχοῖς Ἀγάπιος Κρὴς, ὃς καὶ πολλὰ ὑπομνήματα ἁγιολογικὰ ἐμελέτησε, γράφει ἐν τῷ βίῳ τῆς Θεοκτίστης, ὅτι ὁ Συμεὼν ἅμα ἐκπληρώσας τὴν εἰς Κρήτην ἀποστολὴν, περὶ ἧς γίνεται λόγος ἐν αὐτῷ τῷ βίῳ τῆς ὁσίας, ἐζήτησε παρὰ τοῦ Λέοντος ὡς μόνην ἀμοιβὴν, ἵνα τῷ ἐπιτραπῇ καὶ ἀσπασθῇ τὸν μοναχικὸν βίον, ὅπερ καὶ ἐγένετο (Νέος Παράδεισος ἐν Βίῳ Θεοκτίστης Νοεμβ. 9). Τοῦτο τρανῶς μαρτυρεῖ ὅτι ἡ τῶν κειμένων αὐτῶν ἀνακάλυψις πολλὰ ζητήματα σκοτεινὰ θέλει διαλευκάνει.

(3) «Τοῦτον δὲ τὸν περιώνυμον ἄνδρα ἡ Κωνσταντινούπολις ἐξήνθησεν.» Ἐγκώμ. Ψελλοῦ §. 1.

αρχόμενα ἀπὸ κτίσεως κόσμου, φθάνουσι μέχρι τοῦ ἔτους 962. Τῆς ἱστορικῆς ταύτης βίβλου μόνον τὸ τέλος ἐξεδόθη ἐν τῷ τόμῳ τῆς Βυζαντίδος, τῷ ἐπιγραφομένῳ Scriptores post Theophanem. Γεώργιος ὁ Κεδρηνὸς, ἀπαριθμῶν πάντας τοὺς πρὸ αὐτοῦ χρονογράφους ἐν τῷ προοιμίῳ τοῦ χρονικοῦ αὐτοῦ, ἀποσιωπᾷ ἐντελῶς τὸ τοῦ Συμεὼν ὄνομα, καταγράφων ἐν τοῖς Βυζαντίοις χρονογράφοις καὶ Νικήταν τὸν Παφλαγόνα (1), ὅπερ ἀποδεικνύει ὅτι ὁ Συμεὼν καὶ ὁ Νικήτας εἰσὶν ἓν καὶ τὸ αὐτὸ πρόσωπον, διότι ἀδύνατον ἵνα ἄλλως πιστευθῇ, ὅτι ἀνὴρ, τοσοῦτον λεπτολόγος, οἷος ὁ Κεδρηνὸς, καὶ μίαν μετὰ τὸν Μεταφραστὴν ἀκμάσας ἑκατονταετηρίδα, ἠγνόει τὴν μεγάλην τούτου χρονογραφίαν καὶ κατέταξεν ἐν τοῖς ἱστορικοῖς Νικήταν τὸν Παφλαγόνα, ὅστις οὐδὲν τοιοῦτον ἱστορικὸν σύγγραμμα συνέθετο, ὡς τοὐλάχιστον γνωρίζομεν. Ἂν δὲ καὶ ἐξ αὐτῆς τῆς χρονογραφίας τοῦ Μεταφραστοῦ κρίνωμεν, αἱ αὐταὶ ἰδέαι καὶ ἀρχαὶ ἀπαντῶσι καὶ εἰς ἄλλα ἐπ' ὀνόματι τοῦ Νικήτα φερόμενα συντάγματα. Ὡς γνωστὸν ὁ Συμεὼν διακρίνεται ὡς ἐχθρὸς τοῦ πατριάρχου Φωτίου, διὰ πολλῶν ὡς ἐπὶ τὸ πολὺ ἀδίκων μομφῶν διασύρων ἐν τῇ χρονογραφίᾳ αὐτοῦ τὴν ἱερὰν μνήμην τοῦ μεγάλου πατριάρχου, ἀλλ' αὐταὶ αὗται ἀκριβῶς αἱ κατὰ τοῦ Φωτίου μομφαὶ ἀπαντῶσι καὶ ἐν τῷ ἐπ' ὀνόματι τοῦ Νικήτα

(1) «Ὁ γὰρ Δαφνοπάτης Θεόδωρος, Νικήτας ὁ Παφλαγὼν καὶ οἱ λοιποὶ Βυζάντιοι, Νικηφόρος ὁ Φρύξ, Λέων ὁ Καρίας.» Κεδρηνοῦ προοίμιον. Ὁ Ξύλανδρος σημειοῖ περὶ τοῦ ἱστορικοῦ τούτου Νικήτα τόδε· «de Niceta Phaphlagone non habeo quod dicam.» Ὁ Γόαρ (αὐτόθι) καὶ ὁ Φαβρίκιος (Bibliotheca graeca VII, σελ. 747) εἰκάζουσιν, ὅτι ὁ Κεδρηνὸς ἐννοεῖ τὸ ἐπ' ὀνόματι τοῦ Νικήτα φερόμενον ἐγκώμιον τοῦ πατριάρχου Ἰγνατίου. Ἀλλ' ὁ Κεδρηνὸς ὁμιλεῖ περὶ χρονογραφίας καὶ οὐχὶ περὶ ἐγκωμίου ἑνὸς πατριάρχου· διότι ἂν ἐν τοῖς ἱστορικοῖς κατέγραφε καὶ τοὺς βιογράφους, ἠδύνατο νὰ μνημονεύσῃ καὶ ἄλλους γράψαντας ἐγκώμια ἱστορικώτερα τοῦ εἰς τὸν πατριάρχην Ἰγνάτιον.

φερομένῳ ἐγκωμίῳ τοῦ πατριάρχου Ἰγνατίου· ὡς τελευταῖον δ' ἐπιχείρημα τῆς συνταυτίσεως τοῦ Νικήτα καὶ τοῦ Συμεὼν ἔρχεται αὐτὸς ὁ βίος τῆς ὁσίας Θεοκτίστης.

Ἐν τῷ ἐπ' ὀνόματι τοῦ μαγίστρου Νικήτα βίῳ τῆς ὁσίας ὁ κῶδιξ παρασιωπᾷ τὸ ὄνομα τοῦ αὐτοκράτορος Λέοντος, καθὼς καὶ ὁ ἕτερος κῶδιξ τοῦ ΙΔ' αἰῶνος πρὸς ὃν ἀντεβλήθη, ὅστις καὶ τὸ ὄνομα τοῦ Νικήτα δὲν φέρει, ἐνῷ τοὐναντίον ἀμφότεροι οἱ κώδικες, οἱ ἐπ' ὀνόματι τοῦ Συμεὼν, φέρουσι τὸ ὄνομα τοῦ αὐτοκράτορος (σελ. 19)· τὸ περιεργότερον δὲ ὅτι καὶ αὐτὸς ὁ ὑπὸ τοῦ Νικήτα φερόμενος βίος συμπεριλαμβάνεται ἐν τοῖς ἐπ' ὀνόματι τοῦ Μεταφραστοῦ κώδιξι. Ταῦτα ἀποδείκνυσιν ὅτι ὁ μὲν πρῶτος βίος, ὁ τὸ ὄνομα τοῦ Νικήτα φέρων, συνετάχθη ἅμα τῷ θανάτῳ τοῦ Λέοντος, διὰ τοῦτο δὲ καὶ παραλείπεται τὸ ὄνομα (1)· ὁ δὲ δεύτερος, ὁ ἐπ' ὀνόματι Συμεὼν, ὢν δευτέρα ἔκδοσις τοῦ πρώτου ἐπηυξημένη καὶ ἐπιδιωρθωμένη, συνετάχθη πολὺ ἀργότερον, ὅταν οἱ ἀλληλοδιαδόχως διαδεχθέντες τὸν Λέοντα βασιλεῖς ἀπήτησαν τὴν διάκρισιν τοῦ ὀνόματος τοῦ ὑποδεικνυμένου βασιλέως, « τοῦ τὴν εὐτυχίαν Ῥωμαίων τῷ τάφῳ συνθάψαντος. »

Δ'.

Καὶ περὶ τούτου μὲν ταῦτα, περὶ δὲ τῆς ἐκτιμήσεως τοῦ θεαρέστου ἔργου καὶ κολοσσιαίου τοῦ Μεταφραστοῦ ἀρκούμεθα μνημονεύοντες ἑνὸς καὶ μόνου γεγονότος, ἀναφερομένου εἰς τὸν νῦν δημοσιευόμενον βίον τοῦ ἁγίου μάρτυρος Ὑπατίου, ἐπισκόπου Γαγγρῶν (σελ. 251-268). Ὡς βλέπει ὁ ἀναγνώστης, τὸ

(1) Ἐν τῷ δημοσιευομένῳ βίῳ, τῷ τὸ ὄνομα τοῦ Νικήτα φέροντι, προσετέθη παρ' ἡμῶν τὸ ὄνομα Λέοντος οὐχὶ ἐκ τοῦ ἑτέρου κώδικος, πρὸς ὃν ἐγένετο ἡ ἀντιβολή, ὡς κατὰ λάθος ἐσημειώθη (σελ. 3), ἀλλ' ἐκ τοῦ ἐπ' ὀνόματι τοῦ Μεταφραστοῦ.

ἁγιολογικὸν τοῦτο μνημεῖον, συμφωνοῦν πρὸς τὴν ἱερὰν παράδοσιν (1), φέρει τὴν σφραγῖδα τῆς ἀνθηρᾶς καὶ εἰς τοιαῦτα θέματα ἁρμοζούσης ἑλληνικῆς γλώσσης, ἧς τὸ μυστήριον κάλλιστα ἐγίνωσκεν ὁ Συμεὼν, ὡς ὁμολογεῖ κατάλληλος τῶν τοιούτων κριτὴς, Μιχαὴλ ὁ Ψελλός. Πρὸς δὲ τούτοις ὁ ὑπὸ τοῦ Μεταφραστοῦ ἀνακαθαρθεὶς βίος τοῦ μάρτυρος ἀπήλλακται τῶν τερατωδῶν ἐκείνων διηγήσεων, ἃς ἐπενόησεν ὁ φιλόμαρτυς ζῆλος τῶν ἁπλοϊκῶν ἀνθρώπων καὶ ἰδίᾳ ἡ κακοήθεια τῶν αἱρετικῶν ἐπὶ τῷ σκοπῷ διασυρμοῦ τε καὶ χλευασμοῦ τῶν ἱερῶν τούτων μνημείων τῆς ὀρθοδόξου Ἐκκλησίας. Ἐκ τῶν πολλῶν παλαιῶν ὑπομνημάτων (2) ἐπὶ τῇ βάσει τῶν ὁποίων συνέγραψεν ἢ μᾶλλον μετέφρασε τὸν ἐκδιδόμενον βίον ὁ Μεταφραστὴς (3) περιεσώθη καὶ ἓν, διακρινόμενον ἐπὶ τοιαύταις τερατολογίαις, ὥστε ἁπλοῦν ἐπ' αὐτοῦ βλέμμα ἀρκεῖ, ἵνα ἀμέσως ἀναγνωρισθῇ ἡ αἱρετικὴ γραφὶς, ἡ τὴν ἱερὰν παράδοσιν κακοβούλως νοθεύσασα.

Ὡς γνωστὸν ὁ ἅγιος Ὑπάτιος ἤκμασεν ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου καὶ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίου, παρευρέθη δὲ ἐν τῇ ἐν Νικαίᾳ πρώτῃ οἰκουμενικῇ Συνόδῳ καὶ ἐδολοφονήθη ὑπὸ τῶν ἐν τῇ κώμῃ Λαζανῇ οἰκούντων Ναυατιανῶν αἱρετικῶν. Ὡς δὲ ἐσημειώσαμεν (σελ. 258) καὶ ἐν τοῖς λογίοις διέπρεψεν ὁ ἱεράρχης.

(1) Βλέπε Μηναῖα, Μαρτίου 31.

(2) Ὁ Φαβρίκιος (Bibl. Gr. X. σελ. 235), καταγράφων τρία ἀνέκδοτα ὑπομνήματα εἰς τὸν μάρτυρα Ὑπάτιον ὡς καὶ τὸ περὶ οὗ ὁ λόγος αἱρετικὸν, ἠγνόει τὸ νῦν ἐκδιδόμενον.

(3) Ὁ Συμεὼν ἐκλήθη Μεταφραστὴς, διότι μεταφράσεις ὁ αὐτὸς ὠνόμασε τοὺς ὑπ' αὐτοῦ ἀνακαθαρθέντας παλαιοὺς βίους, ὡς λέγει ὁ Ψελλὸς « μεταφράσεις ὠνομάσθησαν οἱ λόγοι σου, τρισμάκαρ. » Ἀκολουθία ᾠδὴ Ζ'. Οὕτω καὶ ἐπὶ κεφαλίδι πολλῶν βίων γέγραπται « μετάφρασις » ὡς ἐν σελ. 328.

Ὁ προμνημονευθεὶς αἱρετικὸς βιογράφος, πιθανῶς Ναυατιανὸς, θέλων, ἵνα ἀποκρύψῃ τὸ ἔγκλημα τῶν ὁμοδόξων, ἔπλασε τὸν ἀκατονόμαστον τοῦτον κέντρωνα, ἐν ᾧ οὐ μόνον ἀποκρύπτει τὴν δολοφονίαν τοῦ μάρτυρος, ἀλλὰ καὶ ἐπίτηδες συγχέων χρονολογίας καὶ πρόσωπα καὶ πράγματα, προσπαθεῖ ἵνα θολώσῃ τὴν διαύγειαν τῆς παλαιᾶς χριστιανικῆς παραδόσεως. Ἁπλῆ ὅμως ἀνάλυσις τοῦ ἀποκρύφου τούτου διηγήματος ἀρκεῖ, ἵνα δείξῃ καὶ πείσῃ ἕκαστον, ὅτι οὐδεμίαν σχέσιν ἔχει ὁ ὑπὸ τῆς Ἐκκλησίας τιμώμενος καὶ ὑπὸ τοῦ Μεταφραστοῦ βιογραφούμενος μάρτυς Ὑπάτιος πρὸς τὸν μυθολογούμενον τοῦτον ἥρωα.

Τὸ διήγημα ἄρχεται (1) « Κατὰ τοὺς καιροὺς ἐκείνους βασιλεύοντος Θελκιανοῦ ἐν τῷ Βυζαντίῳ ἐπεκράτησεν ὁ ἰουδαϊσμὸς καὶ ἡ εἰδωλολατρεία κατὰ πᾶσαν πόλιν καὶ χώραν.» Κατωτέρω ὀψόμεθα, ὅτι ὁ εἰδωλολάτρης οὗτος βασιλεὺς Θελκιανὸς, βαπτισθεὶς ὑπὸ τοῦ ἁγίου Ὑπατίου, μετωνομάσθη Θεοδόσιος!

Καὶ δὴ βασιλεύοντος τοῦ ἐν τῇ φαντασίᾳ τοῦ λογοποιοῦ τούτου γεννηθέντος καὶ ὑπάρξαντος βασιλέως Θελκιανοῦ, διωγμὸς ἐκηρύχθη καθ' ὅλων τῶν χριστιανῶν. Ἡγεμών τις, Κυπριανὸς λεγόμενος, ἐστάλη ὑπὸ τοῦ Θελκιανοῦ εἰς Γαλατίαν πρὸς ἐκτέλεσιν τοῦ κατὰ τῶν χριστιανῶν διατάγματος. Τότε ἔζη ἐν Ἀγκύρᾳ τῆς Γαλατίας καὶ ὁ ἅγιος Ὑπάτιος πρὸς ὃν ἐμφανισθεὶς ὁ Ἰησοῦς Χριστὸς, τῇ προτεραίᾳ τῆς κρατήσεώς του εἶπε· « θάρσει, Ὑπάτιε, ὅτι ἐγώ εἰμι μετὰ σοῦ καὶ ἦλθον γνωρίσαι σοι τὰ μέλλοντα γενέσθαι. Ἰδοὺ γὰρ οἱ μετὰ σοῦ ὄντες δι' ἡμερῶν τριῶν ἐκδημοῦσι πρός με, σὺ δὲ τὸν ἡγεμόνα καταισχυνεῖς καὶ τὸν βασιλέα βαπτίσεις καὶ τὰ εἴδωλα ἀφανί-

(1) Τὸ χειρόγραφον εὕρηται ἐν τῇ μαρκιανῇ Βιβλιοθήκῃ ἐν κώδικι ἑλληνικῷ CXLIV, φύλ. 95, τῆς Νανιανῆς συλλογῆς.

σεις ἕως τῶν δώδεκα· μετὰ δὲ ταῦτα μέλλεις πολλὰ παθεῖν δι' ἐμὲ καὶ ἀποθανεῖν ἕως ἑπτάκις, κἀγὼ δὲ ἀναστήσω σε, καὶ πολλοὶ πιστεύσουσι διὰ σοῦ εἰς τὸ ὄνομά μου. Σημεῖα καὶ τέρατα ποιήσεις, χωλοὺς περιπατεῖν, τυφλοὺς βλέπειν, κωφοὺς ἀκούειν, μογγιλάλους λαλεῖν, ξηροὺς ἀνορθοῦν, δαίμονας διώκειν, ὄφεων κυλάδας (sic) ἐκ κοιλίας ἀνθρώπων, γιαλώπια (sic) ἐκβάλλειν, χελώνας διώκειν, ἁρμονιόντας (sic) καὶ φαρμακεύσεις καὶ γοητείας ἀνθρώπων παντοίων, πόνων γινομένων καὶ μὴ φαινομένων ἐκβαλεῖν, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἀποδιώκειν ἀπὸ ἀνθρώπων καὶ κτηνῶν καὶ ἀπὸ πάντων τῶν ζώων, καὶ δοξάσω σε ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς.»

Τῇ ἐπιούσῃ σπεῖρα στρατιωτῶν, ἐλθόντες ἐν τῷ ναῷ, ὅπως συλλάβωσι τὸν ἅγιον, ἅμα ἐβίασαν τὰς θύρας καὶ ἐγένοντο πυρίκαυστοι· τρεῖς τῶν διασωθέντων στρατιωτῶν ἐλθόντες ἀνήγγειλαν τὰ γενόμενα εἰς τὸν Κυπριανὸν, ὃς ἀπέστειλεν ἄλλην πολυαριθμοτέραν σπεῖραν. Οἱ στρατιῶται, συλλαβόντες τὸν Ὑπάτιον, ἔδησαν μετὰ μεγάλου λίθου ὄπισθεν ἀγρίου ἵππου, καὶ οὕτως ἔσυραν αὐτὸν πρὸ τοῦ ἡγεμονικοῦ βήματος. Ἐρωτηθεὶς ὑπὸ τοῦ Κυπριανοῦ εἰς τίνα Θεὸν πιστεύει, ὁ ἅγιος στραφεὶς πρὸς τὸν ἵππον εἶπε· «λέγε ὀρθῶς, μηδὲν κωλυόμενος τίς ἐστιν ἀληθινὸς Θεὸς καὶ τίνες οἱ δαίμονες.» Θελήματι δὲ Θεοῦ ἀμέσως ὁ ἵππος, ἀποκτήσας ἀνθρωπίνην λαλιὰν, ὀνειδίζει τὸν ἄπιστον ἡγέμονα καὶ διὰ μακρῶν θεολογεῖ περὶ τῆς χριστιανικῆς πίστεως. Μόλις τοῦ ἵππου περάναντος τὴν ὁμιλίαν, καὶ ὁ ἀπὸ τοῦ τραχήλου τοῦ ἁγίου κρεμάμενος λίθος, λαβὼν ἀνθρωπίνην φωνὴν, διδάσκει τὸν ἡγεμόνα τίς ὁ ἀληθὴς Θεός. Ὁ ἡγεμὼν ἐξαγριωθεὶς «ἐκέλευσε γενέσθαι σούβλαν σιδηρᾶν ἔχουσαν πήχεις ὀκτὼ καὶ πυρωθῆναι αὐτὴν σφοδρῶς, καὶ ἔβαλεν αὐτὴν ἀπὸ τοῦ ἀφεδρῶνος αὐτοῦ καὶ ἐξήγαγεν ἀπὸ τοῦ στόματος, καὶ στήσαντες διχάλας δύο στεῤῥὰς καὶ ἄνθρακας ὑποκάτω αὐτοῦ ἥψησαν τὸν ἅγιον ὥσπερ ἰχθύν.» Ἀμέσως μέγας ἐγένετο

κούσας ξέεται τὸ σῶμα διὰ σιδηρῶν ὀνύχων, καὶ μετὰ τοῦτο σταυρωθεὶς χρησιμεύει εἰς σκοπὸν τῶν βελῶν τῶν νεανίσκων. Τὴν νύκτα κατελθὼν ὁ Χριστὸς καταβιβάζει αὐτὸν ἀπὸ τοῦ σταυροῦ· ὁ δὲ Χοβουᾶ μαθὼν τοῦτο, τὸν ἐκδέρει, καὶ σχηματίσας τὸ δέρμα του εἰς ἀσκὸν, ἐναποθέτει τὸ σῶμα, καὶ κρεμάσας εἰς τοὺς πόδας μόλυβδον λιτρῶν ἑξακοσίων τὸν ῥίπτει εἰς τὴν θάλασσαν. Ἄγγελος ὁδηγεῖ τὸ σῶμα πρὸς τὴν Ῥώμην. Ἐκεῖ δὲ φθάσας ὁ ἀσκὸς ῥήγνυται εἰς τέσσαρα, ὁ δὲ Ὑπάτιος ἐξελθὼν ἀβλαβὴς, ἔρχεται εἰς τὸν βασιλέα τῆς Ῥώμης Λουκιανόν. Διατασσόμενος καὶ ὑπὸ τούτου, ἵνα θύσῃ τοῖς εἰδώλοις, καὶ μὴ ὑπακούσας, τίθεται ἐν γλυπτῇ λεκάνῃ, καὶ διὰ χυτοῦ μολύβδου σφραγισθεὶς, ἄγεται εἰς ὄρους ὑψηλὸν, ἐξ οὗ κατακρημνίζεται· ἀλλ' οἱ μὲν λίθοι διασπασθέντες φονεύουσιν ἑκατὸν ἄνδρας καὶ κρημνίζουσι τριακοσίας κορτίνας τοῦ τείχους. Ὁ δὲ Ὑπάτιος σῶος μείνας συλλαμβάνεται καὶ καθείργνυται· ἐκεῖ δὲ ἐν τῇ φυλακῇ, ἐλθόντος τοῦ διαβόλου ἐν σχήματι ἀγγέλου ἐπὶ τὸ δολιευθῆναι αὐτόν, ὁ Ὑπάτιος τὸν συλλαμβάνει καὶ τὴν ἐπιοῦσαν τὸν ὁδηγεῖ ἀλυσόδετον εἰς τὸ βῆμα τοῦ βασιλέως Λουκιανοῦ, ὅστις διατάσσει, ἵνα βληθῇ ἐν καμίνῳ τοῦ χαλκοῦ βοὸς, θερμανθείσῃ διὰ ξύλων ἁμαξῶν ἑξακοσίων ἑβδομήκοντα. Ἐμβληθέντος τοῦ ἁγίου ἐν τῷ χαλκουργήματι μεγάλη λαῖλαψ ἦρε καὶ ἔσυρε τὴν πυρὰν κατὰ τοῦ βασιλέως, ὅστις ἀπηνθρακώθη, συγχρόνως δὲ ἐῤῥάγη εἰς τέσσαρα ὁ χαλκοῦς βοῦς καὶ ὁ Ὑπάτιος ἐξῆλθε σῶος. Ῥοῦφος, ὁ υἱὸς τοῦ βασιλέως, ἐμμανὴς γενόμενος ἐπὶ τῷ θανάτῳ τοῦ πατρὸς, ῥίπτει τὸν ἅγιον ἐν τῷ θηριοτροφείῳ, ἐνῷ ἦσαν λέοντες 150, παρδάλεις 60, ὕαιναι 3, καὶ μία ἀσπίς. Ἐπειδὴ τὰ θηρία, ἀντὶ νὰ σπαράξωσι τὸν Ὑπάτιον, ἔλειχον τοὺς πόδας αὐτοῦ, ὁ Ῥοῦφος διατάσσει, ἵνα τανυσθῇ ὁ Ὑπάτιος χαμαὶ, καὶ ὀβελίσκοι ἐμπαγῶσιν εἴς τε τὸ στόμα, τὸ στῆθος καὶ τὴν κοιλίαν, ἐνῷ μέγας λίθος, κυλισθεὶς ὑπὸ 90 ἀνδρῶν, καταπλακώ-

σας αὐτὸν, ἐθριμμάτισεν. Ἀλλὰ καὶ πάλιν καταβὰς ὁ Χριστὸς ἀνέστησε τὸν μάρτυρα, ὅστις ἐπὶ τέλους παραδίδεται τῷ δημίῳ πρὸς ἀποκεφάλισιν. Οὕτω δὲ λήγει ἡ ἁπλοϊκὴ αὕτη διήγησις, συνταχθεῖσα βεβαίως εἰς ἁπλῆν διακωμῴδησιν τοῦ μάρτυρος ἢ πρὸς δόξαν αὐτοῦ.

Ε'.

Τοιαῦτα διηγήματα, πλαστουργηθέντα ὑπὸ τῶν αἱρετικῶν, ἠδύνατο μὲν ἵνα ἑλκύωσιν εὐαρίθμους τινὰς τῶν ἁπλοϊκῶν, ἐνωρὶς ὅμως ὑπὸ τῆς Ἐκκλησίας ἀποκηρυχθέντα, οὐδέποτε κατώρθωσαν, ἵνα βεβηλώσωσι καὶ μιάνωσι τὴν ἄσπιλον μνήμην τῶν ἁγίων τῆς ὀρθοδόξου Ἐκκλησίας. Βεβαίως πρὸ τοῦ Μεταφραστοῦ ἔνια τούτων ἐκυκλοφόρουν παρὰ τῷ ὄχλῳ, ἀφοῦ ὅμως ὁ ἱερὸς ἀνὴρ ἀνήγαγε τὴν ἁγιολογίαν ἐν τῇ ἀληθεῖ χριστιανικῇ αὐτῆς περιωπῇ ἀπεῤῥίφθησαν ὡς ὀθνεῖα καὶ παρασεσημασμένα νομίσματα, ὧν τό τε κίβδηλον καὶ νόθον εὐχερῶς ἐδοκιμάζετο τῇ λυδίᾳ λίθῳ, ἣν ἡτοίμασεν ἥ τε φιλοπονία καὶ μεγαλοφυΐα τοῦ ὑπουργοῦ Λέοντος τοῦ Σοφοῦ.

Ὅτι δὲ ἡ Ἐκκλησία, ἡ τοσοῦτον ὑπόπτως ἀποδεχομένη τὰ ταιαῦτα αἱρετικὰ καὶ μυθώδη διηγήματα, ἐξ ἑτέρου προθύμως ἀνεγνώρισε καὶ ἐσεβάσθη τὴν ἱερότητα τῶν συγχρόνων καὶ ἀνοθεύτων ἁγιολογικῶν μνημείων, καὶ ἂν ταῦτα εἶχον συγγραφῇ ὑπὸ ἁπλοικῶν ἀνθρώπων, πρὸς τοῖς ἄλλοις πείθει καὶ ὁ νῦν ἐκδιδόμενος μακρὸς βίος τοῦ ὁσίου Θεοδώρου τοῦ Συκεώτου (1).

Τὸ μνημεῖον τοῦτο, τὸ τοσοῦτον σπουδαῖον ὑπὸ γεωγραφικὴν καὶ γλωσσικὴν ἔποψιν, συγγραφὲν ἅμα τῷ θανάτῳ τοῦ

(1) Ἐκ τοῦ βίου τούτου λείπουσιν ἐν δυσὶ μέρεσι δύο φύλλα (σελ. 386, καὶ 494) ὡς ἐκ τῆς ἐννοίας αὐτῆς ἐξάγεται καὶ τῆς εἰς κεφάλαια διαιρέσεως τοῦ βίου, παλαιοτέρας τῆς κανονικῶς βαινούσης ἀριθμήσεως.

βιογραφουμένου ἁγίου (613. μ. Χ.) ὑπὸ Γεωργίου ἡγουμένου καὶ μαθητοῦ αὐτοῦ, περιῆλθεν εἰς ἡμᾶς ἀπαράλλακτον ὡς ἐγράφη τότε, καθὼς πιστούμεθα ἐκ τῶν πρακτικῶν τῆς ἐν Νικαίᾳ Β'. οἰκουμενικῆς Συνόδου· ἀναγνωρίζουσα καὶ ἐπικαλουμένη τὸ κῦρος τοῦ ἁγιολογικοῦ τούτου μνημείου ἡ Σύνοδος παραθέτει περικοπάς, αἵτινες οὐδὲ κατὰ ἓν γράμμα διαφέρουσι πρὸς τὸ νῦν ἐκδιδόμενον κείμενον (1).

Συνιστῶντες τὴν μελέτην τοῦ βίου τούτου εἰς τοὺς περὶ τὴν ἱστορίαν τῆς ἑλληνικῆς γλώσσης ἀσχολουμένους, παρατηροῦμεν, ὅτι εὕρηνται ἐν αὐτῷ φράσεις, δηλοῦσαι ὅτι ἡ τότε γλῶσσα τῶν ἐν Ἀσίᾳ Ἑλλήνων ἔσωζε μὲν καί τινας ἰθαγενεῖς λέξεις (2), ἀλλ' οὐδὲν ἧττον συνεβάδιζε πρὸς τὴν κατὰ τὸν

(1) Ἰδοὺ τί ἀναγινώσκομεν ἐν τοῖς πρακτικοῖς τῆς Συνόδου «Ἐκ τοῦ βίου τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου ἀρχιμανδρίτου Σικεών, οὗ ἡ ἀρχή. Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ μεθ' ἕτερα· ὄντος δὲ αὐτοῦ ὡς ἐτῶν 12 ἐγένετο θανατικὸν ἐκ τοῦ βουβῶνος ἐν τῷ χωρίῳ ἐκείνῳ, ὥστε καὶ αὐτὸν ἀρρωστῆσαι παραπλήσιον θανάτου. Ἀπήγαγον δὲ αὐτὸν ἐν τῷ εὐκτηρίῳ οἴκῳ τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ, τῷ ὄντι πλησίον τοῦ χωρίου καὶ ἀνέκλιναν πρὸς τὰ εἴσοδα τοῦ θυσιαστηρίου. Ἐπάνωθεν δὲ αὐτοῦ ἐν τῷ σταυροδόχῳ ἵστατο εἰκὼν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὀδυνωμένου τοίνυν ἐκ τοῦ βουβῶνος, ἄφνω ἐκ τῆς εἰκόνος ἐπέταξαν αὐτῷ σταγόνες δρόσου, καὶ εὐθέως τῇ χάριτι τοῦ Θεοῦ κουφισθεὶς τοῦ πόνου, ὑγιὴς ἐγένετο καὶ ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ (παράβ. σελ. 367—8) Collectio Conciliorum, VIII. Venetiis 1729 σελ. 231.) παράβαλε καὶ τὴν ἐν τοῖς αὐτοῖς πρακτικοῖς τρίτην περικοπὴν τὴν ἀρχομένην· «Μιμεῖσθαι θέλων τὸν Δαυὶδ ἐν τῇ θεοπρεπεῖ ὑμνῳδίᾳ» πρὸς τὴν ἀρχὴν τῆς 13 παραγράφου τῆς παρούσης ἐκδόσεως σελ. 372.

(2) Ὡς ἡ ἐν σελίδι 422 φερομένη λέξις σαρπὸς ἡ σημαίνουσα τὴν ξυλίνην ἀποθήκην· ὅτι δὲ ἡ λέξις ἐστὶ Βιθυνική, πληροφορεῖ ἡμᾶς ὁ Ἡσύχιος γράφων «σάρπους, κιβωτούς. Βιθυνοὶ δέ, ξυλίνους οἰκίας» Μετὰ τὸν ἡμέτερον συγγραφέα μνημονεύει τῆς λέξεως Εὐστράτιος (πιθανῶς Βιθυνὸς) περὶ τοῦ ἐν Βιθυνίᾳ γενομένου θαύματος ὑπὸ τοῦ ἁγίου

σημερινὸν τύπον διαμορφουμένην κοινὴν, ὡς δηλοῦσι πλὴν τοῦ ὕφους καὶ τὰ ἠκρωτηριασμένα ὑποκοριστικὰ Πετρὶν (σελ. 384) λουρίκιν (387) παυλάκιν (64) καὶ ὁ τζητακισμὸς, ὡς Τζίδραμα (370) Τζοῦτζος (391) Δομνιτζίολος (486).

Ἐπειδὴ δ' ὁ βίος οὗτος φέρεται ἐν τῷ ἐπ' ὀνόματι τοῦ Μεταφραστοῦ κώδικι, καὶ ἐκ τούτου δηλοῦται, ὅ τι οὗτος οὐδεμίαν χεῖρα ἐπέβαλεν ἐπὶ τὰ ἁγιολογικὰ μνημεῖα τὰ ὑπὸ γνησίων τῆς Ἐκκλησίας συντεταγμένων τέκνων, ἀλλὰ μετὰ σεβασμοῦ διετήρησεν ἡμῖν ἐν τῇ αὐτοῦ συλλογῇ.

Ὁ ὑπὸ τοῦ Ἰγνατίου, ἐπισκόπου Σηλυμβρίας, συγγραφεὶς καὶ νῦν ἐκδιδόμενος βίος τοῦ ἁγίου Κωνσταντίνου τοῦ μεγάλου, ἐκτὸς τῆς ἄλλης ἱστορικῆς αὐτοῦ ἀξίας, συντελεῖ καὶ εἰς ἐπίλυσιν δύο σκοτεινῶν ζητημάτων τῆς ἑλληνικῆς ἱστοριογραφίας. Φώτιος ὁ πατριάρχης, ἔχων ὑπ' ὄψει δύο διαφόρους κώδικας, περιέχοντας συγγράμματα Γελασίου, τοῦ ἐπισκόπου Καισαρείας τῆς ἐν Παλαιστίνῃ, γράφει ἀορίστως πως, ὅτι ὁ Γελάσιος οὗτος συνέγραψε καὶ ἐκκλησιαστικὴν ἱστορίαν ἐν τρισὶ βιβλίοις (1). Νῦν ὅμως διὰ τοῦ Ἰγνατίου, ἔχομεν ῥητὴν καὶ ἀναντίῤῥητον μαρτυρίαν περὶ τῆς ὑπὸ Γελασίου πονηθείσης ἐκκλησιαστικῆς ἱστορίας, ὡς καὶ δύο αὐτῆς ἀποσπάσματα

Εὐτυχίου (Migne Patrologia Graeca τομ. 86, σελ. 2346). Σημειούσθω δὲ καὶ ἡ ἐν σελ. 470 λέξις δάτον, σημαίνουσα ὡς ἐκ τῶν κατωτέρω δηλοῦται ἐνέδραν· ὁ Σουΐδας, ἀγνοῶν τὴν σημασίαν ταύτην, σημειοῖ ἐν λέξει δατὸν τόδε: «μήποτε τοῦτό ἐστιν, ὃ καὶ νῦν συνήθως λέγεται τὶ δάτον, ἔχεις; οἱ δὲ ζάκανον.» Κατὰ πᾶσαν πιθανότητα ἡ λέξις δάτον ἐστὶν ἡ αὐτὴ ἡ ὑπὸ τοῦ Σουΐδα ἀνωτέρω σημειωθεῖσα «δατοῖς, δόλοις, πανουργεύμασιν.» Βλέπε Monumenta Historiae Hellenicae IV, LXIII—LXXII τοῦ κ. Σάθα, τοῦ πολλὰ περὶ τῶν διαφόρων ὀνομάτων τῆς ἐνέδρας παρὰ Βυζαντινοῖς σημειωσαμένου.

(1) Φωτίου Βιβλιοθ. κῶδιξ 88. παράβ. Fabricii Bibliotheca Graeca, IX, σελ. 290—292. ἐκδ. Ἁρλεσίου.

(σελ. 166 καὶ 171)· καὶ τὸ σπουδαιότερον μανθάνομεν ὅτι ὁ ἐκκλησιαστικὸς οὗτος χρονογράφος οὐδὲν κοινὸν ἔχει πρὸς τὸν ὁμώνυμον ἐπίσκοπον Καισαρείας τῆς ἐν Παλαιστίνῃ, διότι ἦν ἐπίσκοπος Καισαρείας τῆς ἐν Καππαδοκίᾳ.

Τὸ δεύτερον ἱστορικὸν ζήτημα ἀποβλέπει εἰς αὐτὸν τὸν γνωστὸν Λατῖνον ἱστορικὸν Εὐτρόπιον, τὸν συντάκτην τοῦ περιελθόντος ἡμῖν Breviarium Historiae Romanae. Ἐκ τοῦ Σουΐδα γινώσκομεν, ὅτι ὁ ἱστορικὸς Καπίτων ὁ Λύκιος μετέφρασεν εἰς τὴν ἑλληνικὴν τὸ τοῦ Εὐτροπίου σύνταγμα (1). Ἀντὶ ὅμως τῆς μεταφράσεως ταύτης περιῆλθεν ἡμῖν ἑτέρα, ἡ τοῦ Παιανίου, ἐκδοθεῖσα ἐν ἔτει 1590 ὑπὸ Συλβουργίου μετὰ τῶν συγγράφεων τῆς Historiae Augustae. Ἐν τούτοις διαῤῥήδην ὁ Ἰγνάτιος λέγει, ὅτι ὁ Εὐτρόπιος, κελεύσει τοῦ αὐτοκράτορος Οὐάλεντος, μετέβαλεν ἐκ τοῦ λατινικοῦ εἰς τὴν ἑλληνικὴν διάλεκτον τὴν ῥωμαϊκὴν ἱστορίαν. Ὅτι ὁ Εὐτρόπιος ἦν Ἕλλην καὶ οὐχὶ Ῥωμαῖος, εἴκασαν οἱ ἐκδόται αὐτοῦ Γάλλοι Vinet καὶ Baudemet (2)· ἡ δὲ μαρτυρία τοῦ ἱεράρχου Σηλυμβρίας, ἐπικυροῦσα τὴν εἰκασίαν ταύτην, ἄγει ἡμᾶς εἰς τὸ συμπέρασμα, ὅτι ὁ Εὐτρόπιος, πλὴν τοῦ Breviarium, συνέγραψεν ἐν τῇ ἑλληνικῇ καὶ ἑτέραν ἐκτενῆ ῥωμαϊκὴν ἱστορίαν, μὴ περιελθοῦσαν ἡμῖν.

Ἡ μικρὰ αὕτη ἀνάλυσις σκοπεῖ, ἵνα ὑποδείξῃ καὶ εἰς αὐτοὺς τοὺς μὴ ζηλωτὰς καὶ ψυχρῶς διακειμένους εἰς τὰ ἁγιολογικὰ μνημεῖα καὶ παραδόσεις τῆς ὀρθοδόξου ἡμῶν Ἐκκλησίας τὴν ὑπὸ τοσαύτας ἐπόψεις σπουδαιότητα τῶν ἠμελημένων τούτων μνημείων οὐχὶ μόνης τῆς ἐκκλησιαστικῆς, ἀλλὰ καὶ αὐτῆς τῆς πατρίου ἱστορίας καὶ φιλολογίας, ὡς προοιμιαζόμενοι εἴπομεν.

(1) Σουΐδας ἐν λέξει Καπίτων.

(2) Βλέπε Collection des auteurs Latins · par M. Nisard. Suetone..... Eutrope, Paris 1865, σελ. 817.

ΣΤ'.

Ἱκανὰ τῶν ἐν τῷ τόμῳ τούτῳ δημοσιευομένων ὑπομνημάτων ἐνδιαφέρουσιν εἰς αὐτὴν ἰδίως τὴν ἱστορίαν τῆς κυρίως λεγομένης Ἑλλάδος. Ἐκτὸς τοῦ βίου τῆς ὁσίας Θεοκτίστης, γνωρίζοντός ἡμῖν πολλὰ ἄγνωστα καὶ ποικίλα ἐπεισόδια τοῦ κατὰ τοὺς μέσους αἰῶνας βίου τοῦ ἡμετέρου ἔθνους, ὡς τὰς μέχρι Πάρου ἐκδρομὰς τῶν Εὐβοέων θηρευτῶν, τὴν ἐρήμωσιν τῆς νήσου ταύτης, τὸ εἶδος τῶν ἐν αὐτῇ διαιτωμένων τότε ἐλάφων, τὴν λαμπρὰν ἀρχιτεκτονικὴν τῶν ἐγκαταλελειμμένων παλαιῶν χριστιανικῶν ναῶν, τὰς μέχρι Λέσβου ἐπιδρομὰς τῶν ὑπὸ Νίσιριν Ἀράβων πειρατῶν, ἐκτὸς λέγω τοσούτων γεγονότων, ἅτινα ἐν εἰδυλλιακῇ, οὕτως εἰπεῖν, γλώσσῃ ὁ Μεταφραστὴς περιγράφει, οἱ τρεῖς βίοι τοῦ ἁγίου Δημητρίου διαχέουσιν ἄπλετον φῶς ἐπὶ μιᾶς τῶν σκοτεινοτέρων περιόδων τῆς ἑλληνικῆς ἱστορίας. Καὶ τὸ μὲν εἰς τὸν μεγαλομάρτυρα προσφώνημα τοῦ Θεσσαλονικέως Νικολάου τοῦ Καβάσιλα πληροφορορεῖ ἡμᾶς, ὅτι μέχρι τῆς ΙΔ'. ἑκατονταετηρίδος ἐπέζη ἔτι ἰσχυρὸν ἐν Μακεδονίᾳ τὸ αἴσθημα τοῦ ἑλληνικοῦ πατριωτισμοῦ, ἀφοῦ ἡ Θεσσαλονίκη παρίσταται ὡς ἡ ἑστία τῆς ἑλληνικῆς παιδείας καὶ ἡ κληρονόμος καὶ διάδοχος τῶν Ἀθηνῶν, ὁ δὲ μυροβλύτης καὶ μεγαλομάρτυς Δημήτριος ἐξεικονίζεται καὶ ὡς δοὺξ τῆς Ἑλλάδος, τιμῶν τὴν πατρίδα διὰ τῶν τροπαίων καὶ νομοθετῶν εἰς τοὺς βαρβάρους.

Ἔστι μὲν παράδοξος ὁ τοῦ Καβάσιλα ἰσχυρισμὸς ὅτι ὁ μάρτυς οὐδόλως ἀντετάχθη πρὸς τὴν καθαρὰν ἑλληνικὴν ἰδέαν, ἐξ ἐναντίας δ' ὅτι κηρύξας τὸν πόλεμον πρὸς τοὺς πατρῴους Θεοὺς, ἁπλῶς ἐζήτει τὴν κατάργησιν τῆς τυραννίδος θεῶν, οἵτινες τῆς φιλανθρώπου ἀποστολῆς αὐτῶν ἐπιλαθόμενοι, ἀπὸ εὐεργετῶν ἐγένοντο τύραννοι τῶν ἰδίων ὑπηκόων· ὅσῳ ὅμως καὶ ἂν ὑποτεθῇ ἀντιστρατευόμενος πρὸς τὰς τότε ἐπικρατούσας παρὰ τῇ

Ἐκκλησίᾳ αὐστηρὰς παραδόσεις, οὐδὲν ἧττον ἀποδείκνυσιν, ὅτι αὐτὴ ἡ παλαιὰ ἐκκλησιαστικὴ παράδοσις ἡ ὑπὸ τοῦ ἁγίου Βασιλείου, Κλήμεντος Ἀλεξανδρείας, καὶ τοῦ φιλοσόφου Συνεσίου ἀναπτυχθεῖσα, ὅτι δηλαδὴ οὔτε τὸ ἑλληνικὸν ὄνομα, οὔτε ἡ ἑλληνικὴ μάθησις προσέκρουον πρὸς τὸ πνεῦμα τοῦ χριστιανισμοῦ, ὑπεστηρίζετο ἔτι ὑπὸ τῶν ἐν Ἑλλάδι χριστιανῶν, ἐπιζητούντων τὸν συνδυασμὸν τοῦ ἑλληνικοῦ πατριωτισμοῦ πρὸς τὴν χριστιανικὴν πίστιν. Τὸ ἕτερον ἐγκώμιον τοῦ μεγαλομάρτυρος Δημητρίου, τὸ ὑπὸ τοῦ Πλωτίνου συντεταγμένον, πολύτιμόν ἐστι καθ' ἑαυτὸ ἱστορικὸν μνημεῖον. Τίς ὁ Πλωτῖνος οὗτος, ἄγνωστον ἄλλοθέν ποθεν· ἐξ αὐτοῦ ὅμως τοῦ λόγου πιθανολογεῖται, ὅτι ἤκμαζεν ἐπὶ τοῦ διαδεχθέντος τὸν αὐτοκράτορα Μαυρίκιον Φωκᾶ, καὶ ἐγένετο αὐτόπτης τῆς ὑπὸ τῶν Ἀβάρων περιωνύμου πολιορκίας τῆς Θεσσαλονίκης. Ὅταν τὸ ἐγκώμιον ἐξεφωνήθη, ἐκρατοῦντο ἔτι ἐν Παννονίᾳ οἱ ὑπὸ τῶν ἐπιδρομέων αἰχμαλωτισθέντες περίοικοι, ἀφοῦ ὁ ἀρχιεπίσκοπος περὶ τὸ τέλος δέεται τοῦ προστατεύσαντος τὴν πόλιν μάρτυρος, ἵνα καὶ τούτους λυτρώσῃ, ὡς ἔσωσε προκινδυνεύσας καὶ τὴν ἑαυτοῦ πατρίδα. Διεξερχόμενος τὴν θαυμασίαν τῆς πόλεως λύτρωσιν ὁ Πλωτῖνος, κακίζει καὶ τοὺς δυστρόπους ἐκείνους, οἵτινες τὰ πάντα εἰς τὸν ἑαυτῶν βραχίονα ἀποδίδοντες, ὤκνουν, ἵνα ὁμολογήσωσι καὶ τὴν τοῦ μάρτυρος συμμετοχὴν ἐν τῷ ἀγῶνι. Ἡ πρὸς τοῦτο μάλιστα διαφορὰ αὐτῶν παρεξετράπη μέχρις ἀπαιτήσεως διορισμοῦ ἀνακριτῶν, ὅπως ἐξακριβώσωσι τὸ πρᾶγμα, ἕως οὗ αὐτόμολοι τῶν Ἀβάρων ἐλθόντες, ἐπίστωσαν αὐτούς, ὁμολογήσαντες ὅτι ὀφθαλμοφανῶς εἶδον τὸν μεγαλομάρτυρα καταπολεμοῦντα αὐτούς. Ἐπὶ τῷ αὐτῷ δὲ τούτῳ σκανδάλῳ κακίζει τοὺς ὀλιγοπίστους Μακεδόνας καὶ ἕτερος σύγχρονος κληρικός, ὁ συγγράψας τὸ πρῶτον τμῆμα τῶν ἐκδεδομένων θαυμάτων τοῦ μεγαλομάρτυρος Δημητρίου. Τὸ τελευταῖον τοῦτο μνημεῖον, καθόλα σύμφωνον πρὸς τὴν τοῦ

Πλωτίνου διήγησιν, περὶ ἓν καὶ μόνον ὄνομα διαφέρει· ἔστι δὲ τοῦτο τὸ τοῦ προκατόχου τοῦ Πλωτίνου ἀρχιεπισκόπου, ὃν ὁ μὲν ἀνώνυμος ἁγιογράφος Εὐσέβιον καλεῖ, ὁ δὲ Πλωτῖνος Θεοδόσιον· καὶ πιθανὸν ὅτι τὸ ὄνομα Θεοδόσιος ἡμάρτηται παρά τινος τῶν ἀντιγραφέων, πιθανὸν δὲ ὡσαύτως, ὅτι δύο ἀνθ' ἑνὸς ἀρχιεπίσκοποι, ὅ τε Θεοδόσιος δηλονότι καὶ ὁ Εὐσέβιος, προηγήθησαν τοῦ Πλωτίνου.

Τὸ βέβαιον ὅμως ὅτι ἀμφότερα τὰ σύγχρονα ταῦτα μνημεῖα, ἐλλειπουσῶν ἑτέρων ἱστορικῶν εἰδήσεων περὶ τοῦ μέρους τούτου τῆς ἱστορίας, διαφωτίζουσιν αὐτὴν περὶ τῆς πρώτης καὶ περιωνύμου ταύτης εἰσβολῆς τῶν Ἀβάρων ἐν Ἑλλάδι· διότι τὸ δεύτερον τμῆμα τῶν θαυμάτων τούτων, ἐνῷ συγκεχυμένως γίνεται λόγος περὶ ἀλλεπαλλήλων πολιορκιῶν τῆς Θεσσαλονίκης ὑπὸ τῶν βαρβάρων, γραφὲν ἐν τῇ ΙΓ'. ἑκατονταετηρίδι, δηλαδὴ ἓξ ὅλας μετὰ τὸ ἱστορικὸν συμβὰν ἑκατονταετηρίδας, πραγματεύεται ἴσως περὶ ἄλλων μεταγενεστέρων πολιορκιῶν, ἀφοῦ ἕτερα μνημεῖα ῥητῶς ὁρίζουσι καὶ τὸν χρόνον τῶν βουλγαρικῶν, καὶ οὐχὶ ἀβαρικῶν, τούτων πολιορκιῶν. Ἀλλὰ περὶ τούτων θέλομεν διαλάβει, ὅταν σὺν Θεῷ δημοσιεύσωμεν τὴν σειρὰν τῶν θαυμάτων τούτων μετὰ καὶ ἄλλων πολλῶν ἀνεκδότων, διότι ὡς ἐξέδωκε ταῦτα ἠκρωτηριασμένα ὁ Κορνήλιος Βυαῖος, οὐδεμίαν ἔχουσιν ἱστορικὴν ἀξίαν· καὶ ἀποροῦμεν μάλιστα πῶς ἄνδρες σοφοί, οἷος ὁ Γερμανὸς Τάφελ (1) καὶ ἄλλοι, αὐτογνωμόνως ταξινομήσαντες τὰ ἔγγραφα ταῦτα, συνέλαβον καὶ ἐκύησαν τὸν μῦθον περὶ πολιορκιῶν ἀλληλοδιαδόχων τῆς Θεσσαλονίκης ὑπὸ τῶν Ἀβαρο-Σλάβων ἐπὶ δύο ὅλας ἑκατονταετηρίδας!

Ὑποσημειώσαντες ἐν ἑκάστῳ βίῳ τοὺς κώδικας, ἐξ ὧν ἀντεγράφησαν τὰ ἐκδιδόμενα ἁγιολογικὰ μνημεῖα, ἐθεωρήσαμεν

(1) Th. L. F. Tafel, de Thessalonica, Berolini 1819 σελ. LIV—CIV.

ἀναγκαῖον, ἵνα προθώμεθα καὶ ἐν πιστῷ λιθογραφήματι τὴν πανομοιότυπον γραφὴν τῶν ὑπὸ παλαιογραφικὴν ἔποψιν σπουδαιοτέρων χειρογράφων, καὶ πρὸ πάντων τὴν εἰκόνα τῆς ὁσίας Θεοκτίστης, διδούσης ἡμῖν πιστῶς τοὺς χαρακτῆρας αὐτῆς, καί τι ᾀσμάτιον εἰς τὸν ὅσιον Θεόδωρον τὸν Συκεώτην, τετονισμένον διὰ παλαιῶν μουσικῶν χαρακτήρων, καὶ διάφορον τοῦ ἐν τοῖς ἱεροῖς βίβλοις φερομένου. Τὸ ᾀσμάτιον τοῦτο, γεγραμμένον ἐν τῇ ᾤᾳ τοῦ κώδικος ἐν ᾗ ἐξεικονίζεται θέσει, φαίνεται ἡμῖν πολὺ παλαιόν, καὶ ὡς τοιοῦτον συνιστῶμεν εἰς τὴν μελέτην τῶν μοχθούντων εἰς τὴν ἐξακρίβωσιν τῶν σκοτεινῶν ἀρχῶν τῆς ἐκκλησιαστικῆς μουσικῆς.

Τελευτῶντες ἐκφράζομεν τὴν διάπυρον εὐγνωμοσύνην ἡμῶν πρὸς τοὺς εὐαρίθμους συνδρομητάς, ὧν τὰ ὀνόματα ἀναγινώσκονται ἐν τέλει τοῦ βιβλίου, καὶ συνάμα τὴν ἀπορίαν ἐπὶ τῇ ἐπιδειχθείσῃ ψυχρότητι καὶ ἀδιαφορίᾳ ἀπὸ μέρους ἰδίᾳ ἐκείνων, οἵτινες καὶ συμφέρον καὶ καθῆκον εἶχον, ἵνα διὰ πάσης θυσίας συντελέσωσιν εἰς τὴν ἀνέγερσιν τοιούτου θεαρέστου μνημείου. Εὐέλπιδες ὅμως, ὅτι διὰ τῆς ἀναγνώσεως τοῦ παρόντος τόμου ἐκτιμηθήσεται προσηκόντως ὅ τε ἡμέτερος σκοπὸς καὶ τὰ ἐκ τῆς πραγματοποιήσεως αὐτοῦ ἀναντίῤῥητα ὠφέλη τῆς τε ἐκκλησιαστικῆς καὶ πολιτικῆς ἱστορίας, ἡμεῖς μὲν πλήρεις θάρρους καὶ αὐταπαρνήσεως ἀποδυόμεθα πρὸς τὸν καλὸν τοῦτον ἀγῶνα, εἰς τοὺς ἡμετέρους δὲ ἀπόκειται, ἵνα τὸ καθ' ἑαυτοὺς συντελέσωσιν εἰς παγίωσιν καὶ πρόοδον ἔργου ὅσον θεοφιλοῦς τοσοῦτον καὶ ἐθνωφελοῦς.

ΘΕΟΦΙΛΟΣ ΙΩΑΝΝΟΥ Ἱεροδιάκονος

ΕΜΠΕΡΙΕΧΟΜΕΝΑ

1) Βίος τῆς ὁσίας μητρὸς ἡμῶν Θεοκτίστης τῆς Λεσβίας τῆς ἀσκησάσης καὶ κοιμηθείσης ἐν νήσῳ τῇ καλουμένῃ Πάρῳ, συγγραφεὶς ὑπὸ Νικήτα τοῦ πανευκλεεστάτου μαγίστρου. σ. 1.

2) Βίος καὶ πολιτεία τῆς ὁσίας καὶ ἀειμνήστου Θεοκτίστης τῆς Λεσβίας (ὑπὸ Μεταφραστοῦ). σ. 18.

3) Πλωτίνου ἀρχιεπισκόπου Θεσσαλονίκης ἐγκώμιον εἰς τὸν πανένδοξον τοῦ Χριστοῦ μάρτυρα Δημήτριον. σ. 40.

4) Γρηγορίου διακόνου καὶ ῥεφερενδαρίου ἐγκώμιον εἰς τὸν ἅγιον μεγαλομάρτυρα Δημήτριον. σ. 54.

5) Νικολάου Καβάσιλα προσφώνημα εἰς τὸν ἔνδοξον τοῦ Χριστοῦ μεγαλομάρτυρα Δημήτριον τὸν μυροβλύτην. σ. 67.

6) Θεοφάνους πρεσβυτέρου καὶ ἡγουμένου λόγος εἰς ἐξορίαν τοῦ ἐν ἁγίοις Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως καὶ εἰς τὴν μετακομιδὴν τοῦ τιμίου λειψάνου αὐτοῦ. σ. 115.

7) Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων ἐξήγησις τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ Δεκαπολίτου καὶ θαυματουργοῦ. σ. 129.

8) Βίος καὶ πολιτεία τῶν ἁγίων θεοστέπτων μεγάλων βασιλέων καὶ ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης. σ. 164.

9) Βίος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Παύλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ. σ. 230.

10) Βίος καὶ μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος καὶ θαυματουργοῦ Νεοφύτου. σ. 239.

11) Βίος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ὑπατίου ἀρχιεπισκόπου Γαγγρῶν. σ. 251.

12) Βίος καὶ θαύματα τῆς ὁσίας μητρὸς ἡμῶν Δομνίκης. σ. 265.

13) Μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μαρτύρων Μηνᾶ Βίκτωρος καὶ Βικεντίου. σ. 284.

14) Ἐγκώμιον εἰς τὸν ἅγιον Μεγαλομάρτυρα Μηνᾶν. σ. 324.

15) Μετάφρασις τῆς ἀθλήσεως, ἤτοι ὁμολογίας τοῦ ἁγίου μάρτυρος Ὀρέστου, μαρτυρήσαντος ἐν Τυάνοις τῆς Καππαδοκῶν ἐπαρχίας. σ. 328.

16) Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος τοῦ Χριστοῦ Μάμαντος. σ. 338.

17) Μαρτύριον τοῦ ἁγίου μάρτυρος Βαρλαάμ. σ. 351.

18) Μαρτύριον τοῦ ἁγίου Πορφυρίου, τοῦ ἐν Καισαρείᾳ τῆς Καππαδοκῶν μαρτυρήσαντος. σ. 357.

19) Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου Ἀρχιμανδρίτου Συκεών, συγγραφεὶς παρὰ Γεωργίου μαθητοῦ αὐτοῦ πρεσβυτέρου καὶ ἡγουμένου τῆς αὐτῆς μονῆς. σ. 361.

ΒΙΟΣ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΘΕΟΚΤΙΣΤΗΣ ΤΗΣ ΛΕΣΒΙΑΣ ΤΗΣ ΑΣΚΗΣΑΣΗΣ ΚΑΙ ΚΟΙΜΗΘΕΙΣΗΣ ΕΝ ΝΗΣΩι ΤΗι ΚΑΛΟΥΜΕΝΗι ΠΑΡΩι.

ΣΥΓΓΡΑΦΕΙΣ ΥΠΟ ΝΙΚΗΤΑ ΤΟΥ ΠΑΝΕΥΚΛΕΕΣΤΑΤΟΥ ΜΑΓΙΣΤΡΟΥ (*).

1. Ἐπαινεῖν μὲν τὰ χρηστὰ καὶ πρὸς ἀρετὴν καὶ εὐσέβειαν
ἄγοντα, μακάριον καὶ ἀνδρῶν ἐστιν ἀγαθῶν καὶ ὄντως ἀξίων
ἐπαίνου· διανίστησι γὰρ τοὺς ἀκροατὰς τὰ ἐγκώμια καὶ ζη-
λοῦν μᾶλλον ποιεῖ τοὺς ἐπαίνους ὁ λόγος, ἢ τοὺς ἐν τοῖς ἀ-
γῶσι καθημένους ὁ τῶν ἀθλητῶν ζῆλος· καὶ γὰρ αἱ ψυχαὶ
τοῖς σπουδαίοις λόγοις εἰώθασιν αὔξεσθαι καὶ ῥυθμίζεσθαι, ὥσ-
περ τὰ σώματα τοῖς συμμέτροις γυμνάσμασι. Διὸ τοὺς μὲν,
παρασκευάζει] πρὸς ἀνδρίαν ἀναθορεῖν (1) ὁ λόγος, καὶ οἷα γε- 116.
νομένους ἐνθέους (2), μετὰ χεῖρας ἔχειν τὰς πανοπλίας καὶ τοὺς
ἀντιπάλους ζητεῖν, τοὺς δὲ, δικαιοσύνην ἀσπάζεσθαι, καὶ τὴν
τοῦ ἴσου διανομὴν ἐπαινεῖν, καὶ ὅλους τοῦ πράγματος γίνε-
σθαι, κατατρέχοντας τῶν ἀδίκων· ἑτέρους σωφροσύνην ἀγαπᾶν,
καὶ κρατεῖν ἡδονῶν, καὶ τὸ ἐπιθυμητικὸν φιλονεικοῦντας κα-
ταστορέσαι. Ἔστι δ' οὓς πρὸς φιλοσοφίαν ὁ ζῆλος (3) ᾄττειν

(*) Κῶδιξ Μαρκ. CCCXLIX. φ. 116. αἰῶν. XII. Zan.

Ἀντιβαλόντες τὸν βίον τοῦτον πρὸς τὸν ἐν Κώδικι 361, φύλλ. 76· τοῦ δεκάτου τετάρτου αἰῶνος, τῆς αὐτῆς βιβλιοθήκης, ὑποσημειοῦμεν τὰς εὑρεθείσας διαφορὰς, χρώμενοι τοῖς γράμμασι ΕΚ. πρὸς δήλωσιν τοῦ Ἕτερος Κῶδιξ.

(1) ΕΚ. ἀναθαρρεῖν. (2) ΕΚ. ἔνθους. (3) ὁ ζῆλος λείπει ἐκ τοῦ. ΕΚ.

ποιεῖ καὶ τὴν πρακτικὴν μάλιστα μετιέναι, ἢ ῥυθμίζει τὰ ἤθη, καὶ παιδεύει κατ' εἰκόνα βαίνειν θεοῦ, καὶ ὁμοιοῦσθαι αὐτῷ, καθόσον ἐφικτὸν ἀνθρωπίνῃ καθέστηκε φύσει, καταφρονεῖν τῶν ῥεόντων, τοῦ σώματος ἀφειδοῦν (1), γῆς ἀπανίστασθαι καὶ πρὸς οὐρανὸν ἀνατρέχειν, ἔνθα τὸ πολίτευμα ἡμῶν καὶ ἡ κεφαλὴ τοῦ παντὸς σώματός ἐστιν, ὁ Χριστός. Εὐσεβεῖν γὰρ κυριώτατα καὶ πρώτως ἐστὶ τὸ θεραπεύειν Θεὸν ὀρθῶς καὶ ἀμέμπτως βιοῦντας, τοῖς δόγμασι τῶν μακαρίων ἀποστόλων καὶ τῶν πατέρων ἑπομένους ἐπ' ἐλπίδι τῆς ἀϊδίου ζωῆς καὶ βασιλείας.

2. Οὕτω τοίνυν αἱ τῶν ἀγαθῶν εὐφημίαι καὶ τὰ ἐγκώμια τῶν γενναίων διανιστῶσι (2) τοὺς ἀκροατὰς πρὸς ζῆλον τῶν ἐπαινουμένων, ὥσπερ αὖ τοὐναντίον τὰ φαῦλα διαφθείρουσι τὰς ἀκοάς, καθάπερ λύμη τις μετιοῦσα τὰ σώματα· φθείρουσι γάρ, φησίν, (3) ἤθη χρηστὰ ὁμιλίαι κακαί (α). Ταύτῃ τοι παρῆλθον καὐτὸς, τὴν ἀπὸ τοῦ παρόντος ὠφέλειαν κομίζων ἡμῖν διηγήματος, ὃ πολλοῖς ὀνήσει τοῖς ἀγαθοῖς καὶ ἄξιον ἔσται μνήμης καὶ τῆς ἀπὸ τῶν λόγων γραφῆς· ὅ τε γὰρ Θεὸς δοξασθήσεται, ὁ δοξάζων τοὺς δοξάζοντας αὐτὸν, (β) καθὼς τὰ ἱερά που γράφουσι λόγια, οἵ τε ἀκροαταὶ μακαρίσουσι τὸν ἐργάτην τοῦ πράγματος καὶ ζηλοῦν ἐθελήσουσι. Μακάρισον γάρ τις τῶν μεγάλων, τὸν μακαρισμοῦ, φησίν, ἄξιον, ἵνα γίνῃ (4) κατ' αὐτὸν τῇ προθέσει, καὶ χωρὶς ἀγώνων καὶ σκαμμάτων μακάριος. Οὐ μὴν, ἀλλὰ καὶ οὓς ἐπαινοῦμεν ζηλοῦν πάντως σπου-
117. δάζομεν· | ὃ γάρ τις ἐπαινεῖ, δῆλον ὡς καὶ ποθεῖ, ὥσπερ τοὐναντίον, ὃ μισεῖ καὶ διασύρει.

3. Ἐπεὶ οὖν ταῦθ' οὕτω, καὶ ὁ λόγος ἀπέδειξεν πολλὴν τὴν ὠφέλειαν ἐν τοῖς ἀγαθοῖς διηγήμασιν, ἀξιῶ τὴν ὑμῶν ἀ-

(1) ΕΚ. ἀφειδεῖν. (2) ΕΚ. διανίστησι. (3) Φησὶν λείπει ΕΚ.
(α) Παῦλ. Κορ. Α, ΙΕ'. 33. (β) Βασ. Β'. 30. (4) ΕΚ. γένῃ.

γάπην πρὸς τὴν παροῦσαν τὰς ἀκοὰς ὑπόθεσιν ἀποκλίναντας καὶ βιωτικῶν μελεδώνων ἐκεχειρίαν ποιησαμένους ὑποδέξασθαι καθαρῶς τὸ τοῦ διηγήματος μέγεθος. Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως ἐπιλελησμένος ἑαυτοῦ, καὶ λόγῳ καὶ βίῳ μακρὰν ἀφεστὼς τῶν λεγομένων, καὶ ἄλλοις εἰδὼς προσήκειν τὰ (1) τοιαῦτα συγγράφειν, οἳ τοῖς εὐφημουμένοις ἐφαμίλλους καὶ τοὺς ἀγῶνας ἔχουσι καὶ τοὺς βίους, πρὸς τὴν τοιαύτην προήχθην γραφήν. Πλὴν ἐπεὶ καὶ τῆς ὑπακοῆς ἔστι μισθὸς, καὶ σωτήριον τὸ πρᾶγμα καὶ μακαρίζεται, εἰκότως τῆς ἐνοχῆς τοῦ θράσους ἀπολυθήσομαι, πληρῶν ἐντολὴν ἀνδρὸς, παιδόθεν ἀφιερωμένου (2) Θεῷ, καὶ τὴν ἔρημον οἰκεῖν ἑλομένου κατὰ τὸν μέγαν Ἠλιοῦ καὶ Ἰωάννην, τὸν ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας. Ἀρκτέον τοιγαροῦν τῆς ὑποθέσεως ἄνωθεν· καιρὸς γὰρ ἤδη ταύτην ὑμῖν ἀνειπεῖν (3), ἱκανῶς ὑμῶν παρασκευασαμένων τὰς ἀκοάς.

4. Γενομένῳ μοί ποτε κατὰ τὴν Πάρον· ἐγεγόνειν δὲ, καὶ γὰρ ἐπὶ Κρήτην ἔπλεον ὑπὸ τοῦ μακαρίτου [Λέοντος] (4) καὶ θεοσεβοῦς βασιλέως στελλόμενος, τοῦ εὐτυχοῦς ὄντως καὶ τὴν εὐτυχίαν Ῥωμαίων τῷ τάφῳ συνθάψαντος. Ἐστελλόμην δὲ, τοῦτο μὲν, συστρατευόμενος Ἡμερίῳ τῷ πάνυ τῷ στρατηγικωτάτῳ καὶ ἄρχοντι τοῦ τε δρόμου καὶ τοῦ στόλου παντὸς, ἀληθέστερον δὲ εἰπεῖν, καὶ αὐτῶν τῶν παθῶν· καὶ ἵνα μὴ τὸ πολλῶν ἐγκωμίων ἄξιον τῆς στρατηγίας ἐκείνου πάρεργον ποιησάμενος, μικρὰ τούτου μνησθεὶς, ἀτιμάσω τὸν ἄνδρα, τὰ κρείττω λόγου σιωπῶν αὐτοῦ κατορθώματα, ἐπὶ τὴν παροῦσαν τέως ὑπόθεσιν εἶμι, μνησθησόμενος εὐκαίρως ἐκείνου. Ἐστελλόμην
τοιγαροῦν, τοῦτο μὲν, ἐκείνῳ συστρατευόμενος | καὶ προβιβαζό- 117.
μενος εἰς τὸ πρακτικὸν τῆς στρατηγίας, οἷα πῶλος μητρὶ πρὸς

(1) λείπει ἐκ τοῦ ΕΚ. (2) ΕΚ. τῷ. (3) ΕΚ. ἐξειπεῖν.
(4) Τὸ Λέοντος προτίθεται ἐκ τοῦ ΕΚ.

τὰ γενναιότατα τῶν στρατηγημάτων συσκαίρων· (οὕτω γὰρ ἦν ὁ τοῦ μακαρίτου μου βασιλέως σκοπός)· τοῦτο δὲ, πρεσβευσόμενος πρὸς τοὺς τὴν Κρήτην ἔχοντας Ἄραβας.

5. Ἐπεὶ δὲ κατὰ τὴν Ἴον ἐγεγόνειν τὴν νῆσον, καὶ τοῦ πρόσω φορά τις εἶρξεν ἐναντίων ἀνέμων ἡμᾶς, προσεπλεύσαμεν τῇ Πάρῳ, τῆς τε νήσου τὴν θέσιν ἐν παρέργῳ καθιστορήσοντες, καὶ τὸν αὐτόθι τῆς δεσποίνης ἡμῶν ὀψόμενοι τῆς Θεοτόκου νεών. Ὡς δὲ κατὰ τὸν λιμένα τὸν πρὸς τὴν Ναξίαν ἀφορῶντα κατήχθημεν· (ὁ δ' ἔστι πως ἠρέμα καὶ κατὰ μικρὸν βαθυνόμενος καὶ ἀναχωρῶν ἐκ τοῦ κλύδωνος εὐφυῶς, ὥσπερ ἐπὶ τοῦτο κατεσκευασμένος, καὶ τῇ κοιλότητι τοῦ ὄρους κλειόμενος, ὡς ἂν καὶ χειμάζοιεν εὐμαρῶς καὶ θερίζοι τὰ πλοῖα), ἐκβεβήκαμεν, καὶ μικρὸν προβάντες, πρὸς τὸν ναὸν ἀνεδράμομεν. Θυμιάσαντες οὖν καὶ τὰς συνήθεις εὐχὰς ποιησάμενοι, περιήειμεν τοῦτον ἀγάμενοι. Ὁ δὲ ἦν ἄρα τις ἀξιοθέατος καὶ λείψανα σώζων ἔστι τῆς παλαιᾶς ὡραιότητος· σύμμετρός τε γὰρ ἐδέδμητο (1) πάντοθεν καὶ κίοσι συχνοῖς τῆς ἐκ βασιλικοῦ ἠρήρειστο λίθου, πριστῷ τε λίθῳ πάντα τοῖχον ἠμφίεστο παραπλησίως τοῖς κίοσιν. Εἰς τοσοῦτον δὲ τὸν λίθον λεπτύνας ἐξύφανεν ὁ τεχνίτης, ὡς δοκεῖν ἐξ ὑφασμάτων τὸν τοῖχον ἐνδεδύσθαι βυσσίνων· τὸ δὲ μαρμαῖρον τοῦ λίθου τοσαύτην ἐνέφαινε τὴν ὑγρότητα καὶ μαρμαρυγὴν, ὡς καὶ μαργάρων στιλβηδόνων νικᾶν· τοσοῦτον τὸ περιὸν ὑπῆρχε τοῦ λίθου, μᾶλλον δ' ἡ σπουδὴ τοῦ τεχνίτου, ὃς καὶ τὸ κάλλος ἐφιλονείκησε τῇ φύσει προσνεῖμαι.

6. Ὡς δὲ καὶ τῆς σεβαστῆς καὶ θείας τραπέζης τὸ ὑπερκείμενον ὀρόφιον εἴσω τῆς πύλης ἑωράκαμεν, κατεπλάγημεν τῆς τερπνότητος· οὐδὲ γὰρ ἐῴκει λίθου φύσιν ἔχειν τὸ τόρευ-
118. μα, οὐδὲ σιδήρῳ καὶ τέχνῃ λελαξεῦσθαι | καὶ χείρεσιν· ἀλλ'

(1) ΕΚ. τε γ. ἐδεδόμητο.

οἷά τινι γάλακτι ὀπῷ φυραθέντι, καὶ πρὸς τὸ σχῆμα τοῦ στέγους μεμηχανημένου (1) τοῦ χεύματος, τοιούτῳ ποτ' ἐγὼ λίθῳ τεθέαμαι διφρηλατοῦσαν ἐπὶ ταύροις Σελήνην. Τὸ μὲν οὖν ἔκειτο τεθραυσμένον, ἡμεῖς δὲ συνεθέομεν καὶ παριστάμεθα καταρώμενοι καὶ παντοίως τὸν συντρίψαντα λοιδορούμενοι, καὶ γὰρ ἦν τι χρῆμα καὶ ἄξιον οἴκῳ Θεοῦ κειμήλιον καὶ ἀνάθημα.

7. Παρισταμένων τοίνυν ἡμῶν καὶ θαυμαζόντων καὶ καταβοώντων τοῦ κατεάξαντος, ὁρῶμεν ἐξαπίνης μοναχὸν ὑπερκύψαντα τῆς ἐρήμου καὶ τοῦ ἄλσους προβαίνοντα καὶ ὡς ἡμᾶς ἀφικόμενον, ὠχρὸν τὸ πρόσωπον, σεσηρυίας (2) τὰς παρειὰς, γυμνὸν τὼ πόδε, αὐχμηρὸν ὅλον· χιτῶνα τρίχινον, ἐπωμίδα, καὶ τὸ κεφαλῆς κάλυμμα τῷ χιτῶνι παρόμοια, τὴν ζώνην δερματίνην περὶ τὴν ὀσφὺν, ὡς θῆρα δασὺν, ὡς ἄγγελον εὐμενῆ. Οὐ γὰρ ἐῴκει ἀνδρί γε σιτοφάγῳ, ἀλλ' ἀσάρκῳ μικροῦ καὶ ἀναίμονι, καὶ συνελόντι (3) φάναι, ἀρετῶν ἢ καὶ αὐτοῦ Θεοῦ καταγώγιον.

8. Προσελθὼν οὖν ἠσπάζετο ἡμᾶς, καὶ ἡμεῖς αὖθις ἐκεῖνον, καὶ ὅστις εἴη λέγειν, καὶ πατρίδα, καὶ γένος, καὶ εἰ μόνος ἐνταῦθα ζῴη, προὐτρέπομεν. Ὁ δὲ, πατρίδα μὲν καὶ γένος (εἶπεν), καὶ τἆλλα, οἷς οἱ κατοικοῦντες τὰς πόλεις ἄνθρωποι συμνύνονται, λέγειν οὐκ ἔχω, φησίν· οὐδὲ γὰρ ἐμοὶ τῶν ἐν γῇ μέλει τινος, οὐδὲ τοῖς ῥέουσιν ἥδομαι, πατὴρ δέ μοι καὶ Δεσπότης ὁ Θεὸς, ᾧ μόνῳ ζῶ καὶ πολιτεύομαι, δι' ὃν καὶ μόνος ἀλώμενος κατὰ τὴν ἔρημον ταύτην χρόνους τῶν τριάκοντα πλέον ἐγκαρτερῶ· ὄνομα δέ μοι Συμεὼν, τὸ δ' ἀξίωμα ὁ ταπεινὸς μοναχὸς, ἱερεὺς καὶ λειτουργὸς καὶ μυσταγωγὸς τῆς ζωοθύτου καὶ ἀναιμάκτου θυσίας. Ἡμεῖς δὲ, τὴν ἀρετὴν αἰ-

(1) ΕΚ. τέγους μεμηχανευμένου τοῦ σχήματος.

(2) Ὁ ἡμετέρος Κῶδιξ φέρει σεσηρυίας, τοῦ ι ἐκπεσόντος, ἐνῷ ὁ ΕΚ. φέρει τὴν πλήρη καὶ ὀρθὴν γραφήν. (3) ΕΚ. συνελόντα.

δεσθέντες τοῦ ἀνδρὸς ἀπό τε τῶν λόγων, ἀπό τε τῆς θέας καὶ ἐνδύματος, ἔτι δὲ καὶ τῆς ἀσκήσεως, καὶ μάλισθ' ὅτι τοῦ Θεοῦ
118. ἱερεὺς ἐχρηματίζεν, τοῖς ποσὶ προσπεσόντες, ᾐτοῦμεν εὐχὴν | καὶ συγγνώμην τῆς διαγνώσεως. Ὁ δὲ, καὶ ηὔξατο καὶ παρακλήσεως προὔτεινε λόγους, καὶ προτέχειν ἐκέλευσεν ἑαυτοῖς καὶ μὴ ἀθυμεῖν. « Συμπαθὴς τε γάρ ἐστι, φησὶν, ὁ Θεὸς καὶ μακρόθυμος, καὶ τοὺς πρὸς αὐτὸν ἐπιστρέφοντας ἀγκάλαις, ὡς τὸν ἄσωτον, δέχεται».

9. Ταῦτα (1) καὶ ἀλλ' ἄττα παρακαλέσας, ἡσύχασεν. Ἐγὼ δὲ, περιεργότερος ὢν καὶ συνιέναι δεινὸς ἦθος ἀνδρὸς, παρεκάλουν τὸν μέγαν καὶ διδάξαι τι τῶν ἡμῖν ἀποῤῥήτων ἐξελιπάρουν· οὐ γὰρ ἀμοιρεῖν ὁμιλίας ἐῴκει (2) μοι θεϊκῆς. Ὁ δὲ, « τούτων μὲν, ἔλεγεν, ἅλις· οὔπω γὰρ τοιούτων ἠξίωμαι.. Τἀμαυτοῦ γὰρ ἐξῆλθον ἐνταῦθα πενθεῖν, οὐ τὰ ὑπὲρ ἐμὲ ζητεῖν ». Ταῦτα δ' ἔλεγεν, εἴτε πλαττόμενος, εἴτ' ἀληθεύων, λέγειν οὐκ ἔχω. Λαβόμενος οὖν μου τῆς δεξιᾶς καὶ καταψήξας (3), ὥσπερ συνήθης ἤδη· καὶ γὰρ αὐτὸν οὕτω διέθηκε τὸ ἁπλοῦν. Αἱ γὰρ ψυχαὶ τῶν μεγάλων ἀνδρῶν, ἐπειδὰν ἐν μετοχῇ τοῦ κρείττονος ὦσι, πρὸς αὐτὸ φιλονεικοῦσι μεταγίνεσθαι, καὶ τῇ αὐτοῦ τοῦ πρώτου ἀγαθοῦ μετουσίᾳ ἀγαθοὶ πάντῃ γίνονται, ἀκέραιοι, ἁπλοῖ, πάντων ἐξῃρημένοι τῶν ἐφ' ἡμῖν, ὥσπερ (4) οὗτος ὁ μέγας, χαρίεις τε ὢν καὶ ἀγαθός, ἐδόκει λοιπὸν τῷ ἀπλάστῳ, εἷς ὢν ἐξ ἡμῶν. Εἶτα ἐπ' αὐτοσχεδίου καθίζειν (5) ἐκέλευσεν· ἦσαν δέπου καὶ λίθοι καὶ κίονες τοῦ συμπτώματος καὶ πόα συχνὴ καὶ χλοάζουσα καὶ πηγὴ νάματος, ἡδὺ ποτὸν ἀποβλύζουσα, (6) καὶ ὁ χῶρος ὅλος ἡσυχίας ἀνάπλεως, καὶ διηγημάτων θείων ἐπάξιος.

10. Καθίσας οὖν ἐπὶ τῆς πόας, καὶ αὐτόν με παρακαθισά-

(1) ΕΚ. τε. (2) ΕΚ. ἐδόκει (3) ΕΚ. καταψήσας.
(4) ΕΚ. καὶ. (5) ΕΚ. καθέζειν. (6) ΕΚ. ἀναβλ'.

μενος, ἐῴκει γεγηθέναι, ὅτι περ ἡμῖν περιέτυχεν. Ἀτενίσας δ' εἰς αὐτὸν, ὥρα σοι ἔφην, ὦ πάτερ, εἴ τι καλὸν καὶ ἱστορίᾳ πρέπον δεῦρο τεθέασαι διηγήσασθαι· πλὴν ἀλλ' ἄρχε λόγων καὶ τέως κατάλεξον, τίς ὁ συντρίψας τῆς Θείας Τραπέζης τὸ κάλυμμα, καὶ ποία τις ἡ θηριώδης ἐκείνη ψυχὴ, τοσοῦτον ἔργον ἡ (1) συνθλάσαι τολμήσασα· καὶ γὰρ κατὰ βραχὺ διενοούμην αὐτὸν ἐπαγαγέσθαι πρὸς τελεώτερα. | Ὁ δ' ἔλεγεν 119.
τοῖα (2) « τὸν Νίσιριν ἐκεῖνον ἀκούεις, τὸν τοῦ ναυτικοῦ τῆς Κρήτης κατάρξαντα; Οὗτος ἐκεῖνος αὖθι (3) γενόμενος, καὶ θαυμάσας αὐτοῦ τὸ τερπνὸν, μεμελέτηκε πρὸς τὴν Κρήτην διαπορθμεῦσαι. Ὡς δὲ τὰς πύλας ἐμέτρησεν, εἶτα τὸ ἱερὸν τοῦτο καὶ θεῖον ὀρόφιον ἔδοξέ τε καλῶς ἔχειν, καθῆκεν εἰς γῆν, καὶ πρὸς τὰς πύλας εἷλκεν ἐξάγων· τὸ δ' εὐθὺς ἐγίνετο μεῖζον, καὶ αὐτὸς τὸν τοῖχον διώρυττεν, εἶτα μετρήσας ἐξάγειν ἐσπούδαζε· τὸ δ' αὖθις ἐγίνετο μεῖζον, καὶ ἤδη μειζότερον (4), καὶ τοῦτο πολλάκις, ἕως ὁ Ἄραψ ἐνέδωκεν. Ὡς δ' ἀπετύγχανε καμὼν τοῦ σκοποῦ (οὐ γὰρ ἠξίου τὸ θεῖον, ὡς ἔοικε, κοινωθῆναι καὶ μιαραῖς δουλεύειν θυσίαις· καὶ γὰρ ἔσπευδεν ὡς λέγεται, τῇ συναγωγῇ τοῦτο τῶν τῆς Ἄγαρ ἀνάθημα (5) καταθέσθαι), ἐκμανεὶς, διενοήθη συνθλᾶν ».

11. Ταῦτ' οὖν ἀκούσας, ἐλοιδορούμην τὸν μιαιφόνον ἐκεῖνον καὶ τρισκατάρατον. Ὁ δὲ, φησὶν, « ἀμέλησον. Ἔδωκε γοῦν τῆς παροινίας οὐ μετὰ πολὺ δίκην, πρὸς τῷ τῆς Εὐβοίης συντριβεὶς ἄκρῳ, ὃ (6) Ξυλοφάγος καλεῖται, καὶ γέγονεν ὑποβρύχιος ». Ἐδυσώπησα τοιγαροῦν τὸν θεῖον ἐκεῖνον μετασχεῖν τροφῆς καὶ τὴν ὑμῶν ὀλιγωρίαν ψυχαγωγῆσαι τοῦ πλοῦ καὶ τῆς πρόσω φορᾶς ἕνεκα· καὶ γὰρ χρονοτριβεῖν ἐδοκοῦμεν, ἀν-

(1) Λείπει ἐκ τοῦ ΕΚ. (2) ΕΚ. ὁ δ' ἤρξατο λέγειν.
(3) ΕΚ. ἐνταῦθα. (4) ΕΚ. μᾶλλον μεῖζον.
(5) ΕΚ. ἀναθημάτων. (6) Προσετέθη ἡ ἀντωνυμία ἐκ τοῦ ΕΚ.

τιπνεόντων ἡμῖν ἀποτροπαίων τῶν ἀνέμων. Ὁ δέ, καὶ μετέλαβε, καὶ μηδὲν ἀποκρύπτων ἀνεῖπεν, ὡς διαπλεύσεις (1) μὲν εἰς Ναξίαν, κἀκεῖσε μίαν ναυλοχησάμενος ἡμέραν, καὶ τὴν δευτέραν πλεύσας, τριταῖος εἰς τὴν Κρήτην πορεύσῃ, μηδεμίαν ὑφορώμενος κάκωσιν· διαθήσῃ τε τὰ τῆς κατὰ σαυτὸν ὑποθέσεως, ὡς ἂν ἐθελήσῃς, καὶ καθὼς ἔχει τὰ τῆς βασιλικῆς διατάξεως, αὖθίς τε παλινοστήσας, ἀποδεχθήσῃ καλῶς παρὰ τοῦ πέμψαντος. Ταῦτα μὲν οὖν ὕστερον, ὡς ἐκεῖνος ἔφη, γέγονε καὶ πέρας ἀπείληφεν.

12. Εὐξάμενοι οὖν καὶ ὑμνήσαντες ἐν τῷ ναῷ, κατέβημεν εἰς τὰς ναῦς (2)· ἕωθεν δὲ διεπορθμεύθημεν εἰς Ναξίαν, δέ-
119. κα | σχεδὸν σταδίους ἔχοντος τοῦ πορθμοῦ· καὶ αὐτός, τῷ Θεῷ λειτουργήσας, καὶ τῶν θείων ἡμῖν μεταδοὺς Μυστηρίων, μετέλαβε τροφῆς σὺν ἡμῖν, εἶτα λέγειν ἤρξατο πρός με. « Σὺ μὲν ἴσως προφασίσῃ, περὶ ὧν παρακαλεῖν ἐθέλω σου τὴν ἀγάπην, ἀπορίαν λόγων (3), ἢ δουλειῶν ἀφορμάς, ἢ γυναικὸς καὶ τέκνων καὶ οἴκου φροντίδας, ἤ τινας ἄλλας αἰτίας, διακρουόμενος ἡμῶν τὴν παράκλησιν· ἐγὼ δέ σοι καὶ εὐημερίαν καὶ εὐετηρίαν καὶ εὐπορίαν πάντων (4) ἐπαγγέλλομαι, καὶ πολλὴν ἐκεχειρίαν εὑρεῖν. Καὶ δυσωπῶ, τηνικαῦτα τῶν ἐμῶν λόγων ἐν μνήμῃ γενόμενον, (5) τὸ τῇδε γεγονὸς συγγράψαι, μνήμης καὶ διηγήματος ἄξιον, ἵν' ὁ Θεὸς ἡμῶν παρὰ τῶν ἀκουόντων θαυμάζηται καὶ δοξάζηται. Θαυμαστὸς γάρ, φησίν, ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ (6). Οὐ μήν, ἀλλὰ καὶ ζηλωταὶ πολλοὶ τῶν δι' ἀρετὴν δοξασθέντων γινόμενοι, τῶν ἴσων τυγχάνωσιν καὶ αὐτὸς κερδανῇς τὸν ἐκ τούτων μισθόν ».

13. Ταῦτα παραινέσας, ἀπήρξατο. « Κυνηγοί τινες ἐξ Εὐ-

(1) ΕΚ. διαπλεύσῃς. (2) ΕΚ. προστ. ἅμα τῷ μεγάλῳ γέροντι.
(3) ΕΚ. λέγων. (4) ΕΚ. πᾶσαν.
(5) ΕΚ. τῶν ἐμῶν ἐν μν. γεν. λόγων. (6) Ψαλ. ΞΖ'. 35.

βοίης δεῦρο πρὸ χρόνων ἦλθον ὀλίγων· (ἔχει γὰρ ἡ νῆσος ἐλάφων καὶ ἀγρίων αἰγῶν θήραν πολλήν). Τούτων εἷς θεοσεβὴς καὶ προσέχων ἑαυτῷ μάλιστα, διήγημα διηγήσατο τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας οὐχ ἥκιστα σύνηθες (1), ὃς κατὰ καιροὺς θαυμαστὰ ποιεῖ καὶ παράδοξα. Ἦλθον, φησίν, αὖθις θηρεύσων ποτέ, καὶ πρὸς τὸν θεῖον τῆς Θεοτόκου σηκὸν ἀνελθών, προσεκύνησά τε καὶ προσηυξάμην, ὡς ἔθος ἀεί μοι προσῆν. Περιβλεψάμενος δὲ μετὰ τὴν εὐχήν, εἶδον εἰς τοὔδαφος ὕδωρ ἐν βόθρῳ βραχὺ καὶ μικρὰ βρεχόμενα θέρμια· (καὶ γὰρ ὁ τόπος τρέφει ταῦτα, καθὼς αἱ λοιπαὶ νῆσοι βοτάνας ἀλλοίας· ἡ μὲν γὰρ μαράθου πολυχύτους ὅρπηκας εἰς πλῆθος βλαστάνει (2), πήγανον δὲ μονομερῶς ἄλλη, καὶ θρύμβον ἑτέρα ἢ θύμον, ἢ τῶν ἄλλων τινός· ὃ δὲ φέρει πάντων ἐξαίρετον ἡ νῆσος, τοῦτο τῶν ἄλλων μᾶλλον τρέφει καὶ ποιεῖ εὐθαλέστατον)· ἑωράκειν οὖν, ὡς ἔφην, τὰ θέρμια ἁπαλυνόμενα (3), καί με λογισμός τις ὑπῄει, ὡς πάντως | εἴη τις ὁ ταῦ- 120.
τα καθεὶς (4) εἰς τὸν λάκκον, καὶ θεῖος εἰκός ἐστιν ἄνθρωπος ὁ ταύτην τὴν ἔρημον κατοικῶν.

14. Ταῦτ' οὖν λογιζόμενος, ἔσπευδον τὴν ἑταιρίαν φθάσαι, πρὸς τὴν ὕλην ἤδη χωρήσασαν, τυχεῖν δ' ηὐχόμην τοῦ μεγάλου τούτου θηράματος· ἤλπιζον γὰρ κερδάναι τι μέγιστον παρ' αὐτοῦ. Θηρεύσαντες οὖν θήραν πολλήν, ἐχωροῦμεν ἐπὶ τὴν ναῦν· ἀλλ' ἐκεῖνοι μὲν ἐβάδιζον πρὸς τὴν θάλασσαν, ἐγὼ δὲ ἐτρεπόμην πρὸς τὴν εὐχήν. Εἰσελθὼν οὖν εἰς τὸ τῆς Δεσποίνης ἡμῶν τοῦτο τέμενος, προσηυχόμην. Ὁρῶ δὲ κατὰ τὸ δεξιὸν τῆς ἁγίας τοῦ ναοῦ τραπέζης, οἷά τινα κρόκην ὑπ' ἀνέμου ῥιπιζομένην, αὖθίς τ' ἔδοξα βλέπειν ἀράχνης ἱστόν. Ὡς δὲ προβὰς διαγνῶναι τὸ φαινόμενον ἠβουλήθην, ἤκουσα φωνῆς

ἄξιον.

(1) ΕΚ. ἐπὶ τοῦ σύνηθες (2) ΕΚ. ἀναβλαστάνει.

(3) ΕΚ. πλατυνόμενα. (4) ΕΚ. καθεικώς.

λεγούσης· στῆθι, μὴ προβῇς, ἄνθρωπε, πλέον, μηδὲ πλησιάσῃς· αἰσχύνομαι γάρ, οὖσα γυνή, γυμνὴ θεαθῆναί σοι.

15. Ταῦτ' οὖν ἀκούσας, καὶ τῷ παραλόγῳ (1) καταπλαγείς, ἠβουλόμην φυγεῖν· ἀνεπήδησαν γάρ μου τῆς σαρκὸς αἱ τρίχες, καὶ γέγοναν [sic] (2) ἀκάνθης ὀξύτεραι. Τὸ γὰρ ἀπροσδόκητον ἐξαπίνης φανέν, δηλοῖ (3) τὰ φρονήματα, κἂν θρασύς τις εἶναι δόξῃ, καταπλαγεὶς ἕστηκε κεχηνώς. Εἰς ἑαυτὸν οὖν γενόμενος, καὶ θαῤῥήσας, ἠρώτων· ὅστις εἴη, καὶ πῶς ταύτην κατοικεῖ τὴν ἔρημον. Καὶ πάλιν ἐξικνεῖτο φωνή, ῥίψον μοι χιτῶνα δέομαι, λέγουσα· καὶ καλυψαμένη, ὅσον μοι τὸ θεῖον βούλημα κελεύει, λέγειν οὐκ ἀποκνήσω. Περιελόμενος οὖν εὐθὺς τὸν ἐπενδύτην ἀφῆκα καὶ τῆς πύλης ἐξέδραμον· ἡ δὲ λαβοῦσα, περιεβάλετο. Μετὰ μικρὸν δ' ὑποστρέψας, ὁρῶ ταύτην ἔνθα καὶ πρὶν ἱσταμένην. Καὶ ἦν ἄρα τὸ μὲν σχῆμα γυνή, τὸ δὲ φαινόμενον ὑπεράνθρωπον· θρὶξ λευκή, πρόσωπον μέλαν, μικρὰν ὑποφαῖνον λευκότητα, δερματὶς συνέχουσα τὴν ὀστῶν (4) ἁρμονίαν, ἥκιστα σαρκὸς ἐμπεφυκυίας, σκιᾷ παραπλήσιος, εἶδος μόνον, τὴν ἀνθρωπίνην σῶζον ἐμφέρειαν.

16. Ταῦτ' οὖν ἰδών, φησίν, ἐδεδοίκειν, ἔτρεμον, ἐλοιδορούμην ἑαυτόν, τῆς ἀκαιρίας | ἐμεμφόμην, ὅτι μου τῆς ἑταιρίας
120. περιττὸς ὢν ἀπελείφθην· σύντρομος ὅμως πρηνὴς πεσών, ἐδεόμην εὐχῆς, εὐλογηθῆναί τε παρ' αὐτῆς ἐλιπάρουν. Ἡ δέ, πρῶτον μὲν ἐπιστραφεῖσα πρὸς ἀνατολάς, τάχα βουλομένη (5) θεραπεῦσαί μου τὸν νοῦν τοῦ μὴ δοκεῖν εἶναι φάντασμα, τὰς χεῖρας πετάσασα, προσηύχετο, μικρὸν ὑποψιθυρίζουσα· στραφεῖσα δὲ πρός μέ φησιν, ὁ Θεός, ἄνθρωπε, ἐλεήσαι σε·

(1) ΕΚ. παραδόξῳ. (2) ΕΚ. γεγόνασι. (3) ΕΚ. δουλοῖ.
(4) ΕΚ. μελῶν. (5) Βουλομένη λείπει ἐκ τοῦ ΕΚ.

πλὴν τίνος χάριν πρὸς τὴν ἔρημον ταύτην ἀφῖξαι; καὶ τίνος δεόμενος πρὸς ἄοικον ἐλήλυθας νῆσον; ἀλλ᾽ ἐπεί σε δεῦρο τὸ θεῖον ἤγαγε βούλημα (δοκῶ μοι τῆς ἐμῆς ἕνεκα ταπεινώσεως), πάντα τὰ κατ᾽ ἐμαυτὴν, ὡς ἠρώτησας (1), ἀναδιδάξω. Ἐμοῦ δὲ καὶ πάλιν εἰς γῆν ἑαυτὸν καταῤῥίψαντος καὶ λέγειν παρακαλοῦντος (2), τοίων δέ που λόγων ἀπήρχετο (3).

17. «Ἐμοί, φησίν, Λέσβος πατρίς, Μίθυμνα πόλις, ὄνομα Θεοκτίστη, τὸ πολίτευμα Μοναχή. Ἔτι νηπία δ᾽ ὀρφανισθεῖσα, παρὰ τῶν συγγενῶν ἐδόθην εἰς παρθενῶνα καὶ τὸ μοναχικὸν ἠμφίεσμαι σχῆμα. Γεγονυῖα δὲ χρόνων ἐγγὺς ὀκτωκαίδεκα, κατὰ τὰς πασχαλίους ἡμέρας εἰς τὴν πλησίον τῆς πόλεως ἐξέδραμον κώμην, ἀσπασομένη τὴν ἀδελφήν· (ἦν γάρ μοι κατοικοῦσα πρὸς τῇ κώμῃ μετὰ συμβίου). Νυκτὶ δὲ ἐπιδραμόντες Ἄραβες Κρῆτες, ὧν ἀρχηγὸς ὑπῆρχεν ὁ Νίσιρις ἐκεῖνος, ᾐχμαλώτισαν ἅπαντας. Ἕωθεν οὖν παιανισάμενοι, ἀπέπλευσαν καὶ τῇ νήσῳ ταύτῃ προσώρμισαν· προσαγαγόντες δὲ τοὺς αἰχμαλώτους, ἠργυρολόγουν καὶ τὰ τιμήματα διετίθεντο· ἐγὼ δὲ σκηψαμένη (4) πρόφασιν καὶ πρὸς τὴν ὕλην χωρήσασα, δρόμῳ πρὸς τὸ πρόσω καὶ τὸ ἐνδότερον ἐχώρουν τῆς νήσου. Καὶ λοιπὸν οὐκ ἐνέδωκα φεύγουσα, ἕως ταῖς πέτραις καὶ τοῖς ὀξέσι τῶν ξύλων περιπείρασα τοὺς πόδας κατέκοψα, τοῖς τε αἵμασι τὴν γῆν κατεμίανα καὶ τέλος ἐξατονήσασα, κατέπεσον ἡμιθνής (5). Καὶ τὴν μὲν πᾶσαν νύκτα τὰς ὀδύνας τῶν τραυμάτων οὐ φέρουσα, πικρῶς διετέλουν.

18. «Ἕωθεν δέ, | τοὺς ἀλιτηρίους ἀποπλέοντας ἰδοῦσα, πά- 121.
σης ἀπηλλάγην ὀδύνης, θυμηδίας τε ὅσης ἐνεπιμπλάμην οὐκ ἔ-

(1) ΕΚ. ἠθέλησας. (2) κ. λ. π. λείπει ἐκ τοῦ ΕΚ.

(3) ΕΚ. προστ.: τίνων σειρήνων; ποίων ἠρινῶν ἀηδόνων οὐκ ἀποκρυπτόντων τὴν ἡδονήν; (4) ΕΚ. σκεψαμένη. (5) ΕΚ. ἡμιθανής.

στιν εἰπεῖν· καὶ νῦν ἤδη πέντε καὶ τριάκοντα χρόνους καὶ μικρόν τι πρὸς, ἐνταῦθα τοῖς θερμίοις καὶ ταῖς ἐκ τῆς ἐρήμου τρεφομένη βοτάναις, μᾶλλον δὲ τῷ τοῦ Θεοῦ λόγῳ διατελῶ, μεμνημένη τῶν θείων λογίων· ὡς οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι, ἐκπορευομένῳ διὰ στόματος Θεοῦ (*). Ἐγυμνώθην δὲ, τῶν ῥακίων μοι διεῤῥωγότων, οἷς συνηχμαλώτισμαι, ἐνδύομαι δὲ καὶ σκέπομαι θείᾳ χειρὶ, τῇ συνεχούσῃ τὰ σύμπαντα ». Ταῦτ' οὖν εἰποῦσα καὶ πρὸς οὐρανὸν ἀνατείνασα τοὺς ὀφθαλμοὺς, ηὐχαρίστησε· διασχοῦσα δὲ μικρὸν, ἐπεί με πρὸς γῆν ἑωράκει σὺν ἡσυχίᾳ πολλῇ νεύοντα, καὶ μηδὲ πρὸς αὐτὴν ἀτενίσαι τολμῶντα, λέγει πάλιν ἀρξαμένη· « τὰ μὲν κατ' ἐμαυτὴν (1), ἄνθρωπε, διηγησάμην, αἰτῶ δέ σε μίαν ἀποτῖσαί μοι χάριν διὰ τὸν Κύριον. Ἡνίκα τοιγαροῦν μέλλεις εἰς νέωτα πρὸς τὴν νῆσον ταύτην ἕνεκα θήρας ἐκπλεῖν, (οἶδα γὰρ ὡς ἥξεις πάντως, εὐδοκοῦντος Θεοῦ), ἐν σκεύει λαβεῖν μοι καθαρῷ μίαν τῶν ἀχράντων δωρεῶν, τοῦ σώματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ γὰρ ἐξ οὗ (2) τὴν ἔρημον ταύτην κατῴκησα, τῆς τοιαύτης οὐκ ἠξίωμαι δωρεᾶς ».

19. Ταῦτ' οὖν εἰρηκυῖα καὶ μηδενὶ τὸ παράπαν περὶ τούτων εἰπεῖν ἐντειλαμένη, σὺν εὐχῇ με πρὸς τοὺς ἑταίρους ἀπέστειλεν. Ἐγὼ δὲ πάντα πληρώσειν συνθέμενος, χαίρων ἐξῄειν, ὅτι μου τὴν ἔφεσιν ὁ Θεὸς ἐξεπλήρωσεν, (3) ὅτι με τοιούτου τυχεῖν ἠξίωσε θησαυροῦ. Κατὰ γοῦν τὸ πρόσταγμα τῆς ὁσίας, ἡνίκα πάλιν μετὰ τῶν ἑταίρων ἔμελλον ἐξιέναι πρὸς θήραν ἐλάφων καὶ ἀγρίων αἰγῶν, οὓς ἡ τοιαύτη νῆσος πολλοὺς καὶ μεγίστους τῶν ἄλλων μᾶλλον τρέφει, θαῦμα καὶ ἰδέσθαι (4) καὶ διηγήσασθαι· τοῖς μὲν γὰρ ἐλάφοις τὴν χροιάν εἰσι παραπλήσιοι, μείζους δ' ἐλάφων τὸ μέγεθος, τὸ δὲ κέρας, δολιχὸν ὅσον ἑκκαιδεκά-

(*) Ματθ. Δ'. 4. (1) ΕΚ. ἐμαυτοῦ, ὦ ἄνθρωπε.
(2) ΕΚ. ἐξ ὅτου. (3) ΕΚ. προστ. καί. (4) Χ. Ἡμ. Κ. εἰδέσθαι.

δωρον, οὐχ ὡς τῶν ἐλάφων ὄζοις καὶ παραφυάσι κοσμούμενον,
ἀλλ'| ἰθυτενὲς ὅλον καὶ μίαν τὴν κεραίαν προτεινόμενον. Ὡς 121.
οὖν ἔμελλον, ὡς εἴρηται, πρὸς θήραν ἐκπλεῖν, λαβόμενος μερίδα τῆς θείας τοῦ Κυρίου σαρκὸς ἐν πυξίῳ, πρὸς τὴν μακαρίαν ἐκόμιζον· ἐλθὼν δ' ἐν τῇ νήσῳ, καὶ πρὸς τὸν οἶκον τῆς Θεομήτορος ἐκκλίνας, ταύτης διήμαρτον, εἴτε παρούσης καὶ λανθανούσης, ἐπεὶ δήπουθε συνανῆλθόν μοι τῶν ἑταίρων (1) τινές, εἴτ' ἀπούσης λέγειν οὐκ ἔχω, πλὴν ὅτι διήμαρτον.

20. Οἱ μὲν οὖν ἄλλοι πρὸς τὴν ὕλην θηρεύσοντες ὥρμησαν, ἐγὼ δὲ διαλαθών, πρὸς τὸν ναὸν ὑπενόστουν· καὶ δὴ παρευθύς, τὸ ἱερὸν ἀνέφανε γύναιον, τὸ χιτώνιον περιβεβλημένον, ὅπερ πρότερον εἰλήφει παρ' ἐμοῦ. Εἰς γῆν δέ μου ῥίψαντος ἑαυτόν, ἔδραμε καὶ σὺν δάκρυσι πόῤῥωθεν ἔλεγε· μηδαμῶς, ἄνθρωπε, μὴ τοῦτο ποίει, τὸ θεῖον δῶρον ἐπιφερόμενος· μὴ φλέξῃς με τὴν ἀθλίαν ἀτιμάζων τὰ θεῖα. Λαβομένη γοῦν μου τοῦ χιτῶνος, ἀνέστησεν· ἐγὼ δ' ἐξήγαγον τοῦ κόλπου μου τὸ πυξίον σὺν τῇ δεσποτικῇ σαρκί. Πεσοῦσα δ' εἰς γῆν ἐκείνη, τὸ θεῖον ἀπέλαβε καὶ θρήνοις καὶ δάκρυσι τὴν γῆν καταβρέχουσα, ἔλεγε· « Νῦν ἀπολύεις τὴν δούλην σου, Δέσποτα, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου (2)· ὅτι μου τὴν ἄφεσιν τῶν ἁμαρτημάτων ἐν ταῖς χερσὶν ἔλαβον· νῦν ὅπου κελεύει σου τὸ κράτος οἰχήσομαι ».

21. Ταῦτ' οὖν εἰποῦσα καὶ τὰς χεῖρας πρὸς οὐρανὸν ἐπὶ πολὺ διατείνασα, μετ' εὐχῆς με πρὸς τοὺς ἑταίρους ἀπέστειλεν. Ὀλίγας δὲ θηρεύσαντες ἡμέρας, καὶ δαψιλῆ θήραν ἀγρεύσαντες, ὑπεστρέφομεν· κἀκεῖνοι μὲν ὥρμησαν πρὸς τὸ πλοιάριον, ἐγὼ δ' ἔτρεχον, τῆς μακαρίας τὴν εὐχὴν συνοδοιπόρον λαβεῖν. Γενόμενος δὲ κατὰ τὸν ναόν, εἶτα περιβλεπόμενος θεάσασθαι ταύτην, ὁρῶ κατὰ τὸν τόπον, ἔνθα καὶ πρὶν ἑωράκειν αὐτὴν μεταλλά-

(1) ΕΚ. ἐπειδήπουθεν σ. καὶ τῶν ἑτέρων. (2) Λουκ. Β'. 29.

ξασαν. Πεσὼν οὖν καὶ ἀσπασάμενος τοὺς τιμίους αὐτῆς πόδας,
καὶ δάκρυσι καταβρέξας, ἐνεὸς εἱστήκειν ἐπὶ πολὺ διαπορούμε-
122. νος ὅ, τι καὶ διαπράξομαι. Σῶφρον | μὲν οὖν ἦν καὶ συμφέρον
ἄρα, (1) δάκρυσιν ἱκετεύσαντα τὸν Θεὸν, καὶ δυσωπήσαντα τὴν
Ὁσίαν, αἰτῆσαι τὴν οἰκονομίαν τοῦ πράγματος, καὶ καθὼς ἔ-
δοξεν (2), ὑπουργῆσαι τῷ θείῳ προστάγματι· εἰ δὲ τούτου διή-
μαρτον, δεύτερον ἐχρῆν τὸ δὴ λεγόμενον μετιέναι πλοῦν, τοῖς
ἑταίροις τὸ δρᾶμα κοινώσασθαι, τάφῳ καταθεῖναι σὺν αὐτοῖς τῆς
μακαρίας τὸ λείψανον, ὑμνήσαντες ὅση δύναμις· ἀλλ', ὡς ἔοικε,
δυσθήρατον χρῆμα τὸ σωφρονεῖν. Ὅθεν καὐτὸς τοῦ καλοῦ διη-
μάρτηκα καὶ τοῦ πρέποντος· ἀγροικίᾳ δὲ καὶ φρενῶν ἐλαφρίᾳ (3)
(τί γὰρ ἂν κυνηγὸς καὶ ἰδιώτης διενοήθην καινότερον), τολ-
μηρόν τι πεποίηκα, πίστει μὲν ὡς ἐδόκουν, πλὴν, ὡς ἔοικεν,
οὐκ ἀρέσκον Θεῷ. Τὴν γὰρ ταύτης ἀποτεμόμενος χεῖρα καὶ
λινῷ περιειλήσας ὑφάσματι, κατῆλθον εἰς τὴν ναῦν.

22. Βαθείας γοῦν ἑσπέρας ἀναχθέντες ἀπὸ τῆς γῆς, καὶ τὴν ὀθόνην πετάσαντες, ἐφερόμεθα· αἰσίων τε καὶ ἀνέμων πνεόντων ἐξ οὐρίας, ὥσπερ ἱπτάμενοι, προσεδοκῶμεν πρωῒθεν ἥξειν εἰς Εὔβοιαν. Ὡς δὲ διέφαυσεν (4) ἡμέρα, πάλιν εὑρέθημεν εἰς τὸν αὐτὸν ἑστῶτες λιμένα, καθάπερ ὑπ' ἀγκύρας, ἤ τινος ἰχθύος ναυκράτου τῆς νηὸς ἐχομένης. Φόβος οὖν ἔλαβεν ἅπαντας καὶ δέος, καὶ ἀλλήλους περισκοποῦντες σύντρομοι, τὴν αἰτίαν ἐζητοῦμεν τοῦ πράγματος, διερευνώμενοι καὶ ἀνακρίνοντες, μήπου τι τῶν ἀνηκέστων ἡμῖν πεπραγμάτευται, δι' ὅπερ εἰργόμεθα.. Ὡς δὲ ἄλλος ἄλλο, διαπορούμενος, ἔλεγε, συνεὶς ἐγὼ τὸ τολμηθὲν, λαθὼν ἅπαντας, ἀνῆλθον εἰς τὸν ναὸν, καὶ θέμενος τὴν χεῖρα πρὸς τῷ τῆς ἁγίας σώματι, κατῆλθον εἰς τὸ πλοιάριον· διακελευσάμενος δὲ τοῖς σὺν ἐμοὶ, τῆς πορείας ἠρχόμην.

(1) ΕΚ. καὶ. (2) ΕΚ. ἔδειξεν. (3) ΕΚ. κουφότητι.
(4) ΕΚ. ἔφθασεν.

23. Ὡς δὲ ἐξήλθομεν ἐπὶ πολὺ, πτηνή τις ἦν ἡ σκάφη λοιπὸν, τῆς ὀθόνης πληρουμένης τοῦ πνεύματος, καὶ ἀκώλυτος ἡ ὁδὸς καὶ εὐθεῖα, καὶ τότ' ἐγὼ διεξήειν τοῖς ἑταίροις τὸ δρᾶμα, καὶ ὡς εὗρον τὴν μακαρίαν, καὶ ὡς τὰ κατ' αὐτὴν ἀνήγγειλεν (1), καὶ τὸ τῆς θείας | δωρεᾶς, καὶ τὴν αὐτῆς κοίμησιν· καὶ ὅτι 122.
τὴν χεῖρα ταύτης ἔχων, εἰσήειν ἑσπέρας καὶ δι' αὐτὴν ἐκρατούμεθα τάχα, κἂν ἠλπίζομεν πλεῖν· καὶ νῦν ὅτι περ εἰκότως εὐθυποροῦμεν, ἐπείπερ ἀπεθέμην τὸ λείψανον. Ταῦτ' οὖν ἀκούσαντες ἐκεῖνοι, καὶ πολλὰ καταμεμψάμενοι, πρύμναν τε εὐθέως ἐκρούσαντο, καὶ σπουδῇ πολλῇ πρὸς τὴν Πάρον ἀνέστρεφον, καὶ πάντες ὁμοῦ δρόμῳ πρὸς τὸν ναὸν ἐχωροῦμεν· διοῤῥωδοῦντες μὲν καὶ τρέμοντες, πίστει δὲ θαῤῥοῦντες, ὅμως πρόσειμεν· καὶ τὸν μὲν τόπον εὕρομεν ἤδη τῆς θέσεως, ὥσπερ τὸν τύπον τοῦ σώματος διασώζοντα, γέγονε δ' ὁ νεκρὸς ἀφανής. Θάμβος οὖν ἔλαβεν ἅπαντας καὶ τρόμος καὶ τῇδε κἀκεῖσε διεθέομεν, περισκοποῦντες, περιβλεπόμενοι, μήπου μετέπεσεν, ἢ ἀνεβίω, καὶ πᾶσαν τὴν ὕλην καὶ τὰ ἄλση περιεθέομεν ἐξιχνεύοντες, εἴπου τὸ θεῖον ἐκεῖνο κειμήλιον κρύπτεται. Δείλαιοι καὶ ἀνόητοι, καὶ παχύδερμοι ἄνθρωποι, καὶ ὄντως ἀκίχητα διώκοντες (*), τῶν θείων ὄντες θαυμάτων ἀμύητοι· μηδὲ τῷ τοῦ Ἐλισσαίου δυσωπούμενοι θαύματι, ὃς τοὺς ἐκ τοῦ (2) τῶν Σύρων βασιλέως συλλβεῖν τοῦτον ἐκπεμφθέντας, μέσον αὐτῶν ἐλάνθανεν ὢν, ἀορασίᾳ τε περιβαλὼν τούτους, εἰς Σαμαρείαν ἦγε, καὶ τῷ βασιλεῖ παρεδίδου (**). Ἐῶ γὰρ λέγειν τὸ τοῦ μεγάλου θαυματουργοῦ, ὃς τοὺς ἀνιχνεύοντας αὐτὸν πρὸς τὸ συλλαβεῖν, ἐν τῷ ὄρει προσευχόμενος, ἐλάνθανε δενδρωθείς. Διαμαρτήσαντες οὖν κἀν τούτῳ τοῦ τιμίου τῆς μακαρίας λειψάνου, φησὶ, κατήλθομεν

(1) ΕΚ. ἀνήγγειλα. (*) Ἰλ. Ρ. 75. (2) λείπει ἐκ τοῦ ΕΚ.
(**) Βασ. Δ'. Κεφ. 6. § 18.

εἰς τὴν ναῦν, καὶ ἀναχθέντες ἀπὸ τῆς γῆς, ἀπῄειμεν οἴκαδε, δοξάζοντες καὶ ὑμνοῦντες (1) Θεὸν, τὸν ἑκάστοτε ποιοῦντα παράδοξα καὶ ἐξαίσια ».

24. Ταῦτα, ὡς ἀνωτέρω μοι λέλεκται, διηγησάμενος ὁ μακάριος ἐκεῖνος καὶ μέγιστος ἄνθρωπος, ὅρκῳ προσησφαλίσατο, (2) μήποτε λήθης βυθῷ παραπέμψαι τὴν παροῦσαν ὑπόθεσιν, μηδὲ, προφάσεις προφασισάμενον, σιγῆσαι τὸ θαῦμα, τήν τε θείαν Νέ-
123. μεσιν καὶ τῆς Ὁσίας τὴν ἀγανάκτησιν | ὑφορώμενον. Πυνθανομένῳ δέ μοι τὸν χρόνον καὶ τὴν ἡμέραν τῆς αὐτῆς τελευτῆς, ἵνα καὶ συγγραφῇ πάντως τῷ θαύματι καὶ τελῆται τὸ ταύτης μνημόσυνον, ὁ ἱερὸς ἐκεῖνος ἔλεγεν ἄνθρωπος. « Πολλὰ μὲν, ὡς ὁρᾷς, ἀγαπητὲ, τοῦ διηγήματος παραλέλειπται· καὶ γὰρ ἐχρῆν καὶ τὸ γένος καὶ τὴν ἐν τῇ νήσῳ πᾶσαν αὐτῆς διεξελθεῖν ἄσκησίν τε καὶ κάκωσιν, καὶ ὅπως πρὸς τὰς τῶν ἀντικειμένων ἐχθρῶν διηγώνισται πυκτεύουσα (3) προσβολάς. Ἀλλὰ τί πάθω, τοῦ προστυχόντος τῇ μεγάλῃ, μὴ κατὰ τὸν μέγαν ὄντως Ζωσιμᾶν, ὃς ἠπίστατο βίους καὶ ἀγῶνας ἀνιχνεύων (4) καὶ κατορθώματα; τοὐναντίον μὲν οὖν ὀρεσίτροφος καὶ παχὺς, τῶν τοιούτων ἀνήκοος ». Πλὴν ἓν τοῦτο διὰ μνήμης εἶχεν, ὡς ἔλεγεν, ὅτ' εἴη φθινοπώρου καιρὸς καὶ πρὸς τὸν Νοέμβριον. Πλὴν ἀγαπητὸν τὸ καὶ γραφῇ τὸν βίον τῆς Μακαρίας παραδοθῆναι, καὶ μὴ λήθης καταχωσθῆναι βυθῷ· τὴν δὲ μνήμην, σπουδαῖοι πάντως ἄνδρες καὶ ζηλωταὶ ταύτης, εὐκαίρως ἐν ἡμέρᾳ, καθὼς ἀρέσκει, τάξωσιν ἑορτῆς. Τίνα γὰρ εὔκλειαν προσθήσει καὶ δόξαν ἐγκώμια καὶ πανηγύρεις, οἷς τῶν οὐρανῶν ἡ βασιλεία, καὶ τὰ ἀΐδια κεκλήρωται ἀγαθὰ, εἰς ἃ ποθοῦσι καὶ τῶν ἀγγέλων τὰ τάγματα παρακύψαι; πλὴν, εἰ μὴ ζῆλον ἄρα τοῖς συνιοῦσι, καὶ δόξαν θεῷ καὶ μακαρισμὸν αὐτῶν τῶν μνημονευομένων·

(1) ΕΚ. προστ. τὸν Θ. (2) ΕΚ. προησφ.
(3) πυκτεύουσα λείπει ἐκ τοῦ ΕΚ. (4) ΕΚ. ἀνιχνεύειν.

οὓς γὰρ ὁ βίος ἐδόξασεν, εἰκότως καὶ μακαρίζει καὶ σεμνύνει διαγγελλόμενος ».

25. Ταῦτα ὁ μέγας ἄνθρωπος ἐκεῖνος ἡμῖν παραθέμενος, καὶ παρακαλέσας ἐπιεικῶς, ἐξαπέστειλεν. Αἰσίων δὲ τῶν ἀνέμων πνευσάντων, τῇ ἐπαύριον κατήχθημεν εἰς τὴν Δίαν. Τοῦτο τῆς ἐν Πάρῳ καταγωγῆς ἡμῶν τὸ περίβλεπτον κέρδος. Τοῦτο τῆς ἐπὶ Κρήτην πορείας παρ' ἐλπίδας ἐμπόρευμα. Οὗτος ὁ βίος τῆς μακαρίας Θεοκτίστης. Αὕτη ἡ ἄσκησις καὶ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ τὸν κοσμοκράτορα τοῦ σκότους τοῦ αἰῶνος τούτου πάλη καὶ ἀντιπαράταξις. Ἐγὼ δὲ παρῆλθον ὑπακοὴν πληρῶν, | καὶ τὸ χρέος ἀφοσιούμενος, ἐξ 123.
οὗ τί ἂν γίνοιτο; Πολλὰ μὲν οὖν καὶ ἄλλα, τρία δὲ ταῦτα καὶ μέγιστα· αὐτῷ μὲν τῷ τούτων χορηγῷ τε καὶ πρύτανι Θεῷ, ὕμνος, ἐξομολόγησις, καὶ δόξα· τῇ Ὁσίᾳ δὲ μακαρισμὸς παρὰ τοῦ λόγου καὶ τὸ ἐτήσιον σὺν εὐφημίᾳ μνημόσυνον, καὶ τοῖς γράψασιν ἡμῖν ὁ μεγαλόδωρος καὶ μέγας ἡμῶν Θεὸς Ἰησοῦς Χριστὸς τῆς προθυμίας δαψιλεύσοι τὴν ἀμοιβήν· πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς τῆς Θεοτόκου, τῶν θεοειδῶν ἀγγέλων καὶ πάντων ἁγίων· ὅτι αὐτοῦ ἐστιν ἡ δόξα σὺν τῷ Πατρί, καὶ τῷ παναγίῳ Πνεύματι, νῦν καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας. Ἀμήν!

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΗΣ ΟΣΙΑΣ ΚΑΙ ΑΕΙΜΝΗΣΤΟΥ ΘΕΟΚΤΙΣΤΗΣ ΤΗΣ ΛΕΣΒΙΑΣ (*)

1. Εἰκόνες καὶ στῆλαι καὶ ἀνδριάντες διὰ τοῦτο πάντως εἰς τὸν ἡμέτερον βίον εἰσήχθησαν, ἅμα μὲν, ὡς εἰς ἔπαινον τῶν μέγα τι καὶ κοινωφελὲς κατωρθωκότων, ὧν καὶ σώζουσι τοὺς τύπους γενόμενα (1), ἅμα δὲ, καὶ εἰς τὸν τῶν ὁρώντων ζῆλον καὶ τὴν τῶν καλῶν ἐπιμέλειαν πολλὰ συντείνειν δυνάμενα. Οἶμαι δὲ ὅτι πολὺ μᾶλλον καὶ λόγος συντελέσειεν ἂν, εἰς μνήμην παρατιθεὶς ἀρετῆς φίλον ἄνθρωπον, βίον τε καὶ πράξεις τὰς αὐτοῦ διηγούμενος (2)· ὁπότε γὰρ ἐκεῖνα τὰ κωφά τε καὶ ἄφωνα διὰ ψιλῆς μόνης τῆς θείας οὕτως ὠφελεῖν δύνανται (3), οἱονεί τις ὑπόμνησις πρὸς ἀρετὴν γινόμενα, πόσῳ γε μᾶλλον λόγος ὀνήσειε, πατρίδα τε καὶ γένος διαλαμβάνων, ἀγωγήν τε καὶ ἐπιτήδευμα, καὶ τὸ δὴ μεῖζον, αὐτὰ τὰ πράγματα διηγούμε-
107. νος καὶ ὑπ' ὄψιν τοῖς | ἀκροαταῖς ἐκεῖνα καθὰ δὴ καὶ γεγόνασι παριστῶν; Ἐπεὶ οὖν οὕτω πρόδηλος ἐν τοῖς τῶν φιλαρέτων διηγήμασιν ἡ ὠφέλεια, προσέχειν ὑμᾶς ἀξιῶ· βίον γὰρ διηγήσομαι, οὐ τὸν τυχόντα, οὐδὲ ὃν πολλοὶ πολλάκις τῶν κατὰ Θεὸν ζῆν ἑλομένων διήνυσαν, ἀλλὰ καινόν τε καὶ σπανιώτατον, καὶ ὃν εἷς, οὐκ οἶδα, ἢ δύο τῶν τοιαύτην εὐγενῆ

* Κῶδιξ Μαρκ. CCCLI. φ. 106 Zan.

Ὑποσημειοῦνται αἱ ἐκ τῆς ἀντιβολῆς διαφοραὶ πρὸς τὸν τῆς αὐτῆς Βιβλιοθήκης κώδικα 584. φ. 117. Zan.

(1) ΕΚ. γινόμενα. (2) ΕΚ. διηγούμενον. (3) ΕΚ. δύναται.

καὶ φιλόνεικον ἐν τοῖς καλοῖς ἐσχηκότων ψυχὴν, εἵλοντό τε καὶ εἰς πέρας διενεγκεῖν ἠδυνήθησαν. Ἀρκτέον οὖν μοι τῆς ὑποθέσεως, καὶ ὅπως ἔχει τὰ τοῦ θείου τούτου βίου, διηγητέον.

2. Γενομένῳ μοί ποτε κατὰ τὴν Πάρον· γέγονα δὲ, καὶ γὰρ ἐπὶ Κρήτην διέπλεον ὑπὸ τοῦ μακαρίτου Λέοντος ἐκεῖσε πεμφθεὶς, Λέοντος, φημὶ, τοῦ εὐτυχοῦς ὄντως βασιλέως, καὶ τὴν εὐτυχίαν Ῥωμαίων τῷ τάφῳ συνθάψαντος. Ἐπεμπόμην δὲ συστρατευόμενος Ἡμερίῳ τῷ πάνυ, τῷ στρατηγικωτάτῳ δηλαδὴ καὶ ἄρχοντι τοῦ τε δρόμου καὶ τοῦ στόλου παντὸς, ἢ τό γε ἀληθέστερον, καὶ αὐτῶν εἰπεῖν τῶν παθῶν· καὶ ἵνα μὴ τὸ πολλῶν ἐγκωμίων ἄξιον τῆς στρατηγίας ἐκείνου (1) πάρεργον ποιησάμενος, καὶ μικρὰ τούτου μνησθεὶς, ἀτιμάσω τὸν ἄνδρα, ἐπὶ τὴν παροῦσαν τέως ὑπόθεσιν εἶμι, ἐκείνου κατὰ καιρὸν μνησθησόμενος. Ἐστελλόμην τοιγαροῦν τοῦτο μὲν, ἐκείνῳ συστρατευόμενος (2) καὶ προβιβαζόμενος εἰς πεῖραν στρατηγικὴν, οἷα πῶλος μητρὶ πρὸς τὰ γενναιότατα τῶν στρατηγημάτων | συσ- 107.
καίρων (οὕτω γὰρ ἦν ὁ τοῦ μακαρίτου μου βασιλέως σκοπός)· τοῦτο δὲ, πρεσβευσόμενος πρὸς τοὺς τὴν Κρήτην ἔχοντας Ἄραβας.

3. Ἐπεὶ δὲ κατὰ Ἴον ἐγεγόνειν τὴν νῆσον, καὶ τοῦ πρόσω φορά τις εἶρξεν ἀσυμφόρων (3) ἀνέμων ἡμᾶς, προσεπλεύσαμεν τῇ Πάρῳ, τήν τε νῆσον κατὰ πάρεργον ἱστορήσοντες (4) καὶ τὸν αὐτόθι τῆς Δεσποίνης ἡμῶν ὀψόμενοι τῆς Θεοτόκου νεών· ἐντεῦθεν (5) δὲ καὶ συνέβη τὸ πάρεργον μεῖζον ἡμῖν κομιδῇ τοῦ ἔργου γενέσθαι. Ὡς δὲ κατὰ τὸν λιμένα τὸν πρὸς τὴν Ναξίαν ἀφορῶντα κατήχθημεν (ὁ δ᾽ ἔστι πως ἠρέμα καὶ κατὰ

(1) ΕΚ. ἐκείνῳ (2) ΕΚ. συστρατευσάμενος. (3) ΕΚ. ἐναντίων.
(4) ΕΚ. τῆς τε νήσου τὴν θέσιν ἐν παρέργῳ καθιστορήσοντες.
(5) Ἀπὸ τοῦ, ἐντεῦθεν, μέχρι τοῦ γενέσθαι· λείπει ἐκ τοῦ ΕΚ.

μικρὸν βαθυνόμενος, ἀναχωρῶν τε (1) τοῦ κλύδωνος εὐφυῶς, ὥσπερ ἐπὶ τούτῳ κατεσκευασμένος, καὶ τῇ κοιλότητι τοῦ ὄρους κλειόμενος, ὡς ἂν καὶ χειμάζοιεν εὐμαρῶς καὶ θερίζοι τὰ πλοῖα), ἐκβεβήκαμεν καί, μικρὸν προβάντες, πρὸς τὸν ναὸν ἀνεδράμομεν. Θυμιάσαντες οὖν καὶ τὰς συνήθεις εὐχὰς ποιησάμενοι, περιήειμεν (2) τοῦτον ἀγάμενοι. Ὁ δὲ ἦν ἄρα καὶ (3) ἀξιοθέατος καὶ ὀφθαλμῶν ἀτεχνῶς τρυφή (4) λείψανα σώζων ἔτι τῆς παλαιᾶς ὡραιότητος· συμμέτρως (5) γὰρ ἐδεδόμητο πάντοθεν, καὶ κίοσι συχνοῖς τοῖς ἐκ βασιλικοῦ ἠρήρειστο λίθου, πριστῷ τε λίθῳ πάντα τοῖχον ἠμφίεστο παραπλησίως τοῖς κίοσιν· εἰς τοσοῦτον δὲ τὸν λίθον λεπτύνας ἐξύφανεν ὁ τεχνίτης, ὡς δοκεῖν ἐξ ὑφασμάτων τὸν τοῖχον ἐνδεδύσθαι βυσσί-
108. νων. Ὁ δὲ λίθος τοσαύτην | ἐπέφαινεν (6) ὑγρότητα καὶ μαρμαρυγήν, ὡς καὶ μαργάρων ἐν τούτῳ νικᾶσθαι τὸ στίλβον· οὕτω τις ὑπερφυὴς καὶ ξενίζουσα ἡ τοῦ λίθου ἦν ἀρετή, μᾶλλον δὲ ἡ τοῦ τεχνίτου σπουδή (7), ὃς καὶ τὸ κάλλος ἐφιλονείκησε τῇ φύσει προσνεῖμαι.

4. Ὡς δὲ καὶ τῆς σεβαστῆς καὶ θείας τραπέζης τὸ ὑπερκείμενον ὀρόφιον, ὃ κιβώριον καλεῖν σύνηθες (8), εἴσω τῆς πύλης ἑωράκαμεν, κατεπλάγημεν αὐτὸ (9) τῆς τερπνότητος. Οὐδὲ γὰρ ἐῴκει λίθου φύσιν ἔχειν τὸ τόρευμα, οὐδὲ σιδήρῳ καὶ τέχνῃ καὶ χερσὶ λελαξεῦσθαι (10), ἀλλ' οἷά τινι γάλακτι, ὀπῷ φυραθέντι καὶ πρὸς τὸ σχῆμα τοῦ τέγους μεμηχανημένῳ τῷ χεύματι (11)· τοιούτῳ ποτὲ ἐγὼ λίθῳ τεθέα-

(1) ΕΚ. καὶ ἀν. ἐκ. (2) Κ. περίειμεν. (3) ΕΚ. ἄρα τις ἀξ.
(4) κ. ὀφθ. ἀτ. τρ. λείπει ἐκ τοῦ ΕΚ. (5) ΕΚ. σύμμετρος.
(6) ΕΚ. τὸ δὲ μαρμαῖρον τοῦ λίθου τοσ. ἐνέφαινε τὴν ὑγρ.
(7) ΕΚ. ὡς κ. μ. στιλβηδόνα νικᾶν· τοσοῦτον τὸ περιὸν ὑπῆρχε τοῦ λίθου, μᾶλλον δὲ ἡ σπουδὴ τοῦ τεχνίτου... (8) Ὃ κιβ. κ. σύνηθες, λείπει ἐκ τοῦ ΕΚ. (9) αὐτὸ λείπει ἐκ τοῦ ΕΚ. (10) ΕΚ. λελαξεῦσθαι καὶ χείρεσιν. (11) ΕΚ. τοῦ στέγους μεμηχανευμένου τοῦ χεύματος.

μαι διφρηλατοῦσαν ἐπὶ ταύροις Σελήνην. Τὸ μὲν οὖν ἔκειτο τεθραυσμένον, ἡμεῖς δὲ συνεθέομεν πρὸς τὴν ὄψιν, καὶ παριστάμεθα ἐπαρώμενοι, καὶ πάσῃ γλώττῃ τὸν συντρίψαντα διαλοιδορούμενοι (1)· καὶ γὰρ ἦν τι χρῆμα καὶ ἄξιον οἴκου Θεοῦ κειμήλιον καὶ ἀνάθημα. Παριστάμενοι (2) τοίνυν οὕτω καὶ θαυμάζοντες, καὶ ὥσπερ ἐπὶ τῷ πάθει τοῦ λίθου καὶ αὐτοὶ τὰς ψυχὰς πάσχοντες, ὁρῶμεν ἐξαπίνης μοναχὸν ὑπερκύψαντα τῆς ἐρήμου καὶ τοῦ ἄλσους προβαίνοντα, καὶ ὡς ἡμᾶς ἀφικνούμενον, ὠχρὸν τὸ πρόσωπον, διατετηκότα τὰς παρειάς, γυμνὸν τὼ πόδε, αὐχμηρὸν ὅλον, χιτῶνα τρίχινον ἐνδεδυμένον, ἐπωμίδα τε καὶ τὸ τῆς κεφαλῆς κάλυμμα τῷ χιτῶνι παρόμοια, | ὡς θῆρα δασύν, ὡς ἄγγελον εὐμενῆ· οὐ γὰρ 108.*
ἐῴκει ἀνδρὶ σιτοφάγῳ, ἀλλ' ἀσάρκῳ μικροῦ καὶ ἀναίμονι, καὶ συνελόντα φάναι· θαῦμα ἦν καί, ἰδεῖν ἀπὸ τῆς ὄψεως καὶ καταμαθεῖν ἀπὸ τῆς ψυχῆς.

5. Προσελθὼν οὖν ἠσπάζετο ἡμᾶς, καὶ ἡμεῖς αὖθις ἐκεῖνον, καὶ ὅστις εἴη λέγειν, καὶ πατρίδα καὶ γένος, καὶ εἰ μόνος ἐνταῦθα διάγοι προετρεπόμεθα (3). Ὁ δέ· « πατρίδα μὲν καὶ γένος καὶ τἆλλα, οἷς οἱ κατοικοῦντες ἄνθρωποι πόλεις (4) σεμνύνονται, λέγειν οὐκ ἔχω, φησίν· οὐδὲ γὰρ ἐμοὶ τῶν ἐν γῇ μέλει τινός, οὐδὲ τοῖς ῥέουσι τούτοις (5) ἥδομαι· πῶς γὰρ ὤν

(1) ΕΚ. συν. κ. π. καταρώμενοι. κ. παντοίως τ. συν. λοιδ.

(2) ΕΚ. παρισταμένων τ. ἡμῶν καὶ θαυμαζόντων καὶ καταβοώντων τοῦ κατεάξαντος ὁρῶμεν....

(3) ΕΚ. ἀφικόμενον ὠχ· τ. πρ, σεσηρύιας τ. π, γ. τ. π, αὐχ. δ, χ. τρ. ἐπ. κ. τ. κ. καλ. τ. χ. π, τὴν ζώνην δερματίνην περὶ τὴν ὀσφὺν, ὡς θ. δ. ὡς ἄγγ. εὐ. οὐδὲ γὰρ ἐδόκει ἀν. γε σιτ...... συνελόντι φ, ἀρετῶν ἢ καὶ αὐτοῦ Θεοῦ καταγώγιον. Προσελθών....ζώοι (γρ. ζώῃ) προὐτρεπόμεθα. (4) ΕΚ. εἶπε.... τὰς πόλεις ἄνθρωποι.

(5) ΕΚ. ρ. ἡδ. πατὴρ δ. μ. κ. Δ. ὁ Θ. ᾧ ζ. κ. π. κ. δι' ὃν κ. μ. ἀ. κ. τ. ἐ. τ. χρ. τρ. πλ. ἐγκαρτερῶ.

ἡδέως μᾶλλον ἐξίσταμαι ; Πατὴρ δέ μοι καὶ Δεσπότης ὁ Θεὸς, ᾧ μόνῳ ζῶ καὶ πολιτεύομαι καὶ δι᾽ ὃν καὶ μόνος ἀλώμενος κατὰ τὴν ἔρημον ταύτην, χρόνους ἤδη πλέον, ἢ τριάκοντα καρτερῶ· ὄνομα δέ μοι Συμεὼν, τὸ δὲ ἀξίωμα (1) μοναχὸς καὶ ἱερεὺς τῆς ζωοθύτου καὶ ἀναιμάκτου, φημὶ, θυσίας ».

6. Ἡμεῖς δὲ τὴν ἀρετὴν ἐκείνου δυσωπηθέντες (2), ἀπό τε τῶν λόγων ἀπό τε τῆς θέας καὶ τοῦ ἐνδύματος, ἔτι (3) καὶ τῆς ἐπιφαινομένης ἀσκήσεως, καὶ μᾶλλον ὅτι τοῦ Θεοῦ ἱερεὺς ἐχρημάτιζε, τοῖς ποσὶ προσπεσόντες, ἠτοῦμεν εὐχὴν καὶ συγγνώμην (4). Ὁ δὲ, καὶ ηὔξατο καὶ παρακλήσεως προέτεινε (5) λόγους, καὶ προσέχειν ἐκέλευσεν ἑαυτοῖς καὶ μὴ ἀθυμεῖν. « Συμπαθὴς τε γὰρ (6) ὁ Θεὸς καὶ μακρόθυμος καὶ τοὺς πρὸς αὐτὸν ἐπιστρέφοντας, ἀγκάλαις οἷα (7) τὸν
109. ἄσωτον δέχεται ». | Τούτοις (8) τε καὶ ἄλλοις τισὶ παρακαλέσας ἡμᾶς, ἐσιώπα. Ἐγὼ δὲ περιεργότερος ὢν, καὶ συνιέναι δεινὸς ἦθος ἀνδρὸς, ἠξίουν (9) τὸν μέγαν καὶ διδάξαι τι τῶν ἀπορρήτων (10)· οὐ γὰρ ἀμοιρεῖν ὁμιλίας ἐῴκει μοι θεϊκῆς. Ὁ δὲ, « τούτων μὲν, ἔλεγεν, ἅλις· οὐδέπω γὰρ ἐγὼ (11) τοιούτων ἠξίωμαι· τὰ ἐμαυτοῦ γὰρ ἐξῆλθον ἐνταῦθα πενθεῖν, οὐχὶ τὰ ὑπὲρ ἐμὲ ζητεῖν ». Ταῦτα δ᾽ ἔλεγεν, οὐκ ἀληθεύων (12), ἀλλὰ μετριάζων μᾶλλον καὶ ταπεινούμενος, ὡς τὰ μετὰ ταῦτα δείξει·

(1) ΕΚ. προστ. ὁ ταπεινὸς μ. ἱερ. καὶ λειτουργὸς καὶ μυσταγωγὸς τ. ζ. κ. ἀ. θυσίας. (2) ΕΚ. τ. ἀρ· αἰδεσθέντες τοῦ ἀνδρός.

(3) ΕΚ. ἔχει· ἔτι δὲ κ. τ. ἀ. κ. μάλισθ᾽ ὅτι...

(4) ΕΚ. προστ. τῆς διαγνώσεως. (5) ΕΚ. προὔτεινε.

(6) ΕΚ. προστ. ἐστίν φησιν ὁ Θεός. (7) ΕΚ. ὡς.

(8) ΕΚ. Ταῦτα καὶ ἄλλα π. ἡσύχασεν. (9) ΕΚ. παρεκάλουν.

(10) ΕΚ. τ. ἡμῖν ἀ. ἐξελιπάρουν· οὐδὲ γὰρ ἀμ. ὁμ. ἐδόκει....

(11) ΕΚ. οὔπω γὰρ τ. ἠ. τὰμ. γ. ἐ. ἐν. π. οὐ τὰ ...

(12) ΕΚ. τ. δ. ἔλ. εἴτε πλαττόμενος, εἴτε ἀληθεύων λέγειν οὐκ ἔχω. Λαβ΄....

Λαβόμενος οὖν μου τῆς δεξιᾶς καὶ καταψήσας, ὥσπερ συνήθης ἤδη, οὕτω (1) γὰρ αὐτὸν διέθηκε τὸ ἁπλοῦν· αἱ γὰρ ψυχαὶ τῶν θείων (2) ἀνδρῶν, ἐπειδὰν ἐν μετοχῇ τοῦ κρείττονος γένωνται (3), πρὸς αὐτὸ φιλονεικοῦσι καὶ (4) μεταγίνεσθαι, καὶ τῇ αὐτῇ (5) τοῦ πρώτου ἀγαθοῦ μετουσίᾳ ἀγαθοὶ πάντῃ καθίστανται (6), ἀκέραιοι, ἁπλοῖ, πάντων ἐξῃρημένοι τῶν ἀνθρωπίνων (7), ὥσπερ δὴ (8) καὶ οὗτος (9) χαρίεις τε ὢν καὶ ἀγαθὸς, ἐδόκει λοιπὸν τῷ ἀπλάστῳ εἷς ὢν ἐξ ἡμῶν. Εἶτα ἐπ' αὐτοσχεδίου που καθίζεσθαι διεκελεύτο (10)· ἦσαν δέ που καὶ λίθοι καὶ κίονες τοῦ συμπτώματος, καὶ πόα συχνὴ καὶ χλοάζουσα, καὶ πηγή τε νάματος ἡδὺ τὸ ποτὸν ἀποβλύζουσα, καὶ ὁ χῶρος ὅλος (11) ἡσυχίας ἀνάπλεως ἦν.

7. Καθίσας οὖν ἐπὶ τῆς πόας, καὶ αὐτόν με παρακαθισάμε-
νος, ἐῴκει γεγηθέναι, ὅτι περ ἡμῖν περιέτυχεν. Ἀπιδὼν (12)
δὲ πρὸς αὐτὸν, ὥρα σοι, | ἔφην, ὦ πάτερ, εἴ τι καλὸν (13) ἐνταῦ- 109*.
θα τεθέασαι, διηγήσασθαι· πλὴν ἀλλὰ (14) λόγου ἀρξάμενος,
τέως κατάλεξον, τίς ὁ διαθεὶς οὕτω τῆς θείας τραπέζης τουτὶ
τὸ κάλυμμα, καὶ τίς ἡ ἀφιλόκαλος ἐκείνη ψυχή τε καὶ χείρ,
ἡ τοσοῦτον ἔργον ἀμερίμνως συτρίψασα; καὶ γὰρ κατὰ βρα-
χὺ διενοούμην αὐτὸν ἐπαγαγέσθαι πρὸς τελεώτερα. Ὁ δὲ (15)
« τὸν Νίσιριν ἐκεῖνον ἀκούεις, ἔφη, τὸν τοῦ ναυτικοῦ τῆς Κρήτης

(1) ΕΚ. καὶ γ. αὐτ. οὕτω δ. (2) ΕΚ. μεγάλων. (3) ΕΚ. ὦσι.

(4) Λείπ. ΕΚ. (5) ΕΚ. αὐτοῦ. (6) ΕΚ. πάντῃ ἀγ. γίνονται.

(7) ΕΚ. τῶν ἐφ' ἡμῶν. (8) Λείπ. ἐκ τοῦ ΕΚ. (9) ΕΚ. προστ. ὁ μέγας. (10) ΕΚ. αὐτ. καθίζειν διεκέλευεν. (11) ΕΚ. πηγὴ νάμ, ἡ. π. ἀποβλ. κ. ὁ χ. ἅπας ἡσ. ἀν. καὶ διηγημάτων θείων ἐπάξιος.

(12) ΕΚ. ἀτενίσας δὲ εἰς.

(13) ΕΚ. προστ. καὶ ἱστορίᾳ πρέπον δεῦρο τ. δ.

(14) ΕΚ. ἄρχε λόγων καὶ τ. κ: τὶς ὁ συντρίψας τ. θ. τρ. τὸ κ. καὶ ποία τ. ἡ θηριώδης ἐ. ψ. τοσ. ἔρ. συνθλάσαι τολμήσασα.

(15) ΕΚ. Ὁ δ' ἤρξατο λέγειν.

κατάρξαντα; οὗτος ἐκεῖνος ὧδε (1) γενόμενος, ἐν θαύματί τε τὸ ἔργον τοῦ κάλλους θέμενος, μεμελέτηκεν εἰς Κρήτην μετακομίσαι· ὡς δὲ τὰς πύλας διεμέτρησε (2) πρότερον, εἶτα τὸ ἱερὸν τοῦτο καὶ θεῖον ὀρόφιον ἔδοξέ τε καλῶς ἔχειν καὶ (3) καθῆκεν εἰς γῆν, ἕλκειν ἐπεχείρει τῶν πυλῶν ἔξω (4)· τὸ δὲ εὐθὺς ἐγίνετο μεῖζον, καὶ αὐτὸς τὸν τοῖχον διώρυττεν, εἶτα μετρήσας ἐξάγειν ἐσπούδαζε· τὸ δὲ καὶ αὖθις μεῖζον ἐγίνετο, καὶ μᾶλλον μεῖζον, καὶ τοῦτο πολλάκις, ἕως ὁ Ἄραψ ἐνέδωκε τοῦ βιάζεσθαι (5), ἀλλ' οὐ τοῦ φθονεῖν. Ὡς γὰρ κάμνων διημάρτανε τοῦ σκοποῦ (καὶ γὰρ ὡς ἔοικεν οὐκ ἠξίου τὸ θεῖον μιαρὸν γενέσθαι τὸ ἱερόν· ἔσπευδε γάρ, ὡς λέγεται, τῇ συναγωγῇ τοῦτο τῶν τῆς Ἄγαρ ἀνάθημα (6) καταθέσθαι), συνθλάττει (7) τὸ καλὸν ἐκεῖνο ἔργον ὁ βδελυρός, βασκήνας τοῦ κόσμου τῷ τῆς Θεοτόκου νεῷ».

8. Ταῦτα οὖν ἀκούσας, ἐλοιδορούμην αὖθις τὸν μιαιφόνον. Ὁ δὲ φησίν, «ἀμέλησον· ἔδωκε γὰρ τῆς παροινίας οὐ μετὰ
110. πολὺ | δίκην, πρὸς τῷ τῆς κατ' Εὔβοιαν (8) θαλάσσης συντριβεὶς ἄκρῳ, ὃ Ξυλοφάγος ὠνόμασται, καὶ γέγονεν ὑποβρύχιος». Ἠξίουν (9) τοιγαροῦν τὸν θεῖον ἐκεῖνον μετασχεῖν τροφῆς, καὶ τὸ (10) ἡμῶν παρακαλέσαι μικρόψυχον τοῦ πλοῦ καὶ τῆς πρόσω φορᾶς ἕνεκα· καὶ γὰρ τρίβειν (11) ἐδοκοῦμεν τὸν χρό-

(1) ΕΚ. αὖθι γ. καὶ θαυμάσας αὐτοῦ τὸ τερπνὸν μεμε. πρὸς τὴν Κ. διαπορθμεῦσαι. (2) Λείπ. ἡ διὰ καὶ τὸ πρότερον ἐκ τοῦ ΕΚ.

(3) Λείπ. ἐκ τοῦ ΕΚ. (4) ΕΚ. καὶ πρὸς τὰς πύλας εἷλκεν ἐξάγων.

(5) Ἀντὶ τοῦ· τ. β. ἀ. οὐ τ. φ. ὡς. γ. κ. δ. ἔχει. ὡς δὲ ἀπετύγχανε καμὼν τ. σκ: οὐ γὰρ ἠξίου τὸ θεῖον, ὡς ἔοικε, κοινωθῆναι καὶ μιαραῖς δουλεύειν θυσίαις· καὶ γὰρ ἔσπευδεν....

(6) ΕΚ. ἀναθημάτων. (7) ΕΚ ἐκμανεὶς διενοήθην συνθλᾶν. Ταυτ' οὖν ἀ. ἐγὼ ἐ. τ. μ. ἐκεῖνον καὶ τρισκατάρατον. (8) ΕΚ. πρὸς τῷ τῆς Εὐβοίας ἄκρῳ Ξυλοφ. καλεῖται. (9) ΕΚ. ἐδυσώπησα. (10) ΕΚ. καὶ τὴν ἡμῶν ὀλιγωρίαν ψυχαγωγῆσαι. (11) ΕΚ. χρονοτριβεῖν ἐδ.

νον, ἀντιπνεόντων ἡμῖν ἀποτροπαίων τῶν ἀνέμων. Ὁ δὲ, καὶ μετέλαβε, καὶ μηδὲν ἀποκρύπτων ἀνεῖπεν· ὡς διαπλεύσεις μὲν εἰς Ναξίαν, κἀκεῖσε μίαν ναυλοχησάμενος ἡμέραν, καὶ τὴν δευτέραν πλεύσας, τριταῖος εἰς τὴν Κρήτην ἀφίξῃ (1), μηδεμίαν ὑποστὰς (2) κάκωσιν· διαθήσεις τε τὰ κατὰ σαυτὸν, ὡς ἂν ἐθελήσῃς καὶ καθὼς ἔχῃ τὰ τῆς βασιλικῆς διατάξεως, αὖθίς τε παλινοστήσας, εὖ ἀποδεχθήσῃ (3) παρὰ τοῦ πέμψαντος. Ταῦτα μὲν οὖν ὕστερον, ὡς ἐκεῖνος ἔφη, γέγονέ τε (4) καὶ πέρας εἴληφεν (5), αὐτός τε φανερὸς ἐντεῦθεν ὑπῆρξεν, ὅτι τὴν ἄγνοιαν, ἣν πρότερον ἔλεγεν ἔχειν, οὐκ ἀληθεύοντος ἦν, ἀλλὰ διὰ πολλὴν μετριότητα προσποιουμένου τὸν ἀγνοοῦντα.

9. Εὐξάμενοι γοῦν καὶ ὑμνήσαντες ἐν τῷ ναῷ, κατέβημεν εἰς τὰς ναῦς (6). Ἕωθεν δὲ διεπορθμεύθημεν εἰς Ναξίαν, δέκα σχεδὸν σταδίους ἔχοντος τοῦ πορθμοῦ· καὶ αὐτὸς τῷ Θεῷ λειτουργήσας, καὶ τῶν θείων ἡμῖν μεταδοὺς Μυστηρίων, μετέλαβε τροφῆς σὺν ἡμῖν· εἶτα λέγειν ἤρξατο πρός με. « Σὺ
μὲν ἴσως προφασίσῃ περὶ ὧν ἀξιοῦν (7) ἐθέλω σου] τὴν ἀγάπην, 110.
ἀπορίαν λόγων, ἢ δουλειῶν ἀφορμὰς, ἢ (8) γυναικὸς καὶ τέκνων καὶ οἴκου φροντίδας, ἤ τινας ἄλλας αἰτίας, διακρουόμενος ἡμῶν τὴν ἀξίωσιν (9). Ἐγὼ δέ σοι καὶ εὐημερίαν καὶ (10) εὐπορίαν πάντων ἐπαγγέλλομαι, καὶ πολλὴν ἐκεχειρίαν εὑρεῖν· καὶ δέομαι (11) τηνικαῦτα, τῶν ἐμῶν λόγων ἐν μνήμῃ γενόμενον, τὸ τῇδε γεγονὸς συγγράψαι, μνήμης ὂν (12) καὶ διηγήματος

(1) ΕΚ. πορεύσῃ. (2) ΕΚ. μ. ὑφορώμενος κ. διαθήσῃ τε τὰ τῆς ὑποθέσεως. (3) ΕΚ. ἀποδ. καλῶς. (4) Λείπ. ἐκ τοῦ ΕΚ.

(5) ΕΚ. ἀπείληφεν. Εὐξάμενοι οὖν.... (6) ΕΚ. προστ. ἅμα τῷ μεγάλῳ γέροντι. (7) ΕΚ. παρακαλεῖν (8) ΕΚ. ἢ καὶ τ. καὶ γυναικός.

(9) ΕΚ. τὴν παράκλησιν. (10) ΕΚ. προστ. εὐετηρίαν καὶ....

(11) ΕΚ. δυσωπῶ· τηνι. τ. ἐμῶν ἐν μν. γεν. λόγων.

(12) Λείπ. ἐκ τοῦ ΕΚ.

ἄξιον, ἵν' ὁ Θεὸς ἡμῶν παρὰ τῶν ἀκουόντων θαυμάζηται καὶ δοξάζηται. Θαυμαστὸς γάρ φησίν, ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ (*). Οὐ μὴν, ἀλλὰ καὶ ζηλωταὶ πολλοὶ τῶν δι' ἀρετῆς ὑψωθέντων (1) γενόμενοι, τῶν ἴσων τυγχάνωσι, καὶ αὐτὸς κερδάνῃς τὸν ἐκ τούτου μισθόν ». Ταῦτα παραινέσας ὧδε λέγειν (2) ἀπήρξατο, πρᾶγμα ἐμοὶ παραδοὺς, φιλοθέοις ἀκοαῖς τὰ μάλιστα χαριζόμενος.

10. « Κυνηγοί τινες ἐξ Εὐβοίης δεῦρο πρὸ χρόνων ἦλθον ὀλίγων (ἔχει γὰρ ἡ νῆσος ἐλάφων τε καὶ ἀγρίων αἰγῶν θήραν ὅτι (3) πολλὴν)· τούτων εἷς θεοσεβὴς καὶ προσέχων ἑαυτῷ μάλιστα διήγημα διηγήσατο τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας οὐχ ἥκιστα ἄξιον (4), ὃς κατὰ καιροὺς οἶδε (5) θαυμαστὰ ποιεῖν καὶ παράδοξα. Ἦλθόν φησιν αὐτόθι (6) θηρεύσων ποτὲ, καὶ πρὸς τὸν θεῖον τῆς Θεοτόκου νεὼν (7) ἀνελθὼν, προσεκύνησά τε καὶ προσηυξάμην, ὥσπερ (8) ἔθος ἀεί μοι προσῆν. Περιβλεψάμενος δὲ μετὰ τὴν εὐχὴν εἶδον εἰς τοὔδαφος ὕδωρ ἐν βόθρῳ βραχεῖ, μικρά (9) τε ἐν τούτῳ βρεχόμενα θέρμια· καὶ γὰρ ὁ τόπος τρέφει ταῦτα, καθὼς αἱ λοιπαὶ νῆσοι βοτάνας ἑτέρας (10)·
111. | ἡ μὲν γὰρ μαράθου πολυχύτους ὄρπηκας εἰς πλῆθος βλαστάνει (11), πήγανον δὲ μόνως ἄλλη καὶ θύμον ἑτέρα, ἢ τῶν ἄλλων τι βοτανῶν· ὃ δὲ φέρει πάντων ἐξαίρετον ἡ νῆσος, τοῦτο τῶν ἄλλων καὶ μᾶλλον τρέφει, καὶ ποιεῖ εὐθαλέστα-

(*) Ψαλμ. ΞΖ'. 35.

(1) ΕΚ. γινόμενοι, τ. ἴσ.... κερδανεῖς. (2) ΕΚ. παραιν. ἀπήρξατο. Κυνηγοί τινες.... (3) Λείπ. ἐκ τοῦ ΕΚ. (4) ΕΚ. σύνηθες.

(5) ΕΚ. καιροὺς θαυμ. ποιεῖ.... (6) ΕΚ. αὖθι. (7) ΕΚ. σηκόν.

(8) ΕΚ. ὡς. (9) ΕΚ. καὶ μικρὰ βρεχ. θ. (κατὰ τὴν φὰν, χολώκκουσα). (10) ΕΚ. ἀλλοίας. (11) ΕΚ. ἀναβλαστάνει, π. δὲ μονομερῶς ἄλ. κ. θύμβρον (κατὰ τὴν φαν. θύμβρον λάχανον, ὅπερ ἐστι δραμὺ καὶ πικρόν). ἑτ. ἢ θύμον, ἢ τ. ἄλ. τινά....

τον (1). Ἑωράκειν οὖν, ὡς ἔφην, τὰ θέρμια (2) οὕτως ἀπο-
πλυνόμενα, καί με λογισμός τις ὑπῄει, ὡς πάντως εἴη τις ὁ
ταῦτα καθεὶς (3) εἰς τὸν λάκκον, καὶ θεῖος εἰκός ἐστιν ἄν-
θρωπος ὁ ταύτην τὴν ἔρημον κατοικῶν.

11. Τοῦτ' οὖν λογιζόμενος (4) τὴν ἑταιρίαν ἔσπευδον φθά-
σαι, πρὸς τὴν ὕλην ἤδη χωρήσασαν, τυχεῖν δ' ηὐχόμην τοῦ
μεγάλου τούτου θηράματος· ἤλπιζον γὰρ κερδάναι τι μέγιστον
παρ' αὐτοῦ. Θηρεύσαντες (5) οὖν θήραν πολλήν, ἐχωροῦμεν ἐπὶ
τὴν ναῦν· ἀλλ' ἐκεῖνοι μὲν ἐβάδιζον, πρὸς τὴν θάλασσαν, ἐγὼ δὲ
ἐτρεπόμην πρὸς τὴν εὐχήν. Εἰσελθὼν οὖν εἰς τὸ τῆς Δεσποί-
νης ἡμῶν τοῦτο τέμενος, προσηυχόμην. Ὁρῶ δὲ κατὰ τὸ δε-
ξιὸν τῆς ἁγίας τοῦ ναοῦ τραπέζης, οἷά τινα κρόκην ὑπὸ ἀ-
νέμου ῥιπιζομένην, αὖθίς τ' ἔδοξα βλέπειν, ἀράχνης ἱστόν. Ὡς
δὲ προβὰς διαγνῶναι τὸ φαινόμενον ἠβουλήθην, ἤκουσα φωνῆς
λεγούσης (6)· στῆθι, μὴ προβῇς, ἄνθρωπε, πλέον,
μηδὲ πλησιάσῃς· αἰσχύνομαι γὰρ οὖσα γυνή,
γυμνὴ θεαθῆναί σοι. Ταῦτ' οὖν ἀκούσας, καὶ τῷ παρα-
λόγῳ (7) καταπλαγείς, ἠβουλόμην φυγεῖν· ἀνωρθοῦντο (8)
γάρ μου τῆς σαρκὸς αἱ τρίχες, καὶ ἀκάνθης ἦσαν ὀξύτεραι.
Τὸ γὰρ ἀπροσδόκητον, | ἐξαπίνης ὀφθὲν (9), δουλοῖ τὰ φρο- 111
νήματα, κἂν θρασύς τις εἶναι δόξῃ καταπλαγείς, ἕστηκε (10)
κεχηνώς. Εἰς ἑαυτὸν οὖν γενόμενος, καὶ θαῤῥήσας, ἠρώτων· τίς
τε εἴη, (11) καὶ πῶς ταύτην τὴν ἔρημον κατοικεῖ. Καὶ πάλιν
ἐξικνεῖτο φωνή· ῥίψον μοί τι χιτώνιον (12) δέομαι

(1) ΕΚ. εὐθαλέστερον. (2) ΕΚ. θέρμια πλατυνόμενα καί με...
(3) ΕΚ. κεκαθεικώς. (4) ΕΚ. λογισάμ. ἔσπευδον τὴν ἑταιρείαν
φθάσαι. (5) ΕΚ. θηράσαντες. (6) ΕΚ. λεγ. φωνῆς. (7) ΕΚ. παραδόξῳ.
(8) ΕΚ. ἀνεπήδησαν γ. μ. τ. σ. αἱ τρ. κ. γεγόνασιν ἀκ. ὀξύτ.
(9) ΕΚ. φανὲν. (10) ΕΚ. καὶ κ. ἕστηκα. ἄνευ τοῦ κεχηνώς.
(11) ΕΚ. ὅστις εἴη κ. π. τ. κατοικεῖ τὴν ἔρημον. (12) ΕΚ. χιτῶνα.

λέγουσα, καὶ καλυψαμένη, ὅσον μοι τὸ θεῖον βούλημα κελεύει, λέγειν οὐκ ἀποκνήσω. Περιελόμενος οὖν εὐθὺς τὸν ἐπενδύτην ἀφῆκα, καὶ τῆς πύλης ἐξέδραμον, ἡ δὲ λαβοῦσα, περιεβάλετο. Μετὰ μικρὸν δὲ ὑποστρέψας, ὁρῶ ταύτην ἔνθα καὶ πρὶν ἱσταμένην· καὶ ἦν ἄρα τὸ μὲν εἶδος (1) γυνή, τὸ δὲ φαινόμενον ὑπεράνθρωπον, θρὶξ λευκή, πρόσωπον μέλαν, μικρὸν ὑποφαῖνον (2) λευκότητα δέρματι συνέχουσαν μόνῳ τὴν τῶν ὀστῶν ἁρμογὴν, ἥκιστα σαρκὸς ἐμπεφυκυίας, ἐῴκει δὲ τὸ ὅλον σκιᾷ.

12. Ταῦτ' οὖν ἰδών, φησίν, ἐδεδοίκειν, ἔτρεμον, ἑαυτὸν (3)
ἐμεμφόμην τῆς ἀκαιρίας, ὅτι μου τῆς ἑταιρίας ἀπολειφθεὶς (4)
τοιούτῳ ἐνέτυχον· σύντρομος ὅμως πρηνὴς πεσὼν, ἐδεόμην εὐ-
χῆς, εὐλογηθῆναί τε παρ' αὐτῆς ἐλιπάρουν. Ἡ δὲ πρῶτον μὲν
ἀποβλέψασα (5) πρὸς ἀνατολὰς, τάχα βουλομένη θεραπεῦσαί
μου τὴν διάνοιαν (6), τοῦ μὴ δοκεῖν εἶναι φάντασμα, τὰς χεῖρας
πετάσασα, προσηύχετο, μικρὸν (7) ὑποψιθυρίζουσα· εἶτα στρα-
φεῖσα (8) πρός με· ὁ Θεός, φησίν, ἄνθρωπε, ἐλεήσαί
σε· πλὴν ἀλλὰ τίνος χάριν πρὸς τὴν ἔρημον
112. ταύτην ἀφῖξαι; καὶ ὅτου (9) δεόμενος πρὸς | ἄ-
οικον ἐλήλυθας νῆσον; Ἐπεὶ δέ σε (10) δεῦρο τὸ
θεῖον ἤγαγε βούλημα (δοκῶ μοι τῆς ἐμῆς ἕνεκα
ταπεινώσεως), πάντα τὰ κατ' ἐμὲ ὅπως ἔσχε (11)

(1) ΕΚ. σχῆμα.

(2) ΕΚ. ὑποφ. τὴν λ. δερματὶς συνέχουσα τὴν τ. μελῶν ἁρμονίαν, ἥκ. σ. ἐμ. σκιᾷ παραπλήσιος, εἶδος μόνον τὴν ἀνθρωπίνην σῶζον ἐμφέρειαν. (3) ΕΚ. ἐλοιδορούμην ἐμαυτὸν, τῆς ἀ. ἐμεμφόμην.

(4) ΕΚ. περιττὸς ὢν ἀπελείφθην ἀντὶ τοῦ· ἀπ. τ. ἐνέτ.

(5) ΕΚ. ἐπιστραφεῖσα. (6) ΕΚ. τὸν νοῦν. (7) Λειπ. ἐκ τοῦ ΕΚ.

(8) ΕΚ. σφραφεῖσα δὲ π. μ. φησιν ὁ Θ... (9) ΕΚ. καὶ τίνος.

(10) ΕΚ. ἀλλ' ἐπείσε δ. (11) ΕΚ. τὰ κατ' ἐμαυτὴν ὡς ἠθέλησας ἀναδιδάξω.

διδάξω. Ἐμοῦ δὲ καὶ πάλιν εἰς γῆν ἑαυτὸν καταβεβληκότος (1), καὶ λέγειν δεομένου, τοίων δέπου ἤρχετο λόγων· τίνων σειρήνων, ποίων ἠρινῶν ἀηδόνων οὐκ ἀποκρυπτόντων τὴν ἡδονήν;

13. «Ἐμοί φησι, Λέσβος πατρίς, Μίθυμνα πόλις, ὄνομα Θεοκτίστη, τὸ πολίτευμα Μοναχή. Ἐπὶ (2) νηπία δέ μοι τῇ ἡλικίᾳ, τῶν γεννητόρων κατοιχομένων, παρὰ τῶν συγγενῶν ἐδόθην εἰς παρθενῶνα, καὶ τὸ μοναχικὸν ἠμφίεσμαι σχῆμα. Ἔτη (3) δὲ ἐγγύς που ὀκτωκαίδεκα γενομένη περὶ τὰς τοῦ Πάσχα ἡμέρας εἰς τὴν πλησίον τῆς πόλεως ἐξέδραμον κώμην, ἀσπασομένη τὴν ἀδελφὴν (ἦν γάρ μοι κατοικοῦσα πρός τῇ κώμῃ μετὰ συμβίου). Νυκτὸς (4) δὲ ἐπιδραμόντες Ἄραβες Κρῆτες, ὧν ἀρχηγὸς ὁ Νίσιρις ἦν ἐκεῖνος, πάντας ἡμᾶς αἱροῦσιν. Ἕωθεν οὖν παιανίσαντες, ἀπέπλευσαν, καὶ τῇ νήσῳ προσώρμισαν (5) ταύτῃ· προσαγαγόντες δὲ τοὺς αἰχμαλώτους, τὰ τιμήματα διετίθεντο. Ἐγὼ δὲ σκηψαμένη πρόφασιν, καὶ πρὸς τὴν ὕλην χωρήσασα, δρόμου τοῦ (6) πρόσω εἰχόμην, καὶ πρὸς τὸ ἐνδότερον ἐχώρουν τῆς νήσου. Εἶτα οὐκ ἐνέδωκα φεύγουσα, ἕως ταῖς πέτραις καὶ τοῖς ὀξέσι τῶν ξύλων, περιπείρασα τοὺς πόδας (7), ἐξαίμους διέθηκα, | καὶ τὴν γῆν τοῖς αἵ- 112.
μασι κατεμόλυνα· καὶ τέλος ἀτονήσασα κατέπεσον ἡμιθανής.

(1) ΕΚ. καταρρίψαντος, τοίων δ. ἀπήρχετο λόγων· ἐμοὶ φησὶν...

(2) ΕΚ. ἔτι νηπία δ' ὀρφανισθεῖσα παρὰ τῶν συγγ..

(3) ΕΚ. Γεγονυῖα δὲ χρόνων ἐγγὺς ὀκτωκ. κατὰ τὰς πασχαλίας ἡμ. εἰς τ. πλ. πόλεως...

(4) ΕΚ. νυκτί...... ὑπῆρχεν ὁ Νίσ. ἐκεῖνος, ᾐχμαλώτισαν ἅπαντας. (5) ΕΚ. ταύτῃ προσ. προαγαγόντες δὲ τοὺς αἰχμ. ἠργυρολόγουν καὶ τὰ τ. δ. (6) ΕΚ. πρὸς τὸ πρ. κ. τ. ἐνδ. ἐχώρ. τ. ν. Καὶ λοιπὸν οὐκ... (7) ΕΚ. τ. πόδας κατέκοψα τοῖς τε αἵμασι τὴν γῆν κατεμίανα καὶ τέλ. ἐξατονήσ. κ. ἡμιθνής.

Καὶ τὴν μὲν πᾶσαν νύκτα, τὰς ὀδύνας οὐ φέρουσα (1) τῶν τραυμάτων, πικρῶς διετέλουν. Ἕωθεν δὲ τοὺς ἀλάστορας ἐκείνους (2) ἀποπλέοντας ἰδοῦσα, πάσης ἀπηλλάγην ὀδύνης (3), ἡδονῆς τε ὁπόσης ἀπέλαυον οὐκ ἔστιν εἰπεῖν· ἡ γὰρ τοῦ λίαν φοβοῦντος ἐλευθερία παντὸς ἄλλου λυποῦντος ἐμπαρεῖχέ μοι λήθην· καὶ νῦν ἤδη πέντε πρὸς τοῖς τριάκοντα χρόνους καὶ μικρόν τι πρὸς, ἐνταῦθα τοῖς θερμίοις καὶ ταῖς ἐκ τῆς ἐρήμου τρεφομένη βοτάναις, μᾶλλον δὲ τῷ τοῦ Θεοῦ λόγῳ διατελῶ, μεμνημένη τῶν θείων λογίων· ὡς οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ (*). Ἐγυμνώθην δὲ, τῶν ῥακίων μου ἤδη διεῤῥωγότων, οἷσπερ (4) δὴ καὶ συνηχμαλώτισμαι· ἐνδύομαι δὲ καὶ σκέπομαι θείᾳ χειρὶ, τῇ τὸ πᾶν (5) συνεχούσῃ».

14. Ταῦτα (6) εἰποῦσα, καὶ τὸ ὄμμα εἰς οὐρανοὺς τείνασα, ηὐχαρίστησε· διαλιποῦσα δὲ μικρὸν, ἐπεί με πρὸς γῆν ἑωράκει σὺν ἡσυχίᾳ πολλῇ νεύοντα, καὶ μηδὲ πρὸς αὐτὴν ἀτενίσαι τολμῶντα (7) (αἰδὼς γάρ μου κατεῖχε τοὺς ὀφθαλμοὺς, ἣν ἔτικτε μέγεθος ἀρετῆς), λέγει ἀρξαμένη πάλιν. «Τὰ μὲν κατ' ἐμαυτὴν, εἶπεν, ἄνθρωπε, διηγησάμην, αἰτῶ δέ σε μίαν ταύτην (8) ἀποτῖσαί μοι χάριν διὰ τὸν Κύριον· Ἡνίκα (9)
113. | μετὰ ταῦτα μέλλεις πρὸς τὴν νῆσον ταύτην θήρας χάριν ἐκπλεῖν (οἶδα γὰρ ὡς ἥξεις πάντως, εὐδοκοῦντος Θεοῦ),

(1) ΕΚ. τ. τραυμάτων οὐ φέρ.... (2) Λείπ. ἐκ τοῦ ΕΚ.

(3) Ἐν τῷ ΕΚ. ἕπεται· θυμηδίας τε ὅσης ἐνεπι[μ]πλάμην οὐκ ἔ. εἶπεν. Καὶ νῦν ἤδη π. καὶ τρ.... (*) Ματθ. Δ. 4. (4) ΕΚ. οἷς συνηχμαλώτισμαι. (5) ΕΚ. τῇ συνεχούσῃ τὰ σύμπαντα.

(6) ΕΚ. ταῦτα οὖν. εἰπ. καὶ πρὸς οὐρανὸν ἀνατείνουσα τοὺς ὀφθαλμοὺς ηὐχαρίστησε· διασχοῦσα δ. μ.... (7) ΕΚ. τολμῶντα λέγ. πάλιν ἀρξαμένη. «Τὰ μ. κ. ἐμ. ὦ ἄν.... (8) Ἐκ τοῦ ΕΚ. λείπει.

(9) ΕΚ. Ἡν. τοιγαροῦν· μέλλ. εἰς νέωτα.... ἕνεκα θ.

ἐν σκεύει λαβεῖν μοι καθαρῷ μίαν τῶν ἀχράντων μερίδων (1) τοῦ σώματος τοῦ Χριστοῦ· καὶ γὰρ ἐξ οὗ τὴν ἔρημον ταύτην ᾤκησα, τῆς τοιαύτης οὐκ ἠξίωμαι δωρεᾶς». Ταῦτα οὖν εἰρηκυῖα, καὶ μηδενὶ τὸ παράπαν εἰπεῖν (2) περὶ τούτων ἐντειλαμένη, σὺν εὐχῇ με πρὸς τοὺς ἑταίρους ἀφῆκεν. Ἐγὼ δὲ πάντα πληρώσειν συνθέμενος, χαίρων ἐξῄειν (3), ὅτι τοιούτου ἠξίωμαι τυχεῖν θησαυροῦ· καὶ ζῴων ἀγρίων θηρευτὴς ὢν, ἀνθρώπων γέγονα, εἰ μὴ προσήκει μᾶλλον ἀγγέλων καλεῖν. Κατὰ γοῦν τὸ πρόσταγμα τῆς Ὁσίας, ἡνίκα πάλιν μετὰ τῶν ἑταίρων ἔμελλον ἐξιέναι πρὸς θήραν ἐλάφων τε (4) καὶ ἀγρίων αἰγῶν, οὓς ἡ τοιαύτη νῆσος πολλοὺς καὶ (5) μεγίστους τῶν ἄλλων μάλιστα (6) τρέφει, θαῦμα ἰδεῖν τε καὶ διηγήσασθαι· τοῖς μὲν γὰρ ἐλάφοις τὴν χροιάν εἰσι παραπλήσιοι, μείζους (7) δὲ τὸ μέγεθος, ἢ κατ' ἔλαφον, τὸ δὲ κέρας δολιχὸν ὅσον ἑκκαιδεκάδωρον, οὐχ ὡς τῶν ἐλάφων ὄζοις καὶ παραφυάσι κοσμούμενον, ἀλλ' ἰθυτενὲς ὅλον καὶ (8) διὰ μιᾶς τῆς κεραίας περαινόμενον.

15. Ἐπεὶ (9) οὖν ἔμελλον ὡς εἴρηται πρὸς θήραν ἐκπλεῖν, λαβόμενος μερίδα τῆς θείας (10) τοῦ Κυρίου σαρκὸς ἐν πυξίῳ, πρὸς τὴν μακαρίαν ἐκόμιζον. Ἐν (11) τῇ νήσῳ δὲ γενόμενος καὶ πρὸς τὸν οἶκον τῆς Θεομήτορος ἐκκλίνας, ταύτης διήμαρτον, εἴτε πα-

(1) ΕΚ. δωρεῶν τ. σ. τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρ. κ. γ. ἐξ ὅ τ ο υ... κατῴκησα, τοιαύτης....

(2) ΕΚ. π. τούτων εἰπεῖν ἐντ....... ἀπέστειλεν.

(3) Ἐν τῷ ΕΚ. ἕπεται· ὅτι μου Θεὸς τὴν ἔφεσιν ἐξεπλήρωσεν, ὅτι με τοιούτου τυχεῖν ἠξίωσε θησ. Καταγοῦν.....

(4) Λείπ. τό τε ἐκ τοῦ ΕΚ. (5) τὸ κ α ὶ λείπ. ἐκ τοῦ ΕΚ. (6) ΕΚ. μᾶλλον. τρ: θαῦμ. καὶ ἰδέσθαι κ. δ. (7) ΕΚ. μ. δ' ἐλάφων τὸ μ., τὸ δὲ κ.

(8) ΕΚ. κ. μίαν τὴν κεραίαν προτεινόμενον. (9) ΕΚ. ὡς οὖν...

(10) ΕΚ. ἁγίας. (11) ΕΚ. ἐλθὼν δὲ ἐν τ. ν. καὶ πρὸς...

113. ρούσης | καὶ λανθανούσης, ὅτι μοι καὶ (1) συνανῆλθον τῶν ἑταίρων τινές, εἴτε καὶ ἀπούσης, λέγειν οὐκ ἔχω, πλὴν ὅτι διήμαρτον. Οἱ μὲν οὖν ἄλλοι πρὸς τὴν ὕλην θηρεύσοντες ὥρμησαν, ἐγὼ δέ, διαλαθὼν (2), πρὸς τὸν ναὸν ὑπενόστουν· καὶ δὴ παραχρῆμα (3) τὸ ἱερὸν ἀνεφάνη γύναιον, τὸ χιτώνιον περιβεβλημένον, ὅπερ πρότερον εἴληφε (4) παρ' ἡμῶν. Εἰς γῆν δέ μου καταβαλόντος ἐμαυτὸν (5), ἔδραμε καὶ σὺν δάκρυσι πόῤῥωθεν μηδαμῶς (6), ἔλεγεν, ἄνθρωπε, μὴ τοῦτο ποίει, τὸ θεῖον δῶρον ἐπιφερόμενος· μὴ καὶ φλέξῃς με τὴν ἀθλίαν, ἀτιμάζων τὰ θεῖα. Λαβομένη οὖν (7) τοῦ χιτῶνος, ἀνέστησεν. Ἐγὼ δὲ ἐξήγαγον τοῦ κόλπου μου τὸ πυξίον σὺν τῇ δεσποτικῇ Σαρκί, (8) κἀκείνη πεσοῦσα εἰς γῆν, τὸ θεῖον ἀπέλαβε, καὶ θρήνοις καὶ δάκρυσι τὴν γῆν βρέχουσα (9)· (φέρει γὰρ πολλάκις οὐ λύπη μόνον ἀλλὰ καὶ ἡδονὴ δάκρυον, οἱονεὶ τὸ ταπεινὸν καὶ πολυπενθὲς δηλοῦσα τῆς ἡμῶν φύσεως), νῦν ἀπολύεις, ἔλεγε, τὴν δούλην σου, Δέσποτα, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου (*), ὅτι μου τὴν ἄφεσιν τῶν ἁμαρτημάτων ἐν ταῖς χερσὶν ἔλαβον. Νῦν, ὅπου κελεύει τὸ σὸν κράτος, οἰχήσομαι».

16. Ταῦτ' εἰποῦσα, καὶ (10) τὰς χεῖρας ἐπὶ πολὺ εἰς οὐρανοὺς διατείνασα, μετ' εὐχῆς με πρὸς τοὺς ἑταίρους ἀπέστει-

(1) ΕΚ. ἀντὶ τοῦ, ὅτι μοι καὶ, ἐπειδήποθεν σ. καὶ τῶν ἑτ... τ. εἴτε ἀπ.... (2) ΕΚ. ἄνευ τῆς δια. (3) ΕΚ. παρευθὺ τ. ἱερ. ἀνέφανε γ.

(4) ΕΚ. εἰλήφει παρ' ἐμοῦ. (5) ΕΚ. ῥίψαντος ἑαυτόν.

(6) ΕΚ. ἔλεγε μ. ἄν. τ. ποίει... μὴ φλέξῃς.....

(7) ΕΚ. γοῦν μου...

(8) Ἐν τῷ ΕΚ. ἕπεται· πεσ. δὲ εἰς γ. ἐκείνη.

(9) ΕΚ. καταβρέχουσα ἔλεγε· νῦν ἀ. τὴν δ....

(*) Λουκ. Β'. 29.

(10) ΕΚ. τ. οὖν εἰπ. καὶ πρὸς οὐρανὸν τ. χ. ἐπὶ π. δ...

λεν. Ὀλίγας δέ τινας θηρεύσαντες ἡμέρας, καὶ δαψιλῆ (1) τὴν θήραν συσχόντες, ἐπανηρχόμεθα· κἀκείνους μὲν | ἡ πρὸς τὸ 114.
πλοῖον εἶχεν ὁδὸς, ἐγὼ δὲ πρὸς τὸ μέγα θήραμα τὸ ἐμὸν ἔθεον, τὴν εὐχὴν ταύτης ἐθέλων συνοδοιπόρον λαβεῖν. Γενόμενος δὲ κατὰ τὸν ναόν (2), εἶτα περιβλεπόμενος, ὡς ἴδοιμι ταύτην, ὢ ἄξιον ἐκείνης χαρᾶς ὅραμα, ἐμοῦ δὲ δακρύων! ὁρῶ κατὰ τὸν τόπον, ἔνθα καὶ πρὶν ἑωράκειν αὐτὴν, κειμένην οἴμοι! νεκράν. Πεσὼν οὖν καὶ τοὺς ὡραίους ὄντως φιλήσας πόδας, δάκρυσί τε καταβρέξας αὐτοὺς, ἐνεὸς εἱστήκειν ἐπὶ πολὺ διαπορούμενος ὅ,τι καὶ διαπράξαιμι. Σοφὸν μὲν οὖν ἦν καὶ συμφέρον ἄρα, δάκρυσιν ἐξιλεωσάμενον τὸν Θεὸν, καὶ δεηθέντα τῆς μακαρίας, αὐτῇ ἐπιτρέψαι τὴν οἰκονομίαν τοῦ πράγματος, καὶ ὥσπερ ἔδοξεν ὑπουργῆσαι ταύτῃ θελήματι θείῳ· εἰ δὲ τούτου διήμαρτον, κατὰ δεύτερον, τὸ ᾀδόμενον, πλοῦν, τοῖς ἑταίροις ἐχρῆν τὸ δρᾶμα κοινώσασθαι, καὶ τάφῳ σὺν αὐτοῖς καταθεῖναι τῆς Ὁσίας τὸ λείψανον. Ἀλλ', ὡς ἔοικε, δυσθήρατον χρῆμα ἡ τοῦ εὖ ἔχοντος ἐν πολλοῖς γνῶσις· ὅθεν αὐτὸς τοῦ καλοῦ τε καὶ πρέποντος διημάρτανον,

(1) ΕΚ. Ὀλιγ. δ. θηρ. ἡμ. κ. δ. ἀγρεύσαντες θήραν, ὑπεστρέφομεν· κἀκεῖνοι μὲν ὥρμησαν πρὸς τὸ πλοίαριον ἐγ. δὲ ἔτρεχον τῆς μακαρίας τὴν εὐχὴν συνοδοιπόρον λαβεῖν.

(2) ΕΚ. νεὼν εἶτα περ. θεάσασθαι τ. ὁρῶ κ. τ. ἔν. κ. πρ. ἑωρ. αὐτ. μεταλλάξασαν. Πεσὼν οὖν καὶ ἀσπασάμενος τοὺς τιμίους αὐτῆς π. καὶ δακρ. καταβρ. ἐν. εἱστ. ἐ. π. δ. ὅ,τι. κ. διαπράξομαι. Σῶφρον... ἄρα κ. συμφέρειν (γρ. συμφέρον) δ. ἱκετεύσαντα τὸν Θεὸν, κ. δυσωπήσαντα τὴν Ὁσίαν, αἰτῆσαι τὴν οἰκονομίαν τ. πρ. κ, καθὼς ἔδειξεν ὑπ. τῷ θείῳ προστάγματι: εἰ. δ. τ. δ. δεύτερον ἐχρῆν τὸ δὴ λεγόμενον μετίεναι πλοῦν, τ. ἑτ. τ. δρ. κοιν. τάφ. καταθ. σὺν αὐτοῖς τ. μακαρίας τ. λείψ, ὑμνήσαντες ὅση δύναμις. Ἀλλ' ὡς ἔ. δυσθ. χρ. τὸ σωφρονεῖν. Ὅθεν καὐτ. τ. κ. διημάρτηκα καὶ τοῦ πρέποντος,

ἀγροικίᾳ δὲ καὶ φρενῶν ἐλαφρίᾳ (τί γὰρ ἂν καὶ μέγα διενοήθην ἰδιώτης καὶ ἐπὶ θήραν ἐπτοημένος ἀνήρ;) τολμηρόν τι πεποίηκα, πίστει μὲν ὡς ἐδόκουν, πλὴν ἀλλ' οὐκ ἀρέσκον Θεῷ, καθὼς αὐτὸ τὸ πέρας ἔδειξεν· ἐ π ε ὶ μ η δ ὲ κ α λ ὸ ν, φασί, τ ὸ κ α λ ὸ ν, ο ὐ κ α λ ῶ ς γ ι ν ό μ ε ν ο ν. Τὴν γὰρ αὐτῆς ἀποτεμόμενος χεῖρα καὶ ὀθόνῃ περιειλήσας, κατέρχομαι εἰς τὴν ναῦν.

114. 17. | Βαθείας γοῦν ἑσπέρας ἀναχθέντες ἀπὸ τῆς γῆς, καὶ τὸ ἱστίον (1) πετάσαντες, ἐφερόμεθα. Αἰσιῶς (2) δὲ τῶν ἀνέμων πνεόντων, ὥσπερ τῆς νηὸς ἱπταμένης, ἅμα φωτὶ τὴν Εὔβοιαν καταλαβεῖν ᾠήθημεν. Τὸ δὲ ἦν ἀτεχνῶς μάταιον· ἐπεὶ γὰρ ἡμέρα ἦν, ἐν τῷ αὐτῷ ὄντες λιμένι πάλιν εὑρέθημεν, καὶ ἡ ναῦς ἐῴκει πεπεδῆσθαι, πάσαις τε κώπαις καὶ ἀνέμοις ἦν ἀπειθής. Δέος οὖν ἔλαβε πάντας, καὶ εἰς ἀλλήλους ὡρῶμεν, τὴν αἰτίαν τοῦ πράγματος οὐκ ἔχοντες συμβαλεῖν. Ὀψὲ δέ μοι τὸ τῆς θείας χειρὸς ἐπὶ νοῦν ἐλθὸν, καὶ διανοηθείς, μήποτε τοῦτο εἴη, ὃ ἀνθέλκει τὴν ναῦν, λαβὼν ταύτην καὶ λαθὼν ἀνῆλθον εἰς τὸν ναόν· καὶ παραθεὶς αὐτὴν τῷ λοιπῷ σώματι, κατῆλθον εἰς τὸ πλοῖον, καὶ εὐθὺς ἐλυόμεθα. Ὡς

ἀγρ. κ. φρ. κουφότητι (τί γ. ἂν κυνηγὸς καὶ ἰδιώτης διεν. καινότερον;) ὅμως τολμ..... πλὴν ὡς ἔοικεν οὐκ ἀρέσκον Θεῷ. Τὴν γ. ταύτης ἀ. χ. κ. λινῷ π. ὑφάσματι κατῆλθον εἰς τ. ναῦν.

(1) ΕΚ. τὴν ὀθόνην. (2) ΕΚ. αἰσίων τε τ. ἀν. πν. ἐξ οὐρίας, ὥσπερ ἱπτάμενοι, προσεδοκῶμεν πρωΐθεν ἥξειν εἰς Εὔβοιαν. Ὡς δὲ ἔφαυσεν ἡμέρα πάλιν εὑρέθημεν εἰς τὸν αὐτὸν ἑστῶτες λιμένα, καθάπερ ὑπ' ἀγγύρας, ἤ τινος ἰχθύος ναυκράτου τῆς νηὸς ἐχομένης. Φόβος οὖν ἔλ. ἅπαντας καὶ δέος, κ. ἀλλ'. περισκοποῦντες σύντρομοι τὴν αἰτίαν ἐζητοῦμεν τοῦ πράγματος, διερευνόμενοι καὶ ἀνακρίνοντες, μήπου τι τῶν ἀνηκέστων ἡμῖν πεπραγμάτευται, δι' ὅπερ εἰργόμεθα. Ὡς δὲ ἄλλος ἄλλο διαπορούμενος ἔλεγε, συνεὶς ἐγὼ τὸ τολμηθὲν ἀνῆλθον εἰς τὸν ναὸν, καὶ

126. θέμενος τὴν χεῖρα πρὸς τῷ τῆς ἁγίας | σώματι, κ. εἰς τ. πλοιάριον.

γὰρ τοῖς ἑταίροις πλεῖν διεκελευσάμην, ἥλατο θᾶττον ἡ ναῦς,
καὶ πτηνή τις εἶναι παραδόξως ἐδόκει, τῆς ὀθόνης τοῦ πνεύ-
ματος ὑποπιμπλαμένης· ὁδοῦ τε ἀληθῶς εἰχόμεθα, καὶ τότε
διεξῄειν ἐγὼ τοῖς ἑταίροις τὸ δρᾶμα, καὶ ὡς εὗρον τὴν μα-
καρίαν, ὡς τὰ κατ' αὐτήν μοι πάντα ἀνήγγειλεν, ὡς τῆς θείας
δωρεᾶς μετέσχεν, εἶτα καὶ ὅπως κοιμηθεῖσαν εὕροιμι· καὶ
τελευταῖον τὸ μέγα τόλμημα, ὡς τὴν χεῖρα ταύτης ἀφέλοι-
μι, δι' ἣν καὶ ἡ ἐπίσχεσις τῆς νηὸς ἦν, καὶ ὅπως ἀποδοθεῖσα
πάλιν, καὶ τὴν ναῦν εὐθὺς ἔλυσε. Ταῦτα ἐκεῖνοι ἀκούσαν-
τες, πολλά τε ἡμᾶς τῆς σιωπῆς ἐμέμφοντο, καὶ] πρύμναν εὐ- 115.
θὺς ἐκρούσαντο, σπουδῇ τε πολλῇ πρὸς τὴν Πάρον ἀνεστρέφο-
μεν, καὶ πάντες ὁμοῦ πρὸς τὸν ναὸν ἐχωροῦμεν, δέει τε κα-
τεχόμενοι, καὶ πίστει παρακροτούμενοι.

18. Ἐγγίσαντες οὖν, τὸν μὲν τόπον εὕρομεν ἔτι τῆς τοῦ
σώματος θέσεως ἀποσώζοντα τύπον, γέγονε δὲ ὁ νεκρὸς ἀφα-
νής. Ἔκπληξις οὖν ἔλαβεν πάντας, καὶ τῇδε κἀκεῖσε περιεθέο-
μεν, περισκοποῦντες, περιβλεπόμενοι, αὐτὸ τὸ τῶν κυνῶν ποι-
οῦντες ἡμεῖς οἱ θηρευταί, ῥινηλατοῦντες τὴν μακαρίαν, μήπου

Διακελευσάμενος δὲ τοῖς σὺν ἐμοὶ τῆς πορείας ἠρχόμην. Ὡς δὲ ἐξήλθομεν ἐπὶ πολὺ, πτηνή τις ἦν ἡ σκάφη λοιπὸν, τῆς ὀθόνης πληρουμένης τοῦ πνεύματος καὶ ἀκώλυτος ἡ ὁδὸς καὶ εὐθεῖα· καὶ τότ' ἐγὼ διεξῄειν τ. ἑτ. τ. δρ., κ. ὡς εὗρ. τ. μ., καὶ ὡς τ. κ. αὐτὴν ἀνήγγειλα καὶ τὸ τῆς θείας δωρεᾶς καὶ τὴν αὐτῆς κοίμησιν, καὶ ὅτι, τὴν χεῖρα ταύτην ἔχων, εἰσῄειν ἑσπέρας, καὶ δι' αὐτὴν ἐκρατούμεθα τάχα, κἂν ἠλπίζομεν ἐκπλεῖν· καὶ νῦν ὅτι περ εὐθυποροῦμεν, ἐπείπερ ἀπεθέμην τὸ λείψανον. Ταῦτ' οὖν ἀκούσαντες ἐκεῖνοι, καὶ πολλὰ καταμεμψάμενοι, πρύμναν τε εὐθέως ἐκρούσαντο, καὶ σπουδῇ πολλῇ πρὸς τὴν Πάρον ἀνέστρεφον, κ. π. ὁμ. δρόμῳ πρὸς τ. ν. ἐχ., διορρωδοῦντες μὲν καὶ τρέμοντες, πίστει δὲ θαρροῦντες, ὅμως πρόσιμεν· καὶ τὸν μὲν τόπον εὕρομεν ἤδη τῆς θέσεως, ὥσπερ τὸν τύπον τοῦ σώματος διασώζοντα, γ. δ. ὁ ν. ἀφανής. Θάμβος οὖν ἔλ. ἅπαντας καὶ τρόμος, καὶ τῇδε κ. διεθέομεν, π. περιβλ. μήπου

μετέπεσεν, ἢ ἀνεβίω. Καὶ τοῦτο γὰρ οὐκ ἀνέλπιστον ἦν ἐπὶ βίου τοιαύτῃ καινοτομίᾳ καὶ ἀρετῆς θαύματι· ἄλση τε καὶ ὕλας ἐξιχνεύοντες, εἴπου τὸ θεῖον ἐκεῖνο κειμήλιον κρύπτεται, οὐδὲν τὸ παράπαν εὑρεῖν εἴχομεν. Οὐκ οἶδα, εἴτε τοῦ Θεοῦ τὸ ἱερὸν ἐκεῖνο μεταθέντος σῶμα, ἔνθα φίλον αὐτῷ, εἴτε μένοντος μέν, ὅπου καὶ ἦν, ἡμῶν δὲ ἰδεῖν κωλυθέντων, ἵνα καὶ μείζων ὁ μισθὸς γένοιτο τῇ διαμαρτίᾳ τοῦ ποθουμένου.

19. Οὕτως οὖν τοῦ τιμίου φημὶ λειψάνου τῆς μακαρίας ἀποτυχόντες, κατήλθομεν εἰς τὴν ναῦν, καὶ ἀναχθέντες ἀπὸ τῆς γῆς, ἀπῄειμεν οἴκαδε, δοξάζοντες τὸν Θεὸν, τὸν ἑκάστοτε ποιοῦντα παράδοξά τε καὶ ἐξαίσια». Ταῦτα, ὡς ἀνωτέρω λέλεκται, διηγησάμενος ἐκεῖνος ὁ μακάριος τοῦ Θεοῦ ἄνθρωπος, καὶ ὅρκῳ προσησφαλίσατο, μὴ λήθης βυθῷ παραπέμψαι τὴν
115. παροῦσαν ὑπόθεσιν, μηδὲ κατὰ πρόφασιν | ἡντιναοῦν σιωπῇ
τὸ θαῦμα καλύψαι, καὶ μὴ ἀνάγραπτον αὐτὸ τῷ αἰῶνι παντὶ δωρήσασθαι, τήν τε θείαν Νέμεσιν καὶ τῆς Ὁσίας τὴν ἀγανάκτησιν ὑφορωμένους. Ἐμοῦ δὲ πυνθανομένου τόν τε χρό-

126. μ. | ἢ ἀν. καὶ πᾶσαν τὴν ὕλην καὶ τὰ ἄλση περιεθέομεν, ἐξιχνεύοντες, εἴπ. τ. θ. ἐ. κ. κέκρυπται. Δείλαιοι καὶ ἀνόητοι καὶ παχύδερμοι, ἄνϑρωποι καὶ ὄντως ἀκίχητα διώκοντες καὶ τῶν ϑείων ὄντες ϑαυμάτων ἀμύητοι· μηδὲ τὸ τοῦ Ἐλισσαίου δυσωπούμενοι ϑαύματι, ὃς τοὺς ἐκ τῶν Σύρων βασιλέων συλλαβεῖν τοῦτον ἐκπεμθέντας, μέσων αὐτῶν ἐλάνθανεν ὢν ἀορασίᾳ τε περιβαλὼν τούτους, εἰς Σαμάρειαν ἦγε καὶ τῷ βασιλεῖ παρεδίδου· ἐῶ γὰρ λέγειν [τὸ] τοῦ μεγάλου ϑαυματουργοῦ, ὃς τοὺς ἀνιχνεύοντας αὐτὸν πρὸς τὸ συλλαβεῖν ἐν τῷ ὄρει προσευχόμενος, ἐλάθανε δενδρωθείς. Διαμαρτήσαντες οὖν κἂν τούτῳ τοῦ τιμίου τῆς μακαρίας λειψάνου, φησὶ, κατήλθομεν εἰς τὴν ναῦν καὶ ἀναχθέντες ἀπὸ τῆς γῆς ἀπῄειμεν οἴκαδε, δοξάζοντες καὶ ὑμνοῦντες τὸν Θεὸν, τὸν ἑκάστοτε π. παρ. κ. ἐξαίσια». Ταῦτα ὡς ἀν. μοι λ., δ. ὁ μ. ἐκ. καὶ μέγιστος ἄνθρωπος, ὅρκοις προησφαλίσατο, μήποτε λήθης βυθοῖς
127. παρ. τ. π. ὑπ., μηδὲ προφάσεις προφασισάμενον | σιγῆσαι τὸ ϑαῦμα
τήν τε ϑείαν Νέμεσιν κ. τ. Ὁσ. τ. ἀγ. ὑφορώμενον. Πυνθανομένῳ

νον καὶ τὴν ἡμέραν τῆς τελευτῆς, ἵνα καὶ συγγραφῇ πάντως τῷ θαύματι, καὶ ἡ μνήμη δι' ἔτους τελῆται, ὁ ἱερὸς ἐκεῖνος ἄνθρωπος· « πολλά, εἶπεν, ὡς ὁρᾷς, ἀγαπητέ, τοῦ διηγήματος παραλέλειπται. Καὶ γὰρ ἐχρῆν καὶ τὸ γένος καὶ τὴν ἐν τῇ νήσῳ πᾶσαν αὐτῆς ἄσκησιν, ὅπως τε πρὸς τὰς τῶν ἀντικειμένων ἐχθρῶν ἠγώνισται προσβολὰς ταυτὶ πάντα γνώριμα εἶναι ἔδει. Ἀλλὰ τί πάθω τοῦ τῇ μεγάλῃ, φησίν, ἐντυχόντος, μὴ κατὰ τὸν μέγαν ὄντως Ζωσιμᾶν, ὃς ἠπίστατο βίους καὶ ἀγῶνας ἀνιχνεύειν καὶ κατορθώματα; τοὐναντίον μὲν οὖν ὀρειφοίτης (1) ἐκεῖνος καὶ παχὺς ἄνθρωπος καὶ τῶν τοιούτων ἀνήκοος. Πλὴν ἓν τοῦτο διὰ μνήμης εἶχεν, ὡς ἔλεγεν, ὅτι φθινούσης ὀπώρας (2) ὁ καιρὸς ἦν, καὶ πρὸς αὐτὸν τὸν Νοέμβριον.

20. Ἀλλ' ἀγαπητὸν πάντως τὸ καὶ ἁπλῶς οὕτω γραφῇ τὸν βίον τῆς μακαρίας παραδοθῆναι εἰς πολλῶν ψυχῶν τῶν ἐντευξομένων ὠφέλειαν· τὴν δὲ μνήμην οἱ σπουδαῖοι καὶ φιλεόρτοι τῶν ἀνδρῶν, καθ' ὃ βούλονται καὶ φίλον αὐτοῖς τοῦ χρόνου, τάξουσιν. Οὐδὲν γὰρ ὅσα γε εἰς τὴν μνημονευομένην, τὸ κατὰ τήνδε τὴν ἡμέραν τὴν αὐτῆς μνήμην | ἑορτάζεσθαι, 116.
ὁπόταν οὐδὲ αὐτὸ τὸ πανηγυρίζειν ὅλως· τίνα γὰρ εὔκλειαν προσθήσει καὶ δόξαν ἐγκώμια καὶ πανηγύρεις, οἷς τῶν οὐρα-

δέ μοι τὸν χρ. κ. τ. ἡμ. τ. αὐτῆς τελ. ἵν. κ. σ. π. τ. θ. κ. τελῆται τὸ ταύτης μνημόσυνον, ὁ ἱερ. ἔλεγεν ἄν: πολλὰ μὲν ὡς αὐτῆς διεξελθεῖν ἄσκησίν τε καὶ κάκωσιν, καὶ ὅπως πρὸς διηγώνισται προσβολάς· ἀλλὰ τί πάθω τοῦ προστυχόντος τῇ μεγάλῃ μὴ κατὰ τ. μ. ὄν. Ζ.

(1) ΕΚ. ὀρεσίτροφος καὶ παχὺς καὶ τῶν τ.

(2) ΕΚ. ὅτι εἴη φθινοπώρου καιρὸς καὶ πρὸς τὸν Νοέμβριον. Πλὴν ἀγαπητὸν τὸ καὶ γραφῇ τ. β. τ. μ. παραδοθῆναι καὶ μὴ λήθης καταχωσθῆναι βυθῷ· τὴν δὲ μνήμην, σπουδαῖοι πάντως ἄνδρες καὶ ζηλωταὶ ταύτης, εὐκαίρως ἐν ἡμέρᾳ καθὼς ἀρέσκει | τάξουσιν ἑορτῆς. Τίνα 127.
γὰρ εὔκλειαν προσθήσω καὶ δ. ἐγ. κ. παν., οἷς ἡ τ. οὐρανῶν βασιλεία

νῶν ἡ βασιλεία καὶ τὰ ἀΐδια κεκλήρωται ἀγαθά, εἰς ἃ ποθοῦσι καὶ αὐτὰ τῶν ἀγγέλων τὰ τάγματα παρακύψαι; πλὴν εἰμὴ ζῆλον ἄρα τοῖς συνοῦσι καὶ κέντρον εἰς ἀρετὴν αὐτοῖς τε τοῖς πανηγυρίζουσι μισθὸν προξενήσει».

21. Ταῦτα ὁ μέγας ἄνθρωπος ἐκεῖνος ἡμῖν παραθέμενος, καὶ ἄλλα προσθεὶς τὰ πρὸς σωτηρίαν συντείνοντα, ἐξαπέστειλεν. Ἐπιφόρων δὲ ἀνέμων πνευσάντων, τῇ ἐπιούσῃ κατήχθημεν εἰς τὴν Δίαν, ἐξ ἧς εἰς Κρήτην. Ταῦτα δὲ πάντως τῆς ποικίλης ἦν καὶ πανσόφου προνοίας ἔργον Θεοῦ· τὸ τὸν μοναχὸν ἐκεῖνον ἡμᾶς ἰδεῖν, τὸ ἐντυχεῖν αὐτῷ καὶ εἰς λόγους ἐλθεῖν, ἀκοῦσαί τε παρ' αὐτοῦ, ὅσα ἐκεῖνος πάλιν παρὰ τοῦ θηρατοῦ μάθοι, ἃ καὶ μᾶλλον σοφὴν ἔχει καὶ παράδοξον τὴν οἰκονομίαν, τὸ τὴν Ὁσίαν ἰδεῖν, καὶ ἐν καιρῷ τοιούτῳ ἰδεῖν, ὅτε καὶ τὰ τοῦ τέλους ἐγγίζοντα ἦν, ὥστε μὴ λαθεῖν τηλικούτου βίου κοινωφελὲς διήγημα· τὸ λειτουργῆσαι αὐτὸν λειτούργημα τοιοῦτον τῆς τοῦ Θεοῦ φημὶ δωρεᾶς τῇ ταύτης ἀξίᾳ, τὸ θανοῦσαν ἰδεῖν, καὶ τὸ ἐπὶ τῇ χειρὶ δρᾶσαι, τόλμης ἔργον ὁμοῦ καὶ πίστεως, καὶ δι' αὐτὴν πάλιν ἄλλον προβῆναι τρόπον οἰκονομίας θαυμασιώτατον, καθ' ὃν ἥ τε τῆς μακαρίας,
116. οἰκείωσις πρὸς Θεὸν δήλη γέγονε, ναῦν τε ἐπέχουσα | κλαπείσῃ χειρί, καὶ πάλιν ἀποδοθείσῃ λύουσα, γνώμης τε δοκιμασία τῶν συνθηρατῶν καὶ συμπλόων καὶ ψυχῶν εὐγενῶν δήλωσις, οἳ κρείττους ὄκνου παντὸς ὀφθέντες, ἑκούσιόν τε πάλιν ὑποστροφὴν προτιμήσαντες διὰ μόνην περιουσίαν πίστεως· αὐτοὶ μὲν ταύ-

κ. τ. ἀΐδ. κ. ἀγ., εἰς ἃ ποθοῦσι καὶ τῶν ἀγγέλων παρακύψαι τὰ τάγματα, πλὴν εἰμὴ ζῆλον ἄρα τοῖς συνιοῦσιν, καὶ δόξαν Θεῷ καὶ μακαρισμὸν αὐτῶν τῶν μνημονευομένων; οὗς γὰρ ὁ βίος ἐδόξασθεν, εἰκότως καὶ μακαρίζει καὶ σεμνύνει διαγγελλόμενος». Ταῦτα ὁ μ. ἄν. ἐκ. ἡμ. παραθέμενος καὶ παρακαλέσας ἐπιεικῶς, ἐξαπέστειλεν. Αἰσίων δὲ τῶν ἀν. πν. τῇ ἐπαύριον κατ. εἰς τ. Δίαν. Τὸ δέ, ἐξ ἧς εἰς Κρ. μέχρι τοῦ διεξάγουσα (σ. 39) λείπει ἐκ τοῦ ΕΚ.

της ἀπηρτισμένον τὸν μισθὸν ἀπεῖχον, τὸ δὲ μεῖζον πάντων ἡ θεία Πρόνοια στρέφουσά τε καὶ ποικίλλουσα ἦν, τὸ τὴν ἁγίαν ὀφθῆναι καὶ κρείττω ταφῆς, ἅτε ὅλως ὑπεράνθρωπον ζήσασα, μᾶλλον δὲ λόγοις, οἷς αὐτὴ οἶδεν ἡ πάντα τὰ καθ' ἡμᾶς βαθέως οἰκονομοῦσα καὶ διεξάγουσα.

22. (1) Τοῦτο τῆς ἐν Πάρῳ καταγωγῆς ἡμῶν καὶ τῆς ἐπὶ Κρήτην πορείας τὸ μέγα καὶ παρ' ἐλπίδας ἐμπόρευμα. Οὗτος ὁ βίος τῆς μακαρίας Θεοκτίστης. Αὕτη ἡ ἄσκησις οὐ γυναιξὶ μόνον, ἀλλὰ καὶ ἀνδράσιν αὐτοῖς μιμήσασθαι χαλεπή. Οὕτως ἡ ἀσθενὴς φύσις, τὸ εὐτελὲς γύναιον, οὐδὲν πλέον εἰδὸς ἱστοῦ καὶ ἠλακάτης, πρὸς τὰς ἀρχάς τε καὶ ἐξουσίας διηγωνίσατο, καὶ τὸν παλαιὸν ἐνίκησε πτερνιστήν, ἐνδυναμωθὲν καὶ αὐτὸ ἀπὸ ἀσθενείας τὸ τοῦ Παύλου καθ' ὥραν εἰπεῖν καὶ ἰσχυρὸν γενόμενον ἐν πολέμῳ (2), εἰς δόξαν καὶ αἴνεσιν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν· ὅτι αὐτῷ πρέπει τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

(1) Τοῦτο τῆς ἐν Πάρῳ καταγωγῆς ἡμῶν τὸ περίβλεπτον κέρδος. Τοῦτο τῆς ἐπὶ Κρήτην πορείας παρ' ἐλπίδας ἐμπόρευμα. Οὗτος ὁ βίος τῆς μακαρίας Θεοκτίστης. Αὕτη ἡ ἄσκησις καὶ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τὸν κοσμοκράτορα τοῦ σκότους τοῦ αἰῶνος τούτου πάλη καὶ ἀντιπαράταξις. Ἐγὼ δὲ παρῆλθον ὑπακοὴν πληρῶν, καὶ τὸ χρέος ἀφοσιούμενος ἐξ οὗ τί ἂν γένοιτο; Πολλὰ μὲν καὶ ἄλλα, τρία δὲ | ταῦ- 128.
τα καὶ μέγιστα· αὐτῷ μὲν τῷ τούτων χορηγῷ τε καὶ πρύτανι Θεῷ, ὕμνος, ἐξομολόγησις καὶ δόξα· τῇ Ὁσίᾳ δέ, μακαρισμὸς παρὰ τοῦ λόγου, καὶ τὸ ἐτήσιον σὺν εὐφημίᾳ μνημόσυνον, καὶ τοῖς γράψασιν ἡμῖν ὁ μεγαλοδώρος καὶ μέγας ἡμῶν Θεὸς Ἰησοῦς Χριστὸς τῆς προθυμίας δαψιλεύσοι τὴν ἀμοιβήν. Πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρὸς τῆς Θεοτόκου, τῶν θεοειδῶν ἀγγέλων, καὶ πάντων τῶν ἁγίων· ὅτι αὐτοῦ ἐστὶν ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν!

Ἕπεται ἑξῆς μεταγενεστέρου τινὸς ἀναγνώστου· «Ἁγία τοῦ Θεοῦ Θεοκτίστη ἐλέησόν με τὸν ἁμαρτωλόν». (2) Ἑβρ. ΙΑ. 34.

ΠΛΩΤΙΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΠΑΝΕΝΔΟΞΟΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΑ ΔΗΜΗΤΡΙΟΝ (*).

Εὐλόγησον, πάτερ.

1. Ἔοικεν ὡς ἀληθῶς μηδὲν τῶν καλῶν οὕτως εὐφραίνειν
τὰς τῶν εὐσεβῶν διανοίας καὶ πρὸς ἀρετὴν ὁμοῦ τε καὶ ζῆλον
τοὺς φιλομάρτυρας διεγείρειν, ὡς ἡ τῶν Χριστοῦ μαρτύρων ὁ-
σία μνήμη καὶ τελετὴ, καθάπου καὶ ὁ σοφώτατός φησι Σολο-
μών· Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται
λαοὶ πολλοί (1). Καὶ γὰρ διὰ τῆς ἐτησίου ταύτης περι-
τροπῆς, ὥσπερ ἔκ τινος θείας φωτοφανείας, ἡ εὐκταία καὶ με-
στὴ χαρίτων ἡμέρα αὕτη τὴν τοῦ μάρτυρος ἡμῖν ὑπέγραψε
* 113. χαρμόσυνον μνήμην, | ἥτις κατηύγασεν ἅπαν τὸ τῆς Ἐκκλη-
σίας πλήρωμα, ἀλλὰ καὶ τοὺς οἱφδήποτε κρατηθέντας ἀνθρω-
πίνῳ πάθει μέχρι καὶ τήμερον εἰς ἡμερότητα μετέβαλεν, καὶ
ἁπαξαπλῶς πάντας τοὺς δεῦρο προθύμως συνεληλυθότας ἄλ-
λους ἐξ ἄλλων εἰργάσατο. Ὅθεν ἔστιν ὁρᾶν ἅπασαν ἡλικίαν
ἐπὶ τὸν θεῖον νεὼν τοῦ μάρτυρος ἐκχυθεῖσαν καὶ τὸν Θεὸν,
οἷα εἰκὸς ἐξαιτουμένην, διὰ θείας τούτου ἱκετηρίας δοθῆναι

(*) Ἑλληνικὸς κῶδιξ τῆς ἐν Παρισίοις ἐθνικῆς Βιβλιοθήκης, ἀ-ριθ. 501, φύλλ. 113—122, ἀντιβληθεὶς πρὸς τὸν ἐν τῇ Μαρκιανῇ κώδικα Nan. CXLIII, φύλλον 137.

(1) Σολ. Δ. 14.

πᾶσι τὴν τῶν δεινῶν ἀποφυγὴν καὶ τῶν θείων δωρεῶν τὴν ἀπόλαυσιν. Ἀλλ' εἰ βουλόμεθα τῆς ἐφέσεως ταύτης ἐντὸς γενέσθαι καὶ τῆς τῶν σωζομένων μερίδος κοινωνοὶ φανῆναι ἡμεῖς, ὁ περιούσιος τοῦ Χριστοῦ λαός, τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα (1), ὁποίους σήμερον ἡμᾶς, φιλανθρώπους, συμπαθεῖς, ἐλεήμονας εἰς ἀρετῆς ἐπίδοσιν ἑτοίμους ἡ τοῦ μεγίστου τῶν μαρτύρων ἱερὰ μνήμη κατεσκεύασε, τοιούτους ἑαυτοὺς διασώζοιμεν καὶ τὸν ἄλλον ἅπαντα τῆς ζωῆς ἡμῶν βίον. Ἀλλὰ καιρὸς ἤδη λοιπὸν τῶν τοῦ μάρτυρος ἐγκωμίων ἐφάψασθαι καὶ τὰ εἰκότα ἀποδοῦναι τῇ πανηγύρει.

2. Οἱ μὲν οὖν ἄλλοι πάντες τοῖς τῶν ἐγκωμίων νόμοις ἑπόμενοι, καὶ διὰ τοῦτο πατρίδα καὶ γένος καταριθμοῦντες καί τινα ἕτερα ἐπιφημίζοντες ἔξωθεν, ἐκ τούτων οἴονται τῶν μικρῶν καὶ χαμαὶ βαινόντων τοῦ ἐγκωμιαζομένου ἀποσεμνύνειν τὴν δόξαν, | ἅτινα πέφυκεν ἔξωθεν τῶν τῆς ψυχῆς καλῶν καὶ 114.
πρὸς τὸ τῆς ἀρετῆς ὕψος μικρόν, ἢ οὐδὲν συντελοῦντα· ὁ δέ γε τοῦ Χριστοῦ μάρτυρα προελόμενος ἐγκωμίοις καταγεραίρειν, καὶ μάλιστα τὸν μέγαν Δημήτριον, τὸ πάντων μαρτύρων ἐγκαλλώπισμα καὶ τῆς πιστῶν ὁμηγύρεως καρτερώτατον ἔρεισμα, τούτων οὖν, ὧν πρόσθεν ἐμνήσθην, ἀφέμενος, τὸ τῆς ψυχῆς ἀνάστημα καὶ τὸ τῆς ἀρετῆς ἀπρόσιτον, εἰ καὶ κατ' ἀξίαν ἀποδέωμεν λόγῳ πάντως τοῦτο δηλῶσαι, ἀλλ' οὖν γε ὅση δύναμις τούτῳ οἰστέον εἰς ἔπαινον. Ἀλλ' ἵνα μὴ πάλιν τὴν πατρίδα τοῦ φιλοπόλιδος παρατρέχοντες καὶ τῆς ἐκείνου δόξης ταύτην ἀποστεροῦντες, φανῶμεν εἰς αὐτὰ τὰ καιριώτατα ζημιοῦντες τὴν περιφανῆ τῶν Θεσσαλονικέων μητρόπολιν, ἥτις πλέον τὸ περιφανὲς καὶ ἐπίσημον ἀπὸ τῆς τούτου σεπτῆς μαρτυρίας ἢ πάλαι ἀπὸ τοῦ τοὺς θεμελίους ταύτῃ καταβαλο-

(1) Ἐπ. Α. Πετρ. κεφ. Β. 9. καὶ ΕΞ. ΙΘ. 6.

μένου ἐκληρώσατο, ἣν οὗτος μᾶλλον λαμπρὰν καὶ αἰδέσιμον καὶ πᾶσι τοῖς ὑπ' οὐρανὸν γνώριμον διαδείκνυσιν, ἥπερ ἡ μεγαλόπολις αὕτη τὸν γενναῖον τοῦ Χριστοῦ μάρτυρα, ὡς ἐν βραχεῖ ταύτης ἐπιμνησθήσομαι.

3. Αὕτη τοιγαροῦν ἡ λαμπρὰ μεγαλόπολις, ἡ τὰς ἄλλας ἁπάσας τῶν πόλεων δόξῃ ὑπερβάλλουσα, τοῦ πανενδόξου μάρτυρος γίνεται πατρίς, ἐξ ἧς ὥσπερ τις ἡμεροφανὴς ἀστὴρ ὁ μέγας ἐν μάρτυσι Δημήτριος ἀνατείλας, οὐ μόνον πᾶσαν τὴν
114. ἑσπέριον | κατεφώτισε λῆξιν, ἀλλὰ καὶ αὐτὰ τὰ ἔσχατα ἡ ἐπανθοῦσα τῷ μάρτυρι χάρις κατηύγασε τῆς ἑῴας. Ἐν ταύτῃ οὖν τῇ πανευδαίμονι μητροπόλει ὁ μακάριος μάρτυς γεννηθεὶς ἅμα καὶ ἐκτραφείς, καὶ τὴν ἐγκύκλιον παίδευσιν ἔτι κομιδῇ νέος ὢν τῇ τῆς φύσεως εὐκληρίᾳ ἄριστα ἀσκηθείς, ὡς εἰς ἄνδρας ἀφίκετο, εἷς τῶν ἐν τέλει ἐξητάζετο τῆς συγκλήτου, μᾶλλον δ' εἰπεῖν δέ (1), διὰ τὸ τῆς φύσεως εὐγενὲς καὶ τὸ τοῦ ἤθους εὐσταθὲς καὶ τῇ τῶν τρόπων καλοκἀγαθίᾳ, τῶν τὰς μεγίστας ἀρχὰς διεπόντων οὗτος τὴν πρώτην ἀπηνέγκατο τάξιν. Ἀνθύπατος γὰρ πάσης τῆς Ἑλλάδος ἀναῤῥηθεὶς καὶ ταύτην, ὡς εἰκός, τὴν μεγίστην διέπων ἀρχήν, οὐ καθυφῆκε τὸν τόνον τῆς ψυχῆς τὸ τοῦ ἀξιώματος ὕψος, οὐδὲ παρέτρεψε τοῦ νοῦ τὸ ἀξίωμα τὸ ῥευστὸν τῆς ἐπικήρου δόξης, ἀλλά, πάντα ὄγκον ἀξιωμάτων παρωσάμενος καὶ ὡς μὴ ὄντων ἀλογήσας, τοῖς βουλομένοις ταῦτα παρῆκεν· αὐτὸς δὲ τὸ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν διαφυλάττων ἀνόθευτον καὶ ἐν πᾶσι τηρῶν ἀνεπιθόλωτον ἀνακεκαλυμμένῳ προσώπῳ καὶ ἐλευθέρᾳ φωνῇ τὸν Χριστὸν υἱὸν τοῦ Θεοῦ παντὶ τῷ ἔθνει εὐσεβῶς κατεμήνυεν. Ὢ μακαρίας γλώττης, τῆς ταύτην τὴν θείαν καὶ ἱερὰν φωνὴν ἀπηχησάσης, ἣν ἀνὴρ (2) δεξάμενος καθηγίασται,

(1) δ' εἰπεῖν, λείπει ΜΚ. (2) ΜΚ. ἀνὴρ μὲν.

ἡ δὲ τῶν ἀγγέλων πληθὺς ἐπεκρότησε, τὰ δὲ τῶν ἀνθρώπων πλήθη ἐκ | πολυθεΐας εἰς θεοσέβειαν μετηνέχθη. Καὶ γὰρ 115.
οὐχ ἅπαξ, οὐδὲ δὶς ὁ μακάριος μάρτυς ἐν μέσῳ τῆς πόλεως τὸ τοῦ Χριστοῦ ὄνομα παῤῥησιασάμενος κατεφαίνετο, ἀλλ' ἐπίσημόν τινα χῶρον ἐκλεξάμενος, ἔνθα εἰώθει τὸ πολὺ τοῦ πλήθους συναγείρεσθαι, ἐνταῦθα τὴν διατριβὴν ἐποιεῖτο. Τοσαύτη δὲ χάρις τῇ τοῦ παναγίου Πνεύματος ἐμπνεύσει τοῖς αὐτοῦ χείλεσιν ἐξεχύθη, ὥστε μικροῦ δεῖν τὴν πόλιν ἅπασαν τοῦτο ποιεῖσθαι ἔργον, τῆς ἐκείνου θέας ὁμοῦ τε καὶ ἡδίστης γλώσσης ἐπείγεσθαι ἕκαστον ἐμφορηθῆναι· ἡ γὰρ θεολόγος αὐτοῦ γλῶττα, ὡς ἐξ ἀεννάου κρήνης, ἔῤῥει τὰ θεῖα καὶ μελισταγῆ τοῦ Σωτῆρος θεόπνευστα λόγια· καθάπερ γὰρ ἡ μαγνῆτις λίθος φυσικῶς πρὸς ἑαυτὴν τὰ σιδήρια ἕλκει, οὕτως ὁ τοῦ Χριστοῦ μάρτυς τοὺς αὐτῷ προσπελάζοντας ἅπαντας ἐφελκόμενος πρὸς τὴν ἀμώμητον καὶ εὐσεβῆ πίστιν ἐνῆγε.

4. Τῷόντι γὰρ ὁ σοφὸς Δημήτριος φωστὴρ ἦν ἐν κόσμῳ λόγον ζωῆς ἐπέχων, μὴ διδοὺς ὕπνον τοῖς ὀφθαλμοῖς, μηδὲ τοῖς βλεφάροις ἀνάπαυσιν (1), τὸν τῆς θεογνωσίας εὐσεβῆ λόγον νύκτωρ τε καὶ μεθ' ἡμέραν τὰ πλήθη τῶν λαῶν ἐκπαιδεύων. Ἅπας γὰρ ὁ βίος τῷ τοῦ Χριστοῦ μάρτυρι διδασκαλίας ὑπόθεσις ἦν, τοὺς ὡς αὐτὸν φοιτῶντας λίαν εὐμενῶς προσιέμενος καὶ ἐνάγων πρὸς θεοσέβειαν, καὶ οὐ μόνῳ τῷ τῆς διδασκαλίας εἴδει ἐγκαρτερῶν | ὁ θαυμάσιος εἰς ἀρετὴν 115.
ἐπεδίδου, ταῖς δὲ γενικαῖς τῶν ἀρετῶν ἰδέαις ἧττον ἐκέχρητο· ἀλλ' οὕτως ἐπῆλθεν ἁπάσας, ὡς οὐδεὶς ἕτερος ἓν εἶδος ἀρετῆς ἐπησκήσατο. Ὡς γὰρ διαιτητὴς ἀκριβέστατος τὴν δικαιοσύνην τῇ φρονήσει κερασάμενος, οὐχὶ μόνον καθαραῖς χερσὶ τὰς ἐγχειρισθείσας αὐτῷ μεγίστας ἀρχὰς ἄριστα διῳκήσατο, ἀλλ' ὅτι καὶ τοὺς ὑπὸ χεῖρα πάντας τοῖς τῆς δικαιοσύνης θεσμοῖς ἐμ-

(1) Ψαλ. ΡΛΑ΄. 4.

μένειν καὶ τοὺς ταύτης ὅρους γινώσκειν δικαιότατα ἐξεπαίδευσεν. Ἔτι δὲ βουλόμενος ἐν πᾶσι τέλειος εἶναι, τὴν ἐνοῦσαν αὐτῷ δικαίως ἅπασαν κτῆσιν τοῖς πενομένοις διένειμε, κἂν τούτῳ τοῖς προφητικοῖς ἑπόμενος ῥήμασι· «ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα (1)». Ἀλλὰ τῆς σωφροσύνης καὶ ἀνδρίας ἧττον τῶν ἄλλων ἐφρόντισε; καὶ μὴν τὰς αἰσθήσεις πάσας ἐκ νεαρᾶς ἡλικίας ὁ ἔνδοξος τοῦ Χριστοῦ μάρτυς οὕτως ἐῤῥύθμισε καὶ ὑπείκειν ταύτας τῇ τῆς ψυχῆς εἰλικρινείᾳ καὶ καθαρότητι παρεσκεύασεν, ὥστε τὸν ἐκείνου ἄμωμον βίον ὑπογραμμὸν σωφροσύνης καὶ εἰκόνα θεοσεβείας πᾶσι τοῖς ἀρετὴν μετιοῦσιν εἶναί
116. | τε καὶ γνωρίζεσθαι. Τῆς γὰρ ὄντως ἀνδρίας αὐτοῦ καὶ καρτερίας τὰ τρόπαια καὶ τοῖς μικρὰ γοῦν συνορῶσιν ἐμφανῆ καθέστηκε· τὴν γὰρ ἀλήθειαν εὐσταλῶς ἐζωσμένος καὶ τὴν παῤῥησίαν ὥσπερ τινα θυρεὸν περιθέμενος, πάντας τοὺς κατὰ τῆς εὐσεβοῦς πίστεως ἐπιφυομένους ἔργῳ τε καὶ λόγῳ κατὰ κράτος τρεψάμενος, τοὺς τῆς ἀριστείας ὁμοῦ τε καὶ νίκης στεφάνους καθαρῶς ἀνεδήσατο.

5. Ἐν πᾶσιν οὖν τούτοις τοῖς πλεονεκτήμασι τοῦ μακαρίου μάρτυρος διαπρέποντος καὶ πάντας, ὡς εἰκὸς, ποδηγοῦντος καὶ πρὸς τὴν ἀληθινὴν καὶ ἀμώμητον πίστιν ἐπαλείφοντός τε καὶ ἐμβιβάζοντος, ἀνηγγέλη (2) Μαξιμιανῷ τῷ τηνικαῦτα βασιλεύοντι περὶ τοῦ μακαρίου Δημητρίου, ὡς ἀνάστατον πᾶσαν τὴν πόλιν πεποίηκε τὸ τῶν χριστιανῶν δόγμα ἀναφανδὸν πᾶσιν ἀποκαλύψας καὶ οὐκ ὀλίγην τοῦ πλήθους μοῖραν ἀποτεμόμενος, πρὸς τὴν οἰκείαν μετεστήσατο δόξαν, μήτε τῆς ἐγχειρισθείσης αὐτῷ ἀρχῆς δυσωπηθεὶς τὸ μέγεθος, μήτε τοῦ σοῦ κράτους τὴν ἀπειλὴν ὑποτοπάσας. Ὁ δὲ ἰταμὸς ἐκεῖνος τύραννος καὶ πάντων βασιλέων τῶν πώποτε κατὰ χριστιανῶν

(1) Ψαλμ. ΡΙΑ'. 8. (2) ΜΚ. ἀνηγγέλλη. ΠΚ. ἀνηγγέλλει.

ἐκμανέντων, ὠμότατός τε ἅμα καὶ ἀπηνέστατος καὶ ὢν καὶ λεγόμενος, πυθόμενος ταῦτα, ὡς οὐκ ἄν ποτε ἤλπισε, καὶ τῷ θυμῷ ζέσας, προστάττει τοῦτον τῇ εἱρκτῇ ἐμβληθέντα | ἀ- 116.
σφαλῶς τηρεῖσθαι μέχρις ἂν διασκέψηται ποίῳ θανάτῳ τοῦτον τοῦ ζῆν ἀπαλλάξειεν· ᾔδει γὰρ, ἀκριβῶς ᾔδει, ὡς οὐκ ἄλλος τις, καὶ πρὸ τῆς τῶν βασάνων πείρας τὸ ἀκατάπληκτον καὶ γενναῖον τοῦ μάρτυρος.

6. Εἰώθει δὲ ὁ βασιλεὺς συνεχέστερον ἀνιέναι πρὸς τὸ θέατρον, οὐκ ἄλλης τινὸς ἕνεκα θεωρίας, ἢ τοῦ ὁρᾶν ἀνθρώπους εἰς μονομαχίαν ἐνόπλους καθιεμένους καὶ τοῖς τούτων αἵμασι χραίνεσθαι, ἐφ' οἷς ἥδετο μᾶλλον ἢ ἐφ' ᾗ περιεβέβλητο ἁλουργίδι. Τότε δὴ τότε κελεύει, ἑλκυσθέντα τῆς φρουρᾶς, παραστῆναι τὸν τοῦ Χριστοῦ μάρτυρα· ἦν δὲ ὁρᾶν τὸν μακάριον καὶ μέγαν Δημήτριον ἠρέμα πως τῷ προσώπῳ μειδιῶντα καὶ ὡς εἰς εὐωχίαν ἥκοντα μάλα προθύμως. Ὁ δὲ βασιλεὺς ἔφη. «Δημήτριε, οὕτως ἀμείβῃ τοὺς εὐεργέτας Θεοὺς καὶ τὸ ἡμέτερον κράτος;» Καὶ ὁ μάρτυς φησίν. «Ἐγὼ σωτῆρα καὶ εὐεργέτην ἕνα μόνον ἐπίσταμαι, ᾧ καὶ λατρεύῳ, ὅς ἐστι Χριστὸς, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία». Ο δὲ θαμβηθεὶς, μᾶλλον δὲ ἀφωνίᾳ συσχεθεὶς ἐπὶ τῇ τοῦ ἀνδρὸς παῤῥησίᾳ, ἀπῄει πρὸς ἣν ὁδὸν ἐξ ἀρχῆς ὥρμητο, κελεύσας ἐν τῷ δεσμωτηρίῳ αὖθις ἀναληφθῆναι τὸν τοῦ Χριστοῦ μάρτυρα, τὸ δὲ προσταττόμενον μετὰ τοσούτου τάχους ἐγίνετο θᾶττον ἢ ἐλέγετο. Ὁ δὲ βασιλεὺς ἐπὶ τοῦ θεατρικοῦ προκαθεσθεὶς θρόνου, Λυαῖόν τινα τοὔνομα, ἐπὶ σώματος ῥώμῃ θαυμαζόμενον καὶ ἐπὶ μονομαχίᾳ | τὰ μά- 117.
λιστα διαβοώμενον, εἰς τὸ μέσον καλέσας, παρεκελεύετο τῷ ἀρτιφανεῖ ἀντιπάλῳ μεθ' ὅπλων συμπλέκεσθαι. Νέστωρ (1) δέ τις, τὸ τοῦ Χριστοῦ σεβόμενος ὄνομα, ταῖς τοῦ μακαρίου Δη-

(1) ΜΚ. Νέστωρ ὁ θεῖος δὲ οὗτος ἦν, ὅστις τὸ τοῦ Χρ. ἐκ προγόνων σεβόμενος ὄνομα, καὶ ταῖς....

μητρίου κραταιωθεὶς εὐχαῖς, ὁμοῦ τε καὶ τῷ τύπῳ σημειωθεὶς τοῦ σταυροῦ, καθῆκεν ἑαυτὸν εἰς τὸν ἀγῶνα. Τῆς δὲ μάχης ἰσοῤῥόπου τὰ πρῶτα γενομένης ἐν τῷ τοῦ μηχανήματος κατασκευάσματι, ὁ τῇ τοῦ σταυροῦ παντευχίᾳ καθοπλίσας ἑαυτὸν Νέστωρ, καιρίαν τὴν πληγὴν κατὰ τοῦ Λυαίου ἐπενεγκὼν, τοῦτον παραυτίκα τοῦ ζῆν ἀπεστέρησεν. Ὁ δὲ φιλοθεάμων καὶ σοβαρὸς ἐκεῖνος ἀγωνοθέτης, παρὰ πᾶσι τοῖς θεαταῖς προσδόκιμος ὢν τῷ ἀριστεύσαντι τὰ γέρα κατ' ἀξίαν νέμειν, ἐπειδὴ (1) τὸν φίλον εἶδε τεθνηκότα, εἰς τοὐναντίον μεταβαλόμενος καὶ τῷ θυμῷ ὑπερζέσας, προστάττει τὸν μὲν ἀήττητον τοῦ Χριστοῦ στρατιώτην Νέστορα ξίφει τὴν κεφαλὴν ἀποτμηθῆναι, τὸν δὲ τοῦτον ταῖς εὐχαῖς καθοπλίσαντα Δημήτριον, διὰ τὸ καὶ οἰωνὸν, ὡς ᾤετο, ἀσύμφορον φανῆναι τῷ συναντήματι, ὑπὸ πάσης τῆς ὑπηρετουμένης αὐτῷ τάξεως ταῖς λόγχαις κατακοντισθέντα, τεθνάναι.

7. Ὁ δὲ μακάριος μάρτυς, ἔκ τινος θείας ὀπτασίας τὴν ἀπὸ γῆς αὐτοῦ πρὸς οὐρανοὺς προεγνωκὼς μετάστασιν, καὶ πάντα τὸν προεδρεύοντα λαὸν κατοχυρώσας ἐν τῇ τοῦ Χριστοῦ πίστει,
117. καταφανῆ πᾶσιν τὴν ἐκ τοῦδε τοῦ | σκήνους αὐτοῦ ἐκδημίαν πρὸς δὲ τὸν Θεὸν ἐνδημίαν ποιήσας, καὶ τὸ τῆς ψυχῆς ὄμμα ἀτενὲς τῷ Θεῷ ἀναπετάσας, ταῖς εἰωθυίαις εὐχαῖς, ὡς εἰκὸς, ἐνεκαρτέρει. Τούτου δὲ ἀδιαλείπτως προσκατεροῦντος καὶ εὐχομένου (2), ἄφνω στῖφος στρατιωτῶν τῇ εἱρκτῇ ἐπιστὰν, τὸν τοῦ Χριστοῦ μάρτυρα ταῖς λόγχαις κατηκόντισαν. Ὁ δὲ ἀήττητος καὶ γενναῖος τοῦ Χριστοῦ στρατιώτης, τῷ τῶν αἱμάτων ἔτι περιῤῥεεόμενος λύθρῳ, καὶ ταῖς τῶν ἀγγέλων χορείαις ἀμοιβαδὸν προπεμπόμενος, τῷ πάντων βασιλεῖ Χριστῷ παρέστη, τῇ παντοκρατορικῇ καὶ ζωαρχικῇ δεξιᾷ στεφόμενος καὶ τὰ γέρα τῶν πόνων πρὸς τοῦ ἀγωνοθέτου Θεοῦ ἄξια κομιζόμενος.

(1) ΜΚ. ἐπεὶ. (2) ΜΚ. Ἐπευχομένου.

Ὅθεν ἔστιν εὐσεβῶς κατανοεῖν θείαν τινὰ δύναμιν διὰ παντὸς τῇ τιμίᾳ καὶ προσκυνητῇ αὐτοῦ σορῷ ἐνιζάνουσαν, ἐξ ἧς περ ἄφθονοι πηγαὶ ἰαμάτων ἀναβλύζουσαι ἅπαν τὸ τῆς Ἐκκλησίας πρόσωπον ποταμηδὸν καταρδεύουσιν· οὐ μὴν ἀλλὰ καὶ πανταχοῦ γῆς καὶ θαλάσσης οἱ περιστάσεσι ποικίλαις κατατρυχόμενοι, καὶ τὴν ἄμαχον αὐτοῦ πρεσβείαν εἰς συμμαχίαν χρώμενοι, εὐθὺς τῶν δεινῶν ἀνέντες, τοῦτον προστάτην θερμότατον καὶ ῥύστην ἑτοιμότατον ἅπαντες οἱ σωθέντες ἐπιγινώσκομεν. Ποῖος δὲ ἄρα καὶ νοῦς ἐφικέσθαι δυνήσεται τὰ τῶν θαυμάτων πελάγη; καὶ ποία γλῶσσα ἐκφράσει τῶν | τεραστίων τὴν ἄ- 118.
βυσσον; ὥσπερ γὰρ ἀδύνατον ἀνθρωπίνῃ φύσει ὑετοῦ σταγόνας καὶ θαλάσσης ψάμμον καὶ ἀστέρων πλῆθος ἀπαριθμεῖσθαι, οὕτω κἀνταῦθα ἀμήχανον τῶν θαυμάτων τὸ ἑκάστοτε δεικνύμενον πλῆθος ἐν τῷ θείῳ τεμένει τοῦ μάρτυρος ὑποβαλεῖν ἀριθμῷ ἢ κατ' ἀξίαν παραστῆσαι τῷ λόγῳ. Ἀλλὰ φέρε δὴ ἐκ τῆς ἀβύσσου τῶν τούτου θαυμάτων ἕν, ἢ καὶ δύο ἀνιμησάμενος θαύματα, ὡς ἐν κεφαλαίῳ τούτων ἐπιμνησθήσομαι.

8. Ἴστε πάντες, ὅτι πάντων νοσημάτων χαλεπώτατόν τε ἅμα καὶ φθαρτικώτατον τὸ λοιμικὸν νόσημα παρὰ πᾶσιν ἀνωμολόγηται. Κατ' ἐκεῖνο τοίνυν καιροῦ τὸ λοιμῶδες τοῦτο κακὸν ἐπισκῆψαν τῇ τοῦ μάρτυρος πόλει, τὰ μὲν πρῶτα τὴν ἄωρον καὶ νεολαίαν κατενέμετο ἡλικίαν, ὡς δὲ ἐπὶ τούτοις τὰ δεινὰ οὐκ ἐνεδίδου, ἀλλὰ πανωλεθρίᾳ πᾶσαν τὴν ἄλλην ἡλικίαν ἐξαλείφειν ἠπείλει, οἱ τότε περιλειπόμενοι τῆς νόσου τραυματίαι, ἀμηχανίᾳ πολλῇ συσχεθέντες, ἠπόρουν τὶ καὶ δράσειαν. Πλὴν βουλεύονται βουλὴν πάνυ πνευματικὴν καὶ καλλίστην, πανδημεὶ τῷ τοῦ μάρτυρος τεμένει προσεῤῥύησαν καὶ τὸν Θεὸν, οἷα εἰκὸς, ἐξελιπάρουν καὶ τὸν αὐτοῦ ἔνδοξον μάρτυρα καθικέτευον ἀνακωχὴν τοῦ κακοῦ γενέσθαι· ὅθεν καὶ διὰ θείας ἱκετηρίας τοῦ πάντων μαρτύρων συμπαθεστάτου τὸ | λοιμῶδες 118'.
καὶ δεινὸν ἐκεῖνο, ὥσπερ ὑπὸ μάστιγος φυγαδευθὲν, τάχιστα

τῆς πόλεως ἀπελήλατο. Οἱ δὲ τῆς παραδόξου θεραπείας ἀπονάμενοι εὐχαριστηρίους ὕμνους τῷ Θεῷ ἀνετίθεσαν καὶ τῷ τούτους περισώσαντι μάρτυρι. Ἀλλὰ καί ποτε, σιτοδείας πολλῆς πιεζούσης τὴν πόλιν, ἔμελλον πάντες τῇ τῶν ἀναγκαίων σπάνει λιμῷ ἀπόλλυσθαι, εἰ μὴ προφθάσας ὁ φιλόπολις τοῦ Χριστοῦ μάρτυς τῆς τότε ἐνσκηψάσης ἀνάγκης τὴν πόλιν ἐῤῥύσατο τρόπῳ τοιῷδε. Πλοίων γὰρ πολλῶν τηνικαῦτα σιτηγούντων καὶ διὰ τὴν τῶν πνευμάτων ἐναντίαν φορὰν εἴς τινα ἐφορμώντων λιμένα, νύκτωρ ἐπιστὰς ὁ συμπαθέστατος τοῦ Χριστοῦ μάρτυς, παρεκελεύετο τοῖς πλωτῆρσι καταίρειν τὰ πλοῖα εἰς τὴν ἑαυτοῦ πόλιν· εἶτα, τὸν κατάπλουν ἐξ οὐρίας παρασκευάσας καὶ τὸν σῖτον παρὰ πᾶσαν ἐλπίδα παραπέμψας τῇ πόλει, ὁμοῦ τε τὰ πλοῖα διέσωσε καὶ τὴν πόλιν διέθρεψεν.

9. Ἴδωμεν δὲ καὶ τὰ τῶν ὁρατῶν ἐχθρῶν καὶ πολεμίων, οἷς θηριωδῶς ἐπιστρατεύειν φίλον ἡμῖν καὶ ταῖς ἐφόδοις πολιορκεῖν, ὅπως τὰς ἀντιπαρατάξεις πεποίηται (1) καὶ οἷα τὰ κατ' αὐτῶν ἀνέστησε τρόπαια τῆς σφετέρας προασπίζων πατρίδος καὶ πόλεως. Μαυρίκιον εἶχεν ὁ τότε καιρὸς τὰ τῶν Ῥωμαίων σκῆπτρα χειρίζοντα. Τούτῳ ὁ τῶν Ἀβάρων ἀρχηγὸς πρεσβείαν ἐστείλατο περὶ συμμαχίας· συγκλήτου δὲ ψήφῳ
119. ταύτης | ἀποτυχών, μέγα μηνιῶν, ἀπηλλάττετο τῇ ἀποτυχίᾳ. Ἕτερον δὲ τρόπων οἶκοι τῶν ἐπαναστάντων κρατήσας βαρβάρων, ὃν ὤδινε κατὰ Ῥωμαίων βασιλίσκον, ἀποκρουσθεὶς ἀπέτεκε τῆς ὀργῆς, κατ' αὐτῶν τὰ ὅπλα τρεψάμενος. Καιρίαν δὲ τούτοις ἐντεῖναι βουλόμενος τὴν πληγήν, ἆθλον ἢ λάφυρον Θεσσαλονίκην προὔθετο τῷ πολέμῳ· (Μακεδόνων αὕτη καὶ Ἰλλυρῶν ἡ μητρόπολις, εἰς ἣν τὰ πανταχόθεν ἄκρα συντρέχοντα, τῶν μεγίστων τε εἶναι καὶ δοκεῖν οὐ τοῖς ἄλλοις μόνον, ἀλλὰ καὶ βασιλεῦσιν αὐτοῖς πείθει, ὡς καὶ περὶ πλείστου ταύ-

(1) ΠΚ. πεποίηνται.

την ποιεῖσθαι). Κατὰ ταύτης ὁ ἀλάστωρ καὶ δυσμενὴς ἐπεστράτευσεν Ἄβαρος, βαρὺν ὅτι καὶ μάλιστα στρατὸν ἐπαγόμενος, περὶ τὰς δέκα μυριάδας εἶναι τούτους εἴκασέ τις τῶν πρὸ ἡμῶν, ὄψιν τε κατιδὼν ἔκτοπον· ἄλλος προεῖπεν ἀνὴρ, τὸ μέγεθος τῆς πολιορκίας ὑποδηλῶν καὶ πρὸ τῆς ἀφίξεως (Θεοδόσιος ἐπίσκοπος οὗτος ἐκεῖνος ἦν τηνικαῦτα τῆς πόλεως), τραγῳδὸν δέ τινα εἶναι τὴν ὄψιν, ὃν καὶ περιστάντα παρὰ τὸ θέατρον ἐφεζομένῳ, τραγῳδῆσαι βούλεσθαι ἂν εἰπεῖν (1) αὐτῷ (2) καὶ τῇ θυγατρί, τὸν δὲ ταύτην ἢ τοῦτον, πολλάκις ὁρμῶντα, πολλάκις ἀποτρεπόμενον, ἐργωδέστερον ὀψὲ καὶ μόλις ἀπώσασθαι.

10. Ἐπὶ τοιούτοις μοχθηρῶν (3) οἰωνοῖς καὶ προσδοκίαις δυσέλπισιν ἐπιστρατεύσας ὁ Ἄβαρος, ἐν κύκλῳ πᾶσαν τῷ | πλήθει περιβάλλει τὴν πόλιν. Ὄρθρου δὲ καὶ ὑπὸ ζόφον ἅπασαν τοῖς πολεμικοῖς ταινιώσας, ἅμ' ἠοῖ τὰς ἑλεπόλεις προσῆγε καὶ κλίμαξιν ἐπαναβαίνειν ἐπεχείρει τοῖς τείχεσι, κοντοῖς τε καὶ βέλεσι καὶ σφενδόναις πρὸ τῶν κλιμάκων ἀμύνεσθαι παρεσκεύαστο, καὶ συνελόντα εἰπεῖν, σὺν ἅμα πᾶσιν αὐτοῦ τοῖς στρατεύμασι καὶ πανταχοῦ τοῦ τείχους παραβόλως καὶ φοβερῶς τῆς πολιορκίας ἀπήρξατο· καὶ ταῦτα τῶν δυναμένων αὐτοῖς ἀντεπεξιέναι μηδενὸς ἔνδον μήτ' ὄντος, μήτ' ἐπαμύνοντος, τῶν μὲν τὴν εὐθὺ στειλαμένων Ἑλλάδος, τοῦ καθηγεμόνος ἐφελκομένου, τῶν δὲ τὴν πρὸς τὸν (4) βασιλέα φέρουσαν τὰς θέμιδος χρόνῳ ἤδη φυγούσας ἱμειρομένων χάριτας τῇ πόλει καταγαγεῖν, τῶν χερσὶ δὲ προσποριζομένων τὸ ζῆν λοιμώδει νόσῳ, πλὴν ὀλίγων, πρὸ βραχέος ἀποφθαρέντων.

119.

11. Τότε δὴ τότε τῆς σωτηρίας πάντοθεν ἀπογνωσθείσης, ὁ ἀγρυπνότατος φύλαξ τῆς πόλεως, ὁ στεῤῥότατος τῆς πα-

(1) ΠΚ. ἀνειπεῖν. (2) ΜΚ. αὐτῷ τε καὶ....
(3) ΜΚ. μοχθηροῖς. (4) Λείπει ἐκ τοῦ ΜΚ.

τρίδος ὑπέρμαχος, ὁ ἀήττητος τοῦ Χριστοῦ μάρτυς καὶ μέ-
γας Δημήτριος, μόνον τοῖς τείχεσιν ἐπιφανείς, ἀξιόμαχος ἀν-
ταγωνιστὴς ταῖς μυριάσιν ἀντεκατέστη (sic), καὶ τὸν πρώτως
τῷ τείχει ἐπαναβάντα διὰ τῆς κλίμακος, ἑδραίως ἤδη τὸν πό-
δα τῇ ἐπάλξει ἐρείδοντα, λόγχῃ κατακοντίσας καὶ φοινίξας
120. τῷ αἵματι, τὸ παραδοξότατον | κατὰ τῶν ὄπισθεν ἀνιόντων ἐ-
ξῶσαι πεσεῖν, τούτῳ δὲ κἀκείνων ἄρδην συναπωσθέντων, ἐπί-
σης ἅπαντες καὶ τῶν τειχῶν καὶ τῆς ζωῆς ἀπεῤῥάγησαν. Καὶ
τοὺς μὲν κατ' ἐκεῖνο τοῦ τείχους οὕτω διακρουσάμενος καὶ
θραῦσιν αὐτοῖς ἐντεῦθεν καὶ κατάπληξιν ἐνσεισάμενος, ὡς ποῤ-
ῥωτάτω διώσατο· τοὺς δ' ἄλλους κατὰ τ' ἄλλα (1) τοῖς πο-
λιορκητικοῖς ἀποπειρωμένους αὐτοῦ μηχανήμασιν, ὧδέ πως πά-
λιν ἠμύνατο· πλῆθος φαντασιώσας ἀνδρῶν κἀκείνοις ἐφεστά-
ναι τοῖς μέρεσι, ῥαγδαίως τε καὶ παραβόλως προκινδεύειν καὶ
ἐπαμύνεσθαι, ἀπῆρξε· κἀκείνους δεδιξάμενος καὶ κατακωλύ-
σας ὁλοσχερῶς τῆς ἐπιβουλῆς, ἀπογνῶναί τε πάντας καὶ νῶτα
δοῦναι παρ' ἐλπίδας συνήντησεν, ἄμαχόν τινα δύναμιν ἐνεῖναι
τῇ πόλει ὑποτοπάσαντας (2), καὶ τὸ μέγιστον, δειλίᾳ θραύ-
σας, φυγὴν ἑλέσθαι· οὐ μὴν ἀλλὰ καὶ αὐτομολῆσαί τινας κα-
τηνάγκασε τῶν βαρβάρων, οἳ δὴ καὶ κατάγγελοι τῶν (3) τηλι-
κούτων θαυμασίων τοῖς εἴσω τειχῶν κατέστησαν, ἀδιάβλητα
καὶ ταῖς τῶν ἐχθρῶν μαρτυρίαις ἀξιοπιστότερον εὖ μάλα τὸ
τῶν θαυμάτων μεγαλεῖον ἀνεκηρύττετο. Ὅπερ δὲ φιλεῖ τοῖς
ὑπερφυέσι παρομαρτεῖν τῶν τερατουργημάτων, ἀπιστία καὶ
φθόνος, καὶ τὸ τηνικαῦτα συμβέβηκεν, ἀποπειραθέντων ἐνίων
120. δι' ἐρεύνης ἐναποδεῖξαι | ἀνθρώπινον, ἀλλ' οὐ θεῖον, φύσεώς τε
καὶ χειρῶν, ἀλλ' οὐχ ὑπὲρ φύσιν καὶ ἁγιοτελὲς τὸ τηλικοῦτον

(1) ΜΚ. κατ' ἄλλα. (2) ΠΚ. ὑποτοπάσαντες.
(3) ΜΚ. αὐτάγγελοι.

ἔργον τῆς τῶν βαρβάρων τροπῆς καὶ διώξεως· ἀλλ' ἔλαθον τῇ σφῶν ἀπιστίᾳ ἐπὶ μᾶλλον τὸ θαῦμα ἀνακηρύξαντες.

12. Πολλὰ γὰρ διερευνησάμενοι, τίς ἄρα καὶ εἴη ὁ τὴν σφαγὴν ἐντείνας τῷ τῇ ἐπάλξει πρώτως ἐπιπηδήσαντι, αἰσθητῇ λόγχῃ τελεῖσθαι, μόνον οὐκ εὐστόχως τὴν αἱμόῤῥοιαν ὁριζόμενοι, οὐδένα εὗρον, πολλὰ καμόντες, οὔτ' ἐν ζῶσιν ὄντα, οὔτ' ἐν λειποψυχήσασιν. Οὐδὲ γὰρ οὐδ' ἐκείνων ἐρευνῶντες ἀπέσχοντο, φάμενοι, εἰκὸς κἀκεῖνον τὸν τρώσαντα εὐθὺς καιρίαν ἀντιλαβεῖν καὶ συγκατενεχθῆναι τοῖς πεπτωκόσιν, ἀλλ' οὔτε μὴν τίνες οἱ τοὺς πολεμίους καταπληξάμενοι· τὸ δὲ μάλιστα τέρψαν εἰς συγκατάθεσιν τοὺς ἐκζητοῦντας τοῦ θαύματος, οἱ τὴν φυλακὴν ἐκείνης ποιούμενοι τῆς νυκτὸς τῶν τειχῶν, ὅρκοις τὴν ἐξομολόγησιν ἐμπεδώσαντο· ἔφασαν γὰρ μηδένα καθάπαξ τοῖς τείχεσι προλιπεῖν κατὰ τὴν τῆς προσβολῆς ὥραν τῶν πολεμίων, οἴκοι δὲ πάντας ἰέναι ἀποκαθευδήσαντας, τοῦ ὄρθρου οἷα δὴ ταύτην συνήθως ἐνδιδόντος τὴν ἄνεσιν τοῖς παννυχίως φυλάττουσιν. Ἔτι γε μὴν τῶν αὐτομόλων τινὲς ἐξηγούμενοι καὶ ὄψιν καὶ σχῆμα πάντῃ τῷ ἁγίῳ κατάλληλα, καὶ αὐτὸν εἶναι τὸν ὀφθέντα τε πρώτως καὶ καθελόντα τοὺς | προλοχίσαντας, ἀνενδοίαστον ἅπασι τὴν πίστωσιν ἐνεποίησαν. 121.
Ὅθεν τοὺς σωτηρίους καὶ φυλακτηρίους ὕμνους καὶ εὐχαριστηρίους τῷ μεγαλομάρτυρι κοινῇ προσεκόμισαν ἅπαντες, καὶ τὴν παρ' ἐλπίδα σωτηρίαν ἐπανηγύριζον πανδημεὶ τὸν Θεὸν καὶ τὸν ἅγιον μεγαλύνοντες (*). Ἐφ' οἷς δὲ ἐξ ἀρχῆς προειλόμην τὸν τοῦ Χριστοῦ μάρτυρα ἐπαίνοις καταγεραίρειν, εἰ καί που μικρόν τι τοῦ σκοποῦ ὑπεξέδραμεν ὁ λόγος, ὡς βουλόμε-

(*) Ἐνταῦθα τελωτᾷ ὁ Μαρκιανὸς κῶδιξ. Ἀπὸ δὲ τοῦ φύλλου 194 ὡσεὶ συνέχεια τοῦ ἡμετέρου φέρεται ἀπόσπασμα τοῦ βίου τοῦ ἁγίου Ἐλεαζάρου.

νος ὑμῖν παραστῆσαι τῶν θαυμάτων τοῦ μάρτυρος τὸ μέγε-
θος, ἀλλ' ὅθεν ἐξέβην πάλιν ἐπάνειμι.

13. Ὁ μέν τοι μέγας ἐν μάρτυσι Δημήτριος, τὸν καλὸν δρό-
μον τελέσας καὶ τὴν ἐν Χριστῷ πίστιν τηρήσας, τὴν μακα-
ρίαν πρὸς Θεὸν ἐποιήσατο πορείαν, καὶ νῦν τοῖς τῶν ἀγγέ-
λων χοροῖς συντεταγμένος, τῷ Δεσπότῃ παρέστηκε πρέσβυς ἄρι-
στος, τὰς ἐντεύξεις ἀεὶ ὑπὲρ παντὸς τοῦ κόσμου ποιούμενος,
καὶ μετὰ τῶν ἁγίων δυνάμεων καὶ ἐξουσιῶν, ὡς καλλίνικος
μάρτυς καὶ δοῦλος πιστὸς, προσκυνεῖ τὸν δι' οἶκτον ἄφατον
ἡμᾶς σεσωκότα Θεὸν, ἀλλ' οὐδὲ ἡμῖν τοῖς πίστει προσιοῦσι
τῷ θείῳ τούτῳ τεμένει κἂν μικρὸν ἀπολείπεται· τὸν γὰρ
ἱερὸν χῶρον τοῦτον λιμένα σωτήριον πᾶσι τοῖς κατὰ τὸν βίον
χειμαζομένοις καὶ παντοδαπαῖς συμφοραῖς περιπίπτουσιν ἀπειρ-
γάσατο, ἰατρεῖον νόσων ποικίλων τοῖς μετὰ πίστεως προσε-
121. δρεύουσιν, οὗ κἀγὼ ἀπωνάμην, | ὡς ἴστε, χρονίᾳ καὶ χαλεπω-
τάτῃ νόσῳ ἐκδαπανηθεὶς, τὴν δὲ θεραπείαν παραχρῆμα, ὡς
ἔκ τινος θείας πηγῆς, ἀρυσάμενος. Ταμεῖον δὲ εὐθηνούμενον
τοῖς ἐνδεέσι καὶ ξένοις, ἀνεκτὸν καταγώγιον πᾶσιν ὁδίταις,
καὶ συνελόντι φάναι, πᾶσι πιστοῖς προσιοῦσιν ἑκάστῳ κατὰ
τὸ οἰκεῖον λυσιτελοῦν, ὡς διανομεὺς ἔνδικος τῶν τοῦ Θεοῦ
χαρισμάτων, τῶν αἰτουμένων τὴν λύσιν ἀφθόνως δίδωσιν. Ὅ-
θεν, οἱ τῶν θείων δωρεῶν ἀπολαύοντες, ἀπίασι μετ' εὐφροσύ-
νης οἴκαδε τὰς τοῦ μάρτυρος θεοσημείας λίαν ἀγάμενοι καὶ
πᾶσι ταύτας γεγονωτέρᾳ φωνῇ ἀνακηρύττοντες.

14. Ἀλλ', ὦ συμπαθέστατε τῶν Χριστοῦ μαρτύρων, εἰ καὶ
ὑπερέβης τὸν βίον, ἀλλ' οἶδας τὸ εὐόλισθον καὶ ἀσθενὲς τῆς
ἀνθρωπίνης φύσεως, οἶδας τὰ πάθη καὶ τὰς χρείας τῆς ἀνθρω-
πότητος, μέμνησο τῶν σῶν οἰκετῶν καὶ προσφύγων τῶν τὴν
ἱεράν σου καὶ θείαν ταύτην ἑορταζόντων πανήγυριν. Μέμνησο
καὶ τῆς διασπαρείσης αἰχμαλώτιδος ἡλικίας, ἣν, πλῆθος ἁμαρ-
τιῶν, εἰς ἔθνη τὰ βάρβαρα διεσκέδασε. Μὴ ἐπιλάθῃ τῆς πα-

τρίδος, ἥ σε ἐτιθηνήσατο καὶ ὡς ὁλοκάρπωσιν ἱερὰν καὶ ζῶσαν
θυσίαν καὶ ὡς ἀπαρχὴν ἁγίαν τῷ Θεῷ καθιέρωσεν· ἀλλ' αἴτη-
σον εἰρήνην, ἵν' ἡ πανήγυρις τῆς σῆς ἱερᾶς μνήμης [εἰς ἔτι 122.
καὶ νῦν λαμπροτέρα δείκνυται, ἵνα μὴ κωμάσῃ κατὰ τῶν ἱε-
ρῶν τοῦ Θεοῦ οἴκων, ἢ θυσιαστηρίων, ἀκάθαρτος καὶ ἄθεσμος
βάρβαρος, ἵνα μὴ πατήσῃ τὰ ἅγια ποῦς βέβηλος, ἵνα μὴ πά-
λιν χωρήσῃ τὸ ξίφος κατὰ τῶν τοῦ Θεοῦ ἱερέων καὶ τῆς ἄλ-
λης πάσης ἡλικίας τὸ ἄνθος κατέδεται. Ὡς στρατιώτης ἀήτ-
τητος, τῷ βασιλεῖ συμμάχησον, καὶ τὰ τοὺς πολέμους θέλον-
τα βάρβαρα ἔθνη τοῖς τούτου ποσὶν ὑπόταξον. Ὡς προστάτης
θερμότατος, τοῖς ἀδικουμένοις χεῖρα βοηθείας ὄρεξον. Ὡς ῥύ-
στης ἑτοιμότατος, τοὺς ἐπ' ἀλλοδαπῆς χώρας εἰς αἰχμαλωσίαν
ἀπαχθέντας καὶ τῷ τῆς δουλείας ζυγῷ ταλαιπωρουμένους, ἐλευ-
θέρους ἀποφήνας, πρὸς τὴν ἐνεγκαμένην ἀνακάλεσον. Ὡς δοῦ-
λος πιστὸς τοῦ πάντων Βασιλέως ὑπὲρ τῶν ὁμοδούλων χρῆσαι
τῇ παῤῥησίᾳ. Χρῄζομεν πολλῶν εὐεργεσιῶν, ὡς πολλῶν δεινῶν
πειραθέντες. Χρῄζομεν τῆς σῆς ἀντιληπτικῆς καὶ ὑπερμάχου
χειρὸς οἱ πρὸς Θεοῦ σε πλουτήσαντες δυνατώτατον πρέσβυν·
τῇ σῇ γὰρ βουλήσει καὶ ἡ δύναμις πέφυκε σύνδρομος, οὐδὲν
γὰρ ἀδυνατεῖ σοι μόνον θελήσαντι. Οἶδε γὰρ Χριστὸς ἀντι-
σηκοῦν τὴν ἀντίδοσιν ὑπὲρ οὗ τὸ σὸν τίμιον αἷμα ἐξέχεας.
Εἰδότες τοίνυν τὴν θεόθεν σοι δοθεῖσαν χάριν, ἱκετεύοντες, δυ-
σωποῦμεν, ὅπως ταῖς σαῖς εὐπροσδέκτοις πρεσβείαις ἀναθῶ-
μεν (1) τοῦ ἐπηρτημένου τῆς σαρκὸς ἡμῖν | σκόλοπος, τῶν τε 122.
ἄλλων τῶν κατὰ τὸν βίον συμβαινουσῶν περιστάσεων· τύχοι-
μεν δὲ τῆς αἰωνίου καὶ μακαρίας ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ
τῷ Κυρίῳ ἡμῶν μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι
δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων. Ἀμήν!

(1) ΠΚ. ἀνεθῶμεν.

ΓΡΗΓΟΡΙΟΥ ΔΙΑΚΟΝΟΥ ΚΑΙ ΡΕΦΕΡΕΝΔΑΡΙΟΥ ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΔΗΜΗΤΡΙΟΝ. (*)

Πάτερ, εὐλόγησον.

1. Πάρεστιν ἡ μνήμη Δημητρίου τοῦ μάρτυρος, καὶ πᾶς τις ζῶν ἐν Χριστῷ ἀνεκλαλήτῳ χαίρει χαρᾷ· ὁρᾷ γὰρ ἥδιστον θέαμα, τὸν κοινὸν ἐχθρὸν ἐμπτυόμενον καὶ τῆς ἀνωτάτου τιμῆς ὑπεραπολαῦον τὸ συγγενές. Πάρεστιν ὁ τῇ πατρίδι λαμπρὰ τὰ τροφεῖα δαψιλευσάμενος, καὶ γλίχεται γλώττῃ τοῦ ταύτης υἱοῦ τῶν ἑαυτοῦ μεγαλείων ἐπακροάσασθαι· οὐ μόνον ὅτι φιλοτιμεῖται τῷ μὴ κεκομψευμένῳ λόγῳ τοῦ τῆς θρεψαμένης παιδὸς, ἀλλὰ καὶ τέρψις αὐτῷ τὸ τὰ αὐτοῦ ἰδιαίτατα παρὰ γνησίας ἱστορεῖσθαι φωνῆς. Πάρεστιν ὁ γενεᾶς εὐθείας υἱὸς εὐθὺς ἀληθῶς, οὐ τῇ τῆς Ἑλλάδος ἀνθυπατείᾳ μέγα φρονῶν, οὐδὲ τῇ τάξει τῶν ὑπάτων ἐμβρενθυόμενος· ὅτι μηδὲ ἡνίκα ταῦτα παρῆν αὐτῷ, πάλαι τῶν ἐπὶ γῆς ἐσομένων ὑπερφρονήσαντι, τῷ δὲ χριστομιμήτῳ πάθει, οἷά τις ἀσυγκρίτῳ κάλλει νυμφίος, αὐτός τε ὡραϊζόμενος, καὶ τοῖς εἰς αὐτὸν ὀφθαλμῷ διανοίας ἀτενίζουσι, τῆς ὠφελείας ἐναποστίλβων τὰς χάριτας.
214. Πάρεστιν ὁ λόγῳ πεπαῤῥησιασμένῳ | καὶ γλυκερῷ, ψυχὰς ἁρπάσας τοῦ κοσμοκράτορος, ἅλμην Ἑλληνικὴν μεταθέμενος πρὸς τὸ εὔχρηστον, αἱρέσεων πικρίαν πασῶν μετακερασάμενος πρὸς

(*) Κῶδιξ Μαρκ. CCCLXII, φύλ. 213. αἰῶν. XI. Zan.

τὸ εὔποτον· σπουδὴ γὰρ αὐτῷ ἀνένδοτος ἦν, ἡ ὑπὲρ τῶν δι' αὐτοῦ πεπιστευκότων σωτηρία ψυχῶν, ὡς ἂν μὴ καθάπερ ἰξῷ τινὶ τοῖς ὧδε κατέχωνται, ἅτε πάλαι τούτοις προστετηκυῖαι, θεῖαι δέ τινες χρηματίζωσιν, ὡς ἀληθῶς τὴν σύμφυτον αὐταῖς ἀθανασίαν ζητοῦσαι καὶ τῆς ἐκεῖσε διαίτης ἐπορεγόμεναι. Ἀλλὰ γὰρ εὔλογον ἐν καιρῷ τὴν ὅλην τῆς ἱστορίας μορφὴν ἐναργέστερον χρωματίσαι τῷ λόγῳ, ὅτι μὴ φαυλότερα τῶν μορφοποιῶν οἱ μουσῶν παῖδες ἔχουσιν ἄνθη, καὶ ὅρα τὸ ἐν τῷ λόγῳ φιλοτεχνούμενον.

2. Πόλις ἐπὶ ἠιόνα κεῖται, Μακεδόνων ἡ πόλις, Θεσσαλονίκη τὸ ὄνομα, τἄλλα ἀσύγκριτος· ἵστορες λόγοι καὶ τὰ πράγματα μάρτυρες. Αὕτη Δημητρίου πατρίς, καὶ τοῦ παρ' αὐτοῦ καταβαλλομένου λόγου οἱ ταύτης πολῖται, γῆ ἀγαθή, ἣν βρύθουσαν ἀστείων ἀνδρῶν ἱστορήσας Ἑρκούλιος Μαξιμιανὸς, φιλοτιμίαν ἐποιεῖτο βασιλικήν· καὶ δὴ ἐκ τῶν ἀφεγγῶν τοῦ πόλου προσνεύσεων, ἐκείνῃ μετὰ θριάμβων ἀνασωθείς, εἴχετο θεατρίζειν ταύτῃ τὰ ἐπινίκια. Ἀλλ' ἵνα τοῖς αὐτὸν κολπωσαμένοις χαρίσηται δαίμοσι, κατὰ τῶν ἐν αὐτῇ διενοήθη χριστιανῶν ἀναῤῥιπίσασθαι πόλεμον. Καὶ τίς ἀδακρυτὶ τὰ ἐντεῦθεν ἐκτραγῳδήσοι; Σμῆνος στρατοῦ περιεβόμβει | τὴν πόλιν, 214*.
οὐ πρὸς πολεμίους διεγειρόμενον, κατὰ δὲ τῶν τῆς εὐσεβείας μυστῶν τὸ πῦρ ἕτοιμον, αἱ μάστιγες, αἱ φρουραί. Καὶ ὅρα Δημητρίου τὴν γενναιότητα. Ὕψοῦ τὴν παῤῥησίαν ἀράμενος, τοὺς μὲν, ὑπεστήριζε λόγῳ ἡδυεπεῖ (ἦν γὰρ αὐτῷ ῥέων πολὺς, ἄκρως ἐξησκηκότι παιδόθεν ἅπασαν μουσικὴν, ὡς ἐν ταῖς συμπλοκαῖς καὶ τοῖς παλαίσμασι τῶν λόγων ἀφύκτοις τοὺς ἀντιδιατιθεμένους περιβάλλειν βρόχοις)· τῶν δὲ, τοὺς τῶν μωλώπων ἰχῶρας ἀπέσμηχεν, ἅμα μὲν πρόνοιαν τοῦ κοινοῦ περιποιούμενος κράματος, ἅμα δὲ πᾶσιν ἐκ τοῦ καθ' ἑαυτὸν εἰσηγούμενος, μηδὲν ἐπίπροσθεν τιθέναι περίδοξον, ὧν τὰ ὡραῖα περιποικίλλεται στίγματα.

3. Τούτοις ἱδροῦντά τε καὶ ἀσθμαίνοντα, καταλαβόντες οἱ σκυλευταὶ, θοίνην τῷ αἱμοχαρεῖ παρεστήσαντο· ὃς, τιτανῶδες αὐτῷ καὶ βλοσυρὸν ἐνιδὼν, «τί τοῦτο, ἔφη, Δημήτριε; καὶ σὺ χριστιανός;» Ὁ δὲ τομῶς ἀπεκρίνατο. «Ναὶ, χριστιανός εἰμι βασιλεῦ. Πατρῷόν μοι τὸ κειμήλιον, ἡλικιώτης ὁ θησαυρός· οὐ πῦρ, οὐ ξίφος, οὐ μάστιγες, τῆς ὁμολογίας ταύτης παρακινήσει με.» Ὢ παῤῥησίας λαμπρᾶς, ἀπὸ φόβου πολλοὺς ἀπαλλαξάσης ἐχθροῦ! Ὢ μεγαλοπρεποῦς γενναιότητος, πλείστους ἐπαλειψάσης πρὸς τὸ μαρτύριον! Τότε παῖς πρὸς ἀγῶνας ἐθάῤῥησε, καὶ γηραιὸς ἀντέστη θαῤῥαλεώτερον. Ἐκενοῦτο τῶν οἰκητόρων ἡ πόλις,
215. ἰδεῖν ἐπειγομένη τὸν ἀθλητὴν πρὸς τὸν | κοινὸν τοῦ γένους ἀντίπαλον [ἀγων]ιζόμενον. Οὐ γυν[ὴ τὴν] φύσιν, οὐ παρ[θένος τὴν] ἡλικίαν, ᾐσχ[ύνε]το· κοινῆς γὰρ εὐτυχίας πάντα γίνεται δεύτερα. Πᾶν τὸ ὑπὸ χεῖρας παρεωρᾶτο καὶ παρεῤῥίπτετο, κἂν ἄγαν ἦν λαμπρὸν, κἂν ἐρίτιμον, αὐτὸ τὸ τῆς ἀκτῖνος ἡδύ· κόμπος ἐξουθενεῖτο βασιλικὸς, τάξις ἐπαίζετο στρατιωτικὴ, τὰ φανερὰ τῶν κολαστηρίων κατεφρονεῖτο καὶ διεπτύετο, μόνος ἑωρᾶτο Δημήτριος, μόνος δημηγορῶν ἐθαυμάζετο.

4. Τοιαύτη γὰρ ἡ κατὰ Θεὸν παῤῥησία! τοιοῦτος ὁ ὑπὲρ τῶν ἀδελφῶν ζῆλος! ὅτι μὴ τὸ ἑαυτοῦ ζητεῖ, ἀλλὰ τὸ τῶν πλησίον, ἵνα πάντες σωθῶσι· μιμεῖται Χριστὸν, τὸν ὑπὲρ ἡμῶν κατάραν γενόμενον, τὸν τὰς ἀσθενείας ἡμῶν λαβόντα, καὶ τὰς νόσους βαστάσαντα. Βαβαὶ τῆς μεγαλονοίας! Βαβαὶ τῆς τοῦ πνεύματος ζέσεως! θανεῖν καὶ ὑπὲρ αὐτῶν ηὐτομόλησε! Τί διδάσκων ἐν τούτοις; ἢ τί νουθετῶν; Μὴ φρονεῖν τὰ κάτω, μὴ προτιμᾶν τὴν σάρκα τοῦ πνεύματος, μηδὲ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα· ὅθεν τοσούτους δι' ἑαυτοῦ ἀπετέλεσε μάρτυρας, ὅσους ὁ τότε καιρὸς καὶ τὰ πράγματα μαρτυρεῖ. Τί οὖν ὁ σοβαρὸς ἐκεῖνος καὶ ὑπέροφρυς βασιλεύς; Ὡς εἶδεν, ὡς ἤκουσεν, ὡς ἐσκόπησε τὴν παῤῥησίαν, τὴν

δημηγορίαν, τὴν πρὸς πάντα τὰ ἐπαγόμενα ἑτοιμότητα, ἰλίγγου πληροῦται καὶ καταπλήξεως. Ὅμως ὀψέ ποτέ φησι διακεκομμένῳ τῷ ἄσθματι· «τί οὖν; ἀπέδου σου τὴν | ζωήν, ἵ- 215.
ν', ἔφη, μετ' εὐκλείας εἰς τὸ χρεὼν ἀπαντήσω». Ὁ δὲ, «εὔκλεια τίς; τὸ ὑπὲρ Χριστοῦ μου, εἶπεν, ἀποθανεῖν». «Καὶ τίνων σοι τοῦτο, φησὶ, γενήσεται πρόξενον;» Μεγάλων, ἔφη, καὶ ὑπὲρ σύγκρισιν». Καὶ τὸν εἰπεῖν, «ποίων μεγάλων;» «Τῶν αἰωνίων, ὁ μάρτυς ἔφη· καὶ γὰρ ἡμῖν τοῖς οὕτω θνήσκουσι, βασιλεῦ, ἡ τοῦ ζῆν ἀπαλλαγὴ κακοῦ τινος γίνεται εἰς ἀγαθὸν μεταβολή· ὅτι μὴ τῶν ἀγαθῶν ἀφαίρεσιν, ἀλλ' εἰλικρινεστάτην ἕξομεν τὴν ἀπόλαυσιν. Ἄπιμεν γὰρ ἐκεῖσε θαῤῥοῦντες, ἔνθα πάντα ἀστένακτα, ἀγήρατά τε καὶ ἄπονα, γαληνὸς δέ τις καὶ κακῶν ἄγονος ὁ βίος, ἀθανάτῳ ἡσυχίᾳ εὐδιαζόμενος.»

5. Ὁ δὲ, μάταιος καὶ ἀσύνετος ὢν, συνέσχε μὲν ἐπὶ τοῖς οὕτω καλῶς ῥητορευθεῖσι τὰ ὦτα, πάντα δὲ τὰ τῶν τιμωριῶν συμπεφορηκὼς ὄργανα, ταῖς ἐκείνου σαρξὶν εὐπρόθυμος ἦν καταδαπανᾶν· ἐνέκοψε δὲ τὴν ὁρμὴν ἡ πομπεία τῶν προκειμένων αὐτῷ, καὶ φρουρᾷ συστείλας, ὡς ἐδόκει, τὸν ἀθλητὴν, ἀριδηλότερον αἰχμητὴν ἐλάνθανε συνιστῶν. Βάλλει γὰρ ὁ φρούριος ἐν Χριστῷ, τὸν ἀφέμενον τῇ ματαιότητι, στέλλει χεῖρα τὴν στιβαρὰν κατὰ τοῦ κακοῦντος τὸν Ἰσραὴλ, ταπεινοῖ τὸν ἐχθρὸν ἐν τῷ μηδενὶ, τὸν ὑπερμεγέθη Λυαῖον ἐν τῷ μετριοφανεῖ Νέστορι· ἀλλ' ἐπαναλαβὼν διηγήσομαι.

6. Θέατρον ἤθροιστο μιαιφόνων τῷ βασιλεῖ· τέρψις γὰρ αὐτῷ καθεστήκεσαν σπλάγχνων ἀποῤῥέοντες ὀχετοί. Τότε, δίφρῳ ἡρμένῳ καθεσθεὶς, ἐπάθλων ἥλισκεν ἀμοιβῇ Λυαίῳ μονομαχεῖν, ἄλλῳ Νεβρὼδ, ὡς εἰκὸς, ὑπερήλικι | καὶ θρασεῖ. Ὡς 216.
δὲ ἄπρακτος ἡ τῶν ἐπάθλων ἦν μηχανὴ, πείρᾳ πάντων εἰδότων τῆς πρὸς ἐκεῖνον (1) συμπλοκῆς τὸ ἀνταγώνιστον, ὁ

(1) Κῶδιξ ἔχει, ἐκείνων.

Λυαῖος ἐπῆρτο, καὶ Μαξιμιανὸς ἐσεμνύνετο. Ἀλλὰ Νέστωρ νεανίας ἁπαλός τε καὶ ἀνθηρὸς, νυκτερινὸς τοῦ μάρτυρος ὢν μαθητὴς, ἄμφω τὴν ὀφρὺν κατασπᾷ. Θᾶττον γὰρ φθάνει πρὸς τῇ φρουρᾷ καὶ τοῦ ἀθλοῦντος ἐκεῖ τοὺς ὡραίους πόδας καταφιλῶν, ᾔτησε συμμαχίαν τὴν ἐκείνου εὐχὴν κατὰ τοῦ Λυαίου λαβεῖν. Ὁ δὲ, μελλήσας οὐδὲν, βέλος τὸν οἰκέτην, ὡς ᾔτησε, χαλκεύει τοῦ δυνατοῦ· καὶ θήξας σφραγῖδι Χριστοῦ, ἔπεμψε τείνας νευρᾷ τῇ τοῦ πνεύματος παῤῥησίᾳ εἰπών· «καὶ τὸν Λυαῖον καταβαλεῖς, καὶ μαρτυρήσεις ὑπὲρ Χριστοῦ». Οὕτως ὁ Νέστωρ ἐκεῖθεν θωρακισάμενος, γενναίως τῷ θεάτρῳ μολεῖ, καὶ σφενδονήσας πόῤῥω που τὸ χιτώνιον, εἰς προὖπτον ἔστη γυμνός.

7. Ἦν οὖν ἰδεῖν ἐκπλήξεως θέαμα. Νεὸς ἡδὺς, χρυσαυγείᾳ τριχῶν, ἀστερόεντι ὀφθαλμῷ, ἐρυθήματι παρειῶν ἡλιοβολῶν, Βριάρεω φωνεῖ ἀντικοντιζόμενος· στρέφει τὸ θέατρον ἐπ' αὐτὸν, σιγᾷ τὸ τῶν ὀργάνων μελῴδημα, παύει τὰς τῶν κηρύκων φωνὰς, ἀργὰ τὰ τοῦ πεντάθλου περίοπτα καθιστᾷ, τὴν πάλην, τὸ ἅλμα, τὸν δρόμον τὸν δίσκον, τὸ σίγυμνον· μόνος ἦν ἡδονὴ, μόνος τέρψις ἀκόρεστος. Τί οὖν ὁ ἐξ ἀπόπτου τοῖς φόνοις ἐπεντρυφῶν; θάμβει μερίζει τὸ πρᾶγμα καὶ ἡδονῇ, τὸ μὲν, τῇ τόλμῃ διδοὺς, τὸ δὲ, τῇ καθ' ὑπερβολὴν ὡραιότητι. Εἶτα, πλησίον καλεῖ καὶ φησίν· «οἶδα χρημάτων ἔρως σε καὶ τιμῆς
216. πρὸς τοσοῦτον, νεανίσκε, θράσος [ὠθεῖ, ὧν κερδήσεις οὐδὲν, ὁρμῇ μόνῃ Λυαίου θανών· ἀλλ' ὧν ἕνεκα τὴν πανήγυριν ἀκτινοβολεῖς, ἅπερ σε κατεπείγει λαβὼν, πορεύοιο ζῶν.» Ὁ δὲ Νέστωρ φησίν· «ἐμοὶ κέρδος καὶ τιμὴ, βασιλεῦ, μιαιφόνων ὄγκον καταβαλεῖν, ζημία δὲ καὶ ἀδοξία ἄντικρυς, μὴ τοῖς ὑπ' αὐτοῦ τυραννουμένοις χεῖρα ἐπιβραβεῦσαι· ὅτι δὲ φῂς ἁλωτὸν, ᾧ μελῶν εὐστροφία καὶ μέγεθος, ἀλλ' οὐχὶ πίστις ἡ βίαια ὄρη κατακυλίουσα; ἡ πεῖρα σφραγίς». Ταῦτ' εἰπὼν πρὸς τὸν ἀγῶνα χωρεῖ. Καὶ ὁ μὲν, οἷς ὁ Νέστωρ ἐνεανιεύσατο ἐκμανείς, ἕρκος ὀλέ-

θριον, ὡς ὠνόμαστο, τῷ Λυαίῳ κατεδαψίλευε, θαῤῥύνων, ἐπαμύνων, ἐπαγγελλόμενος.

8. Ὁ δὲ, καλεῖ τὸν Χριστὸν, ἐπιβοᾶται τὸν μάρτυρα, τείνει τὸ ὅπλον· καὶ, βολίδι μιᾷ, καιρίαν μὲν τῷ Λυαίῳ ἐμπερονᾷ, σύγχυσιν δὲ τῷ Ἑρκουλίῳ ποιεῖ. Ἐδόξασαν ἄγγελοι, ἐκρότησαν ἄνθρωποι, διάβολος, καλυψάμενος, ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύεται, σκορπίου μορφὴν ὑποκρίνεται, φοιτᾷ τῇ φρουρᾷ, θίγει ποσὶ τοῖς τοῦ ἐναθλοῦντος ἐκεῖ, πειρᾶται κέντρῳ βαλεῖν, ἀνθ' ὧν οὗτος κατεβεβλήκει τοὺς ἐκείνου διὰ τοῦ Νέστορος. Ἀλλ' ἄθρει τὸ ἐν τῷ Παύλῳ καὶ νῦν. Ἔχις ἐκεῖ (*), σκορπιὸς ὧδε· τότε τοῦ θράσους θάνατος ἀμοιβὴ, νῦν δὲ τῆς τόλμης νέκρωσις ὁ μισθός. Ἐκεῖνο στόματος Χριστοῦ, τοῦτο μάρτυρος αὐτοῦ. Ὁ μὲν, τιναγμῷ χειρὸς καὶ πυρὸς ἐμπρυσμῷ, ὁ δὲ κινήσει σταυροειδεῖ δεξιᾶς καὶ στόματος ἐμπτυσμῷ. Ὑπέρευγε τῆς ἰσότητος! Τί δ' ὁ ἐν Ὑψίστοις; τὴν νίκην ἀπογραψάμενος, ἵστησι τὸν τῶν αὐτοῦ κριμάτων ζυγὸν, εὑρίσκει | τὴν 217.
φύσιν τοῦ στηρίζοντος ἐνδεᾶ, καὶ ἀνανεοῖ τὸ ἐν τῷ λάκκῳ θαῦμα τοῦ Δανιὴλ, μᾶλλον δὲ τὸ ἐπὶ τῷ οἰκείῳ παθήματι· ὤφθη γὰρ, φησὶν, ἄγγελος ἐνισχύων αὐτόν (**). Ὅθεν, ὅν περ ὁ λόγος οἶδε καλεῖν ἀποῤῥοὴν ἢ μετουσίαν τοῦ πρώτου φωτὸς, πέμπει τῷ ἀθλητῇ τήν τε κορυφὴν διαδήματι ἀναδούμενον, καὶ τὴν προθυμίαν ἐπιῤῥωννύοντα, δυσὶν ἐπάθλοις, δύο τρόπαια δεξιούμενον, τῷ ἐν τῷ Λυαίῳ καὶ τῷ ἐν τῷ θηρί. Ὢ κριμάτων ὑπερκατάληψιν!

9. Ἀλλ' ἴδωμεν οἵαις καὶ Μαξιμιανὸς ἀμοιβαῖς τῆς νίκης ἀντισταθμᾶται τὸν Νέστορα. Ἄγει κριτὸν, ὃν στεφανίτην ἐχρῆν. Χρωματίζει τὴν ὄψιν θυμῷ, ἀνασπᾷ τὰς ὀφρύας, δριμὺ καὶ τιτανῶδες ὁρᾷ, βρυχᾶται μᾶλλον ἢ φθέγγεται· «παρέστωσαν, φησὶ, δήμιοι, κομιζέσθωσαν ἀρθρέμβολα, φλόγες πυρκαϊᾶς

(*) Πράξ. ΚΗ'. 3. (**) Λουκ. ΚΒ'. 43.

ἀναῤῥιπιζέσθωσαν, τροχοὶ, καταπέλται προσενεχθήτωσαν, οἷς οὑτοσὶ πιεζόμενος, ἐξείπει πῶς τὸν ἀήττητον ἥττησεν.» Ὁ δὲ παιδιὰν ὑπολογισάμενος τὰ ὁρώμενα, εὐτονωτέραν τῆς πρὸς τὸν Λυαῖον ὁρμῆς δέδωκε τὴν ἀπόκρισιν, Νέστωρ ὑπὲρ τὸν πάλαι φανεὶς, οὐκ ἐν τῷ τῆς δημηγορίας μόνον ἡδυεπεῖ ἀλλὰ καὶ ἐν τῷ τῆς τόλμης σεμνοπρεπεῖ. Φησὶ γάρ· «ζητεῖς, ὦ βασιλεῦ, πῶς ὁ ἰσχυρός σου πεπάτηται; δυνάμει Χριστοῦ καὶ Δημητρίου εὐχῇ· ὅτι μὴ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς ὁ ἀληθὴς Θεὸς εὐδοκεῖ, ἐν δὲ τοῖς φοβουμένοις αὐτὸν, καὶ τῷ αὐτοῦ ἐλέει ἐλπίζουσι (*). Βολὶς ἐγὼ Χριστοῦ, ῥομφαία τοῦ δυνατοῦ,
217. τόξον τοῦ | ἰσχυροῦ· οἴει πρὸς αἷμα καὶ σάρκα σοι τὸ ἀντιστρατεύεσθαι, πρὸς λογισμὸν εἰς Θεὸν ἡδρασμένον, ζῶντα καὶ ἰσχυρὸν παρατάττει, πρὸς αὐτοκράτορα νοῦν, πρὸς πάντα παθεῖν ἕτοιμον καὶ θανεῖν. Δρόσος ἐμοὶ τὸ πῦρ, αἱ βολίδες ὡς ἔριον· πᾶν, ὅπερ ἐπινοήσεις ἔτι καινότερον, ἐράσμιον ἐμοὶ καὶ ἡδύ». Τούτοις ὁ τυραννῶν ἀνακαίεται, θυμομαχεῖ, συλλογίζεται· «τολμηρὸς ὁ νεανίας φησὶ, στεφανίτης κατὰ τῶν αὐτῷ παρ' ἡμῶν ἐπιτιθεμένων ἀναῤῥηθήσεται, καὶ τὴν ἐπὶ τῷ Λυαίῳ διπλασιάσει μοι σύγχυσιν, τρισαριστεὺς ἀναδέδεικται. Δέος μὴ, (1) καὶ αὖθις ἀναφανεὶς, πτέρναν ἄρῃ (2) κατὰ τοῦ κράτους μου. Εἷς ἐστὶ καὶ τῶν ἄγαν χριστιανῶν· θρασεῖς δὲ οὗτοι καὶ ἀναιδεῖς. Θᾶττον, ἢ λόγος, τμηθήτω τὴν κεφαλήν.»

10. Ταῦτ' εἰπόντος αὐτοῦ, τὸ ἔργον ἠνύετο. Καὶ Νέστωρ μὲν ὧδε τὸ ὑπὲρ Χριστοῦ μαρτύριον τελειοῖ, προπύργιον ἀῤῥαγὲς τῇ πατρίδι θησαυρισθεὶς, κράνος τρίλοφον, περίβολος ἀδιάπτωτος. Δημήτριος δὲ, καί με τὸν λόγον ἀνακεφαλαιῶσαι χρεὼν, γενεᾶς εὐθείας υἱὸς χρηματίζει εὐθὺς, ὑπατεύει βασιλεῖ καὶ Θεῷ· τῷ μὲν, τοὺς τῶν φόρων ἄγων ὑποτελεῖς, τῷ δὲ

(*) Ψαλ. ΡΜϚ. 10. (1) Κ. μοι (2) Κ. ἄρει.

τοὺς τοῦ μυστηρίου ἀναφέρων προσκυνητάς, λόγου τέμνει τομῇ ῥάμνους Ἑλλήνων αἱρετικῶν, μυσταγωγεῖ τοῖς ἀκροωμένοις Χριστόν, Συλλαμβάνεται, παῤῥησιάζεται, τὸν Νέστορα δυναμοῖ, τὰ τοῦτον στεφανώσαντα προαναφωνεῖ, τὸν ἐν τῷ σκορπίῳ θῆρα νεκροῖ, ἀΰλῳ στεφανοῦται χειρί, ἐπαλείφεται. Ὦ, πόσοι
καὶ οἷαι αὐτῷ ὑποθέσεις εὐφημιῶν! | Ἀλλ' Ἑρκούλιος τὰ καλὰ 218.
κακίας ἔξαμμα τεχναζομένος, βύθιον ἐξερεύγεται καὶ πικρόν· «τί, φησί, μέλλετε, δήμιοι; τί μὴ πᾶς ἐπὶ Δημητρίῳ βάπτει τὸ δόρυ; κοινός ἐστιν ὀλετὴρ, θεῶν στυγητὸς, τῆς πάντων φιλοτιμίας φθορεύς. Οὐχὶ πείρᾳ τὸ αὐτοῦ δυσάντητον ἐπεσφράγισεν; οὐ πάντας ἐπεστόμησε, δεσμώτης ἀχθείς; οὐ συνεχόμενος πόῤῥωθεν τὸ ὅλον συνέχεε θέατρον; Εἰ δεδεμένος νικᾷ, τί μὴ δράσῃ λυθείς; εἰ μὴ παρὼν ἀνιᾷ, πῶς παραστὰς οὐ πείσει ὡρακιᾶν; Θνησκέτω τοίνυν οἷς φυλάττεται ὡς κριτός. Ἐχρῆν μὲν οὖν, ὡς μυριάκις αὐτὸν εἰς θεοὺς πλημμελήσαντα καὶ ἡμᾶς, τοσαυτάκις θανεῖν· ἐπεὶ δ' οὐχ οἷόν τε ἐστὶ, λόγχαις αὐτοῦ τῶν μελῶν ἕκαστον στηλιτευθήτω κατάστικτον.»

11. Τούτοις οἰστρηλατηθέντες (1) οἱ δήμιοι, ὥρμησαν ἐπ' αὐτόν. Καὶ ἦν ἰδεῖν ὅλον διαβόλου στρατὸν λογχοφόρον, ἐφ' ἑνὶ ἀόπλῳ συμπίπτοντα Χριστοῦ στρατηγῷ. Οἱ μὲν οὖν ἐπήγνυον τὰς λόγχας αὐτῷ, ὁ δὲ Θεῷ προσήλου τὸν νοῦν· οἱ μὲν ἐκέντουν ἀσθμαίνοντες, ὁ δὲ προσηύχετο ἠρεμῶν· λόγχαι κατὰ πλευράς, λόγχαι κατὰ γαστρός· οὐδὲν τῶν ἱερῶν μελῶν ἄτρωτον ἦν, οὐδὲν τοῦ Δεσποτικοῦ παθήματος ἄγευστον. Καί, ὡς ἑτέρου πάσχοντος, ἔλεγεν· «οὐκ ἐμοὶ τὰς λόγχας ἐμπερονᾶτε, ἀλλὰ τῷ ἔξωθεν ἀνδριάντι μου· ψυχὴ γὰρ ἐγώ, τὸ δὲ σῶμα ἐμόν. Τοίνυν βάλλετε τὸ ἐμὸν, ἐπείπερ ὑμῖν ἐγὼ ἀναφής». Οὕτως ἀταπείνωτος ἦν, πάσχων ὑπὲρ Χριστοῦ. Οὕτως ἀδάμαντος ἀτεγκτότε-

(1) Κῶδιξ οἰστρηλαθέντες.

218. ρος (1). Δότε μοι μικρὸν ἐπεντρυφῆσαι τῷ διηγήματι. | Καπνοῦ
σκιὰν τὸν βασιλικὸν θυμὸν ἐλογίζετο, στρατὸν ἀπηγριωμένον
ἐγέλα, λόγχας γυμνουμένας διέπτυε, χεῖρας δημίων μαλακωτέ-
ρας ἡγεῖτο κηροῦ, ὡς ἐπὶ στεφάνοις ταῖς διατρήσεσιν ἔχαιρε,
ῥόδοις βάλλεσθαι τοῖς κεντήμασιν ᾤετο· ἐνάρκησαν οἱ τιτρώ-
σκοντες δήμιοι, κἀκεῖνος ἀκμαιότερος ἦν. Αὐτῶν βαλλόντων
χεῖρες ἐξενευρίζοντο, καὶ ὁ τούτου λογισμὸς οὐκ ἐκάμπτετο·
τὰς ἁρμονίας τῶν νεύρων παρέλυσαν αἱ σφαγαὶ, καὶ ὁ τῆς
πίστεως αὐτοῦ τόνος ἐπεκρατύνετο· πλευραὶ νυττόμεναι δεδα-
πάνηντο, καὶ τὸ τοῦ φρονήματος ἐπήνθει φιλόσοφον· σκεύει
ἐῴκει ὁλοτρητῷ (2), ῥύακας πλημμυρῶν αἵματος ἐκ τῶν τρή-
σεων, καὶ θᾶλλον κατενοεῖτο (3) φυτὸν, ὕδατι κελαρίζοντι
καταρδόμενον· κεκραμένον εἶχε τὸ εἶδος αἰδοῖ τε καὶ ἱλαρό-
τητι, τῇ μὲν, ἀντὶ τῶν ἐπιτιθεμένων ἐρυθριῶν, ὅτι μὴ τῶν
φύσιν, ἧς ἐκοινώνουν αἰδούμενοι, ἀλλὰ μετὰ θηριωδίας ἐπήρ-
χοντο, τῇ δὲ, λογιζόμενος ὅτι ῥομφαίας πληγῇ, οἷα καὶ ὁ
Θεάνθρωπος τὴν πλευρὰν διωρύττετο.

12. Ὡς ἔγωγε τέως ἐπῄνουν τὸ ἀοίδιμον δρᾶμα τῆς ἱστορίας
ἐκείνης, ὅπως παῖς ὁ Ἰσαὰκ τὴν δεξιὰν τοῦ πατρὸς, τὸ ξίφος
ὁρῶν ἐπιφέρουσαν τῷ λαιμῷ, αἰδοῖ τε ἅμα καὶ θάμβει τὸ πρόσ-
ωπον διεμέριζεν· ὡς ἅμα μὲν ἐμφανίζειν τὴν ἔκπληξιν, πῶς
ὁ πατὴρ τοῦ τέκνου σφαγεύς; πῶς κατὰ τοῦ μονογενοῦς ὁπλί-
ζει χεῖρα καὶ οὐ ναρκᾷ; ἅμα δὲ τῇ πρὸς τὸν γεγεννηκότα
219. αἰδοῖ, μὴ τὴν σφαγὴν | ἀπονεύειν ἐθέλειν (*). Νῦν δ' ἀπ' ἐκείνης
τῆς ἐννοίας, ἐπὶ ταύτης τὸ θαῦμα μεθῆκα, καὶ σφόδρα γε τοῦ
μάρτυρος ἄγαμαι, ὅτι μᾶλλον ἐδείκνυ τῆς ψυχῆς τὰ ἀνάστημα,
ἐρυθήματι στίλβων καὶ ἱλαρότητι, κεράσας πάθη κατὰ φύσιν
μαχόμενα. Ὦ ψυχῆς ὡς ἐν ἀΰλῳ ζώσης τῷ σώματι! ὢ μελῶν

(1) Κ. ἀτεκτώτερος. (2) Ἴσ. ὁλοτρήτῳ. (3) Κ. κατενοήτω.
(*) Γεν. 22.

ὑποταγέντων τῷ νόμῳ τοῦ πνεύματος! ὦ σαρκὸς καθηλωθείσης τῷ φόβῳ τοῦ πλάσσαντος! Τοῦτο χαρᾶς τὴν ἄϋλον ἐνεφόρησε στρατιὰν, τοῦτο Θεὸν ἐπεύφρανεν ὑπὲρ θυσίαν καὶ προσφορὰν καὶ πρὸς αὐτὸν ἐγγίσαι κατένευσεν, ὃς ἐπιστὰς τῇ φρουρᾷ, καί περ ἀπερίοριστος ὢν, ἱστορεῖ τὰς διορυχθείσας αὐτοῦ πλευρὰς, ἐρευνᾷ τὰς διατρήσεις τῶν ὅλων μελῶν, καὶ ἀναμνημονεύει τῆς ἰδίας πλευρᾶς· εἶτα λαμβάνει τὸ πνεῦμα χερσὶ, τὸ προσῆκον εἰπών· Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου (*). Φθέγγεται δὲ καὶ πρὸς τὸ τῇ ἐκμιμήσει τοῦ θείου πάθους χαριτωθέν· ὑδροῤῥόην σε τῶν τοῦ ἐμοῦ πνεύματος σκευάσω ἐνεργειῶν τῷ συμφυεῖ σου φυράματι ὀχετεῖν τὰ σωτήρια· ἀνθ' ὧν γὰρ ἐπληρώθη τοῦ πάθους μου τὸ ὑστέρημα ἐπὶ σὲ, ποιήσεις μείζονα σὺ, ὧν εἰργασάμην ἐγώ. Ὦ μεγαλοπρεποῦς ἐπαγγέλματος! ὦ θεοτελοῦς ὑποσχέσεως!

13. Ἐντεῦθεν πρωτομύστης, εὔνους τοῦ μάρτυρος, Λοῦππος ὁ περιώνυμος, δακτυλίῳ καὶ ζώνῃ σταλαγμοῖς χρωσθεῖσι τοῖς ἐξ αὐτοῦ, τερατουργὸς περιβόητος, πολλῶν ζωγρευτὴς, μάρτυς χρηματίζει Χριστοῦ. Σκοπὸς κατὰ τῶν ἀπὸ βοῤῥᾶ τῷ οἴκῳ τίθεται Ἰσραήλ. Ἐντεῦθεν νοσῶν ἀνίατα | ῥώννυται, ναὸς ἐκ βάθρων ἄ- 219.
ποινον (1) ἀφιέρωται καὶ ποταμὸς, καχλάζων ῥοίζῳ τοῦ ῥεύματος, φειδοῖ τῇ πρὸς τὴν ἐκείνου περιβολὴν ἠρεμεῖ, ῥείθρῳ μειλιχίῳ ὑπτιαζόμενος. Ἐντεῦθεν ἁρμονίαι σφίγγονται παρειμένων μελῶν, ῥύακες αἱμάτων ἀναξηραίνονται, λοιμὸς διασκεδάζεται πάνδημος, δαιμόνων ἐπήρειαι δραπετεύουσι, φλόγες αἴτησιν ἀσύμφοραν ἀναστέλλουσι, λῆμμα νεωκόρου προπετὲς ἀποκρούεται, καὶ πρόνοια πεινώντων ἐπινενόηται. Ἐντεῦθεν δύσφημος πρὸς εὐφημίαν ἀνακομίζεται, ὀμφῇ σφραγίζει, μνηστεύεται τῇ πόλει τετηρῆσθαι τὸ εὔτακτον· ἄργυρος ὑπὲρ ὅλης πόλεως δαπανᾶται πυρὶ, καὶ ὁ ἰσόσταθμος ἐπ' εὐφροσύνῃ θείᾳ

(*) Ματθ. ΚΕ. 21. (1) Κ. ἄπινον.

τῷ ἐμπρησθέντι ἀντιβραβεύεται. Ἐντεῦθεν μυριόπλοι τῶν ἐναντίων ἑλεπόλεις καταπεπάτηνται, τόξα συντρίβονται Σκυθικὰ, καὶ τὸ τῇ πατρίδι συσσώζεσθαι τὸν ἀθλοφόρον πιστεύεται. Ταῦτα μαρτύριον τῆς ἀγαθοπρεποῦς ὑποσχέσεως ἀῤῥαγές. Ταῦτα, τῷ ἐν τοῖς Θεὸν δοξάσαντι μέλεσι, παρὰ τοῦ δοξασθέντος ἔνδικος ἀμοιβή. Ταῦτα τῶν αἰωνίων τῷ μάρτυρι ἀπολαύσεων ἀῤῥαβὼν, ἀγγέλων χοροστασίαι, πατριαρχῶν ὅμιλος, σύλλογος προφητῶν, ἀποστόλων χορὸς, ἐκλογὴ διδασκάλων, μαρτύρων τάγματα, οἷς Δημήτριος πᾶσιν ἁμιλληθεὶς, μᾶλλον δὲ πάντων ἅπαντα συλλαβὼν, καὶ τὸ ἑκάστου λεῖπον μόνος ἀναπεπληρωκὼς, τῇ ἀπολαύσει τῶν ἡτοιμασμένων, τοῖς τὸν Θεὸν ἐξ ὅλης
220. ψυχῆς ἀγαπῶσι συγκοινωνεῖ καὶ | συναγλαΐζεται.

14. Ἀλλ' ὦ μαρτύρων ἀειφανέστατε ἥλιε, ὁ φρυκτωρίᾳ θαυμάτων τὸ πᾶν ἀκτινοβολῶν, ὁ τελείῳ τῷ πλάτει τῆς ἀρετῆς ἐκ πρώτης βλάστης, ὡς φοίνιξ ἐξηνθηκὼς, ὁ λόγων ᾠδῖσιν (1) ὡσεὶ ἐν τῷ Λιβάνῳ πλῆθος τετοκὼς Θεῷ, ᾧ πάντων, ὧν ἡ κάτω συγκατεδαψίλευε περιφάνεια, τὸν ὡραῖον μαργαρίτην ἀντωνησάμενος, ἔχεις τὸν λόγον, ὃν συντάξαι ὄναρ με προτρεπόμενος, ἐπηγγείλω πέμπειν κἀκείνῳ μοι, ἅπερ, ὡς ἔλεγες, ἡ τοῦ μαρτυρίου λείπει πυκτίς. Δεῖξον Θεῷ τὰς τρήσεις τῆς ὑπὲρ αὐτοῦ σου λόγχαις ἐμπερωνηθείσης πλευρᾶς, ὑπὲρ βασιλέων ἐντυγχάνων πανευσεβῶν, τῶν τιμώντων πανδήμοις ἑορταῖς καὶ πανηγύρεσι, τὴν ὑπὲρ αὐγὰς ἡλίου κατ' ἀμφότερα λάμπουσαν, καὶ πάντας τοὺς πιστοὺς, ταῖς ἀστραπηφόροις μαρμαρυγαῖς καταυγάζουσαν, ἁγίαν καὶ ἀξιύμνητον μνήμην, τῆς σῆς ἐνδόξου καὶ μεγαλοπρεστάτης πρὸς Θεὸν διὰ τοῦ μαρτυρίου ἐκδημίας καὶ ἀναλύσεως· οἵ, ναόν σοι περίοπτον ἐν τῇ τῶν βασιλείων περιωπῇ ἀναθέμενοι, ἑστιῶσι τὸν ὀφθαλμὸν, καὶ χαρι-

(1) Κ. ὀδῖσιν.

τοῦσι τὸν νοῦν, τὸν μὲν, τῷ ὑπερφυεῖ τῆς ὕλης ὡραϊσμῷ, τὸν δὲ, τῇ ὑπερτελεῖ τῆς γνώμης μεγαλοδωρεᾷ, καίτοι φιλοφρονοῦντες πλέον καὶ ἐνηδύνοντες, οἷς τὸν δι' οὗ τὸ κράτος ἔχουσιν, ὡς ἐνῆν, ἐμιμήσαντο. Ὁ μὲν γὰρ, τὴν ὅλην τετραδικὴν σύστασιν τοῦ παντὸς ἐν ὑλικῇ δυάδι ἑνοῖ, οἱ δὲ, τὴν τοῦ ναοῦ πᾶσαν περιωπὴν ἐν κίοσι λαμπροῖς τέσσαρσι δὶς συμπεραίνουσι· τῇ μὲν τετρακίονι (1) σκιογραφοῦντες | τὸ πᾶν, τῷ 220.
ταύτης δὲ διπλασιασμῷ τὴν ὕλην κατ' αὐτὸ καὶ τὸ εἶδος ὑπαινιττόμενοι, καὶ τῆς χρυσέῃσι κεφαλῇσιν ἀειρομένην τῇ τούτου ὀροφῇ, τὸν ἀστερόεντα εἰκονίζουσαν οὐρανὸν, χρυσῷ περιλαμπετῶντι (2) ἐμφερεῖ ψηφιδώσαντες, εἴδεσιν ἁγίων, ὡς ἄστρασιν ἀειφανέσι, περιποικίλαντες, τῷ τοῦ Θεανθρώπου πανευπρεπεῖ χαρακτῆρι κατακαλλύναντες. Ἄνω γὰρ ταύτης ἐν τῷ τοῦ κοίλου μέσῳ, δικαιοσύνης ἡλίου τύπον ὄντα, τοῦτον ἐπιμορφάζουσι, πτέρυξιν ἀγγελικαῖς ὑπολαμβανόμενον, ὡς ἂν, ἐκ τοῦ μετέωρου καταπυρσεύων ἐκεῖ, τὸ τῶν ὀρθριζόντων σπουδαῖον φωταγωγῇ, τοὺς βασιλεύοντας ἡλιοβολῇ, τὸ μαργαρόχρουν ἔδαφος φρυκτωρῇ, ὅπερ ἄλλον στιλβούσης ἄνθη βαφῆς περιτειχιζόμενον, τάχα τὸν ὠκεανὸν ἀπεικάζει, κύκλῳ τὰ πέρατα τῆς γῆς τῷ ῥείθρῳ περιπτυσσόμενον.

15. Ἴδε κἂν τῇ ἐκμιμήσει, μάρτυς, τῇ παντουργῷ πῶς δεξιοῦνταί σου τὸν ναὸν, καὶ δὸς ἐν τῷ εὐλογημένῳ τῆς τοῦ ἐνιαυτοῦ στεφάνῳ χρηστότητος (*) ὑψοῦσθαι τὸ στέφος τούτων καὶ μεγαλύνεσθαι. Πρόσθες ἔτι καὶ τὸ τοῦ τρισαριστεύσαντος Νέστορος, ὃ μαρτυρίου διὰ σοῦ ποτήριον ἔπιεν, ὑπὲρ ὀρθοδόξων ἱκετεύων Ἐκκλησιῶν. Ὑπόθες καὶ τοῦ τοῖς δεσμοῖς σου προσκαρτερήσαντος Λούππου τοῦ ἀοιδίμου ἐν θαύμασιν ὃ δι' αὐτοῦ ἀθλήσεως ἐβαπτίσατο βάπτισμα, ὑπὲρ χριστωνύμου λιτανεύσων λαοῦ. Ἐπίδειξον πάντων τὰ στίγματα τῶν συναθλητῶν·

(1) Κ. τετρακίῳ. (2) Ἴσ. πυρὶ λαμπετόεντι. (*) Ψαλ. ΞΔ. 12.

221. φίλον γὰρ | ὑμῖν τὰ ἀλλήλων κοινοποιεῖν, πρεσβεύων ὑπὲρ ὧν ἔφης πολιτῶν σωζομένων συσσώζεσθαι. Ὁρᾷς, οἱ τῆς Ἄγαρ ὅσα καὶ οἷά τε συνεπέθεντο! ἦλθον ἀναίδην εἰς τὴν κληρονομίαν σου, τὸν ἅγιόν σου ναὸν ἐμίαναν, ἐξέχεαν τὸ αἷμα τῶν σῶν ὡσεὶ ὕδωρ πολιτῶν κύκλῳ καὶ μέσον τῆς θρεψαμένης σε, ἔθεντο τοῖς τοῦ οὐρανοῦ πετεινοῖς τὰ θνησιμαῖα τούτων κατάβρωμα, τάς τε σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς, καὶ ὁ θάπτων οὐκ ἦν· οὓς γὰρ ζῆν ἐφιλοτιμήσαντο, ἀπαγωγῇ δορυαλώτῳ κατωρωρύχεσαν, κακίστῳ κακὸν ἀμειβόμενοι, αἰχμαλωσίᾳ μακρᾷ μαχαίρας τομῇ. Μὴ πεῖραν ἔτι τοῖς ἐκείνων λάβοιμεν ἐνοχῆς, στήσοι τὸ ἐκείνων αἷμα, ὡς πάλαι τὸ τοῦ Μωσέως παιδός. Ἣν στιλβοῦμεν ἡμεῖς αὐτοὶ καθ' ἡμῶν ῥομφαίαν ἐξαμαρτάνοντες, κραταιωθείημεν ἀσινεῖς σῷ περιβόλῳ ἱκεσιῶν, συντηρηθείημεν ἄτρωτοι σῶν ἐπάλξεσι θαυματουργιῶν. Εἴπω τι νεανικώτερον; ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἴδε, ὅσοι σήμερόν σοι πλέκομεν στέφος εὐφημιῶν. Βασιλεῖς αὐτοὶ καὶ οἱ περὶ τὰ βασίλεια, ὅσοι τοῦ βήματος, καὶ ὅσοι τῆς τάξεως, λαὸς ἔγκριτος, γένος ἅπαν καὶ ἡλικία πᾶσα, πάντες εὐχάριστοι, πάντες εἰς τὴν πλοκὴν αὐτοῦ πρόθυμοι, ὃ μετὰ τῶν ἄνω σοι θεοπλόκων στεφῶν μὴ ἀναβάλλῃ περιβαλεῖν, καί, μικρὸν τοὺς οὐρανίους θαλάμους λιπών, μέσον ἡμῶν ὡραῖος, ὡς ἐκ παστοῦ νυμφίου, γενοῦ, τὴν ἑκάστου πίστιν ἀγαθωσύνῃ ἀντισταθμώμενος· | ἵνα τῇ ὁμοουσίῳ Τριάδι καὶ τῷ ἐκεῖθέν σοι ἡμῖν προμηθεῖ, δόξαν εὐχάριστον ἀναπέμπομεν, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

221*.

ΝΙΚΟΛΑΟΥ ΚΑΒΑΣΙΛΑ ΠΡΟΣΦΩΝΗΜΑ ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΔΗΜΗΤΡΙΟΝ ΤΟΝ ΜΥΡΟΒΛΥΤΗΝ. (*)

1. (**) Πολλῶν ὄντων καὶ μεγάλων οὔμενουν οὐδὲ συνιδεῖν ῥᾳδίων τῶν εἰς ἐπαίνους Δημητρίῳ φερόντων, καὶ πάντων, ὧν αὐτῷ προσῆκεν, ἐπαίνου καθισταμένων, μᾶλλον δὲ παντὸς ὁτουοῦν τῶν ἐπαίνους δεχομένων καὶ Δημητρίῳ προσόντος πολλῷ τῷ ὄντι καὶ τὰς ἁπάντων γλώσσας ἐπὶ τὴν εὐφημίαν παρακαλούντων, οἶμαι μηδ' ἡμᾶς ἂν εἰκότως ἔξω τοῦ γιγνομένου πεσεῖν νομισθῆναι, παρελθόντας αὖθις ἐπὶ τῷ τὰ τοῦ μεγάλου βοῆσαι. Εἰ μὲν γὰρ ἐξῆν ἅπαξ τι περὶ τοῦ κατ' αὐτὸν εἰπόντας, καὶ τῶν εἰκότων εὐθὺς ἐπιτυχεῖς γενέσθαι, τοὺς λόγους τοῖς πράγμασι μάλα συμβαίνοντας ἀποδόντας, οὐκ ἂν ἴσως ἥρμοττεν ἔτι περὶ τούτων λόγον ποιεῖσθαι. Ὅταν δ' οὕτω θαυμαστῶς τοῖς ἅπασιν ἔχῃ καὶ οὕτως ὑπερφυῶν αὐτῷ τῶν ἐγκωμίων προσήκῃ, ὡς μὴ μόνον τοὺς ἅπαξ εἰπόντας εἴσω τῶν αὐτοῦ χαρίτων πίπτοντας εἶναι, ἀλλὰ καὶ τοὺς διὰ βίου γ' ἂν εἴπερ ἐνῆν ταυτηνὶ σπουδὴν καὶ μελέτην, τοὺς ὑπὲρ αὐτοῦ λόγους ποιησαμένους, τίς οὐκ οἶδεν ὡς δίκαιός ἐστι θαυμάζεσθαι μὲν παρὰ πάντων, θαυμάζεσθαι δὲ οὐ κατὰ τοὺς ἄλλους, οὐδ' ὥστε καὶ τοῖς ἐγκωμίοις ὅρους τιθέναι; μάλιστα μέν, ἐπεὶ θαυμαστός τις κόσμος ἀνθρώποις κατέστη, καὶ κοινὸν τοῦ γένους θαῦμα, καὶ δεῖ χάριτας αὐτῷ

(*) Ὁ τίτλος ἐκ τοῦ ἐν Παρισίοις κώδικος 213, φύλ. 46.

(**) Μαρκ. κῶδιξ CCCCCVI, φύλ. 217. αἰῶν. XV. Zan.

πάντας εἰδέναι ταυτησὶ τῆς φορᾶς, καὶ ὧν δι' αὐτὸν μετέσχον
217. ἐπαίνων. Ἐπειθ' ὅτι καὶ πολλῶν καὶ μεγάλων | εὐεργεσιῶν ὑπῆρξεν ἀνθρώποις, καὶ πάντας εὖ πεποιημένος, πάντας τῶν ἐπαίνων ὀφειλέτας κέκτηται· καίτοι, εἰ κοινὸν τοῦ γένους πολέμιον, οὐκ ἔστιν ὃς οὐκ εἶπε κακῶς, ἤπου κοινὸς εὐεργέτης αὐτὸς ἀνθρώποις ἀναφανείς, ἕν τι τῶν δεινοτάτων, εἰ μὴ δ' εὐγνωμονοῦντας ἕξει πρὸς τὰς εὐεργεσίας, καὶ ὧν εὖ πεπόνθαμεν μεμνημένους· ἀλλὰ περὶ μὲν τοὺς κακῶς ἡμᾶς εἰργασμένους τὰ εἰκότα σώζοιμεν, περὶ δὲ τὸν εὐεργέτην δόξαιμεν κακοί; παρὰ πάντα δὲ ταῦτα, εἰ τὸ τοὺς καλοὺς κἀγαθοὺς ἐπαινεῖν, οὐ μᾶλλον ἐκείνους ἐστὶ σεμνύνειν, ἢ σφᾶς αὐτούς, τίνα Δημητρίου πρότερον ἐπαινοῦντες δόξαιμεν ἂν ὑπὲρ ἡμῶν αὐτῶν βεβουλεῦσθαι;

2. Οὕτω παρὰ πᾶσιν ἀνθρώποις πολλῶν καὶ μεγάλων ἀξιοῦσθαι πραγμάτων, ἄριστε, ἀνθρώπων δίκαιος εἶ. Καὶ μὴν κἀκεῖνο δήπουθεν ἴσμεν, ὡς ἄρα πολλοὶ καὶ μάλα ἀγαθοὶ λέγειν τουτονὶ τὸν ἆθλον ἀνῃρημένοι, λαμπρὰν ἡττήθησαν ἧτταν, καὶ σαφῶς ἔδειξαν, ἐπαινεῖν μὲν ἐγνωκότες, ἐλάττους δὲ καθάπαξ ὄντες τοῦ κατ' αὐτὸν πράγματος. Οὐ μὴν ἀλλὰ τοσοῦτο δέω διὰ τοῦτο τὸν ἀγῶνα φοβεῖσθαι, καὶ τὴν ἐγχείρησιν δυσχεραίνειν, ὥστε καὶ κατ' αὐτό γε τοῦτο καί φημι τοὺς λόγους θαῤῥῆσαι. Ὁποτέρου γὰρ συμπεσόντος, περιέσται ἡμῖν, μὴ φαύλοις εἶναι φανῆναι, τῶν μὲν γὰρ πραγμάτων κατ' εὐχὴν προκεχωρηκότων, δόξαιμεν ἂν καλλίω καὶ μείζω πάντων εἰπόντες, ἔξω δὲ πεσόντες τῶν γινομένων, οὐδέν τι καινὸν παθόντες πάντων τῶν εἰπόντων, οὐδενὸς οἶμαι τὴν ἧτταν διαφυγόντος. Οὕτω μέγα τὸ κατ' αὐτόν, καὶ παρὰ τῶν ἀνθρώπων
218. διπλῆν ὡς εἰπεῖν | ἀνῄρηται νίκην· καὶ νικᾷ μὲν τοὺς ἐγγὺς ἂν αὐτοῦ γενέσθαι βουληθέντας τῷ βίῳ, νικᾷ δὲ τοὺς θαυμαστάς, ἐφικέσθαι μὲν ἐπειγομένους τῷ λόγῳ τοῦ μεγέθους τῶν πεπραγμένων, λειπομένους δὲ οὐδὲν ἧττον. Ἃ μὲν οὖν εἰκὸς

ἣν εἰπεῖν, δεῖξαι βουλομένοις ὑπόχρεως οὖσιν ἔτι Δημητρίῳ τῆς εὐφημίας, οὐ μόνον δὲ, ἀλλὰ καὶ πάντας ἀνθρώπους δικαίους ὄντας, δι' ὧν ἔξεστιν ἐκεῖνον σεμνύνειν, μὴ μόνον πρὸς ἕνα δήπουθεν ἆθλον ὑπὲρ αὐτοῦ, ἀλλὰ καὶ πρὸς πολλοὺς καθιέντας ἱκανῶς εἰρῆσθαι νομίζω.

3. Τοῖς δὲ λόγοις ἤδη προάγων καὶ ἐπαίνων ἅπτεσθαι μέλλων, ὡς ἂν μὴ τῆς ἐμαυτοῦ μεμνημένος, καὶ πολὺν ὑπὲρ ταύτης ποιούμενος λόγον, δόξω τισὶν ἐμαυτῷ τὰ πρὸς ἡδονὴν ἐθέλων, ἀντὶ τοῦ τὰ βέλτιστα λέγειν, ἐκεῖνο ἂν εἴποιμι. Πρῶτον μὲν ὅτι μηδ' ἔνεστιν ἄλλως, Δημήτριον ἐπαινοῦντας, κατὰ τὸν περὶ ταῦτα νόμον τὸν ἀγῶνα διενέγκαι, μὴ Θεσσαλονίκης μνησθέντας, ἅγε προσῆκεν. Ἔπειτα εἰ μὲν, μήτε πολλῶν ὄντων, ἃ τὴν Φιλίππου κοσμεῖ, μηθ' ἑνὸς οὐδενὸς ὄντος, ὃς σύνοιδεν αὐτῇ τὰ βελτίῳ, ἔπειτα πολλῶν αὐτὸς ἐμεμνήμην, καὶ μειζόνων ἢ τῇ πόλει προσεῖναι, ἠδίκουν ἄν. Τοσούτων δὲ ὄντων τῶν ἐξαρκούντων εἰς θαῦμα τῇ πόλει, πῶς οὐ φανερὸς ἂν γενοίμην, οὐχ ὑπὲρ οἰκείας μᾶλλον, ἢ τοῦ πάντων καλλίστου καὶ βελτίστου ποιησάμενος λόγον; Οὐ γὰρ τὸ μὲν αὐτῇ πρὸς ἐπαίνου γίνεται, τὸ δ' οὐ κοσμεῖ, ἀλλ' ὥσπερ ἵνα πολλῶν κρατήσῃ συστᾶσα τὸ ἐξαρχῆς, οὕτω πᾶσι μὲν σεμνύνεται τοῖς προσοῦσι, πρόσεστι δὲ οὐδὲν, ὃ | μὴ μετὰ τῶν 218.
εὐδαιμόνων τίθησι, νικᾷ δὲ πόλεις πολλῶν ἀμείνους· τοσοῦτόν ἐστιν. Ἃ μὲν οὖν εἰς ἀέρων τε ἀρετὴν φέρει καὶ ὡρῶν ἁρμονίαν καὶ τάξιν, καὶ θέσιν καὶ κάλλος καὶ μέγεθος, καὶ ὡς θαυμαστὴ μὲν καὶ τούτων, θαυμαστὴ δὲ τῶν ἄλλων, ἐξ ὧν ταῖς πόλεσι κόσμος, θαυμαστὴ δὲ τῆς θαλάσσης καὶ τῶν ἀπὸ τῆς θαλάσσης χαρίτων οὔμενον οὐδ' ὅσον εἰπεῖν ἐξεῖναι· ταῦτα μὲν οὖν ἐάσειν. Ὃ δ' ὑπὲρ τῆς πόλεως εἰπεῖν, εἰκὸς εἶναι μάλιστα τῶν ἄλλων νομίζω καὶ πάντες αὐτῇ σύνισμεν, καὶ ᾧπερ οὐκ ἔστιν ἥτις οὐ τοῦ συγκεχωρηκότος τῇ Φιλίππου παραχωρεῖ.

4. Πολλῶν γὰρ ὄντων, ἃ κεκόσμηκε τὴν πόλιν, μέγιστον εἰς ἐπαίνους καὶ αὐτῇ μάλα πρὸς τρόπου, τὸ καὶ λόγων δυνάμει δυνηθῆναι διενέγκαι τοσοῦτον, ὡς ἐντεῦθεν μᾶλλον ἢ τῶν ἄλλων ἔχειν τὸ θαῦμα. Οὕτω γὰρ Ἑλληνίδων διαφερόντως λόγων μετέχει, καὶ τοσοῦτον αὐτῇ περίεστι καὶ τουτωνὶ τῶν χαρίτων, ὥστ' αὐτὴν μὲν ἑαυτῇ πρὸς ταυτηνὶ τὴν εὐδαιμονίαν ἀρκεῖν, αἰτίαν δὲ καὶ ταῖς ἄλλαις τουτωνὶ δυνηθῆναι γενέσθαι, καθάπερ ἀποικίαν τινὰ ποιησαμένην τοὺς λόγους κατὰ τοὺς Ἀθήνησι τῆς πόλεως ἀρχηγούς. Οὔκουν οὐκ' ἔστιν οὐδείς, οἶμαι, τῶν νῦν ἁπανταχοῦ τῆς ἡμετέρας Ἑλλήνων, ὃς οὐχ ὥσπερ εἰς πρόγονον τὴν πόλιν ἀνάγει, καὶ τῆς ἐν αὐτῷ μούσης μητέρα τίθεται, καί γε σεμνὸς ἡγεῖται δόξειν, τὸ γένος εἰπών.

Ῥήτορας δὲ ἀγαθούς, ἢ τοὺς Πλάτωνος καὶ Ἀριστοτέλους ἑταίρους, τίς οὕτω πασῶν ἑκάστοτε τίκτει, ὥσπερ ἀναγκαίαν
219. τινὰ φορὰν τῷ βίῳ ταυτηνὶ συντελοῦσα, παντοδαπῶν μὲν | λόγων τεχνίτας, βιβλία δὲ τίκτοντας μουσῶν μὲν καὶ χαρίτων ὡς εἰπεῖν πρυτανεῖα, παισὶ δὲ Ἑλλήνων ῥαστώνην; οἷς οὐκ ἔστιν ὃς συγγεγονώς, οὐκ ἀμείνων ἐφάνη, καὶ τὴν γλῶτταν ἀγαθὸς ἐγένετο κατ' Εὐριπίδην, καὶ εἰ ἄμουσος ἦν τὸ πρίν, καὶ τὴν Ἑλλήνων εὐθὺς ἀφῆκε, τῶν βιβλίων κινούντων, ὥσπερ ἅ φασι τῶν ὑδάτων, μένος μαντικῆς τοῖς γευομένοις ἐμπνεῖν. Ὀρφέως γε μὴν μουσικὴν καὶ τὴν κατ' αὐτὴν ἁρμονίαν καὶ τὸ ἐπαγωγὸν καὶ τὸ θέλγειν καὶ πάντα ταῦτα, οὐδέσιν ἄλλοις εἰκάσαις ἂν ἐντυχών.

5. Τοιοῦτον ἡμῖν τῇ πόλει τὸ ἦθος, καὶ οὕτως ἀκριβῶς καὶ μετὰ παντὸς τοῦ γιγνομένου, τοὺς Ἑλλήνων ἔσωσε νόμους, οὐ πρὸς ῥήματος μόνον σφίσι κοινωνήσασα. Τὴν γὰρ θείαν φιλοσοφίαν καὶ τοὺς ἐνταῦθα περὶ αὐτὴν ἔχοντας, καταλίπω, τοσούτους μὲν ὄντας, ὅσοι μηδ' ἐν ἁπάσῃ σχεδὸν τῇ Ἑλλάδι, οὕτω δ' ἀγαθοὺς ἀρετῆς τεχνίτας, ὡς μὴ μόνον αὐτοὺς δήπου τῆς σφῶν τέχνης ἀπολαύειν, ἀλλὰ καὶ πολλοῖς

ἄλλοις τὰ τοιαῦτα συμμαχεῖν ἔχειν, καὶ Θεῷ συνιστᾶναι δύνασθαι, ὧν ὁ Ἄθως οὐρανομήκης ἕστηκε στήλη, μονονοὺ βοῶν πρὸς ἅπαντας τὸν προσόντα τρόπον τῇ πόλει, καὶ ὃν ἀμέλει διορύξας ὁ Πέρσης, εἴδωλον τῆς αὐτοῦ μανίας ὡσπερεὶ καταλέλοιπε, τοῦτον ἡ πόλις ἀπόδειξιν τῶν τρόπον ποιεῖται, μητρόπολις καταστᾶσα τῆς ἐνταῦθα φιλοσοφίας. Καὶ μὴν ἰσότητα πολιτείας καὶ δικαιοσύνην, καὶ τὸ περὶ Θεὸν οὕτως εὐσεβοῦντας διατελεῖν, ὡς καὶ τῶν ψυχῶν αὐτῶν προτιθέναι τὸ κατ' αὐτὸν, τό, τε περὶ πάντα τὰ βέλτιστα προθυμοτάτους εἶναι καὶ περὶ τοὺς νόμους καὶ τὰ δίκαια | τὸ γιγνόμενον σώζειν, 219.
ἄμεινον ἢ οἷς νόμους καὶ πολιτείαν ἔθηκε Πλάτων, ταῦτα δὲ τίνος οὐκ ἂν ἡ πόλις ἀμείνων; οὕτω διὰ πάντων εἰς εὐδαίμονας φέρει, καὶ τῆς ἀγαθῆς τύχης τοσοῦτον αὐτῇ προσῆκεν, ὡς μήτε τῷ πεφυκότι τῆς χώρας, μήτε τῇ τῶν ἀνδρῶν ἀρετῇ, μηδ' ἡστινοσοῦν ὑστερῆσαι, ἀλλὰ καταλλήλων μὲν ἀμφοτέρων ἐνεῖναι ταύτῃ μετέχειν, διὰ δ' ἑκατέρων νικᾶν.

6. Τῶν δ' ἐνταῦθα γενομένων, οἵ γε δι' ὧν βέλτιστοι πᾶσιν ἦσαν τὴν αὐτῶν κοσμήσαντες, οἱ τοῦ γένους Δημητρίῳ πατέρες, ἄριστοι μὲν τὰ πολιτικὰ τῶν κατ' αὐτοὺς ἁπάντων ἀναφανέντες, θαυμαστοὶ δὲ τῆς τε ῥώμης καὶ τῆς δικαιοσύνης· γένει μὲν καὶ πλούτῳ καὶ δόξῃ καὶ τύχῃ, Μακεδόνων κράτιστοι, οἷς δὲ καὶ τρόπων χρηστῶν ἐπὶ πλεῖστον ἦλθον, καὶ πάντων ὄντες Ἑλλήνων. Πατὴρ γενναῖος πάντα καὶ καλὸς κἀγαθὸς τῷ τε φρονήσεως εὖ ἔχειν, τῇ τε περὶ μάχας τέχνῃ, καὶ τῷ καλῶς ἄρχειν εἰδέναι, καὶ πολιτεύεσθαι πρός τε τὰ δίκαια καὶ τοὺς νόμους, πολλῶν μὲν ἀγαθῶν αἴτιος τῇ πατρίδι, πολλῶν δὲ τῷ γένει παντὶ καὶ τοῖς ἄλλοις καταστάς Μητρὸς δὲ πέρι, πολλὰ καὶ μεγάλα λέγειν ἔχουσι, τοσοῦτον εἰπεῖν ἔστι τῷ νῦν εἶναι, ὡς ἄρα πάσης μᾶλλον εὖ πράττειν ἔχουσα καὶ τρυφᾶν, ἡ δὲ μηδενὸς ἠξίου τοῦ λόγου, φλήναφον ἀτεχνῶς νομίζουσα πάντα, καὶ τῶν φρένας ὀλίγων, εἰμὴ τὸν

οὐρανὸν τοῖς ἀνθρώποις προμνᾶται μηδὲ τῶν ἐνταῦθα πραγμάτων κοινωνοὺς ἐργάζηται· τὸ δὲ τῆς εἰς Χριστὸν εὐσεβείας ἀντεχομένην, τὴν ψυχὴν ἔπειτα πειρᾶσθαι δεικνύναι μεστὴν
220. ἀρετῶν, καὶ μηδὲν προτιμότερον ἄγειν, | μήτε τῆς κατὰ ψυχὴν εὐεξίας μήτε τῆς περὶ Χριστὸν προθυμίας, πάντα μᾶλλον πάσχειν αἱρεῖσθαι, ἢ τὴν περὶ ταῦτα ῥαστώνην, ταῦτα δὲ πρὸς αὐτῆς καὶ πολλοῦ τιμᾶσθαι μάλιστα εἶναι.

7. Τοιοῦτον Δημητρίῳ τὸ γένος καὶ πάντων τῶν ἐπαίνους δεχομένων ἐπὶ τοσοῦτον ἀφῖκτο. Θαυμαστὸν μὲν οἴκοθεν, καὶ τίνων οὐκ ἂν εὐτυχοῦν τῶν βελτίστων; Θαυμαστότερον δὲ τῷ ἐκείνῳ προσήκειν τοσοῦτον, ὡς καὶ τῶν ἄλλως σεμνυνόντων ἀπόντων, οὐδὲν ἧττον ἐκεῖθεν εὔδαιμον εἶναι. Καί τοι τί λέγω; Εἰ γὰρ δεῖ τοῖς ὑπὲρ τοῦ γένους λόγοις καὶ Δημητρίου μεμνῆσθαι καὶ τὴν μαρτυρικὴν προσθεῖναι λαμπρότητα, πάντας εὐθὺς ἀνθρώπους καὶ πόλεις ἁπάσας, πλὴν κομιδῇ γε ὀλίγων, ἥττους εὐθὺς ἂν ἡγοῦμαι φανῆναι, καὶ δευτερείων τυχεῖν· ὡς τὰ μὲν ἄλλα, πολλῶν μὲν ἐκράτησεν, ἔστι δ' ἃς καὶ ἁμιλλωμένας ἔλαβεν ἡ πόλις ἡμῖν, ἡττήθη δέπου μιᾶς, ὡς ἐγ' ᾦμαι. Δημήτριον δὲ καὶ τὴν ἐκείνου φοράν, οὐδ' ἥντινοῦν ὧν ἴσμεν ἔχομεν λέγειν, ἣ μὴ μεθ' ἡδονῆς ἡμῖν ἐνταῦθα τῶν πρεσβείων παραχωρεῖ, ἀγαπῶσα τῷ καὶ δευτέρα Θεσσαλονίκης τὰ τοιαῦτα τετάχθαι. Οἷς γὰρ ἐκεῖνος κοσμεῖται, καὶ τὸ γένος εἰκότως κοσμεῖ, καὶ κοινὴν ποιεῖται τὴν νίκην· εἴ γε τὸ μέν, αἴτιον αὐτῷ τοῦ δυνηθῆναι πρὸς τοιαύτην ἐληλυθέναι δόξαν, τοὺς δὲ τῶν φύντων ἐπαίνους, τοῖς σπείρασι λογίζεσθαι χρή. Εἶεν δή.

8. Τῶν δὲ ἐντεῦθεν, Δημήτριον δεῖ καλεῖν ἡγεμόνα· καὶ παρείης γε, ὦ φίλτατε, τῆς ὑπὲρ σοῦ σπουδῆς κοινωνήσων, ὡσὰν ἀπὸ τῆς σῆς χειρὸς καὶ ῥοπῆς λαβόντας τοὐνδόσιμον, οἴκοθεν οἴκαδέ φασι τοὺς λόγους κομίσατο. Σὲ γὰρ ἐπαινεῖν,
220. | δυσχερὲς μὲν ὅτου τις ἂν εἴποι μᾶλλον, καὶ χαλεπώτερον

διενέγκαι. Κεφάλαιον δὲ παντὸς ἡδίστου, καὶ πέρας εὐδαιμονίας ἐμοί, ὥστε καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων τουτονὶ τὸν ἆθλον πάνυ τοι δεδιότων, καὶ τῶν μὲν καθάπαξ σιγώντων, τῶν δὲ, λεγόντων μὲν, περὶ δὲ τοῦ λόγου καθάπερ ἄλλου του τολμήματος παραιτουμένων, ἐμοὶ μόνῳ τῶν εἰπόντων οὐ ταῦτα ἔδοξε, καὶ κινδυνεύω τῇ περὶ τὰ σὰ μανίᾳ, τὴν ἐναντίαν τοῖς ἄλλοις περὶ τούτου ψῆφον ἐκφέρειν· καὶ τὸ μὲν μὴ πολλάκις εἰπεῖν, ζημίαν ἡγεῖσθαι, τὴν δ' ἀκολουθοῦσαν ἧτταν, οὕτω οὐδέν τι δεινὸν εἶναι νομίζειν, ὥσθ' ἅπαξ ἐν τοῖς ἀγῶσι τοῖς σοῖς μετὰ τῶν ἡττωμένων φανείς, οὐ μονον οὐκ ἐμαυτῷ νεμεσῆσαι τῆς τόλμης, ἀλλὰ καὶ αὖθις προσάγειν οἴεσθαι δεῖν. Οὕτως ἡμᾶς ἔτρωσας.

9. Τοῖς μὲν οὖν ἄλλοις πολλοῦ τινος ἐδέησε χρόνου, πρὸς τὸ καλοῖς κἀγαθοῖς γενέσθαι, καὶ μετὰ τοῦ γήρως καὶ τῆς ἀρετῆς γεγευμένοι, μεταξὺ τῶν ἀγώνων ἀπεῖναι, οὓς ὁ μακρὸς οὐκ εἴασε χρόνος τοὺς ἐπὶ τοῖς ἄθλοις στεφάνους μόνους καθαρῶς κομίζεσθαι. Δημήτριος δὲ, τὸ κοινὸν τῆς φύσεως θαῦμα, ὥσπερ πρὶν ἢ γεγονέναι, τοῦ καλοῦ καὶ δικαίου πολὺν ποιησάμενος λόγον, καὶ ταύτην μόνην ἐσχηκὼς μελέτην ἄριστος εἶναι, οὕτως ἅμα τε τὸν ἥλιον ὡς εἰπεῖν εἶδε, καὶ εἰς ἀγαθοὺς ἔφερε καὶ τὴν ἀρετὴν ἐπήνεσε· καὶ τὸ μὲν σῶμα μετὰ τῶν παίδων αὐτῷ, τῷ δὲ τῆς ψυχῆς φρονήματι, γερόντων ἄμεινον εἶχε, διδοὺς τοῖς ὁρῶσιν ἐντεῦθεν καὶ τὸν ἔπειτα μαντεύεσθαι χρόνον, ὅπως ἄρα διὰ πάντων ἐκλάμψει. Οὕτως ἐκ πρώτης ὡς εἰπεῖν τῆς τριχὸς καὶ προοιμίων αὐτῶν, [με- 221.
γάλων τῶν εὐφημιῶν ἐκείνῳ προσῆκε· πάσης μὲν οὖν ἀπεῖχε τρυφῆς, ἐμίσει δὲ παιδιᾶς, τῆς δὲ ἐκεῖθεν ῥᾳστώνης, μουσεῖα καὶ λόγους καὶ τοὺς ἐνταῦθα πόνους περὶ πλείονος ἦγε. Πρὸς ἓν δὲ μόνον ἑώρα τὴν τῆς ψυχῆς εὐεξίαν, καὶ τὸ περὶ τοῦ Χριστοῦ τὴν πρέπουσαν ἔχοντα δόξαν, αὐτὸν μὲν τῆς περὶ αὐτὸν σπουδῆς μηδέποτε σχολὴν ἄγειν, καὶ ταῦτα πολλῶν

ὄντων τῶν ἐπὶ τἀναντία κινούντων· τοὺς δ' ἄλλους τῶν νέων, οἷς συνῆν, ἐπὶ τὰ ἴσα παρακαλεῖν, καὶ τὸ περὶ τὸ θεῖον, ὥσπερ εἰκὸς ἦν, εὐσεβεῖν, ὥσπερ ἐντεῦθεν δεικνύντα τὴν εἰς ἔπειτ' ἐσομένην τῷ γένει βοήθειαν.

10. Τοῖς μὲν οὖν ἀρίστοις συγγεγονὼς τῶν Ἑλλήνων, ἀγαθός τε εἰπεῖν ἦν, καὶ σοφίας μετέσχε τῆς ἐν μαθήμασι καὶ λόγοις, ᾗ καθάπερ ὀργάνῳ πρὸς τὴν τῆς θείας σοφίας χρησάμενος ἐπιστήμην, ἀκριβέστερον ἢ κατὰ τοὺς πολλοὺς ταῖς θείαις ἐνέτυχε βίβλοις, ἵν', ἑτοίμως ἔχῃ κατὰ τὸν θεῖον ἀπόστολον, παντὶ τῷ ζητοῦντι λόγον διδόναι περὶ τῆς ἐν ἡμῖν ἐλπίδος (*)· τὴν δὲ θείαν ἀκτῖνα τῇ ψυχῇ δεξάμενος, τῷ πάντων μὲν τῶν κακῶν ἐλευθέρους τοὺς ἀνθρώπους ποιοῦντι, Θεῷ δὲ συνιστάντι θείῳ λουτρῷ, καὶ τὴν θαυμαστὴν τῶν ἀνθρώπων εὐδαιμονίαν ἀπολαβών, ἀγωγόν τε πρὸς Θεὸν αὐτὴν εἶχε, καὶ συναγωνιστὴν τῶν ἀρίστων, καὶ τῶν γινομένων χριστιανοῖς ἔργων, ἀγαθὸν διδάσκαλον. Τὴν γὰρ διάνοιαν ἀξίαν φυλάττων τῆς Χριστοῦ λαμπρότητος, καὶ πάντα μέν, ἃ πρὸς ἐκεῖνον ἄγει τῶν ἐν ἀνθρώποις ἀγαθῶν, εἰς σπουδὴν ἀξιώτερα πολλῶν νομίζων, ἀγαθὸν δὲ μηδὲν οἰόμενος εἶναι, ὃ μὴ μετ' ἐκείνου γίνεται, τοῦ δὲ καθαροῦ πολὺν ποιούμενος ἑκάστοτε λόγον, τοῦ μηδενὸς τῶν φαύλων ἥττων φανῆναι, καὶ τὴν παρὰ τῆς θείας χάριτος ἐκτήσατο συμμαχίαν,
221*. | καὶ μετ' ἐκείνης σὺν ἐπαίνῳ πᾶσιν ἐπέβαλλε, καὶ διὰ πάντων ἄριστος ἦν.

11. Καὶ τοίνυν, ἐπεὶ τῶν γονέων γενομένων ἐξ ἀνθρώπων τῶν ἐκείνοις προσόντων ἐκεῖνος κύριος ἦν, καὶ πρὸς αὐτὸν μετεληλύθει καὶ πλοῦτος, καὶ δόξα, καὶ τὸ παρὰ βασιλεῦσι δύνασθαι, τῶν ἄλλων σχεδὸν ἁπάντων πολλὴν ἐκεῖθεν δεχομένων τὴν βλάβην, μόνος, ὡς εἰπεῖν, διαγέγονε, διὰ τούτων φα-

(*) Α. Πετρ. Γ. 15.

νεῖς ἀμείνων, καὶ τὴν ψυχὴν βέλτιον πρᾶξαι παρασκεύασας, δι' ὧν πολλοὶ δυστυχοῦσι. Τοῖς γὰρ δεομένοις ἑκάστοτε τῶν ὄντων παραχωρῶν καὶ μεταβάλλων, οἷς εἶχε, σφίσι τὴν τύχην, καὶ τῶν δυσχερῶν παραιρούμενος, ὅλην τὴν ἡμέραν, κατὰ τὸν Δαυΐδ, ἐλεῶν, (*) ὥστ' οὐκ εἶναι μηδένα, μὴ τῶν πολιτῶν αὐτῷ, μὴ τῶν ἄλλων Ἑλλήνων, ὃς προσελθὼν καὶ δεηθεὶς, οὐκ εὖ πεπονθὼς ἀπῆλθε, καὶ τὸν εὐεργέτην ὕμνησεν, ἑαυτὸν πολλῷ λαμπρότερον καὶ καλλίω τὸ καθ' ἑκάστην ἔχον ἐδείκνυ, τῷ πρὸς τοὺς ὁμοφύλους διακειμένῳ, τὸν θεῖον ἔλεον ἕλκων. Καὶ μὴν, οἷς μὲν ἦν αὐτῷ δυναμένῳ, τοῖς δεομένοις χεῖρα ὀρέγων, ἔχαιρε καὶ συνέχαιρεν ἑαυτῷ, οὐ μᾶλλον εὖ ποιεῖν ἢ πάσχειν νομίζων, οἷς δὲ μὴ πάντας ἀπαλλάττειν τῶν κακῶν ἔχων, πάντας ἐθέλων (ἀλλ' ἦσαν οἳ τῆς τύχης οὐκ ἀγαθῆς ἐπειρῶντο), δῆλος ἦν αὐτὸς ἀνιώμενος οὐχ ἧττον, ἢ εἰ μετ' ἐκείνων συμφοραῖς ἐκέχρητο, δῆλος ἐγένετο πάντας ἂν εὖ ποιῆσαι, εἰ μετὰ τοῦ βούλεσθαι καὶ τὸ δύνασθαι παρῆν· ὥστε εἰ δεῖ, τὴν προαίρεσιν σκοποῦντας, ἐκεῖθεν τὰς ψήφους ἐκφέρειν, πάντων ἐκεῖνος εὐεργέτης ἀνθρώπων. Οὕτως ἐλέου τις ἦν ἑστία καὶ | πρυτανεῖον φιλανθρωπίας καὶ τῶν κακῶς 222.
πραττόντων κοινὴ βοήθεια, ὥστε οὐχ ὅσον, κατὰ τὸν Ἰὼβ ἐκεῖνον, στόμα χήρας εὐλογοῦν ἔχειν, (**) καὶ σύν γε τῷ θαυμαστῷ Παύλῳ δύνασθαι λέγειν· τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ (***); ἀλλὰ καὶ τὸ μεῖζον ὅτου τις ἂν εἴποι πρὸς δόξαν Θεῷ τῷ πάντων ὅμοιον εἶναι κατὰ τὸν θεῖον χρησμὸν καλῶς γε ποιῶν. Ἐπεὶ τὸν μὲν βουλόμενον ἑταῖρον Θεοῦ καὶ τῶν ἐκείνου πραγμάτων ἐπιτυχῆ γεγονέναι, δεῖ πρὸς ἐκεῖνον ὁρῶντα τὴν ψυχὴν, οἷς ἔνεστιν, ὁμοίαν ἐκείνῳ τιθέναι πειρᾶσθαι τὸ κατ' εἰκόνα ζητοῦντα· τὸ δὲ, τῇ παρὰ τῶν ἔργων συμμαχίᾳ τοῖς ἀνθρώποις γίνεται, αἳ δ' οὐκ ἂν οἶμαι συσταῖεν, μὴ

(*) ΛΞ. 19. (**) ΚΒ. 13, (***) Β. Κορ. ΙΑ. 24.

τῆς πρός τε τὸ θεῖον, πρός τε τοὺς ἀνθρώπους ἀγάπης, ὥσπερ τινος κρηπῖδος ὑποκειμένης. Ταυτὶ γὰρ καὶ συγγραφαὶ καὶ παραινέσεις καὶ βιβλία πάντα βοῶσι, μὴ ἂν μὲν ἕνα μηδένα τῶν πάντων τεχνίτην ἡστινοσοῦν ἀρετῆς δυνηθῆναι γενέσθαι, ταύτης ἀπούσης· τῶν δὲ τοῦ πνεύματος χαρισμάτων καὶ πάντων ἐν ἀνθρώποις ἀγαθῶν, ταυτηνὶ κεφάλαιον εἶναι, καὶ παρούσης μὲν καὶ τὰς ἄλλας πολλοῦ τινος εἶναι, ἣν δ' ἀπῇ, μηδὲν γεγονέναι πλέον ἀνθρώποις εἰς ἀρετήν.

12. Ταῦτα τοίνυν ἐκεῖνος μάλιστα ἀνθρώπων γινώσκων, κα πρός γε ἔτι τὰ μὲν παρόντα τῶν μηκέτ' ὄντων μηδὲν ἄμεινον ἔχειν, ὄντα δὲ κυρίως Θεόν τε καὶ τἀκείνου πράγματα, τὴν δὲ ψυχὴν, τῶν μὲν ἔξω γενομένην, τῶν τε θείων καὶ τοῦ κατ' αὐτὴν ἀξίαν εἶναι, ἔξω δὲ καθάπαξ ἑαυτῆς καὶ τοῦ μηδενὸς ἀξίαν, ἢν κάτω νεύῃ, Θεοῦ δὲ καὶ τῶν ἐκείνῳ φίλων ἔχεσθαι μὲν, μόνην μάλιστα πασῶν εὐδαιμονίαν εἶναι, τὸν δ' ἀλογοῦν-
222. τα πάντων ἀθλιώτατον. | Ταῦτα τοίνυν ἐκεῖνος, εἰ δεῖ τοῖς αὐτοῖς καὶ αὖθις κεχρῆσθαι, μάλιστα ἀνθρώπων γινώσκων, ἅτε πνεῦμα Θεοῦ ἔχων, Παῦλος ἂν εἶπε (*), τὰ μὲν βελτίω προὔθηκε τῶν ἧττον ἐχόντων, καὶ πάντα προΐετο, τὸν πολλῶν ἄξιον ὠνούμενος μαργαρίτην. Θεῷ δὲ τοσοῦτον ἐχρῆτο, καὶ οὕτω μανικός τις ἦν ἐραστὴς τῆς μετ' αὐτοῦ συναυλίας, ὡς μόνῳ μὲν τῶν ὄντων τούτῳ προσκεῖσθαι, τὸ δὲ τοῖς λογισμοῖς ἐκείνῳ συνεῖναι, πάσης ἡστινοσοῦν ἡδονῆς ἡγεῖσθαι κεφάλαιον· καὶ πρόσεστι τὸ εἰκός. Τῆς γὰρ περὶ τὰ παρόντα προσπαθείας, τὴν ψυχὴν ἐλευθέραν ποιησαμένῳ καὶ ἐκεῖνο ἐξ ἀνάγκης εἵπετο· μόνῳ μὲν τῶν θείων ἀντιποιεῖσθαι καὶ μόνην ἡγεῖσθαι βίου ῥᾳστώνην τὴν περὶ ταῦτα σπουδὴν, Θεὸν δὲ πρῶτα μὲν δεδοικέναι, καὶ διὰ τοῦτο τοῖς ἐκείνῳ δοκοῦσιν ἀκολουθεῖν· οὗ γὰρ φόβος ἐντολῶν τήρησις. Εἶτα ἐντεῦθεν τὴν

(*) Α. Κορ. Ζ. 40.

ψυχὴν καθαρθέντα, καὶ ταύτῃ γενόμενον ὅμοιον τῷ καθαρῷ, φιλῆσαί τε εὐθὺς διὰ τοῦτο καὶ τοσοῦτον ἔρωτα τῶν ἐκείνου λαβεῖν, ὡς μηδ' ἀναπνεῖν ἔχειν, εἰ μὴ πρὸς ἐκεῖνον ὁρῴη. Ταῦτα γὰρ ἀλλήλων ἔχεται, καὶ οὔτε Θεόν τις ἂν ἀγαπῴη, μὴ πρότερον τῶν ἐκείνου πραγμάτων φροντίσας, ὅ τε Θεῷ χρησάμενος οὐκ ἂν δύναιτο μὴ πάντα πράττειν, οἷς ἂν ἐκεῖνος ἡσθείη.

13. Οὕτω δὲ πάνυ τοι περὶ Χριστὸν ἐρωτικῶς Δημήτριος ἔχων, εἰ μὲν εἶχε σωματικῶς ὁρᾶν αὐτὸν καὶ συνεῖναι, καὶ λόγων κοινωνεῖν καὶ συλλόγων, καὶ γλώσσης ἀπολαύειν ἐκείνης, καθάπερ τοῖς εὐδαιμονεστάτοις ἀνθρώπων ἐκείνοις ἐξεγένετο, οὔτ' ἂν ἀφίστατό ποτε, οὐ μᾶλλόν γε ἢ τῆς ψυχῆς τῆς ἑαυτοῦ, καὶ τοῦ πάθους ἂν ἐκοινώνει, καὶ τῶν δυσχερῶν ἁπάντων μετεῖχε. Δεδόσθω δὲ εἰπεῖν, φιλῶν τε ὑπὲρ τοὺς ἄλλους, | καὶ 223.
μάλιστα ἀνθρώπων φιλούμενος, καὶ τὸν πόνον οὕτως ἀπέδωκεν ἄν· ἀπὸ δὲ ταῦτα οὐκ ἐνῆν, οἷς ἐνῆν ἐζήτει συνεῖναι, καὶ δῆτα τὴν ψυχὴν καθαίρων τε καὶ λεπτύνων καὶ θείαν, οἷς εἶχε, παρασκευάζων· ὁ δ' ἔπειτ' αὐτὸν ἔνοικον ἐδέχετο τὸν Σωτῆρα, κατὰ τὴν γενομένην τοῖς κεκαθαρμένοις ἐπαγγελίαν. Ἐντεῦθεν, ἡ μὲν αὐτῷ θεοειδής τις ἦν εἰκότως καὶ πνεύματος καὶ τῶν τοῦ πνεύματος πλήρης τοὺς θείους σώζουσα χαρακτῆρας, τὸ σῶμα δὲ, οὕτω προσῆκον, ὡς μηδὲ συμβαίνειν ἔχειν αὐτῷ τὴν ἐπωνυμίαν, οὕτως ἄμεινον εἶχεν ἢ κατὰ σῶμα· οὕτω μὲν γὰρ ἔδει τοῦ πρὸς ἡδονὰς ἔχειν, ὥσπερ εἰ μηδὲ τὴν ἀρχὴν σώματος ἐκείνῳ προσῆκεν. Οὕτω δὲ τὴν ψυχὴν ἐλευθέραν ἐποιήσατο τῆς ἀπὸ τούτων ἀχλύος, ὡς μηδ' ἐν τῷ τῶν λογισμῶν ὡς εἰπεῖν αὐτονόμῳ τὰ τοιαῦτα δέχεσθαι, καθάπερ λελυμένην σώματος, ὥστ' ἐκεῖνο ἐξεῖναι εἰπεῖν· τὰ μὲν ἄλλα, μετὰ τῶν ἀνθρώπων ἐκεῖνον εἶναι, καὶ τῶν ἄλλων ἁπάντων μετέχειν τοῖς ἄλλοις κατὰ ταῦτα, παρθενίαν δὲ καὶ τὸ κατ' αὐτὴν ἔχον μείζων μὲν ἢ κατ' ἀνθρώπους γενέσθαι, ἀγγέλοις δὲ τῶν ἴσων

μετέχειν· οὕτως ἁγνότατος ἦν. Καίτοι, εἰ τοὺς ἀρίστους νέους ἐκείνους θαυμάζειν εἰκὸς, ἀνθ' ὧν οὕτω Θεῷ σφᾶς αὐτοὺς ἀνέθεσαν, ὥστε καὶ πῦρ αὐτοῖς τῶν σωμάτων ἥττηντο, ᾧ γε τοσοῦτον περιῆν τοῦ περὶ Χριστὸν ἔρωτος, ὥστε περιγενέσθαι μὲν τῶν ἀπὸ τῆς φύσεως τοῖς ἀνθρώποις ἀκολουθούντων, πῦρ δὲ παθῶν ἐλέγξαι, τοῦ πυρὸς ἐκείνου πολὺ χαλεπώτερον ἔχον, πῶς οὐχ ὡς ὑπερφυεῖ προσῆκε προσέχειν; Εἶεν.

14. Ἐπεὶ τοίνυν ᾔδει δίχα Χριστοῦ καὶ τῆς ἐκεῖθεν συμμαχίας, μηδὲν ἂν τῶν ἀγαθῶν μηδένα ἀνθρώπων δυνηθῆναι ποιῆσαι, χωρὶς μὲν ἐμοῦ, φησὶν, οὐ δύνασθαι ποιεῖν
223*. οὐδέν (*)· τὴν δὲ πρὸς Θεὸν | εὐχὴν ἔχειν μόνην τοῦτο περαίνειν, μηδὲ γὰρ ἂν ἄλλως ἐνεῖναι σύμμαχον εἰληφέναι Θεόν. Τοσούτου τινὸς ἄγειν ᾤετο προσευχὴν, ὥστε καὶ κατὰ τοὺς Παύλου νόμους, οὐκ ἦν ὅτε μὴ συνεμίγνυ Θεῷ· τοῦτο μὲν διὰ τὴν ῥοπὴν τὴν ἐκεῖθεν, τοῦτο δὲ καὶ τῶν περὶ αὐτὸν ἐρώτων πρὸς ἀνάγκην κινούντων, καὶ οὐκ ἐώντων τῆς μετὰ Θεοῦ συναυλίας ἅπαξ γεγευμένον μεταχωρεῖν· ἀλλ' ὅρος ἦν ὁ βίος αὐτῷ τῆς ἐν τῷ Σωτῆρι διατριβῆς, μόνος οἶμαι, Παῦλον, κωλύσας, εἰ μὴ μέγα φάναι, πάντων ἀνθρώπων περιγενέσθαι τῷ περὶ τὸν Δεσπότην ἔρωτι· ὥστε μηδὲ εἶναι μηδέν τι τῶν πάντων, οὐ τῶν ἐνεστώτων, οὐ τῶν μελλόντων, ὅπερ ἂν τῆς περὶ Χριστὸν ἀγάπης καὶ Δημήτριον ἀπαγάγοι. Ἐγὼ δὲ καὶ ἐκεῖνο ἂν εἴποιμι, παντὸς μᾶλλον ὑπὲρ τοῦ μεγάλου προσῆκον· ὡς εἴ γε μηδ' ἡτισοῦν ἦν τῶν μελλόντων ἀγαθῶν ἐκείνων ἐλπὶς, μηδ' ἆθλα προὔκειτο ταῖς ὑπὲρ τῆς ἀρετῆς ἀγωνίαις, Δημήτριον ἂν ἀπὸ μόνης τῆς εἰς Χριστὸν εὐσεβείας, μηδενὸς ἧττον τῶν τι λαβεῖν ἠλπικότων, ὑπὲρ τῶν θείων ἐπιταγμάτων πάντας καὶ λέγειν καὶ πράττειν καὶ πάσχειν οἴεσθαι δεῖν, ἆθλα λαμπρὰ τοὺς τοῦ Σωτῆρος ἔρωτας, καὶ μόνην ταύτην τῶν πόνων

(*) Ἰωαν. ΙΕ. 5.

ἀμοιβὴν ἡγούμενον. Ὁ δὲ τούτων οὐκ ἂν ὄντων, καὶ δίχα τῶν ἀγαθῶν ἐλπίδων, καὶ τῶν ἀλειφόντων ἄθλων τοιοῦτος ἂν γεγονὼς, ὁποῖον προσῆκε τὸν τοιοῦτον μετὰ τούτων νομίζειν, καὶ ὁποίαν παρέχεσθαι τὴν ψυχήν; Ἐπεὶ καὶ μὴ μόνον ἐλπίσιν ἦν τὰ μέλλοντα Δημητρίῳ, ἀλλὰ καὶ μετὰ σώματος καὶ τῶν ἐνταῦθα μετέχων τῶν ὑπερφυῶν ἀγαθῶν εἰς πεῖραν ᾔει, καὶ πρὸ τοῦ καιροῦ καὶ | τῶν ἄθλων καὶ μεταξὺ τῶν ἀγώνων 214.
τῶν στεφάνων ἔτυχεν. Εἰ γὰρ βασιλείαν οὐρανῶν καὶ λῆξιν δικαίων καὶ πάντα ταῦτα τὸν Χριστὸν αὐτὸν ἴσμεν, τοῦτο μὲν αὐτοῦ Σωτῆρος, ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστιν ἑαυτοῦ πάντως εἰπόντος, τοῦτο δι' Ἰωάννου τοῦ πάνυ, τὴν οὐρανῶν βασιλείαν ἐπὶ θύρας ἰέναι τὸν Χρίστὸν οἶμαι· εἰ τοίνυν Χριστὸς μὲν ἡ τῶν οὐρανῶν βασιλεία, ὁ δὲ, διὰ βίου τούτῳ καὶ συνῆν καὶ συνέζη πῶς οὐχ, ὃ λέγω, φαίνεται; Ἔτι δὲ καὶ τούτων χωρὶς, τὸ νικῶντα διαγενέσθαι, καὶ τοὺς ἀγῶνας ἐσχηκέναι κατ' εὐχὴν προχωροῦντας, ἐξ ὧν τὰ γέρα τῶν γερῶν ἐστὶν ἐπειλῆφθαι, καὶ μετὰ τῶν ἐστεφανωμένων ἵστασθαι τρόπον δή τινα.

15. Οὕτω δὲ πολλῶν καὶ μεγάλων ἀπὸ τῆς περὶ Χριστὸν ἀγάπης ἀπολελαυκὼς τῶν χαρίτων, καὶ κοσμῶν μὲν τοὺς ἀνθρώπους, ἀγγέλους γε μὴν καὶ τὴν ὑπὲρ ἡμᾶς φύσιν εἰς ἔκπληξιν ἄγων, καὶ θαῦμα, ἄλλος μὲν ἂν πολλοῦ τινος αὑτὸν ἦγε, καὶ τὰς ἀμείνους δόξας ἔχων περὶ ἑαυτοῦ, τῶν ἄλλων ὡς οὐδενὸς ἀξίων ὑπερεώρα, τύφῳ δουλεύων. Δημήτριος δὲ τοσοῦτον ἀπεῖχε τοῦ μείζω τῶν γιγνομένων διὰ ταῦτα φρονῆσαι, καὶ τὴν ψυχὴν κουφίσαι ταῖς βελτίοσι τῶν ἐλπίδων, ὥστε καὶ διὰ ταυτί γε, πολλῷ μειζόνως ταπεινοφρονεῖν ᾤετο δεῖν. Εἰκότως. Μάλιστα μὲν διὰ τὸ τὸν ἑταῖρον Θεοῦ καὶ περὶ αὐτὸν ἔχοντα οἷος ἐκεῖνος, χρῆναι κατ' ἐκεῖνον πρᾷον εἶναι καὶ ταπεινὸν τῇ καρδίᾳ, μηδὲ γὰρ ἂν ἐνεῖναι δυνηθῆναι κοινωνὸν γενέσθαι Θεοῦ τὸν ἑτέρως ἔχοντα· τῶν γὰρ ἀθεμίτων κομιδῇ,

τἀναντία μετ' ἀλλήλων γενέσθαι, καὶ τῆς τἀγαθοῦ συναφείας
224. τὸν πονηρὸν ἀξιοῦσθαι. Ἔπειτα καὶ ἐκεῖνα σκοποῦντα· | ὡς ἄρα πολλῶν μὲν καὶ μεγάλων ἀγαθῶν ἠξίωκει, καὶ κοινῇ καὶ καθ' ἕνα πάντας ἀνθρώπους, καὶ θαυμαστὸν ἔχει περὶ τὸ γένος ὁ Δεσπότης τὸ φίλτρον· καὶ τοῦτο μὲν ἡμᾶς μηδὲν ὄντας, παρεσκευάσας εἶναι, τοῦτο δὲ οὐρανὸν ἡμῖν καὶ γῆν καὶ ἥλιον καὶ πάντα ταῦτα, καὶ οὐ παύεται τὸν ἅπαντα χρόνον, τοῦτο μὲν τὴν ψυχὴν εὖ ποιῶν, τοῦτο δὲ τῆς ἑτέρας μερίδος πολὺν ποιούμενος λόγον. Ἡμεῖς δ' ἔπειθ' οὕτω τοσούτων ὑπόχρεως ὄντες, οὐδὲ χάριν εἰδέναι τὴν ἀξίαν ἔχομεν, οὐδ' ἐγγύς· ἀλλὰ τοσοῦτο καὶ τούτου δέομεν πάντες, ὅσο (γρ. ὅσῳ) καὶ τῆς φύσεως ἐξίστασθαι τῆς ἡμῶν αὐτῶν.

16. Ταῦτα τοίνυν ἐννοοῦντα, καὶ τούτους ἄνω καὶ κάτω τοὺς λογισμοὺς στρέφοντα, μετριότητι περὶ πάντα κεχρῆσθαι, καὶ ταπεινοφροσύνῃ μάλιστα τῶν ἄλλων προσέχειν ἔπεισε· καὶ τὴν μὲν ὑπόστασιν αὐτοῦ, κατὰ τὸν Δαυὶδ, ὡς οὐδὲν οὖσαν κρίνειν ἐνώπιον τοῦ Θεοῦ, πάντα δὲ τὰ προσόντα βέλτιστα, καὶ ὧν ἂν ἑαυτῷ γε ἔχοι συγχαίρειν, μόνῳ λογιζόμενον τῷ Θεῷ. Ἔπειτα στεφάνους ὑπὲρ τούτων οὐ μόνον οὐ προσδοκᾶν, ἀλλὰ καὶ προσοφείλειν, καὶ τούτων χάριν δέον εἶναι νομίζειν, ὡς ἐκεῖθεν ὄντων αὐτῷ· ἥ γε μὴν τοῦ Θεοῦ πρὸς ἀνθρώπους ἐπιδημία, καὶ τὸ δεινὰ παθεῖν αὐτὸν ὑπὲρ ἡμῶν καὶ τεθνάναι, τίνα φιλανθρωπίας καὶ ταπεινοφροσύνης ὑπερβολὴν οὐκ ἂν ἔχοντα, πρὸς μνήμην ἰόντα; καὶ πρός γε ἔτι τὰς ἰδίας πρὸς αὐτὸν ὑπηργμένας εὐεργεσίας σκοποῦντα, οὕτω μετρίως παρέσκεύασεν ἔχειν, ὡς πᾶσαν μὲν τῆς ψυχῆς ἀπελάσαι τὴν κά-
225. κιστ' ἀπολουμένην ὑπερηφανίαν, θυμοῦ δὲ περιγενέσθαι | καὶ λύπης καὶ πάθους παντὸς ὁτουοῦν, μᾶλλον δὲ καὶ ταῦτα μεταβάλλειν καὶ πείθειν τῶν εἰκότων ἔχεσθαι· καὶ λυπεῖσθαι μὲν, οἷς λυπεῖσθαι προσῆκε, χαίρειν δὲ, οἷς μάλιστα χαίρειν ἐχρῆν, θυμὸν δὲ καὶ τὴν τῆς ὀργῆς ἀνάγκην ἐπὶ τὰς πανουργίας τοῦ

Βελίαρ παρακαλεῖν· πρὸς δὲ τοὺς ὁμοφύλους πρᾳότητι τοσαύτῃ κεχρῆσθαι, ὡς καὶ κατὰ τὴν τοῦ Θεοῦ καρδίαν πολιτεύεσθαι δυνηθῆναι, καὶ μετὰ Δαβίδου (sic) τὰ τοιαῦτα γίνεσθαι. Οὐ μὴν ἐφ' οὕτω τοι ταπεινοφροσύνης προβὰς, πρὸς ἀνελευθεριότητα καθάπαξ ἐξῆγε, καὶ τὸ τῆς ψυχῆς κατήνεγκε φρόνημα, πᾶσι μὲν ὁμοίως χρώμενος, μείζω δὲ οὐδενὸς φρονῶν, ἀνδρίαν δὲ ἀτιμάζων, ἀλλὰ ταπεινῶν ἑαυτὸν, ὑψηλοτέραν καὶ πολλῷ βελτίω τὴν διάνοιαν εἶχε, καὶ διὰ τοῦτο τῶν πραγμάτων τῇδε κἀκεῖσε μεταχωρούντων καὶ κινουμένων αὐτὸς, οὐδὲν ἧττον, ἀκίνητος ἦν.

17. Οὕτως οὐδὲν τῶν εἰς εὐφημίαν φερόντων ἔξω καταλιπὼν ἑαυτοῦ, παντὸς ἀγαθοῦ κεφάλαιον ἦν· παρελθὼν μὲν τὸν ἄνθρωπον καὶ κοσμήσας, ἔργοις δὲ πᾶσι δείξας τὴν ἐνοῦσαν τῇ φύσει δύναμιν. Οὐ γὰρ τὸ μὲν τῶν ἀγαθῶν διώκειν ᾤετο δεῖν, τὸ δ' οὔ, οὐδὲ πάντα μὲν, οὐ μετὰ τοῦ νικᾶν δὲ, ἀλλ' ὥσπερ φιλονεικήσας, πᾶσι τοῖς ἐκ τῶν ἀγαθῶν στεφάνοις ἐπικοσμῆσαι τὸν βίον, οὕτω διετέλεσεν ἔχων. Καὶ πρόσεστι τὸ δικαίως. Εἰ γὰρ ἀγαθὸν ἅπαν θεόθεν τοῖς ἀνθρώποις γίνεται, Δημήτριος δὲ τούτῳ μάλιστα τῶν ἄλλων ἐχρῆτο καὶ τῶν ἑταιροτάτων ἦν αὐτῷ καὶ φιλτάτων, κοινὰ τὰ τῶν φίλων, τῆς παροιμίας νομοθετούσης, πῶς οὐ δῆλός ἐστιν εἰκότα παθὼν, πάντων ἐκείνῳ τῶν ἀγαθῶν κοινωνήσας; | Χωρὶς δὲ τούτων, 225.
τὸν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων εἰς ἀνθρώπους τελοῦντα καὶ διὰ τοῦτο καὶ φύντα τὴν ἀρχὴν εἰκὸς ἦν, οἶμαι, θεοείκελόν τινα τοῖς ὅλοις γενέσθαι, ὡσὰν ἀντὶ τοῦ σωτῆρος τοῖς ἀνθρώποις φανεὶς, καὶ τοῦτο τὸ μέρος Θεῷ προσήκων ἔχῃ κἀν τοῖς ἔργοις συμβαίνειν, καὶ διὰ πάντων ἁρμόττειν, καὶ μὴ, τὰ μὲν πρὸς ἐκεῖνον ὡς παράδειγμα βλέπων, θατέρου δὲ τοῦ μέρους ἐλλείπων, τὴν εἰκόνα ψεύδηται. Ὁ μὲν γὰρ τοῦ γένους τοῖς ἀνθρώποις πατὴρ κακῶς εἴς τε ἑαυτὸν καὶ τοὺς θείους πολιτευσάμενος νόμους, μὴ μόνον αὐτὸς δήπουθεν ἔπραξε κακῶς,

τὸν Θεὸν ἀπολέσας, ἀλλὰ σύν γε τῷ καθ' ἑαυτὸν καὶ πάντας ἀνθρώπους ἄτῃ ἐνέδυσε βαρείῃ, κατὰ τὸ ἔπος· Δημήτριος δὲ περί τε τὴν ψυχὴν ἑαυτοῦ, περί τε τοὺς Χριστοῦ νόμους τὰ εἰκότα τηρήσας, ὁ δ' ἔπειτ' οὐχ ἑαυτῷ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις θαυμαστὸς εὐεργέτης κατέστη, καὶ μετὰ τὸν Δεσπότην προστάτης τῷ κοινῷ τῶν ἀνθρώπων.

18. Δῆλον δέ. Ἐπεὶ γὰρ μὴ μόνον θαυμαστός τις ἦν σπουδαστὴς τῆς κατὰ ψυχὴν εὐπραξίας, ἀλλὰ καὶ ῥώμης καὶ φρονήσεως εὖ ἔχων, ᾔδει, κατὰ τὸν ποιητὴν, βουλάς τ' ἐξάρχειν ἀγαθὰς, πόλεμόν τε κορύσσειν, καὶ στρατηγεῖν μὲν εἶχε, βουλεύεσθαι δὲ οἷός τ' ἐγένετο, ἃ προσῆκε, πράγματα δὲ πολιτευόμενος, πάντων ἐκράτει, καὶ πολλοῦ τινος διὰ ταῦτα τοῖς κρατοῦσιν ἐδόκει, καὶ κοινὴ τοῖς πράγμασι λυσιτέλεια. Καὶ παρεκαλεῖτό γε ἐπὶ τὰς ἀρχὰς καὶ τὸ πραγμάτων ἅπτεσθαι καὶ παρεῖναι σφίσι καὶ συμμαχεῖν τὰ βέλτιστα, καὶ μετέχειν μὲν τῆς ἀγαθῆς τοῖς κρατοῦσι τύχης, μεταδιδόναι δὲ τῶν ἀπὸ τῆς ψυχῆς ἀγαθῶν, ἐξ ὧν ἄμεινον πράξειν ἐλπὶς ἦν. Διὰ ταῦτα
225. δὴ, καὶ δέχεται τὴν ἀρχὴν τῶν Ἑλλήνων. | Γενόμενος δὲ ἐπὶ τῶν πραγμάτων, οὐ πλοῦτον ἐφίλησεν, οὐ δόξης ἑάλω, οὐ τύχῃ προσέσχε τὸν νοῦν, ἔδειξε δὲ ὑπὲρ μὲν τῶν ἄλλων οὐδενὸς, μόνου δὲ Χριστοῦ καὶ τῶν ἐκείνου νόμων τὴν ἀρχὴν ᾑρημένος καὶ πρὸς δόξαν Θεοῦ κατὰ τὸν θεῖον Παῦλον (*), καὶ τἄλλα ποιῶν καὶ τῷ τῆς ἀρχῆς χρησάμενος δεδωκότι. Τεκμήρια δέ. Ἐπεὶ γὰρ ἐκράτει τὰ χείρω, τῶν ἀσεβούντων τῶν πραγμάτων ἐπειλημμένων, καὶ πάντα ζάλη καὶ κλύδων εἶχε, τῶν ἐν ἀνθρώποις ὑγιαινόντων ὀλίγων κομιδῇ καταστάντων, καὶ τούτων κρυπτομένων, διωκομένων, θανατώντων, τῷ δέει τῶν ἐπὶ τὴν εὐσέβειαν πάντα ποιούντων, καὶ θαυμαστῆς τινος ἐν τῷ τότε τοῖς πράγμασιν ἐπιπεσούσης ἀχλύος, καὶ προσδοκωμένων αὐτίκα

(*) Α. Κορ. Ι. 31.

μάλα καθάπαξ χριστιανῶν ἐκτριβῆναι, τοῦ μὲν χεῖρα διδόντος οὐδενὸς ὄντος, πάντων δὲ σχεδὸν ἀνθρώπων ταῖς συμφοραῖς συμμαχούντων, μόνος, ὡς ἔπος εἰπεῖν, ἀντετάξατο τῇ κατὰ τῶν εὐσεβούντων φορᾷ, καὶ χεῖρα σώζουσαν ὑπερέσχεν, ἐν τῷ καλοῦντι τοῦ καιροῦ συμμαχήσας, καὶ μονονοὺ κλιθεῖσιν εἰς γόνυ παραστὰς τοῖς πράγμασι, καὶ γέγονε τοῖς εὐσεβοῦσιν ἀγαθὴ τύχη, καὶ μεταξὺ κυμάτων, γαλήνη, καὶ πάντα τὰ βέλτιστα.

19. Τὸ μὲν οὖν δημαγωγεῖν τοῖς Ἕλλησι τὰ πράγματα, καὶ στρατηγεῖν καὶ διοικεῖν καὶ βουλεύεσθαι καὶ πράττειν, ἃ τῷ κοινῷ τοῦ γένους λυσιτελήσει, χρημάτων εἵνεκα καὶ δόξης καὶ σωτηρίας, ἄρχουσι μὲν προσήκειν διὰ φροντίδος εἶναι ᾤετο, καὶ αὐτῷ μάλα πρὸς τρόπου, ἀλλὰ τὸν ἄλλον χρόνον· τηνικαῦτα δὲ τῆς περὶ Χριστὸν εὐσεβείας κινδυνευούσης ἀπολωλέναι, καὶ τοῦ καιροῦ καλοῦντος τὸν προστησόμενον, εἰκός γε ἐδόκει, μὴ ὅτι τὰ Ἑλλήνων, ἀλλὰ καὶ τὰ αὑτοῦ, καὶ τὴν ψυχήν, ὡς εἰπεῖν, τὴν αὑτοῦ, καὶ πάντα ἀφέντα, | μόνων τῶν ὑπὲρ αὐτῆς 226.
ἀγώνων γενέσθαι καὶ στῆναι κατὰ τῆς πλάνης ὅπλα δικαιοσύνης, κινοῦντα καὶ τὴν τοῦ πνεύματος μάχαιραν, τὴν γλῶτταν δὴ τὴν αὑτοῦ· ἐπεὶ καὶ τὴν ἀρχὴν εὖ ποιήσειν ἀπὸ τουτωνὶ τῶν ἀγώνων, πάνυ γὰρ ἂν καλῶς τὴν Ἑλλάδα πρᾶξαι, τοῦ Χριστοῦ παρελθόντος. Καὶ τοίνυν Δημητρίῳ μὲν ἡ γλῶσσα ἐνεργὸς ἦν, τὴν τῆς ψυχῆς ἐπιδεικνῦσα περὶ τὸν Χριστὸν προθυμίαν, πάντας δ' οὓς ἡ ἐκείνου φήμη κατέσχε καὶ Ἑλλήνων καὶ βαρβάρων θέατρον ἦσαν, ἡδέως μὲν προχωροῦντες, ἡττώμενοι δὲ πρὸς ἀνάγκην τῶν θαυμαστῶν ἐκείνων σειρήνων· ὥστ' οὐδεὶς ἦν, ὃς γεγονὼς τοῦ θεάτρου, πρὸς παλινῳδίαν ἐξῆγεν. Οὕτω φῶς ἐγένετο κόσμου, δεξάμενος μὲν αὐτὸς τὴν θείαν ἀκτῖνα, μεταδοὺς δὲ καὶ τοῖς ἄλλοις, καὶ λόγον διὰ ταῦτα φωτὸς καὶ ζωῆς ἐπέχων, Παύλου φωνή. (Φιλ. Β. 16).

20. Πρῶτον μὲν οὖν ἐκεῖνο πάντας ἔπειθε καὶ Ἕλληνας

καὶ βαρβάρους κοινῇ, πρῶτον τῶν ἄλλων προσῆκον εἶναι οἴεσθαι λόγον ποιεῖσθαι, τοὺς τίνα δεῖ νομίζειν εἶναι Θεὸν, ὡς μόνην οὖσαν ταύτην ἀνθρώποις οὖσιν εὐδαιμονίαν. Εἰ γὰρ τὸ ᾗ ὄντα ἐστὶ τὰ ὄντα εἰδέναι τοῖς εὖ φρονοῦσι τῶν ἀνθρώπων εὐδαιμονία, τί ποτ' αὐτὴν ἐροῦμεν τὴν ἐπιστήμην τοῦ Θεοῦ; Καὶ ἅμα πρώτου τοῦ παντὸς ὄντος, καὶ τοὺς ὑπὲρ αὐτοῦ λόγους πρώτους ποιεῖσθαι προσήκειν τῶν ἄλλων παντὸς ὁτουοῦν· ἔπειτα ταύτην μόνην περὶ τὸ θεῖον ὑγιᾶ δόξαν εἶναι, τὸ Χριστὸν νομίζειν εἶναι Θεὸν, καὶ τοῦ παντὸς τοῦδε δημιουργὸν, ὃν διὰ τὴν περὶ τὸ γένος φιλανθρωπίαν ἄνθρωπον γενόμενον, ἵν' αὐτὸ τῶν προτέρων ἀξιώσῃ χαρίτων, δῆλον ἀπό τε τῆς ὑπερφυοῦς πολιτείας, τῶν μεγάλων ἐκείνων ἔργων γενέσθαι.

Τὸ γὰρ, νῦν μὲν ἀπογεγονότας, εἰς τὸ φῶς αὖθις ἀνάγειν,
227. νῦν δὲ, τυφλοῖς τὰς ὄψεις δημιουργεῖν, καὶ τοῦτο μὲν, | τοὺς ἐνεργουμένους ἀπαλλάττειν τοῦ συνέχοντος κακοῦ, τοῦτο δὲ, ἐντολὰς αὐτοῦ καὶ θαλάσσῃ διδόναι, καὶ μόνῳ τῷ βούλεσθαι πάντα ποιεῖν καὶ μετασκευάζειν, μόνης τῆς τοῦ Θεοῦ δυνάμεως εἶναι, καὶ διὰ ταῦτα τοὺς πολλοὺς θεοὺς νόθους ἐπὶ τῶν πραγμάτων φανέντας χαίρειν εἰπόντας, τῆς ἐπὶ Χριστὸν ἑταιρίας γενέσθαι, καὶ, τῷ θαυμαστῷ λουτρῷ καθαρθέντας, εἰσποιηθῆναι Θεῷ. Πάνυ τοι γὰρ τῶν ἀτοπωτάτων εἶναι τὸν ἀγαθὸν ἀφέντας Θεὸν τοῖς κάκιστ' ἀπολουμένοις δαίμοσι τὰ καθ' ἑαυτοὺς ἐπιτρέψαι, κτίσματα θεοὺς προσειπόντας· ἡμῶν χάριν καὶ τὴν ἀρχὴν γεγονότα, καὶ διὰ τοῦτο τοῦ καθ' ἡμᾶς καθάπαξ ἐλάττω, οὐ μὴν ἀλλὰ Χριστὸν Θεὸν ἐγνωκότας οὐκ ἀγαπᾶν, οὐδ' εὐσεβοῦντας, καθεύδειν οἴεσθαι. Οὕτω γὰρ ἂν οὐ τελείως ἀγαθοὺς εἶναι, ἀλλὰ σύν γε τούτῳ, καὶ τὴν ἀπὸ τῶν ἔργων προστιθέναι συντέλειαν. Τὸ γὰρ εὐσεβεῖν ἄνευ τοῦ τοῖς βελτίστοις ἔργοις προσέχειν, οὐδ' ὀλίγα πρὸς τὸ ἀγαθοὺς γενέσθαι δύνασθαι, ἀποστόλων τις εἶπε (*)· διὰ ταῦτα, περὶ τὸν Χρι-

(*) Ἰακ. Β. 14. 17. 20.

στὸν εὐσεβοῦντας, καλῶς ποιοῦντας καὶ τῶν ἐκείνου κατακούειν ἐπιταγμάτων. Οὕτω γὰρ φιλοῦντας τὸν Θεὸν εἶναι· Ὁ γὰρ ἀγαπῶν με, φησὶ, τὰς ἐντολάς μου τηρήσει (*).

21. Οὕτω δὲ εὖ ἔχοντας τὰ τοιαῦτα, καὶ τοῦτον ἀμέλει πρὸς τὸν Χριστὸν διακειμένους τὸν τρόπον, καὶ λόγοις καὶ ἔργοις εἰς αὐτὸν εὐσεβοῦντας μηδὲν ἔπειτα πρότερον ἄγειν τῆς περὶ αὐτὸν σπουδῆς, κἂν πάντες πάντα ποιῶσι καὶ λέγωσι, κἂν τὰ πάντων δεινότατα τὰ μὲν δρῶσι, τὰ δ' ἀπειλῶσιν, οἱ νῦν ἐπὶ κακῷ τῶν πραγμάτων, γῆς καὶ θαλάττης ὑπάρχοντες, πρῶτον μὲν ἐκεῖνο ἐνθυμουμένους· ὡς οὐκ ἄν ποτε δυσχερέσιν οὐχ ἑκόντας εἶναι περιπεσεῖν ξυγχωρῆσαι, φιλάνθρωπος ὢν ὁ Δεσπότης, εἴ γε προῄδει, μὴ ἂν δυνηθέντας ὑπενεγκεῖν, ὥστ' εἰ μὲν μετὰ τῆς εὐσεβείας ἔξω δυσχερῶν εἶεν, ἔξω τῶν πραγμά- 227.
των εἶναι, | καί γ' εἰς ἀθλητὰς τῶν τοῦ Χριστοῦ νόμων [μεῖζον ᾤετο βαλεῖσθαι], τῶν δ' ὑπὲρ εὐσεβείας κινδύνων συμπεπτωκότων θαῤῥεῖν καὶ μὴ δεδιέναι τὸν ἆθλον· κατὰ γὰρ εὐχὴν αὐτοῖς τουτῳὶ προχωρῆσαι, τοῦ Θεοῦ συνειδότος καὶ συγχωροῦντος, εἰ γ' ἔστι τῶν δεινῶν δυναμένοις ὑπενεγκεῖν. Ἔπειτα οὐδ' εἰκὸς τὸ παράπαν εἶναι, τὸ πολίτευμα ἐν οὐρανοῖς ἐσχηκότας, περὶ σώματος καὶ τῶν ἐπὶ γῆς ἀγαθῶν δεδιέναι. Καὶ μὴν, εἰ τέλος οὐκ ἦν Χριστὸς τὰ καθ' ἡμᾶς, ἀθάνατοι δ' ἦμεν καὶ ἀγήρῳ, οἰήματα πάντα, μάλιστα μὲν οὐδ' οὕτω χρῆναι τῶν παρόντων ἀγαθῶν ἐξηρτῆσθαι· τὰ γὰρ μείζω, τὸν Χριστὸν καὶ τἀκείνου, περὶ πλείονος ἄγειν, ἀλλ' οὖν, εἶχεν ἄν τινα τοῦτο λόγον· ἐπεὶ δὲ θνητοὶ πεφύκαμεν ἄνθρωποι, καὶ τὸν τοῦ περιεῖναι καὶ ζῆν εἰς πεῖραν ἰόντα, καὶ πρὸς ἀνάγκην τεθνήξεσθαι προσδοκᾶν ἔστι, πῶς οὐ δεινῶς ἄτοπον, εἰ ἃ στεφάνων χωρὶς ἀνάγκη παθεῖν, ταῦτα μετὰ στεφάνων καιροῦ καλοῦντος

(*) Ἰωαν. ΙΔ. 15.

οὐχ ἑλοίμεθα ἄν; χωρὶς δὲ τούτων, τῆς μεγίστης ἀγνωμοσύνης, Θεὸν μὲν δεινὰ παθεῖν ὑπὲρ ἡμῶν καὶ τεθνάναι, μηδαμόθεν αὐτῷ προσῆκον, ἡμᾶς δὲ δι' ἐκεῖνον, ἐῶ γὰρ λέγειν ὑπὲρ ἡμῶν αὐτῶν, οὐχ ἑλέσθαι ἀποθανεῖν, τοῦ πεφυκότος ἀπαιτοῦντος καὶ πρὸς ἀνάγκην τεθνηξομένους; ἄλλως τε ἑλέσθαι δεῖν δυοῖν θάτερον· ἢ πρὸς γῆν ἔχοντας, μηδενὸς τῶν ἀϊδίων ἀγαθῶν εἰς πεῖραν ἐλθεῖν, ἢ τῶν Χριστοῦ γενομένους ἐρώτων, πρᾶξαι καλῶς. Τὸ μὲν οὖν τουτωνὶ τῶν ἀγαθῶν ἐφίεσθαι οἴεσθαι δεῖν, ἀγνοούντων σφᾶς αὐτοὺς εἶναι· κρείττους γὰρ αὐτῶν γενομένους, ἔπειτα τῶν ἔλαττον ἐχόντων ἐρῶντας, μὴ πόῤῥω μανίας εἶναι· ἔρωτα γὰρ ἔχειν ἐκείνων, ἃ πρὸς τῷ μείζω καθάπαξ εἶναι, καί γε ἐν καιρῷ τοῖς ἐρῶσι γίνεται. Θεοῦ δὲ ἐ-
228. ρᾶν, | οὐχ ὅσον εὐδαιμονοῦντας τίθησι τὴν ἀρίστην εὐδαιμονίαν, ἀλλὰ καὶ ἀνθρώποις μάλα πρὸς τρόπου, καὶ τῷ κοινῷ τῶν ὄντων πεφυκότι πάνυ προσῆκον. Πάντα γὰρ κατὰ φύσιν ἐρᾶν τοῦ Θεοῦ, ἀνθ' ὧν μόνῳ μὲν τῶν πάντων προσκειμένου εἶναι Θεῷ, προσκειμένους δέ, καὶ τοὺς νόμους τοὺς ἐκείνου σώζειν πειρᾶσθαι. Τῶν δὲ νόμων τῶν ἐκείνου μὴ φοβεῖσθαι τοὺς ἀποκτενοῦντας τὸ σῶμα, τὴν δὲ ψυχὴν οὐκ ἔχοντας ποιῆσαι κακῶς (*).

22. Δημήτριος μὲν οὖν οὕτω ταῦτα, καὶ πόλλ' ἕτερα τοιαῦτα συνεῖρε, καὶ ἅμα τοῦ Χριστοῦ συμμαχοῦντος καὶ ὑπερφυῶν ἔργων αὐτουργὸς ἦν· Ἑλλὰς δὲ ἐλύετο τῆς τῶν θεῶν τυραννίδος, καὶ τὸν ἀληθῆ Θεὸν ἐνέγνω, καὶ τὸ φῶς ἑώρα τῆς ἀληθείας, καὶ ὁ μέγας αὐτοῖς πατὴρ ἐγίνετο τῆς υἱοθεσίας, καὶ πάντα ἦν αὐτοῖς ἐν ῥᾳστώνῃ, τοῦ Χριστοῦ παρελθόντος· οὕτω δὲ καὶ λέγων καὶ πράττων, κοινή τις ἦν τῷ γένει βοήθεια. Ἐπεὶ γὰρ τὴν τοῦ Σωτῆρος λῆξιν ἑώρα κινδυνεύουσαν καθάπαξ ἀπολωλέναι, τῷ πόῤῥω γενέσθαι τῶν ἐκείνου καλῶν,

(*) Λουκ. ΙΒ. 4.

ἐπανήγαγεν αὖθις, καὶ δέδωκεν αὐτοῖς, ὡς εἰπεῖν, ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι (*), ὡσὰν καὶ αὐτὸς σπείσασθαι τοὺς ἀνθρώπους πρὸς τὸν Θεὸν κατὰ τὸν Σωτῆρα παρασκευάσας, σωτὴρ καὶ αὐτὸς ἀνθρώπων ἀκούειν ἔχῃ, καὶ ὃν ἀμέλει πᾶσιν ἐμιμεῖτο τοῖς ἄλλοις καὶ τοῦτο τὸ μέρος μετ' ἐκείνου γένηται. Οἶμαι γάρ, εἰ μετὰ τὴν θαυμαστὴν ἐκείνην εἰς ἀνθρώπους εὐεργεσίαν, τὸν ἐν σαρκὶ Θεόν, καὶ τοὺς μετὰ τὸν Δεσπότην τῶν ἀνθρώπων σωτῆρας, ἑτέραν τινὰ φιλοτιμίαν Θεοῦ πρὸς ἀνθρώπους γεγενῆσθαι ξυνέβη, τὴν οἰκουμένην αὖθις εὖ ποιεῖν βουλομένου, μὴ ἂν ἑτέραν ταύτην, ἢ τὴν Δημητρίου ψυχὴν γενέσθαι. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Πρὸς δὲ τὰ ἑξῆς θαυμαστῆς γε δεῖ μούσης, | καὶ γλώττης ἄμενον ᾄδειν 223.
ἐπισταμένης· οὕτω γὰρ ἂν τὸν ἀγῶνα κατὰ πᾶν τὸ εἰκὸς ἀπαντῆσαι, τῶν λόγων ἑπομένων τῇ τῶν πραγμάτων δυνάμει, Δημητρίου δ' ἂν εἴη καὶ τοῦτο. Ἐπεὶ γὰρ ἐκ τοῦ Θεοῦ τοῖς ἀνθρώποις γεγονὼς ἐπ' εὐδαιμονίᾳ τοῦ γένους, αὐτὸς μὲν ὅσον ἔνεστιν ἐξ ἀνθρώπων εἰς Θεὸν ἀγαθὸν γενέσθαι μετὰ πολλοῦ τοῦ περιόντος εἰσενηνόχει, πρὸς δὲ τὴν τῶν ἀνθρώπων δημαγωγίαν, πᾶσιν ἐχρήσατο τοῖς ἐνοῦσι καὶ μηδέσιν ἀνθρώπων οὐδεμίαν ὑπερβολὴν οὐκ εὐσεβείας, οὐ φιλανθρωπίας ἀφῆκε· λέγων δὲ τὰ Χριστοῦ καὶ πράττων καὶ πολιτευόμενος, ἔτι περὶ αὐτὸν μανικώτερος ἐγεγόνει, καὶ οὐχ οἷός τ' ἦν ἔτι ἑαυτὸν κατέχειν, ἀλλὰ τοῖς λογισμοῖς ἑκάστοτε συνὼν οὐκ ἠγάπα, συνηύχετο μὲν ἑαυτῷ τὴν ἀπαλλαγὴν τὴν ἐντεῦθεν, ἐντεῦθεν ἤδη τῶν ἐν οὐρανῷ γεγευμένος· συνηύχετο δὲ μετὰ λαμπροῦ τοῦ σχήματος αὐτῷ τὴν τελευτὴν ἀπαντῆσαι. Γίγνεται τοίνυν καὶ μετὰ λαμπρῶν τῶν τροπαίων.

23. Δημήτριος ἦν ἐξ ἀνθρώπων, οὐ μόνον βαρβάροις φόβον ἐνθείς, καὶ ταῖς ἐκεῖθεν νίκαις τὴν Ἑλλάδα κοσμήσας, ἀλλὰ καὶ

(*) Ἰωάν. Α. 12.

θεοῖς τὴν ἀρχὴν καταλύσας, οὐκ εἰδόσι τοὔνομα, καὶ τῶν πραγμάτων ἀπελάσας, ὥσπερ τυράννους, οὐδαμόθεν αὐτοῖς προσῆκον τοῖς ἀνθρώποις ἐπιθεμένους, καὶ τῆς ἐκεῖθεν αἰσχύνης τὴν οἰκουμένην καθάρας, καὶ δείξας, ὡς οὐκ ἔσται δαίμοσι τυραννεῖν, ἕως ἂν μετ' ἀνθρώπων ὦσιν αὐτοῦ Σωτῆρος χάριτες.

Τὸ δ' ὅπως, δῆλον ἐκεῖθεν. Ὁ μὲν οὖν, εὖ ἐποίει τὴν οἰκουμένην, τὸν ἐπιστάντα πόλεμον διαλύων, καὶ οἷς ἐποίει καὶ οἷς ἔλεγεν, ἃ τοὺς μὲν παρόντας ἔλυσε φόβους τῇ περὶ Χριστὸν ἑταιρίᾳ, περὶ δὲ τοῦ μέλλοντος, εὐέλπιδας παρεσκεύασεν
229. εἶναι. Βασιλεὺς δὲ ἑτέρωθεν ἐναντία | καὶ βουλευόμενος καὶ πράττων, πᾶσιν οἷς εἶχε κατὰ τῆς εὐσεβείας ἐχώρει· καὶ οὐδὲν ἦν αὐτῷ τῶν ἁπάντων εἰς σπουδὴν ἀξιώτερον χρῆσθαι, οὐ πόλεων ἁλώσεις, οὐ βαρβάρων λάφυρα, οὐ τὸ χειρῶν εἴσω τοὺς πολεμίους γενέσθαι, οὐκ ἄλλο οὐδὲν τῶν τοιούτων, ὅσον τοὺς περὶ Χριστὸν εὐσεβοῦντας ἐξ ἀνθρώπων ποιῆσαι καὶ πεῖσαι πᾶσαν τὴν οἰκουμένην νομοθέτῃ τῷ βασιλεῖ πρὸς τὴν θρησκείαν κεχρῆσθαι, καὶ μετ' αὐτοῦ τὴν αὐτοῦ ἐξώλειαν ἀγαπῆσαι, τοὺς κάκιστ' ἀπολουμένους εἰσενεγκόντας θεούς. Δημήτριον δὲ πυθόμενος πρὸς παλινῳδίαν ἐξάγοντα, καὶ θεοὺς μὲν ἐκβάλλοντα τῶν πραγμάτων, Χριστὸν δὲ καὶ τὴν περὶ αὐτὸν ἀγαθὴν δόξαν ταῖς τῶν ἀνθρώπων ἐντιθέντα ψυχαῖς καὶ γνώμαις, καὶ πείθοντα, τοὺς μὲν πορθμὸν Σικελίας ἡγεῖσθαι, Χριστῷ δὲ μόνῳ προσέχειν τὸν νοῦν, δέον συνησθῆναι Δημητρίῳ τῆς περὶ τὸ θεῖον ἀγαθῆς ψήφου, καὶ τίθεσθαι καὶ αὐτόν. Ὁ δὲ καὶ πρὸς μόνην τὴν ἀκοὴν δυσχεράνας, δίκας τε λαβεῖν ἠπείγετο καὶ τιμωρήσασθαι τοὺς θεούς. Οὐδὲ γὰρ ἀνεκτὸν εἶναι τοῦ βασιλέως ὑπὲρ αὐτῶν πάντα ποιοῦντος, ἄλλον τινὰ τῶν ἁπάντων ἐναντία πολεμεῖν. Δημήτριος δὲ οὐδὲν ἧττον εἰς εὐσέβειαν εἶχεν, οὐδὲ μετέγνω τι περὶ τῶν πεπραγμένων, οὐδ' ἠγάπησεν, εἰ σώζειν ἕξει τὸ σῶμα, μελλόντων ἔτι τῶν δεινῶν· ἀλλ' ἥσθη τε ὠργισμένον ἀκούσας, καὶ τῷ Θεῷ τὴν μεγίστην χάριν

ἀνῆψε, τῶν ἐν ταῖς εὐχαῖς αὐτῷ προκεχωρηκότων ἤδη καὶ ὧν
οὐδὲν ἦγε φίλτερον· λογιζόμενος, βασιλέως μὲν τὰ τοιαῦτα
παραληρεῖν ἐξηπατημένου, ἑαυτοῦ δὲ, τὸ μηδὲν τῶν ἐκείνου
δείσαντα, τῶν περὶ Χριστὸν ἐρώτων, καὶ τοῦ δι' ἐκεῖνον καὶ
τὴν τῶν ἀνθρώπων σωτηρίαν τεθνάναι, | μηδὲν τῶν ἁπάντων, 229.
μὴ τῶν ἐπὶ γῆς, μὴ τῶν κρατούντων ἂν ἀγαθῶν βέλτιον εἶ-
ναι νομίζειν. Οὕτω πάντας εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ παρή-
νεγκεν, ἄμφω πάντων ὁμοίως ἥδιστα κρίνων, καὶ τὸ περιεῖ-
ναι καὶ ζῆν καὶ τὸ δεινὰ παθόντα τεθνάναι διὰ τὰ Χριστοῦ
βέλη καὶ φίλτρα, ὡς μήτε περιεῖναι μήτε τεθνάναι ἑλέσθαι,
εἰ μὴ Χριστὸν καὶ ζῆν ἐξῇ καὶ ἀποθανεῖν.

24. Καὶ μὴν ὅπως καὶ συνέμιξε τῷ κρατοῦντι, καὶ λόγων μετέδωκε εὐσεβείᾳ συνηγορῶν, πνεύματος θείου γεμόντων, πάντας ἐπὶ θαῦμα κινήσας, καὶ βασιλεὺς ἀπαντῶν οὐκ εἶχε τοῖς λόγοις, οὐκ' ἔχων ἀντιστῆναι τῇ δυνάμει καὶ τῷ πνεύματι, ᾧ ἐλάλει (*), οὐ γὰρ ἐν πειθοῖ σοφίας ἀνθρωπίνης, ὥς φησι Παῦλος (**), ἐποιεῖτο τοὺς λόγους, γλώσσης ἀγαθῆς ἀξίως διεξιέναι. Εὐξαίμην δ' ἂν ἔγωγε καὶ αὐτὸν ἐνταῦθα παρεῖναι, καὶ τὴν Δημητρίου ψυχὴν νυνὶ μετὰ τῶν λόγων γενέσθαι· μόνος γὰρ εἴη τῶν αὐτοῦ πεντάθλων ἀξιόχρεως ἀθλητής. Ὁ μὲν οὖν βασιλεὺς «οὐ πάνυ τοι προσῆκον εἶναι Δημήτριον ἔφη, φρενῶν εὖ ἔχοντα καὶ σοφίας, καὶ ταύτῃ φάσκοντα τῶν ἄλλων κρατεῖν, περὶ τὸ πάντων μέγιστον ἁμαρτάνειν, καὶ τοὺς μὲν μόνους θεοὺς, τοὺς παλαιοὺς, τοὺς πατρῴους, καὶ ἔθη καὶ νόμους καὶ πολιτείαν ἀφεῖναι, τὸν δὲ δεινὰ πεπονθότα, τὸν γόητα, νομίζειν Θεὸν, ὃς, τῷ γόης εἶναι, πάντα ποιήσας, πολλοὺς παρήνεγκε τῶν φρένας ὀλίγων, καὶ πέπεικεν υἱὸν Θεοῦ αὐτὸν προσειπόντας, τὰ δεινότατα πάντων ὑπὲρ τοῦ κατ' αὐτὸν ἀνασχέσθαι· οἱ δὲ διὰ βίου συγγεγονότες αὐτῷ, ὁποῖοί τι-

(*) Πράξ. ϛ. 10. (**) Α. Κορ. Β. 4.

νες; πένητες, βάναυσοι καὶ λόγον καὶ ἦθος καὶ τρόπον, δαίμονι πονηρῷ κάτοχοι. Οὐ γὰρ ἂν φαίην σωφρονοῦντας τοιαῦτα
230. καὶ διανοηθῆναι καὶ πράττειν, οἳ πᾶσαν μὲν ἐπῄεσαν | οἰκουμένην πάντα κινοῦντες, ἐναντία βουλευόμενοι καὶ βασιλεῦσι καὶ τοῖς θεοῖς, νόμους δὲ ἐτίθησαν αὐτοὶ τοῦ τεθνηκότος, ὑπερορίους δή τινας καὶ ἀήθεις, ἀθάνατον καὶ μετὰ τελευτὴν καὶ Θεὸν πείθοντες εἶναι τὸν ἀπογεγονότα, τὸν ἀνασταυρωθέντα, τὸν ἠτιμωμένον· καὶ πρὸς τοσοῦτον ἤλασαν κακουργίας, ὥστε τοὺς ταῦτα ἀναπεισθέντας καὶ στρεβλουμένους καὶ κατατεινομένους ἐφ' ᾧ τῆς ἀπάτης ἀπαλλαγεῖεν, οὐδὲν μᾶλλον ἑλέσθαι, ἀλλ' ἠπατημένους ἀποθανεῖν· θεῶν δὲ μὴ ἀνασχομένων, ἀπέθνησκον μὲν ἐκεῖνοι κακοὶ κακῶς, τὰ δ' ἐκείνων ἐνίκα, πολλῶν μὲν ἐπιχειρεῖν τοῖς θεοῖς τολμώντων, εὐθὺς δὲ ἀπολλυμένων. Ὁρᾷς δὲ τοὺς μὲν τῶν θεῶν ἑταίρους, καὶ πλούτῳ καὶ δόξῃ πάντων κρατοῦντας, τοὺς δ' ἐκείνοις πειθομένους, ἐν πενίᾳ καὶ δυστυχίᾳ καὶ τῷ πανταχόθεν ὡς ἀσεβεῖς ἐλαύνεσθαι· ἀρχῆς δ' εἵνεκα, τίνες ποθ' ἡμῖν ἴσοι καὶ παραπλήσιοι τῶν ἐκ τοῦ παντὸς αἰῶνος ἐνταῦθα γενομένων σχήματος, τῶν θεῶν εὐμενῶν ὄντων, οὐκ ἄνθρωποι μὲν πάντες ὡς θεοὺς δεδοίκασιν, εἴσω δὲ τῶν τῆς ἀρχῆς ἡμῖν ὅρων καὶ ὁ ἥλιος ἅρμα ἐλαύνει; Τούτων τοίνυν οὕτω κεχωρηκότων, οὐκ αἰσχύνῃ σαυτὸν καὶ Ἕλληνας, καὶ τὴν Ῥωμαίων ἐλευθερίαν; οὐ τὰς παρ' ἡμῶν ταυτασὶ πολλὰς καὶ μεγάλας εὐεργεσίας; οὐ τὰς ὑπηργμένας; οὐ τὰς ἐπομένας; Ἀλλὰ τὴν ἀγαθὴν ταύτην τύχην ἐάσας τὴν μετὰ τῶν θεῶν, Θεὸν μὲν εἶναι τὸν ἀνασταυρωθέντα, τὸν εἴρωνα, τὸν ἀπατεῶνα, τοὺς δὲ πονηροτάτους, τοὺς μηδενὸς ἀξίους ἐκείνους, πατέρας εἶναι φάσκεις τοῖς ἀνθρώποις τῆς σωτηρίας; Τίς δὲ πενίας ἔρως, καὶ τοῦ μετὰ τῶν
230. κακούργων τετάχθαι καὶ δυστυχεῖν; | Ἐγὼ μὲν οὐχ ὁρῶ».

25. Δημήτριος δὲ καὶ στόμα καὶ σοφίαν, ἣν τοῖς ἀθληταῖς τῶν αὐτοῦ νόμων ἐπηγγείλατο δώσειν, ἃ Δεσπότης καὶ αὐτὸς

ἐπαγγείλας (*), καὶ πάνυ τυχών. « Οὐ θαῦμά φησιν, ὦ βασιλεῦ, συνέσει θαυμαστῇ κεχρημένον, ἧπερ αὐτὸς ἔφησθα, τὰ πάντων βέλτιστα περὶ ἐμαυτοῦ καὶ βεβουλεῦσθαι καὶ πρᾶξαι, τοὐναντίον μὲν οὖν ἅπαν. Εἰ μὲν γὰρ συνέσει νικῶμεν, καὶ τὰ βέλτιστα πάντων εἰλόμεθα· εἰ δ' οὐ τὰ βέλτιστα πάντων εἰλόμεθα, σχολῇ γε φρενῶν ἔχομεν καλῶς, θεοὺς δὲ, πατρῴους μὲν εἴποιμ' ἄν, ἀγαθοὺς δὲ καὶ θεοὺς οὐδὲν μᾶλλόν γε διὰ τοῦτο. Οὐδὲ γὰρ εἰ πατρὸς ἔτυχον τυραννίδα γε ἐπαινοῦντος, δίκαιος ἂν ἦν, ἢ τυραννεῖν αὐτὸς, ἢ τυραννοῦντι κεχρῆσθαι· τοὐναντίον μὲν οὖν, καὶ τὸν πατέρα ἀδικοῦντα, δυσχεραίνειν ἐχρῆν. Εἰ δὲ καὶ παλαιοὶ τοῖς Ἕλλησι, πρῶτον ἐκεῖνο, βέλτιστε, προσῆκε σκοπεῖν, εἰ χρὴ προσειπεῖν θεοὺς, εἶτα καὶ τὸν χρόνον εἰσάγειν οἴεσθαι· εἰ μὲν γὰρ ἀγαθοὶ, ὅτου χάριν μὴ τὰς ψήφους ὑπὲρ αὐτῶν ἐκεῖθεν ἐκφέρεις; ἀλλ' ὁ χρόνος τὰ τοιαῦτα σύμμαχος. Οὐ γὰρ διὰ τοῦτο καὶ θεοὶ καὶ ἀγαθοὶ προσειρῆσθαι δίκαιοι, φαύλους δέ γε ὄντας, πολλῷ μειζόνως ἐντεῦθεν δυσχεραίνειν προσῆκεν, ἅτε πολὺν ἤδη χρόνον ψευσαμένους τοὔνομα. Καὶ μὴν, καὶ μόνους ἔφησθα τοὺς θεοὺς, πῶς δὲ μόνοι, πλῆθος ὄντες τοσοῦτον; πρῶτον μὲν οὖν, οὐκ ἀνάγκη, παλαιοὺς τουτουσὶ καὶ πατρῴους τοῖς Ἕλλησιν ὄντας καὶ θεοὺς εἶναι. Ἔπειτα ἀνθ' ὅτου καὶ τοὺς θεοὺς ἀφεῖναι λέγεις, τὸν μηδὲ τὴν ἀρχὴν προσελθόντα; ἐν γὰρ εὐσεβέσι καὶ νόμοις καὶ δόγμασι, καὶ τὸν ἥλιον ἐξ ἀρχῆς εἶδον, καὶ παρὰ πάντα | τὸν βίον μόνον τὸν Χριστὸν τοῦ κατ' ἐμαυτὸν προὐ- 231.
στησάμην. Οὐ μόνον δὲ, ἀλλὰ καὶ πονηροὺς ὄντας, καὶ ὅπως αὐτίκα ἐροῦμεν, καὶ διὰ τοῦτο μήτε θεούς. Ὁ γὰρ Θεὸς ἀγαθὸς, μήτε ὅλως ὑφεστηκότας (οὐ γὰρ τὸ πονηρὸν ἐν τοῖς οὖσιν), οὔτε προσελθεῖν τὴν ἀρχὴν εἴποιμ' ἂν, οὔτε μὴ προσελθεῖν, οὔτε ἀφεῖναι. Τίνα γὰρ ἄν τις περὶ τοῦ μηκέτ' ὄν-

(*) Λουκ. ΚΑ. 15.

τος εἰκότως λόγον ποιοῖτο; Ἄλλως τε, βασιλεῦ, πλῆθος ὄντες μυρίον, ἢ τάξιν ἔχουσιν ἐξ ἀνάγκης, ἢ καθάπαξ ἔξω τοῦ τεταγμένου χωροῦσιν. Ἀλλ' εἰ μὲν ἔξω τοῦ τεταγμένου, αὐτόθεν ἡ πονηρία, καὶ οὐδὲν δεῖ προστιθέναι· εἰ δὲ ἐν τάξει, καὶ μετὰ τοῦ γιγνομένου σφίσι τὰ πράγματα, πάντως ὁ τάξας καὶ κεκοσμηκὼς ἔσται (οὐ γὰρ δὴ σφᾶς αὐτούς, αὐτοὺς κεκοσμηκέναι προσῆκεν) καὶ βελτίων οὗτος τὴν φύσιν, τῶν εὖ παρ' αὐτοῦ πεπονθότων· καὶ πᾶσα ἀνάγκη, τὸν μὲν, εἶναι τὸν Θεόν, τοὺς δὲ, ἐλάττους τινὸς ὄντας τὴν φύσιν, μὴ θεοὺς εἶναι. Θεὸς γὰρ, οὗ μεῖζον οὐδέν· καὶ οὕτω πάλιν ἀνάγκη μηδ' εἶναι καθάπαξ θεούς. Χωρὶς δὲ τούτων, εἰ τὸ μὲν θεῖον ἀνενδεές, οὗτοι δὲ τοῦ κοσμοῦντος ἐπιδεεῖς, πῶς οὐ πόῤῥω δήπου τῆς θείας ἐπωνυμίας; Ὅτι δὲ καὶ πονηρὸς καὶ πονηρὸν παράδειγμα τῷ βίῳ τὸ κατ' αὐτούς, ποιηταὶ πάντες, οἷς λέγουσι, πείθουσιν· καὶ πρό γε πάντων, ὁ τοῦ χοροῦ κορυφαῖος, πολέμους καὶ στάσεις καταλέγων θεῶν καὶ οὐρανὸν ἀνάστατον. Τὸ δὲ γαστρὶ δουλεύειν, καὶ πάθεσιν αἰσχροῖς ὑποκεῖσθαι, καὶ νῦν μὲν ἐπανίστασθαι καὶ ποιεῖν καὶ λέγειν κακῶς, νῦν δὲ τοὺς γονέας τοῖς υἱέσιν ἐπιβουλεύειν, τίνων ἢ τουτωνὶ τῶν θεῶν;

26. «Ἔθη δὲ καὶ νόμοι καὶ πολιτεῖαι, εἰ μὲν σεμνότερον
231. ἔχουσι τῶν θεῶν, θαυμάζοιμ' ἄν, | εἰ δὲ τοῦτο μὲν οὐκ ἄν, οὐδ' ἔχει τις ἂν εἰπεῖν, ἀλλὰ τὰ μὲν παραδείγματα ἐκεῖθεν αὐτοῖς, ὁποῖα δὴ τὰ τοιαῦτα νομίζειν προσῆκον, τῶν τιθέντων οὕτω φαυλότατα ἐχόντων. Πρὸς τοιούτους, ὦ βασιλεῦ, τοὺς θεούς, τοὺς παλαιούς, τοὺς πατρῴους, καὶ ἔθη καὶ νόμους καὶ πολιτείαν ἀηδῶς ἔχων, οὐκ ἀδικῶ· Χριστῷ δὲ τῷ μόνῳ Κυρίῳ, μόνῳ Θεῷ, ὃν ἔγωγε προσκυνῶν πάντων ἀνθρώπων εὐδαιμονέστατον ἐμαυτὸν ἡγοῦμαι, εἰπάτω τις παρελθών, ἢ σύ, βασιλεῦ, εἴτι φαῦλον σύνοισθα. Σταυρὸν ἐρεῖς, οἶμαι, καὶ τὸ τεθνάναι; ἀλλὰ μάλιστα μὲν οὐδὲν πρὸς τὸν λόγον. Οὐ γὰρ πονηρευόμενος καὶ κακουργῶν ἐτεθνήκει, ἵνα φαῦλος ἀκούσῃ.

Τί γὰρ παρὰ τοῦτο φαῦλος ἐγὼ, Σωκράτης ὁ σὸς ἑταῖρός φησιν, ἂν ὁ δεῖνα ἐπὶ κόῤῥης ἀδίκως πατάξῃ με; ἔπειτα, μὴ τοῦτο σκόπει μόνον, ὡς ἀνεσταύρωται, καὶ τεθνήκει, ἀλλ' ὅτι καὶ ἑκὼν, καὶ ἵνα τὴν ἁμαρτίαν ἀνασταυρώσῃ· καὶ ὡς οἷς μὲν ἄνθρωπος ἦν, τὰ δεινὰ ἐπεπόνθει, οἷς δὲ Θεὸς (ἄμφω γὰρ ἦν), ἀπαθὴς κακῶν ἔμεινε, καὶ τεθνηκὼς ἀνεβίω. Σὺ δὲ, ἃ μὲν βούλει παράγεις, καὶ σταυρὸν ἄνω καὶ κάτω καὶ τὸ τεθνάναι προφέρες, τὸ δ' ἀνθ' ὅτου, καὶ μέχρι τίνος μετὰ τῶν ἀπογεγονότων ἐγεγόνει, παρῆκας. Ἔπειτα, εἰ καὶ τουτονὶ τὸν θάνατον εἰς μέσον ἀγάγοις, οὐκ οἶδα πῶς ἂν ἑτέρως ὑπὲρ ἡμῶν ἐχρήσω τῇ γλώσσῃ. Οὕτω πολλῶν καὶ μεγάλων ἀγαθῶν αἴτιος τοῖς ἀνθρώποις οὗτος κατέστη, καὶ τοσούτων ἠξίωσε τῶν χαρίτων.

27. « Ἐντεῦθεν γὰρ πᾶσα μὲν πόλις, πάντα δὲ ἔθνη, φιλοσοφίας τεχνῖται, καὶ ὃ οἱ περὶ Πλάτωνα καὶ Σωκράτην, πάντα καὶ λέγοντες καὶ ποιοῦντες πείθειν οὐκ εἶχον, τὸ, τῶν παρόντων, ὡς | μηκέτ' ὄντων, μηδένα λόγον ποιεῖσθαι, καὶ σώ- 232.
ματος καὶ τοῦ κατὰ σῶμα περιόντος καταφρονεῖν, τοῦτ' ἐκεῖνος ἐπὶ τῶν δεινῶν κατωρθώκει· μᾶλλον δὲ τὸ μεῖζον καὶ διὰ τουτωνὶ τῶν δεινῶν, ὃ καὶ τῆς θείας καὶ ὑπερφυοῦς καὶ μείζονος ἢ κατ' ἀνθρώπους ἰσχύος ἐκείνου, τεκμήριον ἐναργές. Τῶν γὰρ ἀνθρώπων περιόντων, καὶ καλῶς πραττόντων νικώντων, αὐτὸς δεινὰ πάσχων καὶ θνήσκων, τὰς τῶν ἀνθρώπων παρεστήσατο γνώμας, καὶ τὸ μέγιστον ἁπάντων, οὕτως ἔπεισε φιλοσοφεῖν, καὶ τοιαύτην ὑπὲρ αὐτοῦ γνώμην τοὺς ἀνθρώπους παρεσκεύασεν ἔχειν, ὥστε υἱὸν Θεοῦ προσειπόντας, οὕτω πρὸς ὕβριν ἀποθανόντα, τὰ δεινότατα πάντων ὑπὲρ τοῦ κατ' αὐτὸν ἀνασχέσθαι· καὶ τῶν σωμάτων αὐτοῖς κατακοπτομένων, καὶ μελῶν περιαιρουμένων, τὴν ψυχὴν ἀκίνητον εἶχον, ὥσπερ ἑτέρων ταῦτα πασχόντων. Οὕτως ὑπερφυῶς τοῖς ὅλοις ὁ Χριστὸς εἶχε, καὶ τὸν Θεὸν ἔδειξε κἂν αὐτῷ τῷ τεθνάναι· ὥσ-

θ' ὅσον τὸν σταυρὸν καὶ τὸν θάνατον, καὶ τὸ δεινὰ πεπονθέναι προάγεις, τοσοῦτον κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς, τὸν Χριστὸν ὑπερφυᾶ ἀποφαίνων, καὶ σαυτῷ περιπίπτων. Τὸ δὲ νῦν μὲν νεκροὺς ἀνιστάναι, νῦν δὲ τυφλοὺς βλέποντας εἶναι παρασκευάζειν, καὶ τοῦτο μὲν ἀπαλλάττειν μανίας, τοῦτο δὲ δυσχεροῦς παντὸς ὁτουοῦν, καὶ θάλασσαν καὶ ἀνέμους πρὸς τὴν ἑαυτοῦ γνώμην μετάγειν, καὶ πάντα νεύματι μόνῳ κινεῖν, καὶ μετατιθέναι πράγματα, ταῦτα δὲ, πῶς οὐ Θεὸν αὐτὸν ἀτεχνῶς, ἀποδείκνυσι, καὶ τεθνηκότα μὲν ἀλλ' ἑκόντα, καὶ αὖθις ἀθάνατον ὄντα; Ὁ γὰρ πολλοῖς ἑτέροις τοῦ περιεῖναι καὶ ζῆν αἴτιος γενόμενος, σχολῇ γ' ἂν ἑαυτὸν οὐκ ὀνήσειν ἔμελλε τὰ τοιαῦτα.

28. « Ταῦτα δὲ καὶ Ἑλλήνων καὶ βαρβάρων βοώντων ἔ-
232. στιν ἀκούειν. Καὶ σοί, | βασιλεῦ, πλήρης μὲν ἀκοὴ τῶν τοιούτων, πολλῶν δὲ καὶ αὐτὸς θεατὴς κατέστης ἐπὶ τῶν ὑπὲρ Χριστοῦ διαύλων τῶν ἀθλητῶν ἐπιδεικνυμένων. Ἐπεὶ δὲ κατὰ Χριστοῦ καὶ γοητεία συνήθης, προσῆκε μὲν ἀπὸ τῶν ἐκείνου τρόπων τὰς περὶ αὐτοῦ ψήφους ποιεῖσθαι καὶ μὴ μάτην οὑτωσὶ διαβάλλειν. Φέρε δή, πόθεν περὶ τοῦ Χριστοῦ μαγγανείας δόξαν ἀλείφεις; ἀπὸ τῶν ἠθῶν; ἀλλὰ τούτων εἵνεκα πάντα μᾶλλον, ἢ γόης. Τὸ γὰρ οὕτω μὲν σωφροσύνῃ προσέχειν, ὡς μηδ' ἁπλῶς οὑτωσὶ πρὸς ἀκολασίαν ὁρᾶν, δικαιοσύνῃ δὲ τοσοῦτον κεχρῆσθαι, ὡς μὴ μόνον μηδένα ἀδικεῖν, ἀλλὰ καὶ ἀδικούμενον πάνυ μεγαλοψύχως ἔχειν προστεταχέναι, οὕτω δὲ πενίαν εἰσάγειν καὶ τὸ μὴ δόξης ἡττᾶσθαι, ὡς μόνους τοὺς τοιούτους τῶν θείων πραγμάτων ἀξιόχρεως εἶναι ψηφίσασθαι. Ταῦτα τοίνυν, ὅπως γόητι προσῆκε, συνιδεῖν οὐκ' ἔχω. Τί δὲ ταῖς μαγγανείαις ἐχρήσατ' ἄν; χρημάτων εἵνεκα; ἀλλὰ πενίαν καὶ λόγοις καὶ ἔργοις ἐνομοθέτει, καὶ πάντες ἴσασιν. Ἀλλὰ πρὸς δόξαν ἑώρα; ἀλλὰ τὸ μὴ δόξης ἡττᾶσθαι πολλοῦ τινος ἦγεν, ὃς καὶ τὸν σταυρὸν καὶ τὴν ἀτιμίαν δό-

ξαν ἑαυτοῦ προσειρήκει· γοήτων γὰρ, ἂν δόξαν καὶ τρυφὴν
περιέλῃς, οὐδενὸς ἀξία σφίσιν ἡ τέχνη δοκεῖ. Πῶς δὲ ἀπα-
τεὼν καὶ εἴρων δίκαιος ἐκεῖνος ἀκούειν, οὐδὲν πρὸς ἡδονὴν οὐ-
δενὶ τῶν ἀνθρώπων, οὐ τῶν πενήτων, οὐ τῶν τῆς ἑτέρας με-
ρίδος, οὐ λέγων, οὐ πράττων, ἀήθεις δὲ πάνυ καὶ δυσχερεῖς
νόμους εἰς τὸν βίον εἰσάγων, καὶ νῦν μὲν, σώματος καταφρο-
νεῖν, νῦν δὲ, ἡδονὰς φεύγειν, νῦν δὲ, ἀδοξίαν καὶ τὸ τεθνάναι
διώκειν, οὐκ ἂν εἴγε παράγειν ἐγνώκει; τοὺς γὰρ ἀπατᾶν ἠ-
ρημένους, ὡς | τῶν ἡδίστων ἀνάγκη μεμνῆσθαι, καὶ ἃ πρὸς ῥᾳ- 233.
στώνην φέρει, τίς οὐκ οἶδε τῶν πάντων; Οὕτως οὐκ ἔχει λό-
γον, τὸ τοιαῦτα τοῦ Χριστοῦ κατηγορεῖν, ὅς γε τοσοῦτον ἀ-
πεῖχε τοῦ πρὸς ἀπάτην ἢ πρὸς ἡδονὴν τοῖς ἀνθρώποις κεχρῆ-
σθαι, ὥστε καὶ τοῖς ἀνασταυροῦσι καὶ τὰ πάντων δεινότατα
κατὰ τῆς αὐτοῦ τετολμηκόσι κεφαλῆς, τὰ πάντων βέλτιστα
καὶ συνεβούλευε καὶ συνηύχετο, καὶ ταῦτα ἐν αὐτῷ τῷ σταυρῷ.
Ποῦ τοίνυν ἔγνως ἢ τοιούτους γοήτας ὄντας, οἷος ἐκεῖνος, ἢ
Χριστὸν, οἷα γόησι προσῆκεν, ἢ εἰπόντα πώποτε, ἢ πεποιη-
κότα; Πολλοῦ μὲν τ' ἂν ἦν γοητεία καὶ ἀπάτη καὶ εἰρωνεία,
εἰ τὸν Χριστὸν ἐντεῦθεν ἐνῆν προσειπεῖν.

29. «Ἐπεὶ δὲ καὶ ἀπὸ τῶν ὡμιληκότων τοῦ διδασκάλου κατεψηφίσω, πένητας εἰπὼν καὶ μηδὲν εἰδέναι, ἐντεῦθεν οἶμαι δεῖν καὶ αὐτὸς τοὺς ὑπὲρ αὐτοῦ ποιήσασθαι λόγους. Τοῦτο γὰρ τὸ μέγιστον καὶ ὑπερφυὲς, ὅτι μηδενὸς ὄντες ἄξιοι καὶ τύχης εἵνεκα καὶ σοφίας, τοὺς ἀήθεις καὶ ὑπερορίους νόμους ἐκείνους πάντας ἔπεισαν ἀνθρώπους ἑλέσθαι, καὶ πᾶσαν ἴσχυσαν, ὥσπερ ὑπόπτεροι, τὴν οἰκουμένην περιελθεῖν, καὶ ἡττᾶτο τῆς τῶν βαρβάρων ἐκείνων γλώττης καὶ βασιλέων δύναμις καὶ θεῶν, καὶ οὐδεὶς ἀντιπεῖν ἐτόλμα τῶν πάντων. Ἐπεὶ τοίνυν ταυτησὶ τῆς πειθοῦς οὐκ ἔστιν οὐδὲν οὐδ' ὁτιοῦν τῶν ἐν ἀνθρώποις αἰτιᾶσθαι πραγμάτων, οὐ δόξαν, οὐ σοφίαν, οὐ πλοῦτον οὐ τὸ φρενῶν εὖ ἔχειν, καὶ μὴν οὐδὲ τὸ τὰ ἥδιστα νο-

μοθετεῖν, οὐ τὸ ἐπαγωγὸν εἶναι τὸ δόγμα (τὸν γὰρ ἀνασταυρωθέντα καὶ τεθνηκότα, Θεὸν εἶναι καὶ ἀθάνατα ζῆν ἐβόων), οὐ πάνυ τοι δῆλον, ὡς τῆς τοῦ κεκινηκότος δυνάμεως; Τίς δὲ ὁ κινήσας; οὐχ ὁ Χριστός; Τί δέ; οὐχ ὑπερφυὴς αὕτη σοι
112. δοκεῖ; καί τοι, εἰ μὲν ὑπερφυέσιν | ἔργοις καὶ θαύμασιν ἐπιστοῦντο τοὺς λόγους, ὅθεν αὐτοῖς τὰ τοιαῦτα πράττειν δύνασθαι; δῆλον, καὶ Θεὸς οὗτος ἀνάγκη. Οὐ γὰρ πρὸς ἀνθρώπων τά γε τοιαῦτα. Εἰ δὲ λόγοις ἔπειθον μόνον ἔτι πολλῷ μείζω τὴν ὑπερβολὴν ἔχει θαῦμα, καὶ μεῖζον ἢ κατ' ἀνθρώπους ὄν, δῆλον τίνος ἦν καὶ ὅτῳ προσῆκεν. Ἀλλὰ γόητες, οἵ γε τοὺς γόητας τῷ Χριστῷ προσιόντας, οὐδὲν μᾶλλον προσίεντο, εἰ μὴ τὸ μὲν γόητες εἶναι καθάπαξ ἀπώθοιντο, τὰ δὲ βιβλία κατακαύσειεν δημοσίᾳ; Οὕτω τοίνυν τὰ πάντων μέγιστα καὶ ὑπερφυᾶ καὶ διανοηθέντας καὶ πράξαντας, εἰ μὲν δαίμονι πονηρῷ κατόχους προσείποις, πῶς καὶ διανοηθέντες ἔπραξαν; ἢ πολλοῦ γε ἄξιον τὸ μὴ σωφρονεῖν, εἰ δ' ἐσωφρόνουν, ὥσπερ οὖν ἐσωφρόνουν, οὐ μάτην ἂν ἑαυτοὺς εἰς τὸν ἀγῶνα τὸν θαυμαστὸν ἐκεῖνον καὶ τοὺς κινδύνους καθῆκαν, εἰ μὴ σαφῶς ᾔδεσαν δυνάμενον σώζειν, καὶ Θεὸν ὄντα τὸν ἐπὶ ταῦτα κεκινηκότα. Οὕτως ἔξω λόγου παντὸς, καὶ παρὰ πᾶν τὸ κατ' ἀνθρώπους εἰκὸς, ὁ Χριστὸς νενικήκει. Οὐκ οὖν, ὦ βασιλεῦ, τῶν ἀνθρώπων ἀπὸ σοφίας, ἢ τοῦ φρενῶν εὖ ἥκειν, ἢ τοῦ χρήμασι περιῤῥεῖσθαι, ἢ τὸ νικᾶν ἢ τὸ πείθειν ἐχόντων, αὐτὸς, οἷς οὐκ εἶχεν, ἐντεῦθεν δῆλος ἐγένετο, μείζων ἔχων ἢ κατ' ἀνθρώπους.

30. «Ἔτι τοίνυν τὰ μὲν τῶν ἀνθρώπων πράγματα, γαλήνης ἀπολαύοντα, καὶ πάντων συναιρουμένων, καὶ ἔστι καὶ αὔξει καὶ μετὰ τῆς ἀγαθῆς τύχης ἵσταται, ἀπὸ δ' αὖ τῶν ἐναντίων, τἀναντία γίγνεται. Τῶν τοῦ Χριστοῦ πραγμάτων ἐλαυνομένων, μείζων ἡ δόξα, ὥσπερ ἂν εἰ πάντες συνεμάχουν ἄνθρωποι, καὶ δῆλον ἐξ ὧν πάντα ποιοῦντες, ἐφ' ᾧ τοὺς τοῦ Χριστοῦ νόμους καὶ τὴν εἰς αὐτὸν εὐσέβειαν ἐκ μέσου ποι-

ῆσαι, | λελήθατε ἑαυτούς, πολλοὺς μὲν ἑταίρους τῷ Χριστῷ 234.
προστιθέντες, πᾶσαν δ' ὡς εἰπεῖν οἰκουμένην ἐφ' ὑμᾶς αὐτοὺς καὶ τουτουσί τοὺς θεοὺς κινοῦντες. Οὕτως ὑπὲρ ἀνθρώπους ἐστὶ τῷ Χριστῷ τὰ πράγματα, καὶ πιπτόντων μὲν τῶν θαυμαστῶν τῆς εὐσεβείας ἡμῶν πατέρων, πιπτόντων δὲ τῶν ἑκάστοτε τοὺς ὑπὲρ Χριστοῦ πενπτάθλους ἠγωνισμένων, λαμπρὸν ἀφ' ὑμῶν ἵσταται τρόπαιον, πᾶσαν κατασεῖον τὴν οἰκουμένην.

« Ἀλλ' ὑμεῖς γε, ὦ βέλτιστοι, καὶ τὰ τῶν Θεῶν νικᾷ, τῶν ἀπὸ Χριστοῦ καλουμένων ἀπολλυμένων. Οὐκοῦν, εἰ μὲν αὐτὸ τοῦτο καὶ ὑμῖν ἔστι βουλομένοις καὶ τοῖς θεοῖς σωμάτων περιγενέσθαι καὶ αἱμάτων γεύσασθαι, τοῦτο δὴ τὸ τῶν ἀνδροφόνων καὶ τυμδωρύχων καὶ λῃστῶν, χαρίεντές γε τὴν Καδμείαν νίκην νικῶντες. Εἰ δὲ τοῦτο μὲν οὐδαμῶς, ψυχῶν δὲ κρατῆσαι, καὶ παραστήσασθαι γνώμας, καὶ πεῖσαι τοὺς ἀνθρώπους θεοὺς μὲν ἡγεῖσθαι, Χριστὸν δὲ ἀπελαύνειν, βούλεσθε μὲν πάντα διὰ τοῦτο καὶ λέγοντες καὶ ποιοῦντες, ἐλέγχεσθε δὲ ἀνήνυτα πονοῦντες, μᾶλλον δὲ τοσοῦτον ἡττώμενοι καὶ καθ' ὑμῶν αὐτῶν ἐγχειροῦντες, ὅσον ἔγνωτε καθ' ἡμῶν τῶν εὐσεβούντων, ἀποθνήσκειν μᾶλλον μετὰ τῆς εὐσεβείας, ἢ πεισθέντας περιεῖναι, καὶ ζῆν βουλομένων, πῶς οὐ φανερὸν, ὡς μετὰ τῶν Χριστιανῶν ἡ νίκη; καὶ πρόσεστιν ἐκείνοις μὲν τὸ ὑπερφυῶς περιεῖναι μετὰ γὰρ πληγῶν καὶ θανάτου, ὑμῖν δὲ, τὸ μετ' αἰσχύνης ἡττᾶσθαι, μετὰ πλούτου παρατεταγμένοις καὶ δόξης, καὶ τοῦ δεδωκότος τῆς ἀρχῆς, ἣν ὅσῳ γ' ἂν μείζονα δείξαις, τὴν αἰσχύνην ηὔξησας. Οὕτω καὶ ἐξ ὧν πράττων νικᾶν ᾤου, τὴν ἧτταν ἔδειξας, καὶ οἷς καθ' ἡμῶν ἐπεχείρησας λόγοις, κατὰ σαυτοῦ φανερῶς ἐχρήσω, ὥσπερ ἄν, εἰ πῦρ
σδεννύειν | ἐθέλων, πίτταν ἐπέθηκας φέρων· ὡσὰν ὑμεῖς μὲν 234.*
καὶ λόγοις καὶ ἔργοις μετὰ Χριστοῦ χωρεῖν ἐγνωκότες καὶ ἄκοντες εἶναι τἀναντία πράττοιτε συμμαχοῦντες, ἡ δὲ Χριστοῦ θεότης, ὑπερφυὴς οὖσα, πᾶσιν ἀναφανείη διὰ τῶν ἐναντίων νι-

Bayerische Staatsbibliothek MÜNCHEN

κῶσα. Οὐ γὰρ δὴ γεωμέτρην μέν, ὅτι γεωμετρεῖν οἷός τε ἐγένετο προσεροῦμεν, καὶ ἀριθμητικός γε ἀπὸ τῆς περὶ τὸν ἀριθμὸν ἐπιστήμης, Χριστὸς δ' ὑπερφυὴς καὶ Θεὸς οὐκ ἂν εἴη, ἐκεῖνα καὶ λέγων καὶ πράττων καὶ πείθων καὶ δυνάμενος, ἃ τοῦ μὲν πεφυκότος ἔξω, Θεῷ δὲ μόνῳ προσῆκε· καὶ τίν' ἔχει τοῦτο λόγον;»

31. Βουλόμενον δὲ Δημήτριον καὶ τἆλλα προσθεῖναι, ὁ βασιλεὺς οὐκ ἐάσας, οὐ γὰρ ἠνείχετο τῶν ἐλέγχων· «Ἅλις μέν, ἔφη, τῶν σοφισμάτων, Δημήτριε, καὶ οὐδὲν δεῖ προστιθέναι, οὐδὲ καὶ τὰς συμφορὰς συνιδὼν καὶ τοὺς πόνους, ἃ τοῖς περὶ Χριστὸν εὐσεβοῦσιν ἐξ ἀνάγκης ἕπεται, ὅπως καὶ σαυτὸν καὶ τοὺς Ἕλληνας εὖ ποίησῃς· σεαυτὸν μὲν τῶν δυσχερῶν ἀπαλλάξας, τοῖς Ἕλλησι δὲ τὰ λυσιτελῆ δράσῃς, σαυτὸν ἀποδούς». Δημήτριος δὲ «καὶ πάνυ, φησίν, ὦ βασιλεῦ, ᾔδειν τὸν ὑπὲρ εὐσεβείας ἀγῶνα, μετὰ τῶν ἐσχάτων ὄντα κινδύνων ἀλλὰ τοσοῦτον ἀπέσχον τοῦ φοβηθῆναι, ὥστε καὶ συνηυχόμην θᾶττον ἐμαυτῷ τουτονὶ γενέσθαι· καὶ ἡδέως ἂν ἐκείνην τὴν ἡμέραν ἴδοιμι, ἐν ᾗ, σῶμα μὲν κατατεινόμενον, θεάσομαι στρεβλούμενον, τὰ δεινότατα πάσχον διὰ Χριστόν, αἷμα δὲ καταῤῥέον, μέλη δὲ τεμνόμενα· οὐκοῦν κομιδῇ γελοῖον, εἰ, ἅπερ ὅπως ἔσται, δι' εὐχῆς ἐποιούμην, τούτοις ἤδη παροῦσι δυσχεραννῶ, ὥσπερ ἄν, εἰ νίκην ἀπὸ τῶν πολεμίων εὐξάμενος, ἔπειτα τυχών, ἠνιώμην. Εἰ δὲ καὶ τῷ Θεῷ προσήκειν πέρας εὐ-
235. δαιμονίας, | Θεὸς δὲ ὁ ἐμὸς ἀνεσταύρωται, πόσου τινὸς αὐτὸς ἄξιος ἂν γενοίμην, δεινὰ παθὼν ὑπὲρ ἐκείνου καὶ τεθνηκώς; Παρὰ πάντα δὲ ταῦτα, πῶς οὐ δεινῶς ἄγνωμον, αὐτὸν μέν, ὑπὲρ τῆς ἐμῆς σωτηρίας ὑβρισμένον καὶ τεθνηκότα, δόξαν ἑαυτοῦ τὸ πρᾶγμα καλεῖν, ἐμὲ δέ, μὴ γοῦν τοῖς ἴσοις πρὸς ἐκεῖνον χρήσασθαι, ἀλλὰ φανῆναι περὶ τὸν εὖ πεποιηκότα κακόν; Εἶεν», Δημήτριον μὲν οὖν οὕτως ἠγωνισμένον Μαξιμιανὸς δυσχεράνας, δεσμωτηρίῳ καθεῖρξε. Νήπιος! Οὐ γὰρ ἐκεῖνο συνῆκεν, ὡς ὁ

λόγος τοῦ Θεοῦ οὐ δέδεται (*). Θεὸς δὲ μειζόνων ἠξίου, καὶ τῆς περὶ αὐτὸν σπουδῆς ἀμειβόμενος καὶ τοῦ φίλτρου καὶ τῶν θαυμαστῶν ἐκείνων ἀγώνων, καὶ πρὶν ἐντεῦθεν ἀπᾶραι τῶν ἑαυτοῦ μετεδίδου, καὶ ἦν ἰδεῖν θαυμαστὸν δεσμώτην, τῷ δεδέσθαι χαίροντα. Οὕτω δαψιλοῦς ἀπήλαυσε τῆς θείας ἀκτῖνος καὶ τῆς πάντα νοῦν νικώσης εἰρήνης· ἐπεὶ καὶ καρπὸν τοῦ πνεύματος εἶναι χαρὰν καὶ εἰρήνην, ἐδόκει Παύλῳ (**). Δημητρίῳ δὲ παρ᾽ ὁντινοῦν, ὧν ἴσμεν, τῶν τοῦ πνεύματος μετῆν ἀγαθῶν. Οὕτω γὰρ συγχαίροντι μὲν ἑαυτῷ τῶν ὑπὲρ Χριστοῦ δυσχερῶν, τῶν τε παρόντων, τῶν τε προσδοκωμένων, ὁ κοινὸς τοῦ γένους ἐχθρὸς βασκήνας, εἰ τὸν ἀγῶνα νικήσει τὸν ὑπὲρ Χριστοῦ, καὶ πειρώμενος διὰ ταῦτα πρὸ τῶν ἄθλων ἀνελεῖν σκορπίον ἐπάγει· καὶ ὁ μὲν, εὐθὺς ἐτεθνήκει, Δημητρίου τὸν Χριστὸν ἐπ᾽ αὐτὸν κινήσαντος. Ἄγγελος δὲ θεόθεν εἰς αὐτὸν ἀφικνεῖται, τοῦτο μὲν στεφάνους αὐτῷ κομίζων καὶ τὴν ἀγαθὴν εἰρήνην, τοῦτο δὲ, καὶ πρὸς τοὺς ἔπειτα ἄθλους ἀλείφων, σπεύδοντα καὶ αὐτόν.

32. Τῷ μὲν οὖν τοῦ γένους τυράννῳ βασκήναντι Δημητρίῳ τῆς νίκης καὶ τῶν στεφάνων, πᾶσιν οἷς ἐξῆν αὐτῷ τὸν θάνατον ἐπισπεύδειν ἐπῄει, | νομίζοντι τὸν ἀθλητὴν οὕτως ἂν 235.
περὶ τὰ πέρα ζημιωθῆναι. Ὁ δὲ Θεὸς εἰς τοὺς μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν ἀντικαταστάντας Δημήτριον τάττων, καὶ μήπω δι᾽ ἐκεῖνον ἀποθανόντα, οἷς ἐποίησεν ἔδειξε, τοὺς στεφάνους ἀποδοὺς, ὥστε καὶ πρὸ τῆς μακαρίας ἐκείνης πληγῆς Δημήτριον τῶν ἑταιροτάτων εἶναι τῷ Θεῷ καὶ φιλτάτων. Καὶ καινὸν οὐδέν· ὅς γε μὴ μόνον αὐτὸς οὕτως ὅλον αὐτὸν ἀνῆκε Θεῷ, ἀλλὰ καὶ τοῖς ἄλλοις οἷός τε ἐγένετο τὰ τοιαῦτα σύμμαχος εἶναι, καὶ μάρτυς μὲν αὐτὸς εἶναι, μάρτυρας δὲ παρασκευάζειν δύνασθαι. Καὶ ὡς ἀληθῆ λέγω δῆλον ἐκεῖθεν. Νέ-

(*) Τιμ. Β. 2, 9. (**) Γαλ. Ε. 22.

στορι γὰρ προσελθόντι καὶ συνεύξασθαι δεομένῳ κατ' ἐλπίδας αὐτῷ τὸν ἀγῶνα τὸν κατὰ Λυαίου γενέσθαι, ὡς μόνην ταύτην ἐσομένην ἐπικουρίαν αὐτῷ· ὁ δὲ τήν τε ἐκεῖθεν νίκην φιλανθρώπως ἄγαν ἐδίδου, καὶ τὴν μαρτυρικὴν προσετίθει, πάνυ μεγαλοψύχως οὐ δεηθέντι παρασχών. Καὶ τὸ μέγιστον ἁπάντων, οὐ ταῖς εὐχαῖς συμμαχήσας, οὐδὲ πολὺν ὑπὲρ αὐτοῦ πρὸς τὸν Θεὸν ποιησάμενος λόγον, οὐδὲ πολλὰ εἰπὼν καὶ δακρύσας, ἀλλ' ἅμα τε δεηθέντα ἀκούσας, καὶ ὥσπερ τι ψήφισμα γράφων, τήν τε χεῖρα ἐδίδου, καὶ νικᾶν ἐποίησεν ἀμφοτέρους τοὺς ἀγῶνας, τὸν τὲ κατὰ Λυαίου, καὶ τοῦ κοινοῦ τοῦ γένους ἐχθροῦ. Καὶ ὥσπερ ἐπὶ τοῦ πάντων Θεοῦ γινόμενον ὦπται, μόνῃ τῇ βουλήσει πάντα ποιοῦντος, καὶ οὔτε θεόθεν ἐπαγγέλλοντος οὐδὲν οὐδενὶ, οὔτε πολλοῦ δεομένου χρόνου, πρὸς τὸ τὰς ὑπερφυεῖς ἐκείνας εἰς τὸ γένος εὐεργεσίας περαίνειν, ὡς δὲ καὶ αὐτὸς ὥσπερ ἐξουσίαν ἅπαξ παρὰ τοῦ Σωτῆρος εἰληφὼς τὰ τοιαῦτα, οὕτως ἅμα τε ἔλεγε, καὶ Θεὸν συμψηφιζόμενον εἶχεν· ὅπερ δυοῖν τοῖν μεγίστοιν τεκμήριον ἐναρ-
236. γές· καὶ τοῦ τὸν | Δημήτριον ἅπαξ ἓν πνεῦμα κατὰ τοῦ Σωτῆρος γενέσθαι καὶ μὴ δεῖσθαι, καὶ αὖθις διὰ τῶν εὐχῶν πρὸς αὐτὸν ἐπεστράφθαι, τοῦ τε τὸν Νέστορα ἀγαθὸν ὄντα μάλα καὶ πρόσθεν, καὶ τότε δικαίως ἃ ἥττηκεν ἐπαγγεῖλαι. Τοσαύτη τις ἦν τῷ μεγάλῳ πρὸς τὸν Χριστὸν οἰκειότης, καὶ οὕτω σύμμαχος φανεὶς τοῦ Θεοῦ, σύμμαχος ἔπειτα τῶν ἀγαθῶν καὶ τοῖς ἀνθρώποις δι' ἐκείνου κατέστη, ὑπερβολῇ καθαρότητος οὕτω συγγινόμενος τῷ Θεῷ, ὥσπερ εἴ τις φίλῳ συμμίξαι, παντὸς Μωσέως ἄμεινον· ἐπεὶ καὶ φίλος Χριστοῦ δίκαιος ἀκούειν ἐκεῖνος, ἅπερ αὐτὸς προσέταξε καταπράξας κατὰ τὰς ψήφους τοῦ Θεοῦ. Εἶεν. Ἐπεὶ δ' οὐ μόνον οὐδ' ἐν ταῖς συμφοραῖς Δημήτριος τῶν περὶ Χριστὸν ἐρώτων εἰς λήθην ἧκεν, ἀλλὰ καὶ πολλῶν μείζων καὶ κρείττων ἑαυτοῦ τὰ τοιαῦτα καὶ μανικώτερος ἦν, τοῦτο μὲν ἀπὸ τῶν παρόντων αὐτῷ δυσχερῶν τῶν

τοῦ Χριστοῦ μεμνημένος, ὧν δι' αὐτὸν ἠνείχετο, τοῦτο δὲ πολλῷ θαυμαστοτέρων ἐντεῦθεν καὶ μειζόνων παρ' αὐτοῦ τῶν ἀγαθῶν ἀπολαύων· καὶ διὰ τοῦτο, δαίμοσι μὲν φόβον ἐνῆκε, τῆς δὲ τῶν ἀνθρώπων σωτηρίας βελτίων ἐγένετο σπουδαστής, καὶ τοῖς τῆς εὐσεβείας ἀθληταῖς συνηγωνίζετο τοὺς ἀγῶνας, καὶ τὴν νίκην προὔλεγε καὶ ἐδίδου, κἂν τοῖς δεσμοῖς υἱεῖς τῷ Θεῷ τίκτων κατὰ τὸν Παῦλον.

33. Ἔδει δὲ αὐτὸν ἤδη καὶ πρὸς ὃν ἐπόθει χωρῆσαι, καὶ τὸν οὐρανὸν ἄξιον ὄντα, μὴ τὴν γῆν οἰκεῖν ἔτι, ἀλλ' ἧπερ καὶ πρόσθεν ἔφην, ἐπ' εὐδαιμονίᾳ τοῦ γένους εἰς ἀνθρώπους ἐληλυθότα, αὖθις ἐπανελθεῖν ἐπὶ τὸν πατέρα, καὶ τῶν τριττῶν ἐκείνων ἀγώνων, τῶν τε ἰδίᾳ ὑπὲρ ἑαυτοῦ καὶ κοινῇ πάντων ἀνθρώπων καὶ τῆς περὶ Χριστὸν προθυμίας πολλαπλασίους κομίσασθαι τοὺς στεφάνους. Ὁ μὲν | βασιλεὺς δυσχερῶς ὡς μάλιστα ἔχων, εἰ τῶν θεῶν ὑβριζομένων, αὐτὸς ἀγαπητῶς ἕξει, 236.
θάνατον κατεψηφίσατο τοῦ μεγάλου, νομίζων, εἰ τοῦτον ἐκ μέσου ποιήσει καλῶς ἕξειν τοῖς θεοῖς τὰ πράγματα. Πλευρὰ δὲ Δημητρίῳ τὴν πληγὴν ἐδέχετο, τοῦ Χριστοῦ τιμῶντος τὸν ἀθλητὴν, τῇ τοῦ οἰκείου πάθους εἰκόνι, ὡσὰν οἶμαι διὰ πάντων Θεῷ προσήκῃ καὶ πολιτείας καὶ βίου καὶ τοῦ τεθνάναι. Ἐπεὶ τοίνυν πάντα κατ' εὐχὴν προὐχώρησε, καὶ οὐδενὸς ἔδει τῶν γινομένων· εἴτε γὰρ ἔδει τρόπων τοὺς τῶν ἄλλων νικώντων, οὐδένες τῶν ἄλλων τοῖς Δημητρίου προσῆκον, εἴτε συμβαῖνον τοῖς τρόποις ἐπενεγκεῖν καὶ τὸ τέλος, τὸ τῆς τελευτῆς αὐτῷ σχῆμα θαυμαστὸν, εὐσεβείας καὶ φιλανθρωπίας καὶ μεγαλοψυχίας οὐδὲν ἐλλεῖπον· τοῦ σώματος ἤδη πεσόντος, ἡ θαυμαστὴ ἐκείνη ψυχὴ, ἐμοὶ δοκεῖν, οὐκ ἀγαπήσασα τοῖς ὑπὲρ τοῦ Σωτῆρος ἠγωνισμένοις, ἀλλ' ἀθανάτων τουτωνὶ τῶν ἄθλων ἐφιεμένη, καὶ πλευρὰν μὲν ἑτέραν ἐζήτησεν ἂν προβαλλέσθαι, ὡσὰν πολλάκις ὑπὲρ εὐσεβείας ἀλγήσῃ. Ἐπεὶ δὲ οὐχ οἷόν τε, τὸ καθαρὸν ἐκεῖνο σῶμα ἀφεῖσα, πρὸς οὐρανὸν ἐχώρησε, καὶ

τῇ πάντων κεφαλῇ, τῷ Χριστῷ, συνήφθη, θαυμαστὸν μέλος καὶ πρέπον πρεπούσῃ κεφαλῇ. Καὶ νῦν τὰ τῆδε σεμνύνει, καθάπερ ἄρα τὴν οἰκουμένην τὸ πρόσθεν, ὅτι τε πάντων ὧν πᾶσιν ἰδίᾳ μέτεστι μόνος μετέσχε, καὶ διὰ τοῦτο τῆς περὶ Χριστὸν ἑταιρίας εἰκότως, οἶμαι, τὰ πρῶτα ἔχων, τὸ κοινὸν τοῦ γένους κοσμεῖ.

34. Χωρίς τε τούτου· εἰ τὸ τῶν ἀστέρων κάλλος τοσαύτην ἐνῆκε τοῖς ἀγγέλοις ἡδονὴν, πάντας ἐπὶ θαῦμα τοῦ δε-
237. δημιουργηκότος κινῆσαν, πῶς ποτ' αὐτοὺς διατεθεῖσθαι | νομίζειν προσῆκεν; ἢ πῶς οὐκ ἂν ἐκπλαγῆναι; ἢ τίν' οὐκ ἂν ᾆσαι τῷ Δεσπότῃ παιᾶνα, Δημητρίου φανέντος; Ὅσον γὰρ ἐκεῖνος τῶν ἀστέρων ἀμείνων, τοσοῦτο πολλῷ μειζόνως ἐντεῦθεν ἢ τῶν ἀστέρων ὁ Θεὸς θαυμάζεται, καὶ περιφανεστέρας ἀφορμὰς ἐκεῖθεν ἴσχει τὸ θαῦμα. Οὕτως ἄρα καὶ τὸν οὐρανὸν ἡδίω ποιήσας, οἷς ἐπέβη κεκόσμηκε. Καὶ μὴν καὶ οἷς τῶν περὶ Χριστὸν δυσσεβούντων μυρίους ἐπὶ τὴν εὐσέβειαν κινήσας, καὶ πείσας, ἁμαρτωλοὺς ὄντας, μετανοεῖν, ἀφορμὴν παρέσχε τοῖς ἄλλοις ἡδονῆς· χαρὰν γὰρ γίνεσθαι μεγάλην ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, θεία φωνή (*). Ὁ τοίνυν τοσαύτης αἴτιος εὐφροσύνης τοῖς οὐρανοῦ πράγμασι, πῶς οὐκ ἂν εἰκότως τὸν οὐρανὸν σεμνύνειν ἀκούοι, ἄλλως τε, καὶ μαρτύρων αὐτὸν ἔμπλεω δείξας, καὶ οἷς περιὼν ὢν, καὶ οἷς μετὰ τελευτὴν εἴργαστο;

35. Ἡ μὲν οὖν ψυχὴ, τὸν οὐρανὸν, ᾗ περ ἔφην σεμνύνει, καὶ μετὰ τῶν ἀγαθῶν ἀγγέλων τῆς θείας ἀμέσως αἴγλης μετέχει, κορυφαῖος οἶμαι τῶν ἐνταῦθα γενομένων εὐδαιμονίας, τὸ σῶμα δὲ μετὰ τῶν ἀνθρώπων, οὐχ ἔτι σῶμα καὶ τῆς κάτω μερίδος, πρὸς γῆν χωρῆσαν. Ἐνῆν γὰρ αὐτὸ καὶ μετατεθῆναι καὶ μεῖζον ἢ μετὰ τῶν ἀνθρώπων εἶναι γενέσθαι, καθάπερ

(*) Λουκ. Ε. 7. 10.

ἄρα πολλῶν ἑτέρων ἐπ' ἀρετῇ· θαυμασθέντων, ὧν οὐδὲν ἐκεῖνος οὐδενὸς εἵνεκα τῶν ἀγαθῶν ἔλαττον εἶχεν· ἀλλὰ διὰ φιλανθρωπίαν, καὶ τῷ τὸν Δεσπότην πάνυ τοι κἂν τούτῳ μιμηθῆναι τῷ μέρει, καὶ πάνυ τοὺς ἀνθρώπους φιλῆσαι, μετὰ τῶν ἀνθρώπων ἴσχει τὸ σῶμα. Ἐπεὶ γὰρ καὶ περὶ Χριστὸν μάλιστα πάντων ἐρωτικῶς εἶχε, καὶ θαυμαστὸν εἶχε περὶ τοὺς ἀνθρώπους τὸ φίλτρον, βουλόμενος ὥσπερ ἑκατέροις | συνεῖναι καὶ μηδενὸς ἀφίστασθαι, τὴν μὲν, πρὸς Θεὸν 237.
ἀνάγει, τὴν μακαρίαν ψυχὴν, τὸ δὲ σῶμα τοῖς ἀνθρώποις ἀφῆκε. Καὶ νῦν ἔστι ψυχῆς μὲν τῆς θαυμαστῆς οὐ μετέχον, τῆς δὲ θείας ἐνεργείας καὶ χάριτος οὕτω γέμον, ὥσπερ ἄρα καὶ πρὶν ἥκειν εἰς τελευτὴν εἰκότως. Εἰ γὰρ συναμφότερον τῶν μελλόντων ἀγαθῶν ἐκείνων εἰς πεῖραν ἥξει, παντί που δῆλον, ὡς καὶ πρὶν ἀλλήλοις συγγεγονέναι τὴν θαυμαστὴν ἐκείνην συνάφειαν, τῆς αὐτῆς ἄμφω χάριτος ἀπολαύει. Ἔτι δὲ κοινῶν αὐτοῖς γενομένων καὶ τῶν ἀγώνων καὶ τῶν τροπαίων, καὶ γὰρ καὶ σῶμα σαρκικῶν παθῶν οὐκ ἀγαθῶν περιεγεγόνει, καὶ ψυχὴ νενίκηκεν, οἷς προσῆκε, κοινοὺς ἀνάγκη καὶ τοὺς στεφάνους σφίσι γενέσθαι, καὶ τῶν θείων ἀγαθῶν, τῶν τε νῦν, τῶν τε μελλόντων συναμφοτέρῳ μετεῖναι. Καὶ ὥσπερ ἐπὶ τῆς τοῦ Χριστοῦ τελευτῆς ὁρᾷν ἦν, τὴν μὲν ψυχὴν τὸ θεῖον ἐκεῖνο σῶμα καταλιποῦσαν, τὴν θεότητα δὲ οὐκ ἔτι, ἀλλὰ τῇ ψυχῇ συνημμένην, καὶ τῷ σώματι συνημμένην. Οὐ γὰρ ἂν, εἰ τῆς Θεότητος ἔρημον ἦν τὸ σῶμα, τῆς φθορᾶς ἐκράτησεν, ὡς δὲ καὶ Δημητρίῳ ξυνέβη· ἧς γὰρ περιὼν γε ὢν θείας μετεῖχεν ἀκτῖνος, φῶς γὰρ δικαίοις, διὰ παντὸς ταύτης ἀπιὼν, αὖθις αὖ ὁμοίως μετέχει, καὶ κατ' ἄμφω τὰ μέρη. Τήν τε γὰρ ψυχὴν πάνυ δίκαιος ὢν ἐν ταῖς χερσὶν ἴσχει ταῖς θείαις, τό τε σῶμα τῶν αὐτῶν ἐκείνῃ μετέχον, δῆλον κατέστη· τοῦτο μὲν θαυμάτων αὐτουργὸν γινόμενον, τοῦτο δὲ θαμαστὰ μύρα τῶν τραυμάτων ἀνιὲν, οὐδαμόθεν νεκροῖς προσῆκον. Οὐκ ἂν, εἰ χάριτος ἔρημον ἦν,

καὶ νῦν ὁρώμενον ὑμνεῖ τὰ θεῖα, καὶ τὴν δόξαν τοῦ Θεοῦ διη-
238. γεῖται πάσης γλώσσης | ἄμεινον.

36. Οὕτως, ὦ πάντων τῶν βελτίστων ἄγαλμα σὺ, καὶ παντὸς ἀγαθοῦ κεφάλαιον, καὶ θείων χαρισμάτων τεχνῖτα, μὴ μόνον περιὼν καὶ τὸν ἥλιον βλέπων πάντα καὶ πράττων διετέλεις, καὶ λέγων ὑπὲρ Χριστοῦ, καὶ τοῦ παρὰ πάντων αὐτὸν ἀνθρώπων θαυμάζεσθαι καὶ βοᾶσθαι, ἀλλὰ τὸ πολλῷ γε μεῖζον καὶ νικῶν ἡδονῇ, καὶ μετὰ τελευτὴν τὸ περὶ Χριστὸν ἐπεδείξω φίλτρον, καὶ κείμενος πάντας τοὺς ἀνθρώπους ἐπὶ τοὺς ὕμνους τοῦ Σωτῆρος παρακαλεῖς. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὃς προσελθὼν τῷ μεγάλῳ τῶν ἀνθρώπων θαύματι σοί, οὐκ εὐθὺς τῷ μὲν Σωτῆρι χάριτας ἔγνω, τῶν δὲ σῶν μύρων καὶ τῶν ἐκεῖθεν χαρίτων ὅλως ὑφ' ἡδονῆς γεγονὼς, συνεῖναι μὲν εἰς ἅπαν ἐθέλει, δυσχεραίνει δὲ ἀπαλλάττων· ὥστε σοι προσήκουσαν εἶναι τῷ μὲν βίῳ τὴν τελευτὴν, τῇ δὲ τὰ μετὰ τελευτὴν θαύματα, καὶ μηδὲν εἶναι τῶν σῶν ἄνευ τῶν μεγίστων ἐπαίνων, καὶ τοῦ πάντας ἐκπλήττειν. Ἐπεὶ μηδ' ἔστιν μηδὲν, ὧν σοι μέτεστιν, ὃ μὴ πάντας σχεδὸν ἀνθρώπους, τοῦ κατὰ σὲ πράγματος ἔλαττον ἔχοντας, ἀποφαίνει, καὶ πόῤῥω φέροντας, δῆλον δ' ἂν εἴη παντὶ σκοπουμένῳ τά τε σὰ τά τε τῶν ἄλλων.

Τίς μὲν οὖν οὕτως ἅμα τῇ γ' εἰς τὸν βίον προόδῳ, καὶ πάντα βέλτιστος ἦν εὐθὺς, ὥσπερ πρὶν ἢ γεγενῆσθαι, ταύτην ἐσχηκὼς μελέτην, τὸ πάντα βέλτιστος εἶναι; Τίς δὲ σοφίας μετασχὼν ἅ γε ἐχρῆν, ἔπειτα μόνην σπουδὴν καὶ μελέτην τὸν Χριστὸν εἶχε, καὶ τὸ λόγοις καὶ ἔργοις αὐτὸν περὶ αὐτὸν εὐσεβοῦντα, καὶ τοὺς ἄλλους ἐπὶ τὰ ἴσα προτρέπεσθαι; Τίς δ' οὕτω χάριτος μὲν ἔμπλεως ὦπται, πρέποντα δ' ἑαυτὸν πάντων
238. εἵνεκα ταύτῃ παρέσχε, καὶ λόγων, καὶ βίου, | καὶ τοῦ διὰ πάντων ἥκοντος, τὸ δὲ πᾶσι πρὸς τὸ τῆς ψυχῆς εὖ ἔχον κεχρῆσθαι, καὶ δόξῃ καὶ πλούτῳ καὶ τῷ συγκεχωρηκέναι τῆς τύχης, καὶ οὕτω φιλανθρωπίᾳ προσέχειν; τίς εὖ ποιοῦντα, αὐ-

τὸν εὖ πάσχειν νομίζειν, μᾶλλον δὲ περὶ πλείονος ἄγαν θατέρου, τὸ εὖ ποιεῖν; ταῦτα δὲ τίνος ἀνύσαι κατὰ ταὐτά; καὶ μὴν, τίς οὕτω συνῄδει μὲν, ἃ δεῖ τῶν πάντων ἑλέσθαι ποιῆσαι, εἵλετο δὲ τοσοῦτον, ἑλόμενος δὲ μετὰ πολλοῦ τοῦ περιόντος εἴργαστο; Τό γε μὴν θαυμαστὸν ἐσχηκέναι περὶ τὸ θεῖον ἔρωτα, καὶ οὕτως ἁλῶναι τῆς ἐκείνου κατοχῆς, ὡς μὴ μόνον ὡς μηκέτ' ὄντα τὰ παρόντα δι' ἐκεῖνον ἐθελῆσαι προέσθαι, ἀλλὰ καὶ τῶν μελλόντων ἀγαθῶν μηδένα ποιεῖσθαι λόγον, οὗ δεῖ τῆς εὐσεβείας προκινδυνεύειν, ἀνθ' ὧν συνεῖναι μὲν ἑκάστοτε τοῖς λογισμοῖς τῷ Θεῷ, καὶ τῶν ἐκεῖθεν ἀμέσως ἔτι μετὰ σώματος ἀπολελαυκότα χαρίτων, τοιαύτην ἔπειτα τὴν αὑτοῦ ψυχὴν ἐξειργάσθαι, καὶ οὕτω καθᾶραι, ὡς πᾶσαν ὑπερβῆναι σωφροσύνης καὶ ἁγνείας ὑπερβολὴν, καὶ πρὸς τὴν ἀγγέλων φύσιν ταυτηνὶ τὴν ἅμιλλαν ἴσχειν; Ἔπειθ' οὕτω καθάπαξ ἀπειλικρινημένον καὶ καθαρὸν τοῖς ὅλοις φανέντα, τοσοῦτο μείζω προθυμίαν περὶ τὸν Χριστὸν ἐσχηκέναι, ὡς καὶ τῶν μελλόντων ἂν ἀγαθῶν οὐκ ἐν ἐλπίσι κειμένων, αὐτὸν ἂν μηδὲν ἧττον ὑπὲρ Χριστοῦ καὶ τῆς ἀρετῆς ἠγωνίσθαι, καὶ διὰ ταῦτα καὶ πρὶν ἐντεῦθεν ἀπᾶραι τῶν μελλόντων καὶ ἀῤῥήτων ἐκείνων ἀγαθῶν εἰς πεῖραν ἐλθεῖν. Ταῦτα τοίνυν πῶς οὐ πάντες ἡττῶνται τοῦ κατ' αὐτὸν πράγματος;

37. Τίς δ' οὕτω διὰ πάντων τῶν βελτίστων ἐλάσας, καὶ ταπεινοφροσύνης τοσοῦτον ἐποιήσατο λόγον, ὡς πάντων | ἡττᾶσθαι νομίζειν πάντων εἵνεκα; κἀντεῦθεν σώματος μὲν καὶ τῶν τοῦ σώματος ἀναγκῶν οὕτω κρατῆσαι, ὡς μείζων ἢ κατ' ἀνθρώπους τὰ τοιαῦτα γενέσθαι, τῶν δ' ἐπανισταμένων τῇ ψυχῇ παθῶν οὑτωσὶ περιεῖναι, ὡς μὴ μόνον ἀργὰ καθάπαξ ἀποφαίνειν δύνασθαι, ὡς μηκέτι πρὸς βλάβην ἔχειν κινεῖσθαι, ἀλλὰ καὶ πρὸς τὰ βέλτιστα χρῆσθαι, καὶ δι' ὧν ἑτέροις τὰ κατὰ ψυχὴν πράττει κακῶς, διὰ τούτων αὐτὸν εὐτυχεῖν; Τίς δ' οὕτω πᾶσι πρὸς δόξαν τοῦ Θεοῦ κεχρημένος κατὰ τὸν Παῦ- 239.

λον (*), καὶ ταῖς ἀρχαῖς τουτονὶ τὸν τρόπον ἐχρῆτο, ὥστ' οὐχ' ὅπως μηδεμίαν ἐκεῖθεν βλάβην πρὸς τὴν κατὰ ψυχὴν εὐπραξίαν δεδέχθαι, ἀλλὰ καὶ πολλῷ μείζω καὶ λαμπρότερον ἐντεῦθεν, ἢ ἐξ ὧν πρόσθεν ἔδρα φανῆναι; Τίνι δὲ τοσοῦτον εὐσεβείας ἐμέλησεν καὶ τοῦ περὶ Χριστὸν ἔχειν, ὡς δόξαν μὲν καὶ πλοῦτον καὶ τὸ τῆς ἀρχῆς πρᾶγμα χαίρειν ἐᾶσαι, μόνης δὲ γενέσθαι τῆς περὶ τὸ θεῖον σπουδῆς, καὶ τοῦ πᾶσιν, οἷς ἐξῆν, τὸν ἐπιστάντα τοῖς εὐσεβέσι πόλεμον διαλῦσαι καὶ κατασκευάσαι τῷ Κυρίῳ λαὸν περιούσιον, τὸ δ' ἐν τοσαύτῃ τῆς εὐσεβείας κινδύνων ὑπερβολῇ, καὶ μόνον αὐτὸν περὶ τὸ θεῖον εὐσεβεῖν ἔχειν; καὶ μήτε κρατούντων εὔνοιαν περὶ πλείστου ποιεῖσθαι, μήτε δεδιέναι μηδέν, τὰ δεινότατα ἀπειλούντων, εὐσέβειαν δὲ μόνην καὶ Χριστοῦ φίλτρα, καὶ τὸ δι' ἐκεῖνον τεθνάναι, καὶ ψυχῆς αὐτῆς προτιθέναι καὶ περὶ πλείονος ἄγειν; καὶ δια ταῦτα τοῦτο μὲν λόγοις πειθοῖ νικῶσιν ἀντιστῆναι πρὸς τὸν κρατοῦντα, καὶ τὸν Χριστὸν δεξιῶς ἄγαν καὶ τοῦ πνεύματος ἐπαξίως, τοῖς Ἕλλησι Θεὸν ἀποδεῖξαι, τοῦτο δὲ καὶ αὖθις τὰ δει-
239. νότατα ἀνασχόμενον ὑπὲρ αὐτοῦ, [τίνι τῶν πάντων οὕτως ἐξεγένετο; τίνι δὲ τοσοῦτον μετῆν τῆς πρὸς Χριστοῦ παῤῥησίας, ὡς μὴ μόνον δεόμενον τυγχάνειν τῶν ἐν ταῖς εὐχαῖς, ἀλλὰ καὶ μόνον βουλόμενον, καὶ τοῦτο μὲν τὴν κατὰ τοῦ Λυαίου νίκην, τοῦτο δὲ τὴν κατὰ τοῦ κοινοῦ τοῦ γένους ἐχθροῦ, τῷ Νέστορι δοῦναι μετὰ θαυμαστῆς ἐξουσίας ὥσπερ ἀπόφασίν τινα ποιούμενον;

38. Τίς τοίνυν διὰ πάντων ἤλασε τουτωνὶ τῶν ἀγαθῶν, καὶ πάνθ' ἃ τοῖς ἀνθρώποις πρὸς ἐπαίνου γίνεται, συλλαβὼν ἔσχε; καὶ τοῦτο μὲν ἰδίᾳ καὶ τῷ καθ' ἑαυτὸν ἄριστος ἦν, καὶ παρθενείας εἵνεκα καὶ φιλανθρωπίας καὶ εὐσεβείας καὶ τῶν ἄλλων ἁπάντων, τοῦτο δὲ τῇ πρὸς τὸ κοινὸν πολιτείᾳ μετὰ τῶν

(*) Α. Κορ. Ι. 31.

ἀποστόλων καὶ τῶν μεγίστων τῆς εὐσεβείας κηρύκων, τοῦτο δ', οἷς τὰ μέλλοντα προὔλεγεν, εἰς προφήτας ἐτέλει. Καὶ μὴν καὶ δεινὰ παθὼν ὑπὲρ τοῦ Σωτῆρος καὶ τεθνηκὼς, καὶ μαρτύρων ἐπωνυμίᾳ μάλα προσῆκε· τίνι τῶν πάντων οὕτω δι' ἁπάντων ἐλθεῖν ξυνέβη, καὶ γενέσθαι τῶν τοῦ πνεύματος χαρισμάτων ἁπάντων μόνον ὡς εἰπεῖν συντέλειαν; Προφήτας μὲν οὖν, ταύτην μεγίστην εἰσενέγκαι πρὸς τὸ κοινὸν ἐξεγένετο τὴν σπουδὴν, τὸ τὴν εἰσέπειτ' ἐσομένην εἰς ἀνθρώπους εὐεργεσίαν καὶ τὸν ἐν σαρκὶ Θεὸν, πολλοῖς εἰπεῖν πρότερον χρόνοις, ὡς ἂν ἐν ἐλπίσιν ἔχοντες ἄνθρωποι, καὶ δέξωνται προσελθοῦσαν τὴν σωτηρίαν, καὶ μὴ τῷ μεγίστῳ καὶ ὑπερφυεῖ τοῦ πράγματος ἐκπλαγέντες, οὐ τὴν προσήκουσαν περὶ τοῦ Σωτῆρος λήψωνται δόξαν. Δημήτριος δὲ καὶ αὐτὸς οὐδὲν ἧττον ἐκείνων τεχνίτης καταστὰς τῶν μελλόντων, καὶ χρησάμενος ἂν τῷ πράγματι πρὸς τὴν τοῦ Σωτῆρος ἐπιδημίαν, εἰ γ' ἐπ' ἐκείνων
ἦν. | Ὁ δ', ἐπεί περ οὐκ ἔμελλεν ὁ Σωτὴρ, ἀλλ' ἐν τοῖς ἀνθρώ- 240.
ποις ἦν ἤδη, τὸ μὲν οὐκ ἐποίησεν, ἑτέρως δὲ καὶ πολλῷ λυσιτελέστερον ἢ κατ' ἐκείνους εἰς τὸ κοινὸν ἐπολιτεύσατο, τῆς μὲν ἀσεβείας ἀπάγων, ἐπὶ δὲ τὸν ἐλθόντα Θεὸν τοὺς ἀνθρώπους πατέρα καλῶν, καὶ τοὺς ἀπὸ Χριστοῦ καλουμένους ἅπαντας, κινδυνεύοντας καθάπαξ ἀπολωλέναι, αὐτὸς ἀναλαβὼν αὖθις.

39. Ποῦ δὲ θήσεις τὴν ἐκείνου περὶ τὸ γένος φιλανθρωπίαν, καὶ τὸ δι' ἐκείνους ἂν ἑλέσθαι τεθνάναι; οὗ πλὴν ὀλίγων, οἶμαι δὲ οὐδ' ὀλίγων, οὐδενὶ τῶν τότε μετῆν. Καὶ μὴν εἰ πρὸς ἐπαίνου τοῖς προφήταις, ὅτι τὸν μέλλοντα Θεὸν ἐλεύσεσθαι προσεδόκων, πῶς οὐ πᾶσαν ἐπαίνων ὑπερβολὴν τὰ τοῦδε νικᾷ; Οὕτω μὲν τὸν Χριστὸν καὶ ἰδόντος καὶ φιλοῦντος καὶ συνόντος ἑκάστοτε, οὕτω δὲ τοῦ σταυροῦ καὶ τοῦ τεθνάναι μετασχόντος αὐτῷ, καὶ κατ' ἐκεῖνον δι' ἐκεῖνον σφαγέντος, ὡς καὶ θεοείκελον ἐντεῦθεν ἀκοῦσαι, ὃν ἐκεῖνοι, καὶ μάλα μανικῶς ἐρῶντες, οὐδὲν μᾶλλον ἔτυχον τοῦ Χριστὸν ἰδεῖν, καὶ τὸ ὑπὲρ ἡμῶν ἐκχυθὲν

αἷμα καὶ τὸ τεθνάναι· τούτων ἐκεῖνον τῷ μὲν συνόντα, τῶν δ' αὐτῷ κεκοινωνηκότα. Ἐπεὶ δὲ καὶ στρατηγοί τινες ἐν αὐτοῖς καὶ σωτῆρες τοῦ γένους, ἐκεῖνο λέγω, ὡς εἰ καὶ δυσχερῶν τινων ἀπήλλαξαν ἔστιν οὓς, καὶ τὴν ἐλευθερίαν σφίσι παρέσχων, ἀλλ' οὐ τὴν κατὰ ψυχὴν εὐεξίαν, οὐδὲ τὸ πρὸς Θεὸν ἐπεστράφθαι, οὗ χωρὶς, τοῦ μηδενὸς ἄξια τὰ πάντα, κἂν δόξαν εἴποις, κἂν πλοῦτον, κἂν ἐλευθερίαν, κἂν ὁτιοῦν. Δημήτριος δὲ καὶ ταῦτα μὲν οὐδενὸς ἧττον ἐκείνων Ἑλλήνων ἄρχων ἐφάνη, πολλῷ δὲ πλέον, ἃ πολλοῦ τιμᾶται Θεὸς, τῆς τῶν ἀνθρώπων ἐφρόντισε σωτηρίας· καὶ τοῦ γ' ἀπὸ μὲν τῶν νοητῶν πολεμίων
240. τρόπαια στῆσαι, τῆς δ' ἐκεῖθεν ἀχλύος | τοὺς ἀνθρώπους καθάρας, ὃ δ' ἔπειτα προσαγαγεῖν τῷ Θεῷ τῶν ὀλίγων τοῖς προφήταις προσῆν. Θεῷ δὲ οὐχ ἅπαξ οὐδὲ δὶς συνέμιξεν, οὐδὲ δὶς τοσαύτας, καθάπερ ἐκείνων ἐνίοις ἐξεγένετο δήπου, ἀλλὰ διὰ βίου παντὸς, εἴ γε τοῖς μὲν καθαροῖς τῇ καρδίᾳ, καὶ τὸ τὸν Θεὸν ὁρᾶν ἐξ ἀνάγκης ἕπεται. Δημητρίῳ δὲ παρθενίαν καὶ ἁγνείαν παρὰ πάντα τὸν χρόνον, παντὸς μᾶλλον ἅπαντες σύνισμεν. Τήν γε μὴν Δημητρίου σωφροσύνην, καὶ τὸ παρὰ πάντα κεκαθάρθαι τὸν βίον, τό τε Χριστὸν μὴ μόνον αὐτὸν λαβεῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις νομοθετῆσαι, καὶ πεῖσαι περὶ αὐτὸν εὐσεβοῦντας εἶναι, καὶ τελευτῶντα δι' ἐκεῖνον τεθνάναι, ταῦτα δὲ τίνος περὶ τῶν προφητῶν εἰπεῖν ἔχομεν; Οὕτω πάντων εἵνεκα, καὶ βίου καὶ τῆς εἰς τὸ κοινὸν πολιτείας καὶ τοῦ Θεῷ μιγνῦναι, προφητῶν ἐκράτησεν. Εἰ δὲ καὶ τὸν Ἰὼβ θαυμάζειν εἰκὸς τῆς περὶ τὰ δεινὰ καρτερίας, Δημήτριον τίνι χρὴ προσθεῖναι τῷ θαύματι; ὃς ἔδωκε μὲν τοῖς δεινοῖς τὸ σῶμα, ἐξέχεε δὲ τὸ αἷμα, προήκατο δὲ τὴν ψυχὴν διὰ τὰ Χριστοῦ βέλη καὶ φίλτρα, καὶ οὐκ ἠγάπα τοῖς δυσχερέσιν, ἀλλ' ἤρα πολλῷ μειζόνων τε καὶ πλειόνων. Καὶ μὴν ἐκεῖνος μὲν πρὸς τὰ δεινὰ δυσχερῶς ὡς μάλιστα ἔχων, ἀγαπητῶς ἀπήλλαξεν ἂν, καὶ κατ' εὐχὴν ἐνόμισε πρᾶξαι, φεύγων τὰς συμφορὰς, Δημήτριος δὲ το-

σοῦτον ἀπεῖχε τοῦ ταὐτὰ ἐκείνῳ παθεῖν καὶ νομίσαι, ὥστε καὶ τῶν δυσχερῶν ἐπιόντων μὲν, ἡδέως εἶχεν, ὑποχωρούντων δὲ, ταῖς εὐχαῖς αὖθις ἐχρῆτο, καὶ Θεὸν ἐπήγγελλεν αὖθις ἰδεῖν τὰ δεινά.

40. Τοσοῦτον καὶ ἀνδρίας εἵνεκα Δημητρίου, κἀκείνου τὸ μέσον· εἰ γὰρ δεῖ καὶ τἄλλα τὰ μείζω προσθεῖναι, δῆλον ὅσον Δημητρίῳ τὸ κράτος. Ἐπεὶ δὲ τὴν μὲν πάντων μεγίστην [θυ- 241.
σίαν προσήγαγε, τὴν ψυχὴν τὴν ἑαυτοῦ, τῆς δὲ σφαγῆς τοῦ δι' ἡμᾶς τυθέντος Χριστοῦ τύπος μὲν οὐκ ἔτ' ἦν, αὐτὴν δὲ ἐκείνην πέπονθε τὴν σφαγήν· καὶ τοῦτο μὲν ἄγαλμα κατέστη τῶν τοῦ Θεοῦ πρὸς ὑμᾶς χαρίτων, καὶ πρὸς τὴν θείαν ἀρετὴν, ὡς ἀνθρώπῳ γε ἔξεστι, ἡμιλλήθη, καὶ πρὸς οὐρανὸν αὐτός τε ἧκε, καὶ τοῖς ἄλλοις ἀγωγὸς πρὸς αὐτὸν κατέστη· τοῦτο δὲ καὶ τῶν τῆς σαρκὸς κινημάτων τοσοῦτον μείζων ἐφάνη, ὡς μηδὲ προσήκειν ἤδη τῇ σαρκὶ τὸ πρόσρημα. Καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τὸν Ἰωσὴφ νενικήκει, τὸν μὲν, τὴν ἐκ στεάτων θυσίαν τῷ Θεῷ καὶ τὸν υἱὸν προσενηνοχότα, τὸν δὲ, τύπον μόνον φανέντα τοῦ σφαγέντος ἀμνοῦ τοῦ Θεοῦ. Ἰακὼβ δὲ τῷ Θεῷ λιθίνην ἀνέντα, καὶ μόνον ἰδόντα τὴν πρὸς οὐρανὸν ὁδὸν, καὶ ὄντα πρὸς τὸ θεῖον ἠγωνισμένον. Ἰωσήφ γε μὴν ἐκράτησε, διὰ βίου παρθενίᾳ συνεζηκὼς, ἅπαξ πρὸς ἀκολασίαν ἠγωνισμένον. Τούτων μὲν οὖν οὕτω μετὰ πολλοῦ τοῦ περιόντος Δημήτριος πολλῷ γ' ἀμείνων.

41. Μέτειμι δὲ ἐπὶ τὸν Ἰωάννην τὸν Ζαχαρίου, τὸν πάνυ, καὶ δείξω κἀνταῦθα τὸ συγκεχωρηκὸς εἰληφότα. Ὁ μὲν οὖν, προφήτης τε ἦν, καὶ προφητῶν ἁπάντων τοσοῦτον ἄριστος, ὅσον ἄρα τῷ χρόνῳ προὔχοντας εἶχεν· ἐδείχθη δὲ καὶ Δημητρίῳ ταῦτα προσόντα, καὶ οὗτος τῶν αὐτῶν μετέχων ἐπαίνων τούτῳ τῷ μέρει. Ἀλλ' οἷς, τῷ μὲν ἐδέησεν ἐρημίας καὶ τοῦ πόῤῥω τῶν ἀνθρώπων γενέσθαι, καὶ τροφῆς ξένης δή τινος καὶ ἀήθους πρὸς τὸ τὰ τῆς σαρκὸς κινήματα καταστεῖλαι, καὶ

πᾶν ἀπὸ τῆς ψυχῆς πονηρὸν ποιησάμενον, καθαρὸν ἔπειτα τῷ καθαρῷ Θεῷ συγγενέσθαι· Δημήτριος δὲ δίχα ταυτησὶ τῆς ἐπικουρίας, ἴσχυσεν ἀπὸ παντὸς πονηροῦ τρόπαιον ἀναστῆσαι, καὶ
241. | τοσοῦτον ψυχὴν καθᾶραι, ὡς αὐτὸν ἔνοικον ἐσχηκέναι Θεόν· οὐκ ἔτ' ἴσα σφίσι τὰ πράγματα, ἀλλὰ Δημητρίῳ μὲν μείζονος ἀρετῆς καὶ ἀνδρίας ἐξενήνεκται δεῖγμα, Ἰωάννου δὲ ἧττον ἔχει, ὥσπερ δυοῖν στρατιώταιν ὁμοίως νενικηκότοιν, ὁ δίχα πολλῆς παρασκευῆς ὅπλων κρατήσας, τοῦ μετὰ ταυτησὶ τῆς συμμαχίας κεκρατηκότος, ἄμεινον ἔχει ῥώμης εἵνεκα· εἰ δ' ἐκεῖνος, πολλοῦ τινος ἄξιος, τὸν Χριστὸν δείξας τοῖς ἀνθρώποις ἁπλῶς οὑτωσὶ, πλείονος οὗτος εἰκότως ἂν εἴη, πάντα καὶ εἰπὼν καὶ ποιήσας καὶ πεπονθὼς ὑπὲρ τοῦ Θεὸν αὐτὸν τοὺς ἀνθρώπους ὄντα διδάξαι, καὶ δοξάσας αὐτὸν οὐ λόγοις μόνον καὶ ἔργοις, ἀλλὰ καὶ τοῖς αὐτοῦ μέλεσι, καὶ τῷ δεινὰ παθεῖν, καὶ τεθνάναι. Καὶ βαπτίσας αὐτὸν μὲν οὐκ ἔτι (οὐ γὰρ ἐνῆν), δι' αὐτὸν δὲ, καὶ ἑαυτὸν καὶ πολλοὺς ἑτέρους, τὸ μέγιστον καὶ ἱερώτατον βαπτισμάτων ἁπάντων τὴν διὰ μαρτυρίου καὶ αἵματος τελευτήν· καὶ ἀποθανὼν οὐχ ὑπὲρ νόμων ὥσπερ ἐκεῖνος, ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ τὸν νόμον θέντος Χριστοῦ. Οὕτως ἄρα καὶ τῷ τῶν ἀνθρώπων μεγίστῳ, τὰ μὲν, τῶν ἴσων μετέσχε, τὰ δὲ, καὶ νενίκηκεν.

42· Τῶν δὲ τοῦ Χριστοῦ συγγεγονότων τοὺς κορυφαίους, Πέτρον ἴσμεν καὶ Παῦλον, καὶ τὸν υἱὸν τῆς βροντῆς. Παῦλος μὲν οὖν θαυμαστὸν εἶχε περὶ τὸν Δεσπότην τὸ φίλτρον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας μανικός τις ἦν ἐραστής· ἀλλ' εἰς πολεμίους τὸ πρόσθεν τῷ Χριστῷ τάττων, ἔπειτα δι' ἐμφανείας φρικώδους τῶν ἑταίρων αὐτῷ κατέστη (*). Δημήτριος δὲ τὴν περί τε τὸ θεῖον, περί τε τοὺς ἀνθρώπους ἀγάπην οὐδὲν ἔλαττον ἔχων τοῦ Παύλου· τῆς γὰρ μεγίστης ἀγάπης καὶ ἧς οὐδεὶς ἔχει μείζω κατὰ τὸν θεῖον χρησμὸν (**) ἐξήνεγκε δεῖγμα, δεινὰ

(*) Πράξ. Θ. (**) Α. Κορ. ΙΓ. 13.

παθῶν ὑπὲρ αὐτοῦ καὶ τὴν ψυχὴν προέμενος, οἷς εὐθὺς ἀπὸ γραμμῆς κατὰ τὴν | παροιμίαν ἀγαθὸς ἦν, καὶ Χριστὸν ἐφίλη- 242.
σε, καὶ τῶν ἀγαθῶν τῶν αὐτοῦ καὶ αὐτὸς κατείχετο καὶ τοῖς ἄλλοις ἀνθρώποις αἴτιος ἦν, παρελήλυθε Παῦλον. Εἰ δὲ μὴ τὸν ἴσον ἐκείνῳ κύκλον τὸν Χριστὸν κηρύττων διῆλθεν, οὐδὲν πρὸς τὸν λόγον· πάνυ γὰρ βουλόμενον, οὐκ ἀφῆκεν ὁ χρόνος, μᾶλλον δὲ τὸ περὶ τὸν Χριστὸν φίλτρον πεῖσαν ἐν νεότητι θανάτου καταφρονεῖν. Καὶ μὴν δῆλος ἐγένετο, τοσοῦτον ἂν διεληλυθὼς κύκλον, εἰ τοσοῦτον χρόνον μετὰ τῶν ἀνθρώπων ἦν, οἷς κατὰ ταὐτὰ τῷ Παύλῳ τὸν Χριστὸν ἐφίλησεν. Ἐγὼ δὲ καὶ κατ' αὐτό γε καὶ μάλιστα τοῦτο παρελάσαι Παῦλον τὸν Δημήτριόν φημι, ὅτι τῷ μὲν πολλοῦ τινος ἐδέησε χρόνου πρὸς τὸ σκεῦος ἐκλογῆς γεγενῆσθαι, Δημήτριος δὲ κατὰ τὸν σοφὸν Σολομῶντα (*), τελειωθεὶς ἐν ὀλίγῳ, μακροὺς ἐπλήρωσε χρόνους, καὶ Παῦλος ἐφάνη, καὶ Παύλου μείζων. Κατ' αὐτὰ δὲ ταῦτα, καὶ Πέτρον νενικήκει τὸν μέγαν, καὶ πρός γε ἔτι, θαυμαστὸν μὲν ὄντα πρόσθεν τὸν ζῆλον, ἐν δὲ ταῖς συμφοραῖς, καὶ τοῦ Χριστοῦ δεινὰ πάσχοντος, μᾶλλον δὲ μελλόντων τῶν δεινῶν, καὶ τοῦ καιροῦ τὸν ἄνδρα καλοῦντος, παρὰ πᾶσαν προσδοκίαν ὡς εἰπεῖν ὑφιέντα. (**) Αὐτὸς ἐν ταῖς ὑπὲρ εὐσεβείας συμφοραῖς, πολλῷ θαυμαστότερον ἐπιδειξάμενος τὸ περὶ αὐτὸν φίλτρον, καὶ μείζω τὴν καρτερίαν· ἔτι δέ, Πέτρος μὲν ὡμίλησε γάμῳ, ὁ δὲ παρθενίας ἦν ἀθλητής. Ἰωάννῃ δὲ τῷ πάνυ, μηδεμίαν ὑπερβολήν, οὐ παρθενίας, οὐ θεολογίας, οὐ φιλοθεΐας ἀφείς, ὁ δ' ἔπειτ' ἄλλον τρόπον καὶ αὐτὸν παρελαύνει, ὑπὲρ τοῦ ποθουμένου πληγεὶς καὶ ἀποθανών· ἐκείνῳ γὰρ οὐ ταῦτα ξυνέβη. Κοινῇ δὲ πάντας ἀποστόλους κοινωνοὺς μὲν ἴσχει τῶν ὑπὲρ εὐσεβείας ἀγώνων καὶ τῶν κινδύνων, νικᾷ δέ, τῷ μὴ Χριστὸν ἰδών, μηδ' ὧν αὐτουργὸς κατέστη θαυμάτων, μὴ τοὺς ἀπογεγονότας

(*) Δ. 2[illegible]. (**) Λουκ. ΚΒ, 57.

242. αὖθις ἐπὶ φῶς | ἰόντας, ὥσπερ ἐκεῖνοι, ἔπειτα Χριστῷ προσχωρήσας καὶ τῶν αὐτῶν αὐτοῖς μετασχὼν κινδύνων ὑπὲρ αὐτοῦ, καὶ μακάριος οὗτος μᾶλλον ἐκείνων μὴ ἰδὼν καὶ πιστεύσας κατὰ τὸν θεῖον χρησμόν (*).

43. Οὕτως, ὦ πάντων ἀνθρώπων βέλτιστε, σὺ καὶ προφήτης εἶ, καὶ προφητῶν μακρῷ πάντων ἄριστος, καὶ ἀπόστολος καὶ ἀποστόλων γε μέγ' ἀμείνων, καὶ μάρτυς, καὶ παρὰ πάντων τῶν ἐνταῦθα γενομένων σχήματος τὸ συγκεχωρηκὸς ἔχων· καὶ οὐδείς ἐστιν ὁ τῷ κατά σε πράγματι τῶν ἴσων ἀμφισβητήσας, οὐδ' ὁ γ' εἰς ἔπειτ' ἀμφισβητήσων, ἀλλ' ὥσπερ ὁ ἥλιος μόνος τε εἶ, καὶ μόνος ἴσχεις τὸ πάντων θαῦμα, καὶ μόνος παντοδαπὸν ἀγαθὸν ἔσῃ τῷ βίῳ· καὶ οὔτ' αὐτὸν σέ, βέλτιστε, εἰς παράδειγμα ἔστιν ἀνενέγκαι, ἀλλ εἴτινα δεῖ καὶ λαβεῖν εἰκόνα τῶν σῶν, πᾶσαν ἐροῦμεν τὴν περὶ Θεὸν ἑταιρίαν, καὶ οὐχ ἕνα δήπουθεν, οὔτ' αὖ ἐσεῖται τὰ σὰ παράδειγμα. Ἀλλ' ὃ πολλοῖς εἴρηται περὶ πολλῶν πολλάκις, τοῦτ' αὐτὸς ἀκούειν ἁπάντων δικαιότατος εἶ, τὸ πρῶτος καὶ μέσος καὶ τελευταῖος. Καὶ νενίκηκας μὲν τὸν τῶν ἁγίων σύμπαντα κύκλον, καὶ καθ' ἕνα καὶ κατὰ φατρίας, καὶ πάντας ὁμοῦ· τὸ μὲν ἅ γε πάντες εἰσί, μόνος αὐτὸς γενόμενος, κοινῇ δὲ πάντας, οἷς, ἃ πᾶσι πρόσεστι, μόνος ἁπάντων μετέχων, καὶ τὸ μεθ' ὑπερβολῆς προσειλήφεις, τῷ δὲ πάντων Δεσπότῃ, τῶν ἴσων ὥσπερ ἐφιλονείκησας μετασχεῖν. Καὶ δή, ἐμαρτύρησεν ἐκεῖνος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, ἐμαρτύρησας καὶ αὐτὸς τὴν αὐτὴν ὁμολογίαν ἐκείνῳ· δεδεμένον ἔμαθες, ἐδέθης αὐτός· ἐδέξατο τῇ πλευρᾷ τὴν πληγὴν ὁ Δεσπότης, καὶ σὺ τούτῳ τῷ μέρει τὰς πολλὰς ἐκείνας ἐδέξω, τὸ ὑστέρημα τῶν τοῦ
243. Χριστοῦ παθημάτων, κατὰ | Παῦλον τὸν σὸν ἑταῖρον, ἀναπληρῶν (**). Τὸ δὲ σχῆμα τοῦ θανάτου· ὑπὲρ ἀνθρώπων ἐκεῖνος εἴ-

(*) Ἰωαν. Κ. 29. (**) Κολ. Α. 24.

λετο τὴν τελευτήν, ὑπὲρ αὐτοῦ καὶ τῶν ἀνθρώπων ἐτελεύτησας αὐτός, εἰ καὶ τρόπον ἕτερον, ἴσως διὰ τοῦτο καὶ πολλαπλασίους ἢ κατὰ τὸν Δεσπότην τὰς πληγὰς δεδεγμένος, ἅθ' ὑπέρ τε τοῦ Δεσπότου καὶ τῶν ὁμοφύλων ἠγωνισμένος. Ἦν δὲ εἰκάσαι τοὺς μὲν λόγους, οἷς ἐχρήσω πρὸς τὸν κρατοῦντα, τοῖς τοῦ Σωτῆρος ἐπὶ τοῦ Πιλάτου λόγοις, τὸ δὲ δεσμωτήριον, τῷ σταυρῷ, τὴν δὲ πλευρὰν τὴν σήν, τῇ τοῦ Δεσπότου πλευρᾷ, τὰ δόρατα δέ, τῷ δόρατι, τὸ δὲ σὸν αἷμα, τῷ θείῳ, τὸ δὲ μὴ ἐκεῖνον τὰ δεινότατα πάσχοντα δυσχεράναι, τῷ μηδὲ σέ. Οὕτω παρελήλυθας μὲν τὴν κοινὴν τῶν ἀνθρώπων φύσιν, θείας δὲ μοίρας ἐπιτυχὴς γεγονώς, προφήτης κατέστης, ἀπόστολος, ἄγγελος, θεός.

44. Ἀλλ' ὢ θαυμαστὴ τῶν ἀνθρώπων εὐδαιμονία· ὢ σοφίας Θεοῦ τεχνῖτα, καὶ θησαυρὲ θείων ἐρώτων· ὢ τῆς περὶ Χριστὸν ἀγάπης, μηδὲ τὴν τῶν οὐρανῶν βασιλείαν φιλτέραν ἄγων· ὢ τρόπαιον εὐσεβείας, καὶ εἰκὼν τῶν τοῦ Θεοῦ χαρίτων, ὢ παρθενίας τοσοῦτον μετέχων, ὡς μηδὲ τοὺς ἀγγέλους ἐᾶσαι πλέον ἔχειν σαὐτοῦ· ὢ φύσεως ἔνδειξις καὶ φιλοτιμία τοῦ γένους καὶ πάντων ἀγαθῶν συντέλεια· ὢ τῶν ὑπὲρ Χριστοῦ τραυμάτων καὶ τοῦ τεθνάναι τοσοῦτον ἔρωτα κεκτημένος, ὡς καὶ δυσχεραίνειν ἔτι μελλόντων. Ὦ κοινωνὲ τῷ Χριστῷ τῶν τραυμάτων καὶ τῆς τελευτῆς καὶ τῆς δόξης· ὢ πάντας πείθων καταφρονεῖν σωμάτων, πρὸς σὲ δὴ βλέποντας· ὢ τὸ πῦρ, ὃ βαλεῖν ἐπὶ τῆς γῆς ὁ Χριστὸς ἦλθεν (*), ὅλον ἐν τῇ ψυχῇ δεδεγμένος· ὢ καὶ τῶν μελλόντων ἀγαθῶν, οὐκ ἄν γε μελλόντων, αὐτὸς οὐδὲν ἧττον ἂν ὑπὲρ Χριστοῦ καὶ τῶν αὐτοῦ φίλτρων ἠγωνισμένος, ἅτε μηδ' ἐπηγγελμένων | τῶν ἄθλων, διὰ ταῦτα Χριστὸν φι- 43*
λήσας· ὢ μηδὲ Παύλῳ τῶν πρεσβείων παραχωρήσας, τῷ περὶ Χριστὸν μεμηνότι, τῷ μανικωτάτῳ τῆς περὶ Χριστὸν ἑταιρίας.

(*) Λουκ. ΙΒ'. 49.

Ὦ Χριστοῦ μὲν ἑταῖρε, Χριστοῦ δὲ μιμητά, Χριστοῦ δὲ κατὰ τὸν τοῦ Παύλου λόγον συγκληρονόμε (*)· ὦ πάντα μὲν τοῦ μηδενὸς ἄξια κρίνας, πλὴν ὅσα πρὸς Θεὸν φέρει· ὦ Θεοῦ μὲν σύμμαχος γεγονώς, δαιμόνων δὲ ἀπαλλάξας τὴν οἰκουμένην· ὦ φιλανθρωπότατε μαρτύρων ἁπάντων· ὦ θαυμαστῇ περὶ τοὺς ὁμοφύλους κεχρημένος φιλανθρωπίᾳ, ὥστε τοῖς μέν, πατήρ, τοῖς δ', ἀντὶ μητρός, τοῖς δ', ἀντ' ἀδελφοῦ καταστῆναι, καὶ διὰ τοῦτο πᾶσιν ἀνθρώποις καὶ πατρὸς καὶ μητρὸς καὶ ἀδελφῶν ποθεινότερε. Ὦ Χριστοῦ μὴ μόνον αὐτὸς φανεὶς εὐωδία, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀνθρώποις, τὸ κενωθὲν προμνώμενος μύρον· ὦ τὸ πρόσθεν μὲν αἷμα, νυνὶ δὲ μύρον τῶν ὠτειλῶν ἀφιείς, μᾶλλον δὲ καὶ νῦν οὐχ ἧττον ἢ πρόσθεν αἷμα· ἀπὸ γὰρ πληγῶν καὶ τραυμάτων καὶ τότε πληγέν, μύρον ἀνῆκέ σοι τὸ σῶμα· ἐπεὶ καθαρότητος καὶ ἁγνείας οὐδὲν ἐλλεῖπον, τῆς τοῦ πνεύματος εὐωδίας μετέσχε, καὶ μύρον αὐτὸ κατέστη τὸ αἷμα, ὡς καὶ τὸν Χριστὸν ὀσμὴν εὐωδίας αἰσθέσθαι, ὅ φασιν ἐπὶ τῆς θυσίας Ἄβελ γενέσθαι· ὥστε νῦν οὐ μετέβαλλε τὸ σὸν αἷμα πρὸς μύρον, ἀλλὰ μύρον ὂν ἐξ ἀρχῆς, ὅπερ ἦν ἐν τῷ νῦν εἶναι φαίνεται. Ἀλλ' ὦ πᾶν ὁτιοῦν τῶν ἀγαθῶν καὶ ὢν αὐτὸς καὶ καλούμενος, καὶ τὴν ἀρετήν, οἷς μετέσχες, μάλα σεμνύνας, ἡμῖν μὲν ὁ τῶν σῶν ἐπαίνων ἆθλος ἠγώνισται δή, ὃν ὁ σὸς εἰργάσατο πόθος, δεύτερον ἤδη, τῷ μὲν ἀθλητῇ καὶ τῇ τῶν λόγων
44. ἡμῖν δυνάμει πάνυ | προσήκων, τῷ μεγέθει δὲ τοῦ πράγματος οὐκ' ἂν ἔτι, νικᾷ δὲ τὰ σά. Δυσχεραίνω δὲ οὐδαμῶς ποῦ δὴ δοῦναι τὰ γέρα, μὴ τῇ δυνάμει, τῷ δὲ βουλομένῳ συμβαίνοντα. Ὦ κἂν τούτῳ μιμησάμενος τὸν Δεσπότην, τὸν ἐκ παίδων προσιέμενον ὕμνον, ἐκ πάνυ τοι νέου τὰ τοιαῦτα καὶ αὐτὸς δεδεγμένος· ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

(*) Ῥωμ. Η'. 17.

(*) ΘΕΟΦΑΝΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΑΙ ΗΓΟΥΜΕΝΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΕΞΟΡΙΑΝ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΝΙΚΗΦΟΡΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΚΑΙ ΕΙΣ ΤΗΝ ΜΕΤΑΚΟΜΙΔΗΝ ΤΟΥ ΤΙΜΙΟΥ ΛΕΙΨΑΝΟΥ ΑΥΤΟΥ.

1. Πλεῖσται μὲν ὅτι μάλιστα κατὰ διαφόρους καιροὺς καὶ χρόνους ἐν ἔθνεσί τε καὶ πόλεσιν εὐεργεσίαι πρὸς Θεοῦ καὶ μεγίστων πραγμάτων ὑπερφερεῖς ἐπιδείξεις γεγένηνται, δι' ὧν ἡ ἀτρεκὴς περὶ αὐτὸν γνῶσις παγίως ἐρήρεισται, καὶ τῶν μεγαλείων τὰ πλήθη διαπρυσίως ἐξήχηνται κατὰ τὸ ἐν ψαλμοῖς ᾀδόμενον· ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ
νὺξ νυκτὶ | ἀναγγέλλει γνῶσιν (1), τὴν καθ' ἕκαστα 52.
δηλονότι συντηρητικὴν τῶν ὄντων καὶ τὴν ὁσημέραι τοῦ παντὸς κυβερνητικὴν διεξαγωγὴν καὶ περαίωσιν τῆς ψαλμικῆς σημασίας ὑπεμφαινούσης, οὐκ ἔλαττον δὲ ἀλλὰ καὶ μᾶλλον τῶν ἄλλων ὑπερανεστηκότα, καὶ ἀσυγκρίτοις θαυμάτων ὑπεροχαῖς ἀρίστως ἀνῳκισμένα καθέστηκε, καὶ τὰ νυνὶ τοῖς καθ' ἡμᾶς ἐπιδεδειγμένα χρόνοις, παρὰ τῆς πάντα κρείττονι προμηθίᾳ συνεκτικῶς οἰακιζούσης θείας δυνάμεως· καθότι οὐκ ἐν μέρει καὶ εἰδικῶς, οὔτε μὴν ἐν ἔθνει ἐλαχίστῳ καὶ τοῦ μηδενὸς ἀξίῳ αἱ τηλικαῦται τῶν ἀγαθῶν καταπεφοιτήκασι χάριτες, ἀλλὰ καθ' ὅλου καὶ γενικῶς καὶ τῷ Χριστῷ ἐπωνύμῳ καὶ ἐκλεκτῷ κλήρῳ, τῷ προσηκόντως κληθέντι διὰ Πέτρου ἀποστόλου φωνῆς, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, ναὸς

(*) Μαρκ. Κ. CCCLIX, φύλ. 51. αἰῶν. XII, Zan. (1) Ψαλ. ΙΗ΄. 2.

εἰς περιποίησιν (1). Ἀλλ' ἐπειδή περ αἱ τῶν μεγίστων λόγων ὑποθέσεις ἀρίστων καὶ τῶν ἐξηγητῶν δεδένηται, ὡσὰν μὴ κατόπιν ἔλθοιεν ἑαυτῶν τῇ τῶν ἐγχειρούντων σμικρότητι ἐλασσούμεναι, μηδ' αὖ τῷ περιπεζίῳ τῆς λέξεως καὶ ἀκαλλεῖ πρὸς τὸ καταδεὲς ὑποτέμνοιτο τὸ ὑψηλὸν τῆς ἐκείνων μεγαληγορίας· διὰ τοῦτο ἰλιγγιῶν ἀφασίᾳ πεπίεσμαι, καὶ τοῦ γράφειν ἀπείργομαι, λόγου εὐφραδοῦς εἰς ἅπαν ἠμοιρημένος. Ὅμως, τῶν εἰς τοῦτο προτροπάδην κινούντων με, τῇ συνεχεῖ καὶ ἀπαραιτήτῳ σχολῇ παρωρμημένος, πρὸς τὴν ὑπακοὴν δεδιὼς ἐμαυτὸν καθυφῆκα, Θεὸν τοῦ λέγειν δοτῆρα καὶ ἀρωγὸν σχοίην πεπιστευκώς· παρ' οὗ πρόσεστι τοῖς λόγου θεραπευταῖς ἡ τοῦ λέγειν δύναμις, συνεπαμύνοντος δηλαδὴ ταῖς εὐχαῖς καὶ πρὸς τὸ εὐθὲς καὶ εὔρυθμον τὴν σπουδὴν συνεπιτείνοντος τοῦ θεοφόρου πατρὸς Νικηφόρου, ὡς μεγίστην ὑπόθεσιν ἡμῖν ἑαυτὸν τοῦ λέγειν παρεσχημένου.

2. Ἦν ὅτε καλῶς εἶχε τὰ ἡμέτερα, καὶ πρὸς τὸ λυσιτελὲς
52. | ἀξιοπρεπῶς διϊθύνοντο, ἡνίκα τὴν Ἐκκλησίαν, ὁμονοίας πρυτανευούσης, ἅπαν μὲν ἀσεβὲς καὶ ἔκφυλον δόγμα, ὡς ἄγος τι καὶ ἀποτρόπαιον ἀπελήλατο μίασμα, πᾶσα δὲ τῶν αἱρετιζόντων ἐρεσχελία εἰς τὸ μὴ ὂν ἐξηφάνιστο, Νικηφόρου τηνικάδε τῆς βασιλείας τὰ σκῆπτρα κατέχοντος, καὶ Νικηφόρου τὸν ἀρχιερατικὸν τῆς μεγαλωνύμου καὶ βασιλίδος τῶν πόλεων διέποντος θρόνον, κἀκεῖθεν φωστῆρος δίκην ἀειλαμποῦς τὴν ὑφ' ἡλίῳ ταῖς τῶν ἀρετῶν ἀκτῖσι καταπυρσεύοντος. Ἥ τε γὰρ περὶ τὴν ἀρχικὴν καὶ μακαρίαν Τριάδα συμφυὴς ὁμοουσιότης καὶ ἡ περὶ τὸν σαρκωθέντα Θεὸν Λόγον ἐν δυσὶ φύσεσι καὶ ταῖς αὐταῖς θελητικαῖς ἐνεργείαις καθ' ὑπόστασιν ἡνωμέναις ἀκραιφνὴς ὁμολογία ταῖς κατὰ καιροὺς πατρικαῖς συνόδοις σαφέστατα ἐτετράνωτο, καὶ ἥτις ἑτέρα δόξα ὑπεναντίων ἔχουσα

(1) Πετρ. Α'. Ἐπ. Β'. 9. καὶ Ἔξοδ. ΙΘ'. 6.

τοῦ ὀρθοῦ δόγματος τέλεον ἐξωστράκιστο, ἥ τε τῶν ἱεροτύπων εἰκόνων ἀρχῆθεν παραδεδομένη ἐπωφελὴς ἀναστήλωσις ἐν ταῖς ἁπανταχοῦ Ἐκκλησίαις παγκοσμίως καὶ εὐπρεπῶς διεδείκνυτο, καθὰ τοῖς μικρῷ πρόσθεν ἐκείνων χρόνοις συνοδικῇ πατέρων ἁγίων ψήφῳ θεοκινήτως τεθέσπιστο. Ἐπεὶ δὲ τὸν κρατοῦντα τῆς βασιλείας Νικηφόρον σὺν τῷ ἐκείνου υἱεῖ τὸ τέλος τῆς ἐνθάδε κατειλήφει ζωῆς, καὶ εἰς Μιχαὴλ, τὸν πρὸς τῇ θυγατρὶ γαμβρὸν, τὰ τῆς ἀρχῆς περιειστήκει, ἐπέβη τούτῳ θηριωδῶς, κατὰ τοὔνομα λεόντειον βρυχόμενος, ὁ ἄγαν ἀπηνὴς καὶ ὠμότατος Λέων, ἐξ Ἀρμενίας ἄγων τὸ γένος, Θεοῦ μὲν ἀποστασίαν, τοῦ δὲ τετιμηκότος αὐτὸν βασιλέως ἀρίδηλον καὶ ἀπερικάλυπτον τυραννίδα ἐμμελέτημα φέρων. Καὶ δὴ ἔργου εἴχετο, καὶ εἰς πέρας τὸ βεβουλευμένον ἦκτο, ὅντινα γυναικὶ καὶ τέκνοις συνεξεώσας, πρὸς ἑαυτὸν τὴν ἀρχὴν ἁρπαλέως ἐπεσπάσατο· ὡς οὐκ ἂν δὲ ἑτέρως ἑνὸν αὐτῷ χρονιώτερον τὸ κράτος συντηρηθήσεσθαι, εἰμὴ καθόλου ἀπαυθαδίσοι [καὶ τὸν πρὸς ἡμᾶς ἀναδέξοιτο πόλεμον διὰ τῆς τῶν σε- 53.
βασμίων εἰκόνων ἐξαφανίσεως, πᾶν εἶδος κακίστης μηχανῆς ἐπινοῶν διετέλει τὸ δεδογμένον κρατύνασθαι. Εἰς τοῦτο γὰρ παραπληξίας καὶ ἀποπλανήσεως ὑπὸ τῶν ἐκεῖνον μυούντων δαιμόνων εὐήθως ὑπενήνεκτο, καὶ ψευδομάντεων ἀπατηλαῖς ὀνειρώξεσιν ὀλεθρίως ἐβεβάκχευτο, καὶ χρόνων ἀδήλοις ὑποσχέσεσιν ἀνοηταίνων σεσύλητο.

3. Τούτου δῆτα τοῦ δυσσεβῶς τετολμημένου καὶ ἀθέως ἐσκευωρημένου βουλεύματος, μὴ ἂν ἄλλως κρατήσειν ᾤετο δεῖν, εἰμὴ τὸν τῆς Ἐκκλησίας καθηγεμόνα, περιφανῆ Νικηφόρον, καὶ τῆς Ὀρθοδοξίας κανόνα ἀπαρέγκλητον, τοῦ ἀρχιερατικοῦ καθαιρήσειε θρόνου, ὅπως, τῆς οἰκείας κακίας τὴν Ἐκκλησίαν ὁρμητήριον ποιησάμενος, πάντα κατὰ γνώμην ἑαυτῷ τε καὶ τοῖς ἐκείνῳ συνερίθουσιν ἀδεῶς μεθαρμόζοιτο, μὴ ὑπόντος δηλαδὴ τοῦ ἀντιστατοῦντος ἢ ἀντιπαλαίοντος πρὸς πα-

ράταξιν ἐναντίων· τέως δὲ τοῦτον ἐκαιροφυλάκει, ἐπιδεικτιῶν
τὸ τοῦ ἤθους ἐπίκλοπον, καὶ ὡς πρὸς γυμνάσιον δῆθεν τοῦ
ὀρθοῦ λόγου τὸ δόγμα κεκινῆσθαι προανεκρούετο. Ὡς δὲ ὁ
πολὺς ἐκεῖνος τὰ θεῖα καὶ μάλα ἀγχινούστατος πλείοσι δια-
λογικαῖς ἀντιῤῥήσεσι, καὶ γραφικῶν χρήσεων παραστάσεσι, καὶ
μηκίστων χρόνων κραταιοτάταις παραδόσεσι τὴν τῶν εἰκόνων
συνιστὰς ἀναστήλωσιν, οὐδὲν ἧττον πρὸς τὸ δέον ἦγξε τὸν
ἀλαζόνα τοῦ ἐγχειρήματος μετατάξασθαι, οὔτε μὴν ὅλως
τοῦ δεδογμένου ἀνηκουστοῦντα καθυφεῖναι δεδύνητο· τηνικαῦ-
τα ὁ ἐπιπόλαιος τέως ἐγκρύφιος δόλος εἰς τοὐμφανὲς πρόει-
σι, τοῦ τὸν τρόπον τῆς θηριωδίας εὐστόχως σὺν τῷ ὀνόμα-
τι φέροντος. Ὡς γὰρ εἴτις λυμώδης μονιὸς, ἢ λέων ἄγριος
53. καὶ ἀτίθασος θὴρ, | οὕτω καὶ αὐτὸς ἀνύπεικτός τε καὶ ἀκαμ-
πὴς μεμενήκει, βύσας τὰ ὦτα πρὸς πᾶσαν τοῦ διδασκάλου
σωτηριώδη τῶν δεόντων εἰσήγησιν, ὡς ἀσπὶς πρὸς ἐπᾴσματα.
Αὐτίκα τῷ ζήλῳ τῆς εὐσεβείας καὶ ταῖς τοῦ κρείττονος συμ-
μαχίας ὁ τῆς νίκης ἐπώνυμος, ἔτι μᾶλλον ῥωννύμενος, κατὰ
τῆς ἀσεβείας ἀνδρείως νεανιεύεται, καὶ πρὸς τὸν τυραννοῦντα
κραταιῶς παρατάττεται, καὶ ἅμα τῶν ἐξειλεγμένων ἔν τε βίῳ
καὶ λόγῳ ἀρχιερέων καὶ μοναστῶν τῶν συνδιαγωνιεῖσθαι τού-
τῳ εὐθύμως ἐφεπομένων κοινῇ τὸν ἀνομοῦντα διακενῆς βασι-
λέα διήλεγξαν, καὶ ὡς Θεοῦ καὶ τῶν θείων πολέμιόν τε καὶ
ὑποκριτὴν ἀνεπαισχύντως κατεστηλίτευσαν.

4. Εὐθὺς γοῦν καὶ ἣν ὑπελείπετο ἐγκρύφιον σκῆψιν πα-
ραγυμνοῦν, καὶ εἰς προὖπτον τελέως ἐνεγκεῖν ἠναγκασμένος
ἐκεῖνος ὁ σοβαρὸς καὶ ὑπέροφρυς τὸν ἐνδομυχοῦντα τῆς κα-
κίας λογισμὸν, ὥσπερ τινὰ φθοροποιῶν χυμῶν ἐξ ἀπεψίας πλη-
θώραν, ἢ βρεφῶν ἀτελέστων ἀμβλώτατα εἰδεχθῆ ἀναβράσας,
ἐξήμεσε, καὶ ἐξωθεῖ τυραννικῷ θράσει τοῦ πατριαρχικοῦ θρό-
νου τὸν παναοίδιμον, ἐν ὑπερορίᾳ μένειν καταδικάσας. Μηδὲ
τοῦτο καταιδεσθεὶς, εἰ μήτι γε ἄλλο, πολλῶν ὄντων τῶν τοῦ

ἀνδρὸς, ὅτι περ δι' ἐπιθέσεώς τε καὶ ἐπισφραγίσεως τῶν ἐκείνου χειρῶν, ὡς μὴ ὄφελον, τὸ βασίλειον στέφος εἰσδέδεκται· ἀλλ', ὡς ἔοικε, τῷ τῆς ἀποστασίας καὶ τυραννίδος ὀλίσθῳ περιπαρεὶς, καὶ ἅμα τῇ ἀσεβείᾳ καὶ τὸ φρονεῖν παρῃρημένος, καὶ λογισμοῦ τοῦ καθήκοντος τὸ παράπαν ἐξεσταμένος, ἀκαταλλήλως τὰ ἀνόσια πράττειν καὶ θρασέως ἐγχειρεῖν τοῖς αἰσχίουσι προΐετο. Καὶ ὁ μὲν, ὡς τοῦ εἰρηνικοῦ μαθητὴς, ἐξῄει τῆς Ἐκκλησίας σκυθρωπάζων καὶ δεδακρυμένος, ὡς εἴ τινα νύμφην ἄσπιλον κατηγγυημένην ἑαυτῷ | πρὸς Θεοῦ, κατηφιῶσαν 54.
καὶ κατεστυγνιασμένην ἐπὶ τῷ ἀπ' αὐτοῦ χωρισμῷ, ταύτην ἀφιεὶς, τόν τε λαὸν καταρτίσας προσφόροις θεοῤῥημοσύναις, καὶ τὸ ποίμνιον ἐπευξάμενος τὴν πίστιν ἀῤῥαγῆ τηρεῖν ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. Ὁ δὲ, μεμηνὼς ἄγαν καὶ βρέμων τῷ θυμῷ, εἴχετο κατὰ κράτος δυσμενῶς τῆς εὐσεβείας κατωφρυωμένος, καὶ ὡς ἅτε μὴ ἐμφορηθεὶς (*) ἐφ' οἷς δέδρακεν ἐπὶ τῷ θεολήπτῳ, ἐπὶ τῷ ἱεράρχει, ἀλλ' ὡς ἂν καὶ εἰς πλείους ἐξοιχοῖτο τὰ θρήνου καὶ οἰμωγῶν ἄξια δράματα τῆς ἐκείνου κακουργίας, πάντας, ὅσοι τοῦ ὀρθοῦ τῆς ἀληθείας περιεχόμενοι δόγματος, τῷ διδασκάλῳ συναπήχθησαν, ἀρχιερεῖς τε καὶ μοναστάς· ἀλλὰ μὴν καὶ τοῦ λαοῦ ὅσον ἔκκριτον ἔν τε ἀνδράσι καὶ γυναιξὶ, ποιναῖς παραλλήλοις καὶ τιμωρίαις ἀνυποίστοις κατεψηφίσατο. Οἱ μὲν γὰρ αὐτῶν ποιναῖς καὶ βασάνοις δυσαλγέσι καθυπεβλήθησαν, οἱ δὲ χρονίαις φυλακαῖς, πείνῃ καὶ δίψῃ πιεζόμενοι, συνεσχέθησαν, ἄλλοι μακραῖς ἀπαγωγαῖς καὶ ὑπερορίαις παντοίας φειδοῦς χωρὶς ἀπηνέχθησαν· ἕτεροι τῆς τῶν προσόντων περιουσίας, μόνον ἔγκλημα τὴν εὐσέβειαν ἔχοντες, ἠλλοτριώθησαν, εἰσὶ δὲ οἵτινες καὶ θανάτοις ἀδήλοις τοῦ ζῆν ἀπεστερήθησαν, ὡς ὁ πολὺς περὶ τούτου φέρεται λόγος. Τὸ δέ γε ἄλλο μέρος ὅσον ἐν τέλει καὶ ἐν ἀ-

(*) Ἐν τῇ ᾤᾳ γέγραπται κορεσθεὶς, ὅπερ καὶ ἁρμοδιώτερον.

ξιώμασι, καὶ ὅσον ἐν ἱερεῦσι καὶ μονασταῖς καὶ τῇ ἄλλῃ πληθύϊ, οἱ μὲν, τῇ τοῦ κρατοῦντος ὑπεσπάσθησαν βίᾳ καὶ τῆς ἐκείνου χειρὸς γεγόνασι παρανάλωμα, ἢ φόβῳ ἢ ἀπροσεξίᾳ ἢ φιλαυτίᾳ ἢ δόξης ἔρωτι παραφθαρέντες τὸν νοῦν· οἱ πλεῖστοι δὲ αὐτῶν, ἑκατέροις τοῖς γένεσι, τὴν γνώμην ἀκατάσειστόν τε καὶ ἀῤῥεπῆ περὶ τὴν πίστιν διεσώσαντο.

5. Τότε τοῦ μὲν ἀρχιερατικοῦ τῆς βασιλίδος θρόνου ἀντίθετοι τοῦ ἀληθοῦς ποιμένος ἐν τοῖς διὰ μέσου χρόνοις τρεῖς,
54. Θεόδοτος, Ἀντώνιος, Ἰωάννης, ἐφεξῆς ἀνοσίως ἐκράτησαν, | παντοίως τὴν Ἐκκλησίαν, οἷά τινες λύκοι βαρεῖς, σπαράττοντες καὶ κατεσθίοντες, ἔν τε ταῖς ἄλλαις παροικίαις καὶ πόλεσι τοῦ ὁμοίου φρονήματος ἱερεῖς καὶ καθηγεμόνες ἀλόγιστοι καὶ τοῦ μηδενὸς ἄξιοι ταῖς Ἐκκλησίαις καθειστήκεσαν. Τὸ μέντοι ἐξάγιστον καὶ θεομισὲς δόγμα τῆς ἐκείνων συμμορίας ἀθέσμως καὶ ἐκφρόνως ἀπισχυρισάμενοι, ἐξετράνωσαν, παντοίως εἰκονικὴν ἀναστήλωσιν ἀχρειοῦσθαι, ὡς μηδ' ὁποσοῦν ἐνορᾶσθαι ἢ ὑπάρχειν, τὸ ὅσον ἐπ' αὐτοῖς, τοῦ τε σαρκωθέντος Θεοῦ Λόγου καὶ τῆς πανάγνου Θεομήτορος, τῶν τε θεοειδῶν ἀγγέλων καὶ παντὸς ἁγίων καὶ δικαίων ἱεροῦ τάγματος, τὰς σωματοειδεῖς ἐντυπώσεως παρεγγυώμενον. Καὶ ἦν δεινὸν καὶ λίαν ἀπηχὲς ὑπὸ τοιούτοις ἀσήμοις καὶ βδελυκτοῖς τεθεᾶσθαι τοὺς ἁπανταχόσε σεβασμίους ναοὺς ἀπημφιεσμένους τὸ ἐκ παλαιοῦ κάλλος καὶ τὴν οἰκείαν ἀποβεβλημένους εὐπρέπειαν. Τοίνυν ἡ τηλικαύτη τοῦ κακοῦ ἐπικράτεια οὐκ ἐν ὀλίγῳ καὶ βραχεῖ καιροῦ διαστήματι ἅπαν ὅσον κατήκοον τῷ βασιλείῳ κράτει δυσφορώτατα συνέχεέ τε καὶ διετάραξεν, ἀλλ' ἔτεσι μικρόν τι ἀποδέουσι τῶν τριάκοντα, ἐξ ὧν δέκα πρὸς τοῖς τέταρσιν ἐν τῇ ἐξορίᾳ ἐκπλήσας ὁ θεοφάντωρ πατὴρ Νικηφόρος, τῆς ἐπικήρου ταύτης βιοτῆς τὴν μακραίωνα καὶ ἄληκτον ζωὴν ἀντηλλάξατο· καὶ κατετέθη πρὸς τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Θεοδώρου ἐν τῷ μοναστηρίῳ, ὅπερ ἐκ βάθρων αὐτὸς ἐδεί-

ματό τε καὶ ὑπεστήσατο. Ἐν τούτῳ γὰρ καὶ τὴν ὑπερορίαν καταψηφισθεὶς, ὁσίως καὶ ἱερῶς ἐπήρκεσε βιοτεύων, τῇ μὲν τῶν ἀρετῶν περιουσίᾳ, τὸ τοῦ νοὸς ὀπτικὸν ἱκανῶς καὶ ἀποχρώντως ἐκκαθήρας, ναόν τε ἀκηλίδωτον Θεοῦ καὶ τῶν θείων εἰκότως ἑαυτὸν καταρτίσας, καὶ ἀγγέλοις ἐφάμιλλον ἀποφήνας, | ὁμοῦ δὲ κατὰ ταὐτὸν τό τε μοναχικὸν καὶ ἱερατικὸν 55.
τοῖς οἰκείοις ἐκ παραλλήλου τῶν ἑκατέρων προτερήμασι κατακοσμίσας ἀξίωμα.

ΑΡΧΗ ΤΗΣ ΑΝΑΚΟΜΙΔΗΣ.

6. Ἤδη μὲν οὖν ἐν τοῖς φθάσασιν εἴρηται, ὅπως ὁ τρισμακάριστος οὑτοσὶ Νικηφόρος τοὺς ἐκκλησιαστικοὺς οἴακας, ὡς εἴ τις ἄριστος κυβερνήτης, ἐπιστημόνως πηδαλιουχῶν, τοῦ τε βίου τῷ κάλλει καὶ τῷ τῆς γνώσεως ὕψει, πᾶσαν ἀκοὴν καὶ διάνοιαν σοφῶς ἐνῆγε πρὸς θεοσέβειαν, καὶ τά τε περὶ τὴν πίστιν γαληνιαίως ἐκρατύνετο, καὶ τὰ τῆς πολιτείας ἐξήγετο νομιμώτατα, καὶ ὅπως τούτῳ βασκήνας ὁ τὰ καλὰ λωβᾶσθαι εἰωθὼς φθόνος, μὴ οἷός τε ὢν ἐνορᾶν τὸ Χριστοῦ ποίμνιον ἐπαυξούμενον ταῖς ἐφ' ἑκάστης τῶν βελτίστων ἐπιδόσεσι, κεκίνηκεν ἐπ' ὀλέθρῳ τῆς οἰκείας ψυχῆς τὸν ἀλιτήριον βασιλέα Λέοντα εἰς Θεὸν ἐμπαροινῆσαι τῇ καινοτομίᾳ τῆς πίστεως, καὶ, τὸ ὅσον ἐπ' αὐτῷ, καθυβρίσαι μὲν τὰ ἅγια, βεβηλῶσαι δὲ τὰ θεῖα παρώρμησε· καὶ τέλος ἐξωθῆσαι τοῦ ἀρχιερατικοῦ θρόνου τὸν θεόμιλον τοῦτον ἐξέμηνε καὶ ἐμφρούριον περιωρισμένον καταστήσασθαι, ἔνθα διὰ πράξεως καὶ θεωρίας πρὸς Θεὸν ἀναβάσεις εἰς ἀεὶ διατιθέμενος, μακαρίως αὐτόσε τὴν ζωὴν συνεμετρήσατο. Εὔκαιρον δὲ τὰ νῦν καὶ τὴν τῶν ἀλγεινῶν καὶ σκυθρωπῶν πρὸς τὰ θυμήρη καὶ εὔθυμα μεταγωγὴν, προμηθίᾳ Θεοῦ, τοῦ ἐκτρέποντος εἰς τὸ πρωῒ σκίαν θανάτου καὶ ἐκ σκότους ἐξάγοντος φῶς, συνοπτικώτερον ἀκολούθως διασημᾶναι, τήν τε μετάθεσιν πρὸς τὴν βασιλεύουσαν μεγαλόπολιν

τοῦ ἱεροῦ τούτου σώματος ἐν ὑπομνήματος μέρει σχεδίως καθιστορῆσαι· πρὸς τοῦτο γὰρ καὶ τὴν ὁρμὴν τοῦ λόγου πεποιήμεθα, εἰ καὶ παρεκβατικώτερον τοῖς λεγομένοις ἐνησχολήθημεν τὸ τῆς ὑποθέσεως προσωπεῖον, τὸ δὴ λεγόμενον, ἐν ἐπιτόμῳ προεξυφήναντες.

55. 7. | Ἐπειδὴ γὰρ τὸ βασίλειον κράτος ἐκ Θεοφίλου ἐκείνου τὸν βίον μετηλλαχότος εἰς Θεοδώραν τὴν σύνευνον μετενήνεκται, ἅμα τῷ τούτων υἱῷ Μιχαὴλ, κομιδῇ νέῳ ὄντι, σπουδαίαν καὶ νεανικὴν φροντίδα τίθεται ἡ ὡς ἀληθῶς ἐκ Θεοῦ φερωνύμως τῷ ὑπηκόῳ δεδωρημένη πρὸ τῶν ἄλλων ἁπάντων ἀριστευμάτων καὶ μεγαλοψύχων φιλοτιμήσεων, ἐξ ὧν βασιλεῖς εὐδοκιμεῖν πεφύκασι, μὴ ἂν ἄλλως ἀσφαλῆ τὴν ἀρχὴν ἑαυτῇ καταστήσασθαι καὶ ἀνδρίαν ἐν θηλείας προσχήματι ἐπιδείξεσθαι γενναιότητα, εἰ μὴ Θεὸν ἵλεω διὰ τῆς περὶ τὸ εὐσεβὲς ἐμμελείας ἑαυτῇ καταστήσαιτο. Τοῦτο δὲ μὴ ἂν ἑτέρως ῥᾷον καὶ εὐπρεπὲς πρόσεστι, μὴ τοῦ χρονίως ἐπηρτημένου τῇ Ἐκκλησίᾳ ταράχου κατευνασθέντος, τό τε πρὸ τούτου ἐνσκῆψαν ἀῤῥώστημα πρὸς τὸ ἀρτιάζον καὶ ὑγιὲς πάλιν ἐπαναχθείη, κἀντεῦθεν οἱ ταῖς γνώμαις διεσχισμένοι ἀναμφηρίστως συναφθεῖεν πρὸς ἑαυτοὺς ἀμετάκλητα. Οὕτω γὰρ, πάντων συμβαινόντων εἰς ὁμόνοιαν, ἡ μὲν εἰλικρινὴς καὶ ἀμώμητος πίστις βεβαία καὶ ἀστασίαστος διασώζοιτο, τῇ τῶν ἀποστολικῶν καὶ πατρικῶν δογμάτων ὀρθοτομίᾳ ὡς ἐν κρηπῖδι κρατίστως ἐρηρεισμένη, τὰ δὲ τῆς ἐξουσίας αὐτῇ εὔμαρῆ καὶ ἀνεκτὰ εἰς τὸ ἑξῆς ὑπὸ Θεοῦ κρατυνθείησαν.

8. Ταῦτα τοιγαροῦν περιεσκεμμένη ἀγχινοίᾳ σκοπήσασα, καὶ λελογισμένῃ συνέσει τοῖς ἐν τέλει καὶ μεγιστᾶσιν ἑαυτῆς κοινωσαμένη ἡ ὑψίνους τῳόντι καὶ ῥωμαλέα ταῖς φρεσὶν ἐκείνη βασιλὶς, μεταστέλλεται σὺν αὐτοῖς τοὺς προὔχοντας ἐν μονάζουσι, πρὸς οὓς τὴν περὶ ἀναστηλώσεως τῶν εἰκόνων προετείνατο ζήτησιν. Ἐπεὶ δὲ κοινῇ πάντας συμφρονοῦντας εὕρε-

το, καὶ ἄγαν ἐκ πολλοῦ ποτνιωμένους καὶ τὴν ψυχὴν ἀνιωμένους τῆς περὶ τὴν πίστιν καινοτομίας ἕνεκεν, ἐπεζήτησε καὶ διὰ | χρήσεων πατρικῶν βεβαιωθῆναι πρὸς τὴν ἀλήθειαν, 56.
ἅς τινας ἐν βίβλοις διαφόροις ὑποδειχθείσας αὐτῇ. Προστέταχεν ἔν τινι τῶν ἀνακτορικῶν ἀφωρισμένῳ οἴκῳ, ἅπαν τὸ ἐκκλησιαστικὸν ἀθροίζεσθαι σύστημα, καὶ τὸν περὶ τούτου λόγον τρανέστατα διαγγέλλειν τοῖς τοῦ λαοῦ πλήθεσι. Καὶ δὴ ἀριθμοῦ κρεῖττον κατὰ τ' αὐτὸς συνέῤῥεον, οὐ μόνον οἱ τὴν γνώμην ὑγιᾶ κἀν τοῖς τῆς ἀσεβείας καιροῖς διασωσάμενοι, ἀλλὰ καὶ πλεῖστοι ὅσοι τοῖς ἐναντίοις συνέβησαν, ἢ καὶ ἱερουργεῖν καὶ Ἐκκλησιῶν ἄρχειν ὑπ' αὐτῶν καθειστήκεσαν, οἵτινες ἐξαπίνης τὴν δόξαν μεταποιούμενοι, τοὺς κατὰ τῶν εἰκόνων λελυττηκότας ἀναθέμασι καθυπέβαλλον· ὡς τῇ ἀθρόᾳ καὶ ἀδοκήτῳ τῶν πραγμάτων ταχίστῃ μεταλλαγῇ, παραπληξίᾳ καὶ σκοτώσει λογισμῶν ληφθέντα τὸν τηνικάδε δυσσεβῶς τῆς ἀρχιερωσύνης ἐπειλημμένον Ἰωάννην, αὐτοχειρίᾳ χρησάμενον, βιαίως μικροῦ δεῖν ἀποῤῥῆξαι τὸ ζῆν. Οὗτος γὰρ ὑπῆρξεν ἥ τε κεφαλὴ καὶ τὸ οὐραῖον τῆς κακίας, παρευδοκιμῶν δῆθεν καὶ παραδυναστεύων τοῖς κρατοῦσιν ἐν τοῖς πρὸ τούτου χρόνοις, ψευδολογίαις καὶ κεναῖς ἀπάταις ἄγων καὶ φέρων ἀνουστάτως καὶ ἀλογίστως πρὸς τὸ τῆς ἑτεροδοξίας βάραθρον· οὗτινος εἰς ἀντέκτισιν, ὧν ἐξείργαστο πρὸς θεὸν παραβάσεων, εξελαθέντος τοῦ θρόνου καὶ ἀτίμως ἐκβεβλημένου μιᾷ γνώμῃ καὶ ψήφῳ τῶν τε θειοτάτων βασιλέων καὶ τοῦ ἐκκλησιαστικοῦ παντὸς συλλόγου· ἀλλὰ μὴν καὶ τῶν ἐν τέλει προθύμως συντεθειμένων ἐγχειρίζεται τὸν πατριαρχικὸν τῆς βασιλίδος τῶν πόλεων θρόνον Μεθόδιος, ἀνὴρ βίῳ καὶ λόγῳ εἰς ἄγαν ἐξησκημένος, πλείους ὅσους ἀγῶνας ὑπὲρ τοῦ ὀρθοῦ ἀπενεγκάμενος δόγματος, ὡς καὶ φυγαδείαν στείλασθαι μακρὰν, | κἀκεῖθεν παλινο- 56.
στήσαντος, πληγαῖς καὶ φρουραῖς ἐπὶ πολὺ κατατρυχόμενον ἐπαρκέσαι.

9. Τότε ἡ μὲν ἐν Νικαίᾳ τὸ δεύτερον θεόλεκτος ἁγία καὶ οἰκουμενικὴ Σύνοδος ἡ ὑπὸ τῆς φερωνύμου πανευσεβοῦς βασιλίδος Εἰρήνης καὶ Ταρασίου τοῦ μεγίστου καὶ παμμάκαρος πατριάρχου ἐπιπνοίᾳ θείᾳ κροτηθεῖσα, ἑδραῖον τὸ κράτος ἀπείληφε, καὶ τὸ κῦρος αἰσίως κεκλήρωτο, πάντων εὐθυμούντων καὶ φιλοφρόνως θεσπιζόντων ἐπὶ τῷ θεοπνεύστως ἐκφωνηθέντι ὑπ' αὐτῆς ὅρῳ· αἱ δὲ πανταχῇ Ἐκκλησίαι τὴν οἰκείαν αὖθις εὐπρέπειαν ἤραντο, καὶ τῷ τῶν σεπτῶν εἰκόνων κάλλει περιφανῶς σεμνυνόμεναι διαδείκνυνται, ἱερεῖς τε καὶ καθηγεμόνες ἐν αὐταῖς, οἱ τοῦ ὀρθοῦ δόγματος σπουδασταὶ κατεστάθησαν, τῶν ἐναγῶς ταύτας διεπόντων ἐξεληλαμένων. Χρόνου τοιγαροῦν ἐκ τούτου τετραετοῦς παροιχομένου, θείῳ κινηθεὶς ὡς ἀληθῶς πνεύματι ὁ πανίερος Μεθόδιος, δεόντως ἀνεκοινώσατο καὶ θεοσόφως παρηγγυήσατο τῇ θεοστεφεῖ βασιλίδι Θεοδώρᾳ· ὡς οὐ προσῆκον τῷ κράτει καὶ τῇ πολιτείᾳ, ἀλλὰ καὶ λίαν ἀκατάλληλον καὶ ἀπαίσιον, τὸν αἰδέσιμόν τε καὶ περίοπτον ἐν πατριάρχαις Νικηφόρον, ὑπὲρ τῆς πανευκλεοῦς καὶ ἀμωμήτου πίστεως τοῦ θρόνου τῆς ἱεραρχίας ἀπεωσμένον καὶ ἐν μηκίστῃ ἐξορίᾳ τὴν ζωὴν συμπεράναντα, εἰ μὴ τὸ τούτου θεοφόρον σῶμα τῆς πόλεως ἔνδον μεταγαγέσθαι σπουδάσαιμεν· ὅπως μὴ τοσοῦτον περὶ αὐτὸν ἀγνωμονοῦντες φαινοίμεθα, ὡς καὶ μετὰ θάνατον οἱονεὶ τῇ αὐτῇ καταδίκῃ τῆς ἐξορίας ἀπολιμπάνειν ἀγέραστον, καίτοι γε σαφέστατα πεπυσμένοι ἐν εὐλογίας μέρει ἐσχηκέναι τοὺς ἐκ γένους Ἰωσήφ, τὸ μετὰ χρόνους σχεδὸν τετρακοσίους τὰ τοῦ πατρὸς ὀστᾶ ἐξ Αἰγύπτου ἀπαίροντας μετενεγκεῖν πρὸς τὴν Χανανίτιδα.

57. 10. Μὴ οὖν τὰ τῆς | εὐσεβείας τέκνα, οὓς ἐκεῖνος θείαις ἐτιθηνίσατο διδαχαῖς, ἐπὶ πολὺ ἀνεξαίμεθα βλέπειν, ἀπολοφυρομένους τὴν τοῦ πατρὸς ἀποστέρησιν, μήτε μὴν ἡ τῆς ὑφηλίῳ προφερεστάτη περιδέξιος καὶ βασίλειος πόλις κορυφαῖον καὶ πανηγεμόνα τοιόνδε γνωρίσασα, τοῦ τιμίου ἐκείνου λει-

ψάνου ἄμοιρος διατελοίη· παρέσται γὰρ ταύτης ἐπιεικῶς εἰς ἀσφαλῆ φυλακὴν καὶ συντήρησιν. Ἀπολαβέτω πάλιν ἡ φίλανδρος Ἐκκλησία τὸν οἰκεῖον νυμφίον, καὶ οὗ ζῶντος ἀπεστέρηται τυραννικῇ βασιλέως παρανομωτάτου χειρί, τούτου τύχοι μετὰ πότμον τῆς μετακομιστικῆς τοῦ σώματος συναφείας νεύσει θεοπειθεῖ φιλοποίμενος βασιλίδος. Ὁρᾷς γὰρ ὡς ὁ λαὸς οὗτος οἱ διὰ σοῦ τὰ πρὸς Θεὸν σύμψυχοι τὸ ἓν φρονοῦντες τῆς τούτου ἐπαΐειν φωνῆς, τῷ πνεύματι καὶ μετὰ θάνατον περιπαθῶς προτεθύμηνται· καὶ εἰ μόνον τὸ τούτου σκῆνος πρὸς ἑαυτοὺς ἐπανῆκον ἴδοιεν, αὐτὸν ἐκεῖνον ἔμπνουν ἀπολήψεσθαι δόξαιεν, καὶ ὥσπερ τι θησαύρισμα ἄσυλον καὶ πολύευκτον πλοῦτον ἐνῳκισμένον κατάσχοιεν. Τούτοις τοῖς ὑποθετικοῖς τε καὶ παρορμητικοῖς ἑτοίμως πειθαρχήσασα λόγοις ἡ θεόκλητος ἄνασσα ἀσμενέστατα θᾶττον ἐπένευσε· δῆλον γὰρ ἔφησεν, ὡς ἔσται τοῦτό γε ταῖς τε δεῦρο καὶ ταῖς μετέπειτα γενεαῖς ᾀδόμενον εἰς εὐκληρίαν μεγίστην ἐμοῦ τε αὐτῆς καὶ τῶν τέκνων.

11. Τότε ἀπάρας ὁ ἱεράρχης τῆς πόλεως σὺν ἱερεῦσι καὶ μονασταῖς καὶ πλήθει ναοῦ καταλαμβάνει τὸ τοῦ ἁγίου Θεοδώρου σεμνεῖον, ἐν ᾧ τὸ πλῆρες χάριτος κατέκειτο λείψανον, ὅπερ, σχετικῶς πρὸς τῇ σορῷ, σὺν δάκρυσι περιπτυξάμενος, ὡς ἐμψύχῳ τοιάδε λέγειν προΐετο. « Τοῖς ὁμοίοις, ὦ μακαριώτατε, πειρατηρίοις τῷ ἁγίῳ κεκοινωνηκὼς Χρυσοστόμῳ Ἰωάννῃ, ὡς ἐφ' ὁμοίῳ ζήλῳ σὺν ἐκείνῳ παῤῥησιασάμενος, | καὶ τὴν 57.
αὐτὴν αὐτῷ ὑποστὰς τοῦ τε θρόνου ἀφαίρεσιν καὶ τὴν ἐπ' ἀλλοδαπῆς, τελείωσιν, ἔτι μὴν καὶ τοὺς τοσούτους καὶ ἴσους τριάκοντα καὶ τρεῖς χρόνους ζῶν καὶ τετελευτηκὼς ἐξεωσμένος διαπεράνας, ἐπιδίδου τανῦν ἡμῖν σεαυτὸν ἀσπασίως ποθοῦσί σε, καὶ τῶν ἐνθένδε μεταναστεύων, πρὸς τὰ οἰκεῖα μετάβηθι, ὅπως καὶ σὲ ὁ φιλοπάτωρ λαὸς, ὡς ἐκεῖνον οἱ τότε, μετακομιούμενον περιχαρῶς ὑποδέξοιντο· πρώην ἠλλοτριωμένος

Θεοῦ βασιλεὺς ἀντικατέστη σοι ζῶντι καὶ τῆς Ἐκκλησίας ἀπερισκέπτως ἐκβέβληκεν, ὃς καὶ δίκην ἀξίαν τῆς παροινίας ἐκτέτικεν, ἀντεκβληθεὶς δυστήνῳ τέλει τῆς ἀρχῆς καὶ τοῦ ζῆν καὶ τῆς αὐθαδίας ἐοικότα κεκόμισται τὰ ἐπίχειρα. Σήμερον βασιλεῖς ᾠκειωμένοι Θεῷ δι' εὐσεβείας τρόπων καὶ τεθνεῶτί σοι τὴν Ἐκκλησίαν διδόασιν, οἳ καὶ οἱονεὶ διὰ τοῦ Εὐαγγελίου υἱοποιηθέντες σοι, ταύτην σὺν ἐμοὶ παριστῶσι, μὴ ἔχουσαν σπῖλον, ἢ ῥυτίδα, ὁποίαν ταῖς σαῖς ὑποστηρίξεσι κατηρτισμένην ἀπέλιπες. Ἀνάβλεψον καὶ ἴδε συνοιθρισμένα τὰ τέκνα σου· πᾶσι γὰρ ἐγγύθεν, ἄλλων ποῤῥωτέρω προσμενόντων τὴν σὴν πρὸς αὐτοὺς ἐπανάζευξιν, οὓς μὴ ἀπωρφανισμένους ἐάσῃς ἐπιεικῶς ὀδυνωμένους τῷ ἄλγει τῆς σῆς ἀπολείψεως. Ἐχέτω ἡ πόλις σου ἀντ' ἄλλου τινὸς πολυτελοῦς ἀναθήματος τὸ πανόλβιον σκῆνός σου, μεγαλαυχοῦσα ἐπ' αὐτῷ καὶ ἄγαν εὐπρεπῶς γεγανυμένη καὶ πλέον τῆς βασιλικῆς μεγαλειότητος ἐπὶ τούτῳ βρενθυομένη».

12. Τοιαῦτα γοερῶς καθικετεύσας ὁ ἱερώτατος πατριάρχης Μεθόδιος, τήν τε πάννυχον ψαλμῳδίαν καὶ μυστικὴν ἱερουργίαν σὺν τῷ πιστῷ ἀπαρτίσας λαῷ, ἀπογυμνοῖ τῆς σοροῦ τὸ πανεύσημον σῶμα, ὁλόκληρον δι' ὅλου καὶ ἀκραιφνὲς ἐν ὅλοις ἔτεσιν ἐννεακαίδεκα συντηρηθέν· ὅπερ, ἐν γλωσσοκόμῳ ὑπ' αὐ-
58. τοῦ μετατεθέν, | χερσὶν ἱερέων φερόμενον μετὰ φώτων καὶ πυκνῆς ψαλμῳδίας εἰς τὸν πρὸς τοῦτον εὐπρεπισμένον εἰσενήνεκται δρόμονα. Ἡνίκα μέντοι τὸν πορθμὸν διεπεραίου καὶ πρὸς τὴν τοῦ ἄστεως παράλιον ἤγγιζεν, ὅ τε θεοφρούρητος βασιλεὺς Μιχαὴλ ὁ νεὸς καὶ οἱ ἐν μεγίστοις ὑπερέχοντες ἀξιώμασι, πατρίκιοί τε καὶ λοιποί, γεγηθότες ὑπηντίαζον, λαμπάδας χερσὶ κατέχοντες, καὶ δι' ἑαυτῶν ἐπωμάδιον φέροντες, μετὰ πίστεως καὶ σεβάσματος τὸ τίμιον ἐκεῖνο γλωσσόκομεν ἐν τῇ μεγάλῃ τέως ἀπέθεντο Ἐκκλησίᾳ, ἀφ' ἧς καὶ ἐξελήλαται τῆς ἀρχιερατείας στερισκόμενος. Αὖθις δὲ κἀκεῖσε ταῖς

ὁμοίαις ἐκτενέσι διανυκτερεύσεσι καὶ ἀλήκτοις ἐκ διαδοχῆς ὑμνῳδίαις χρησάμενοι, μετὰ παμφαοῦς λαμπαδοχίας ἐν τῷ ναῷ τῶν πανευφήμων Ἀποστόλων κεκόμιστο διὰ μέσης τῆς πόλεως. Τὸ μέντοι συνδραμὸν τοῦ λαοῦ ἄπειρον πλῆθος ἐν ἀνδράσι καὶ γυναιξὶ καὶ ἡλικίᾳ πάσα, μέτρῳ ἢ ἀριθμῷ περιβαλεῖν οὐκ ἔνεστιν· ἐν ἀμφόδοις γὰρ καὶ στοαῖς τῇ βίᾳ στενοχωρούμενοι, πανδημεὶ τὴν ἐξόδιον προπομπὴν βιαίως ἐξήνυον, ὡς μὴ ἐξικνεῖσθαι τὴν τοιάνδε θαυμασίαν προκομιδὴν ἑτέρᾳ τινὶ τῶν πρὸ τούτου παρεξισοῦσθαι, πολλῶν, ὡς εἰκὸς, ἐν διαφόροις χρόνοις ὅτι μάλιστα ἐπί τε βασιλεῦσι καὶ ἱερεῦσι γεγενημένων. Ἀλλὰ μὴν καὶ ἐν τῇ ὁδῷ οὐκ ὀλίγιστοι πνεύμασιν ἀκαθάρτοις ἐνεσχημένοι ἀθρόως ἐπῆλθον ὑπ' αὐτῶν ὠθούμενοι, οἰκτρας καὶ βλασφήμος ἀφιέντες φωνὰς, ἐξ ὧν καί τινες τῆς παρ ἐκείνου ἰάσεως ἔτυχον.

13. Μόλις γοῦν τὸν τοῦ λαοῦ ὠθισμὸν διαφυγὸν τὸ σῶμα ἐν τῷ τῶν Ἀποστόλων ἐπωνύμῳ σηκῷ τοῦ ἱεροτελεστοῦ τὴν πρόσφορον τῷ Θεῷ μυσταγωγίαν ἐκπλήσαντος, ταῖς τούτου χερσὶν ἐν τῇ νεωστὶ δομηθείσῃ αὐτῷ ἀποτέθειται σορῷ κατὰ τὴν τρισκαιδεκάτην | τοῦ Μαρτίου μηνὸς, ἐν ᾗ καὶ 58.*
πρὸς τὴν ἐξορίαν ἀπεωσθεὶς ἐξῴχετο, ὡς ὁμοῦ καὶ τῇ αὐτῇ ἡμέρᾳ τὰ ἑκάτερα δεξιῶς ἐπ' αὐτῷ συγκυρῆσαι. Ἡμεῖς δὲ, ὦ πατέρων ἀξιάγαστε πάτερ, καὶ ἀνδρῶν ἱεροκηρύκων πανυπέρτατον χρῆμα, οἱ ἔχειν σε κατηξιωμένοι ἐπίγειον οἰκιστὴν καὶ οὐράνιον εἰς Θεὸν πρεσβευτὴν, τῇ σῇ μετὰ πόθου προσίεμεν θήκῃ, καὶ ταύτην σεβασμίως περιπτυσσόμενοι, ταύτας ἀφίεμεν πρὸς σὲ τὰς φωνάς. Ὦ μυσταγωγὲ καὶ θεωρὲ τῶν ἐν ὑψίστοις θεοτελῶν καὶ ἀπορρήτων μυήσεων, ὁ τῆς θείας καὶ φωταυγοῦς ἐποπτίας διὰ καθαρότητα νοῦ πλουσίως τῇ δόξῃ περιλαμπόμενος, ὁ πατριαρχῶν συσκηνίας καὶ μυστιπόλων ἱερῶν τάξεώς τε καὶ στάσεως, ἐν μεθέξει τυγχάνων, ὡς φερωνύμως σὺν ἐκείνοις τὰ νικητήρια φέρων καὶ τὰ γέρα κατὰ τῶν ἐ-

πανάστάντων σοι πειρασμῶν καὶ κινδύνων, δέχοιο εὐμενῶς τὴν
πάντων ἡμῶν ἐκ καρδίας εἰλικρινοῦς πρὸς σὲ πίστιν καὶ ἀ-
πλανῆ πεποίθησιν, ἀντιδιδοὺς ἑτοιμότατα τὴν καθαρὰν σου καὶ
ἁγνὴν ἱκέσιον δέησιν, δι' ἧς τήν τε ἁγίαν Ἐκκλησίαν εἰρηναίως
βραβεύεσθαι, καὶ τὴν πίστιν ἀκλονήτως περιφρουρεῖσθαι ἐσαεὶ
τὸ θεῖον ἱλάσκοιο. Ἀλλά γε καὶ ἡμᾶς τοὺς ὅσοι τὰς σὰς κα-
τέχομεν ἡδυγόρους ἱερολογίας καὶ καλλιεπεῖς πρὸς σωτηρίαν
εἰσηγήσεις, ἐν διαφόροις βίβλοις ὑπὸ σοῦ συνταγείσαις, ἀμετα-
θέτως ἡδραιωμένους τῇ τῶν δογμάτων ὀρθοτομίᾳ διασώζοις,
ἐν καιροῖς τρεπτοῖς, ὃ δὴ λέγεται, ἀτρέπτους μένοντας, καὶ
τὸν ἅπαντα βίον ἡμῖν πρὸς τὸ λυσιτελὲς εἰς τὸ ἑξῆς διαπε-
ραίνοις, ὡς ἂν, πειθηνίως ἑπόμενοί σοι, εὐάρεστοι θεῷ γενοίμε-
θα καὶ τῶν τοῖς δικαίοις ἐπηγγελμένων τευξοίμεθα ἀγαθῶν·
οἰκτιρμοῖς καὶ χάριτι τοῦ δι' ἡμᾶς ἀνθρωπισθέντος, καὶ περι-
59. γραφῆς εἴδει κατὰ σάρκα ὀφθῆναι μὴ ἀπαξιώσαντος | Χριστοῦ
τοῦ Θεοῦ ἡμῶν. Ὅτι αὐτῷ πρέπει προσκύνησις καὶ δόξα, ἅμα
τῷ προανάρχῳ Πατρὶ καὶ τῷ ὁμοουσίῳ καὶ ζωαρχικῷ θείῳ Πνεύ-
ματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΚΑΙ ΜΕΡΙΚΗ ΘΑΥΜΑΤΩΝ ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΔΕΚΑΠΟΛΙΤΟΥ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ. (*)

1. Ἅπαν μὲν τῶν πάντων οὐδὲν οὕτω πέφυκε πρὸς ἀρετῆς ἀνάληψίν τε καὶ μίμησιν ἐπαγωγὸν καὶ ἐπίφορον, ὡς τοῖς ἀγαθῷ συνειδότι καὶ μελέτῃ τὸν βίον ἑαυτῶν προκαθάρασιν ἀτενῶς προσανέχειν, καὶ οἷον πρὸς ἔσοπτρα διειδέστατα τὸν νοῦν ἀπενθύνειν καὶ τὸ ἐν ἐκείνοις καλὸν ὡς οἰκεῖον ἐρωτικῶς ἀπομάττεσθαι. Τοιοῦτον δὲ ἔσοπτρον ἀκηλίδωτον ὁ τληπαθέστατος ὑπῆρξεν Ἰώβ· τοὺς γὰρ ἐπεισρεύσαντας παρὰ τοῦ ἐξαιτήσαντος καὶ παίσαντος ἕλκει πονήρῳ πειρασμούς, ὡς πολυτιμήτους προσθεὶς θησαυρούς, ἄλλον ἄλλο τι τῶν τῆς ἀρετῆς καθαρῶν ἐμφάσεων ἐρανίζεσθαι προὔτρεπεν, τῷ μέν, τὴν τῶν ὑπόντων ἀποβολήν, τῶν δέ, τὴν θείαν ὑπομονήν, τῷ δέ, τὴν ἐκ ταύτης δοκιμήν, τῷ δέ, τὴν τῆς φύσεως ἐξαπιναίως τῷ ᾅδῃ παραπομπήν, τῷ δέ, τὴν ἐκ τούτων πάντων πρὸς Θεὸν χαριστήριον ἀφορμήν. Τοιοῦτον καὶ τῶν ὀπισθίων Θεοῦ θεωρὸς Μωϋσῆς (**), τῇ τῆς πραότητος θεομιμησίᾳ σκεῦος ἑαυτὸν τῷ Θεῷ παρέστησεν, ὃς καὶ πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ Θεοῦ γενέσθαι ἠξιώθη Μωϋσῆς ἐκεῖνος, ὁ ἀστεῖος Θεῷ, ὁ δακτύλῳ θείῳ τὸν νόμον γραφέντα ἐναγκαλισάμενος, καὶ τὸν Ἰσραὴλ παιδαγωγήσας καὶ | τροποφορήσας, ἔτι λοιπὸν μὴ νηπιάζοντα. Τοι- 269.
οῦτον καὶ ὁ ἐν προφήταις καὶ βασιλεῦσι περιώνυμος Δαυῒδ

(*) Μαρκ. κῶδιξ CCCLXIII, φ. 268*. αἰῶν. XI. Zan. (**) Ἐξ. ΛΒ'. 23.

εἰλικρινέστατον τὸν καθ' ἑαυτὸν βίον ὑπέφηνεν ἄγαλμα, ἐκ πολυχρόνου δαψιλείας τῆς τῶν πειρασμῶν νιφάδος, θεοειδέστατον κάλλος ἠκριβωκώς, καὶ ὡραιότητι τῆς τούτων περιουσίας ὁσημέραι καλλυνόμενος, ὃς καὶ τῆς καρδίας Θεοῦ εἰκόνα ἑαυτὸν σκιαγραφήσας, πρόκειται πᾶσιν ἀνθρώποις στήλη βιωφελὴς καὶ σωτήριος· ἔφη γὰρ Θεός· εὗρον Δαυῒδ τὸν τοῦ Ἰεσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου (*). Τοιοῦτος καὶ ὁ τῶν προφητῶν ἐπίλοιπος μελισσών, τῷ θείῳ πνεύματι καταυλούμενος (**) καὶ τῷ λειμῶνι τῆς προφητικῆς ἀρδείας ἐλλιμναζόμενος, καὶ τὰ τίμια τῶν εἰς ἀρετὴν φερόντων ἀνθέων συλαγωγῶν, καὶ ὑπὲρ κηρίον καὶ μέλι γλυκάζον ἑτοιμαζόμενος τράπεζαν, ἐν ᾗ τοὺς τὴν δικαιοσύνην πεινῶντας ἀεὶ δεξιούμενος, τρυφῆς ἁπάσης ἐμφορεῖ δαψιλέστερον. Τοιοῦτος καὶ ὁ τῶν τῆς χάριτος μαθητῶν γενόμενος θίασος λόγῳ θείῳ τρεφόμενος καὶ τῇ αὐτόπτῳ θέᾳ τῶν ἐπουρανίων θησαυρῶν ἐπαντλῶν τὰ θεόβλυτα νάματα καὶ πᾶσι πάντα γίνεται, ἵνα πάντας εἰς τὴν ὁμοίαν τοῦ κέρδους συνεισφορὰν ἐκκαλέσαιτο· τίς γὰρ πρὸς τὴν ἀποστολικὴν ἀτενίζων ἀκρότητα οὐχὶ πρὸς ἀρετῶν ἀνάγεται τὴν θεοειδεστάτην ἀκρώρειαν; Τοιοῦτος καὶ ὁ τῆς ἀσκητικῆς παλαίστρας ἀγγελοφανέστατος ὅμιλος, πᾶσαν τὴν
269. τοῦ κόσμου διαπτύσας προσπάθειαν, καὶ | ὅλην πρὸς οὐρανὸν μεταθεὶς τὴν διάνοιαν, καὶ θέατρον ἐπὶ γῆς τὸν ἑαυτοῦ βίον στηλώσας ἀνέθηκεν· ἐν ᾧ πᾶς τις ὠφελείας ἰδέαν συνεγηγερκώς, τῆς ὑπερθέου Τριάδος ἑαυτὸν οἰκητήριον δείκνυσιν. Ταύτης δὲ τῆς ἀσκητικῆς, εἰπεῖν δὲ μᾶλλον ἀγγελικῆς, ἀγέλης τε καὶ μάνδρας καὶ συναυλίας, καὶ ὁ ἡμέτερος ἔφυ (***) Γρηγόριος, τῇ τῶν ἀρετῶν καρυκείᾳ τὰ τῆς καρδίας ἁπάντων ἑστιῶν αἰσθητήρια· ὃς οὐ ταῖς βιωτικαῖς ἐπινυστάξας ἡδοναῖς, οὐδὲ τοῖς βλεφάροις δεξάμενος ὕπνον, θανάτου γείτονα, ἐπηγρύπνησε τῷ

(*) Πράξ. ΙΓ'. 22. (**) Χ. καταυλόμενος. (***) Χ. ἔφοι.

τῆς ἀκοιμήτου ψυχῆς ἁγιάσματι, καὶ εὗρε τόπον σκηνώματος δόξης τῷ Θεῷ Ἰακώβ (*)· ἀποδυσάμενος μὲν κατὰ τοῦ πτερνίσαντος τοὺς προπάτορας ὄφεως, κονισάμενος δὲ κατ' αὐτοῦ, καὶ τοῦτον ἡττήσας ὅση δύναμις. Ἀλλ' ἐπεὶ καλόν ἐστι εἰδέναι, τίς τε ὢν καὶ πόθεν ἐπὶ τοσοῦτον πολιτείας ὕψος ἀνέδραμεν, μὴ ὀκνητέον λέγειν.

2. Τοῦτον ἤνεγκε μὲν μία τῶν τῆς Δεκαπόλεως τῶν πρὸς τῇ Ἰσαυρίᾳ πόλις, ᾗ ὄνομα Εἰρηνόπολις (ἔδει γὰρ τὸν πρὸς ἀοράτους ἐχθροὺς ἀνηρῆσθαι πόλεμον μέλλοντα, ἐξ εἰρηναίας ἐνεγκαμένης ἐπανατεῖλαι καὶ γενέσθαι πᾶσιν εἰρήνης ἀστασίαστον ἔρεισμα)· γεννήτορες δὲ ἤστην αὐτῷ Σέργιος καὶ Μαρία· ὧν ὁ μὲν πατὴρ περὶ τὴν σαρκίνην ἐπτόητο ματαιότητα μικρὰ περὶ τῶν σωτηρίων φροντίζων συναλλαγμάτων, ἡ δὲ μήτηρ ἐπ' εὐσεβείᾳ τρόπων ἑαυτὴν καθοπλίσασα, εὐκαρπίας στέλεχον διεδένδρωσεν. | Καὶ δὴ ὀκταέτη γενόμενον, 270.
εἰς γραμματεῖς τοῦ φοιτᾶν ἐδικαίωσεν. Πλήρης δὲ τῶν πρώτων στοιχείων καὶ τῶν εἰς τελειοτέρων ἐπιβαλόντων μάθησιν γεγονώς, ἀρκεῖσθαι τούτοις πρὸς ὁδηγίαν τῶν κρειττόνων ἑαυτὸν ὡς μάλιστα ἔπειθεν· τοῖς δὲ σεπτοῖς ναοῖς ἑαυτὸν ἐπιδοὺς ἐκεῖθεν τὰ σωτηριώδη πρὸς ἀνάβασιν ἀρετῆς ἐκλεγόμενος, οὐδεμίαν πρόνοιαν τῶν τῆς σαρκὸς ἀφορμῶν ἐποιεῖτο, οὐδὲ τῷ κόρῳ καὶ τῇ γαστρὶ χαριζόμενος, τραπεζητίας καὶ λαίμαργος διεφαίνετο· ὑπὸ δὲ τῶν γεννητόρων ὡς ἑστιατόρων καλούμενος, καὶ τροφῆς λιτῆς μεταλαμβάνων, αὖθις ἐπὶ τὸ θεῖον τέμενος ὑπαπιών, τὴν τῶν δαυϊτικῶν μελῳδημάτων ἀνέκρουε φόρμιγγα. Τοῦτο γὰρ ἦν ἔργον αὐτῷ καὶ ἀγωνίσματα, τὸ, τοῖς θείοις συνεῖναι, καὶ πρὸς ἀρετὴν παραθήγειν· Καὶ ἐπεὶ τὸ ποθούμενον ἤνυστο, καὶ καταμόνας αὐτῷ τῷ Θεῷ προσομιλεῖν ἐξεγένετο, εὐμελείᾳ τὴν εὐφυΐαν κεράσας καὶ συμπλέξας ὡς

(*) Ψαλμ. ΡΛΑ'. 5.

ἄριστα, οὕτω ταῖς διὰ χειρῶν ἐργασίαις εἰς ἕξιν ποικίλης τέχνης ἐγένετο, ὡς μόνος ἑαυτῷ τε καὶ τοῖς γονεῦσιν ἐπαρκεῖν, καὶ μνημονεύειν τῶν δεομένων ὅση δύναμις. Ἔνδυμα δὲ ἦν αὐτῷ οὐκ ἐκ νημάτων σηρικῶν, οὐδ᾽ ὅσα πρὸς ποικιλίαν ὑφάνταις φίλον περιεργάζεσθαι, καίπερ τούτοις τῶν γονέων σπευδόντων τὸν υἱὸν ἐναβρύνεσθαι· ὁ δὲ ὅσον εἰς εὐτέλειαν ἔβλεπε, καὶ τραχύτητι τὴν σάρκα κατέβαλλεν. Ἤδει γὰρ καλῶς
270. | τὸ Κυριακὸν ἐκεῖνο λόγιον· ὡς οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν [*].

3. Ἤδη δὲ τῆς ἥβης ἐπανθούσης, καὶ ἰούλοις ἔτι τὰς γνάθους ἐπισκιαζούσης, συμπλοκῇ γάμου τοῦτον οἱ γεννήτορες ἐπιζεῦξαι κατέπειγον· οἳ, καὶ τὰ τῆς μνηστείας ὑπὸ μάρτυσι πιστοῖς ἀνατάξασθαι συμβόλαια μέλλοντες, τοῦτον εἰς συλλογὴν τῶν τοῦ γάμου ἀφορμῶν σὺν δυσὶν οἰκέταις παρέπεμπον. Συνοδοιπόροις δὲ τούτοις πρὸς ὀλίγον χρησάμενος, θείῳ κέντρῳ τῷ τῆς ἁγνείας νυττόμενος, καὶ τὸν ἐπ᾽ ὀμφαλοῦ γαστρὸς ἐπιτιθέμενον ἀπονεκρώσας γαργαλισμὸν, καὶ ἤδη τὸν τοῦ Κυρίου φόβον ἐγκυμονήσας καὶ τεκὼν πνεῦμα σωτήριον, τοὺς μὲν οἰκέτας λαθὼν, καὶ δι᾽ ἄλλης ὁδοῦ τὸ ποθούμενον ἀνύειν κατέσπευδε. Πρός δέ τινα ποιμένα λογικῆς ποίμνης τῶν ἐν τῇ εἰρημένῃ Δεκαπόλει τελούντων, ἄρτι τῆς ἐπισκοπῆς ἀφέμενον καὶ μᾶλλον ἐν ὄρεσι διαιτώμενον διὰ τὴν τῆς ἐπισκοτούσης αἱρέσεως κακόβουλον καὶ φθοροποιὸν ἐπισύστασιν (καὶ γὰρ τὸ τῶν εἰκονομάχων μᾶλλον δὲ χριστομάχων ἐπεφύετο φρόνημα)· πρὸς τοῦτον ἤδη γενόμενος, τὰ καθ᾽ ἑαυτὸν ἀνακοινοῦσθαι καλὸν ἡγήσατο, καὶ ὃν ἐκ θείας ἐπινεύσεως ὑπέτρεφε λογισμὸν, τούτῳ φανερὸν καταστῆσαι βουλῆς ἐγένετο. Ὁ δέ γε ἦν, χαίρειν αὐτῷ φράσαι τῷ κόσμῳ καὶ ὑποταγῆναι διὰ τῆς ἀγγελικῆς πολιτείας Χριστῷ. Ὁ δὲ πιστὸς ἐκεῖνος ποιμὴν, μελλήσεως πά-

[*] Ματθ. ΙΑ΄. 8.

σης ἐκτὸς, | τῷ τοῦ θείου σταυροῦ τοῦτον ἐνσημηνάμενος τύ- 271.
πῳ, καθώπλισε, καὶ πρός τινας μοναχοὺς οὐ πόῤῥω τούτου τυγχάνοντας, διαπέμπεται, ὡσὰν τῇ ἐκείνων ὑφηγήσει, τοῦ ὀρεκτοῦ συνεπαμύνοντος Θεοῦ, περιδράξαιτο.

4. Οὐ μετ' οὐ πολὺ δὲ τοῦ κατὰ σάρκα πατρὸς πρὸς τὴν ἐκεῖθεν λῆξιν μεταχωρήσαντος, ἡ μήτηρ, οἷα μήτηρ, λύπαις ἑαυτὴν ἀνενδότοις κατέτρυχε, καὶ ζητεῖν τὸν ἐκ σπλάγχνων αὐτῆς υἱὸν οὐχ ὑφίετο· καὶ δὴ μόλις μὲν, εὑροῦσα δὲ, κατ' οὐδὲν τῆς εὐσεβοῦς ὁδοῦ τε καὶ γνώμης πορεύεσθαι τοῦτον διεκώλυσε. Μᾶλλον μὲν οὖν αὐτοῦ τὸν σκοπὸν παραθήξασα, καὶ μητρικοῖς σπλάγχνοις πρὸς θεοσέβειαν ὑπαλείψασα, αἰσίαν βουλὴν ὑποτίθησιν· ὥστε ἐν τῷ σεμνείῳ, ἐν ᾧ ὁ σύναιμος ἀπεκείρατο, καὶ αὐτὸς ποιήσεται τὴν ἀπόταξιν, καὶ συνδιαφέροι τῷ ἀδελφῷ τὰ τῆς ἀσκητικῆς πολιτείας ἐπίπονα. Ὁ δὲ, τῆς μητριακῆς συμβουλῆς κατήκοος γεγονὼς, τῇ εἰρημένῃ μονῇ ἑαυτὸν συγκατέλεξε, καὶ πόνοις ἀσκητικοῖς τὸ σῶμα ὡς μάλιστα συνεπέζευξε. Τοῦ δὲ τῆς μονῆς καθηγουμένου τοῖς αἱρεσιώταις ἀδιαφόρως συμπεφυρμένου καὶ τῆς αὐτῶν βδελυρίας καὶ κοινωνίας ἐφαπτομένου, αὐτὸς οἷά τις τοῦ ἐπιστήμονος ἐπιστήμων οὐδὲν ὑποστειλάμενος, κατὰ πρόσωπον δὲ τῆς ὁσίας τῶν ἀδελφῶν ὁμηγύρεως τὰ τῆς ἀπαισίου ἐργασίας τοῦ ποιμένος ἐξήλεγχεν καὶ τοῦ ἀγγελικοῦ ἐπαγγέλματος ἀναξίως πεπολιτεῦσθαι τοῦτον ἐπέπληττεν· | ὃς, ὀργῇ ζεούσῃ καὶ ἀ- 271.
κρατεῖ πεφυσημένος θυμῷ, πληγαῖς ὑποβάλλειν ἐπηπείλει τὸν ἅγιον· τὰς δὲ καὶ εἰς ἔργον ἐκφέρειν φανερὸς ἦν, ἀτιμίας ἔργον τὸ πρᾶγμα τιθέμενος. Ὁ δὲ ὅσιος, τὰ τῶν πληγῶν νέφη ὡς οὐράνιον δρόσον δεξάμενος, τῆς μὲν μονῆς ἐκείνης ὑπεχώρησε, πρὸς δέ τινα Συμεώνην ὀνόματι, μητρῴᾳ συγγενείᾳ καὶ γνησιότητι προσεγγίζοντα, ταῖς πληγαῖς πεφοινιγμένος παραγίνεται, ὃν ἀρχιμανδρίτην εἶχε τηνικαῦτα τὰ πρὸς τῇ Δεκαπόλει συντελοῦντα σεμνεῖα· καὶ τὰ παρὰ τοῦ ἀπηνοῦς ἐκεί-

νου καθηγουμένου δρασθέντα εἰς αὐτὸν ἀπαγγείλας, τῷ ἀποστολικῷ σχήματί τε καὶ κανόνι παιδαγωγηθεὶς ὑπ' αὐτοῦ, πρὸς πᾶσαν ἰδέαν ἀρετῆς ἐπεδίδου, δι' ἧς αἰδέσιμος τοῖς πᾶσιν ἐκρίνετο, καὶ τῆς ὑψηλῆς ταπεινώσεως φροντίδα ποιούμενος, τῆς θεομιμήτου ὑπακοῆς τὰ κάλλιστα οὐκ εἰς μακρὰν συνελέξατο.

5. Τελέσας δὲ ἐν τῇ τοῦ ἀρχιμανδρίτου καὶ θείου μονῇ χρόνους δέκα καὶ τέσσαρας, παραιτεῖται αὐτὸν, ὡς ἂν τὴν ἐπ' ἐλπίδι κατὰ μόνας κατοικίαν ἑλέσθαι, κλεῖσαί τε ἐν οἰκίσκῳ τὸ σῶμα καὶ Θεῷ προσέχειν, τῶν πολλῶν ἔξω φροντίδων γενόμενον. Ὁ δὲ ποιμὴν, τοῖς λόγοις τοῦ ἁγίου καταπειθὴς γεγονὼς, καὶ ὡς κατὰ Θεὸν ὁ σκοπὸς αὐτῷ βλέπει, οὐ πολλῶν
272. λόγων εἰς πίστιν δεηθεὶς, κατένευσε. Σπηλαίῳ | δὲ κρημνώδει βαθυτάτῳ τε καὶ ἀπηωρημένῳ ὑπεισδῦναι τοῦτον ἐπέτρεπεν, ἐν ᾧ πᾶν ὁτιοῦν θορύβου εἶδος ἀποτιναξάμενος, ἑαυτῷ προσεῖχε μόνῳ καὶ τῷ Θεῷ. Ἐπεχωρίαζε δὲ τῷ σπηλαίῳ δαιμόνων στῖφος, τῇ τοῦ τόπου ἐφηδυνόμενον κατοικίᾳ· ὡς καὶ τοῖς τὰς διαβάσεις κατ' ἐκείνης ποιεῖσθαι μέλλουσι, δυσχερεῖς ὀφθῆναι καὶ κινδύνου μεστάς. Ἐπεὶ δὲ τὸ τοῦ ἁγίου γειτόνημα τὴν τῶν δαιμόνων ὑπέφλεγε φάλαγγα, συντρόμῳ φωνῇ καὶ δειμώσῃ βοῇ ἀπελαύνειν ἐπειρῶντο τὸν ὅσιον, τοιάδε πρὸς αὐτὸν φάσκοντες· «ἔξελθε τῶν ἡμετέρων· οὐδὲ γάρ συνέσθαι ἡμῖν λυσιτελές σοι γενήσεται.» Καὶ ἅμα τῷ ἀσήμῳ καὶ ὑποσάθρῳ λόγῳ, εἰς εἴδη σκορπίων τὴν φαντασίαν ἐξήπλωσαν, καὶ ἕρπειν ὡς αὐτὸν προΐεντο. Ὁ δὲ, τὰ νοήματα μὴ ἀγνοήσας τῶν δυσμενῶν, οὐδεμίαν πρὸς αὐτοὺς ἐπιστροφὴν ἐποιεῖτο. Ἡνίκα δὲ εἰς προσευχὴν ἑαυτὸν ἀνεστήλου τοῖς ποσὶν αὐτοῦ ὑπέτρεχον· ὁπηνίκα δὲ γόνυ κλίνων τὰ χεῖρε τῇ γῇ προσερείδειν ἐπειρᾶτο, ὁδεύειν διὰ τῶν χειρῶν αὐτοῦ οὐχ' ὑφίετο· ἄλλοτε δὲ καὶ ἰοβόλοις κέντροις οὐκ ἐπαύοντο βάλλοντες. Ἀλλ' οὐκ ἦν αὐτοῖς ἡ βουλὴ καιρίαν πληγὴν τῷ ἁγίῳ ἐπενεγκεῖν· βέλος δὲ νηπίων τὰς τούτων βολὰς ἐλογίζετο· τῇ γὰρ

τοῦ θείου σταυροῦ παντευχίᾳ ὡπλίζετο, ἐν ᾗ τούτους φαντασιοκοπεῖν καὶ κατατρύχειν | ἑαυτοὺς ἐπαφίησιν. Οὐκ ἐπὶ συ- 272.
χνῷ δὲ χρόνῳ τούτῳ συνοικεῖν προθυμούμενοι ἑαυτοὺς, καὶ μὴ βουλόμενοι, τῆς περιωπῆς ἐκείνης ἐξήλασαν, ἀπειλαῖς τὸν διώκτην δεδίττεσθαι μηχανώμενοι. Μετ' οὐ πολὺ δὲ, εἰς ὄχλον στρατιωτικῆς σπείρας συντάξαντες, καὶ χερσὶ δόρατα κραδαίνοντες, καὶ τόξα καὶ φάσγανα τείνοντες, κατὰ τοῦ κρημνοῦ τοῦ σπηλαίου ἐφίπταντο, ὑποχαλᾶν αὐτὸν τῶν ἀνενδότων πόνων οἰόμενοι. Ὃς τῷ συνήθει τύπῳ τοῦ σταυροῦ, ὡς ὅπλον, περιφραξάμενος, τὰς τῶν ἀντιπάλων ἑλεπόλεις καθῄρει τε καὶ ἠφάνιζε· βοαῖς κεχρημένων, ὡς ἤδη ἐκ τῶν ἰδίων ἀπελαυνόμεθα, καὶ οὕτως σὺν τῷ λόγῳ ἠλαύνοντο, καὶ τὴν βίαν τοῦ συνοικήτορος πᾶσιν ἐξήγγελλον.

6. Ἐπεὶ οὖν ἡ τῆς δαιμονικῆς ἐκείνης παρατάξεως λεγεὼν ταῖς εὐκτικαῖς τοῦ ἁγίου πικρῶς ἐτραυματίζετο βολίσι, καὶ ὁ φαντασιώδης λόγος τῶν κερασφόρων ἠλαττονοῦτο σκορπίων, καὶ κατ' ἐξουσίαν τῷ ὁσίῳ πεπάτηντο κατὰ τὸ φάσκον Κυριακὸν λόγιον· ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ (*). Ἄλλῃ μηχανῇ χρησάμενοι κατ' αὐτοῦ, τῷ ἄντρῳ ἐφίστανται καὶ τῆς νυκτερινῆς ὑπ' αὐτοῦ τελουμένης εὐχῆς (ἦν γὰρ τῆς ἐτησίου καὶ σεβασμίας τῶν τεσσαράκοντα ἀθλητῶν τοῦ Χριστοῦ μνήμης ἡμέρα), οὗτοι φαντασιώδη φωνὴν ἐπαφίεσαν, | ἑαυτοὺς εἶναι λέγοντες τοὺς στεφη- 273.
φόρους ἐκείνους τεσσαράκοντα μάρτυρας, καὶ ἥκειν, χάριν αὐτῷ προξενήσοντας· ὁ δὲ τούτοις ἐπιτιμήσας, ἀφανείᾳ παρέπεμψε. Ταύταις δὲ ταῖς παλιμβόλοις προσβολαῖς μὴ ἐνδόντα τὸν ὅσιον θεασάμενοι, δι' ἄλλης ἐπηρείας καταβαλεῖν οἱ δείλαιοι ᾤοντο· πορνεία δὲ τοῦτο ἦν, τὸ τῆς μηχανῆς πειρατή-

(*) Λουκ. Ι'. 19.

ριον, ὑφ' ἧς, ὡς πεπυρωμένοις βέλεσιν ὑφαπτόμενος, διετέλει τῷ πάθει φλεγόμενος. Φαίνεται δὲ κατ' ὄναρ γυνή τις, αἰδοία καὶ σεμνή, ἣν ὑπετόπαζε τῆς ἑαυτοῦ μητρὸς ἀποφέρεσθαι τὴν ἐμφέρειαν, ἥτις καὶ ἠρώτα· « τί τοῦτο τὸ λυποῦν σε, ὦ τέκνον, ἄλγημα; » Ὁ δὲ τῷ ἑαυτοῦ δακτύλῳ κατὰ τοῦ ὀμφαλοῦ τὸ πάθος ὑπέφαινεν. Ἡ δὲ σεμνοφανὴς ἐκείνη γυνή, τοῦ δειχθέντος τόπου τῇ χειρὶ προσψαύσασα, καὶ τομὸν ξίφος ταύτῃ χρησαμένη, τὸν ὀμφαλὸν τοῦ ἁγίου διέσχισε, καὶ τὴν τοῦ πάθους αἰτίαν, δίκην ἐντέρων σεσημμένων, κατ' ὀφθαλμοὺς αὐτοῦ παραδείκνυσι, λέγουσα· « ἴδε σου τὸ ἄλγημα λέλυται, καὶ οὐκέτι σοι δι' ὄχλου γενήσεται ». Τούτης τῆς νυκτερινῆς ὄψεως ἀπονάμενος, καὶ τὴν ἴασιν τοῦ πάθους θεόθεν δεξάμενος, εἰς ἔρωτα καὶ πόθον ἦλθε τὸν κατὰ σάρκα ὁμαίμονα ὀφθαλμοῖς ἰδέσθαι· καὶ δὴ τὸν προσκαρτεροῦντα τῇ κατ' αὐτὸν διακονίᾳ μοναχὸν πρὸς τοῦτο κατέσπευδεν. Τούτου οὖν ἀπάραντος, καὶ πρὸς τὰ ἐπεσταλμένα φθάσαι κατεπειγομένου, αὐτὸς μόνος
273. ὑπολειφθείς, εἴχετο | τῆς ψυχωφελοῦς ἀσκήσεως. Ἐν μιᾷ οὖν τῶν νυκτῶν, τῷ Θεῷ τὰς ἐξ ἔθους ἀναπέμπον ᾠδάς, ἐκστάσεως ὅλως ἐπληροῦτο καὶ δείματος· ὑπενόει γὰρ οὐρανόθεν φωτὸς χύσιν περιαστράπτουσαν, καὶ ἕως αὐτοῦ καὶ τοῦ σπηλαίου, ἐν ᾧ ἦν, καθιεῖσαν, ἀσυγκρίτου τε τὸν τόπον εὐωδίας πληρῶσαι, ἣ καὶ μέχρι συχνῶν ἡμερῶν ἀφθόνῳ δαψιλείᾳ διήρκεσε.

7. Τοῦ δὲ πρὸς τὸν ἀδελφὸν σταλέντος ἐληλυθότος, καὶ πατάγῳ τὴν ἔλευσιν αὐτοῦ τῷ ὁσίῳ μηνύσαντος, αὐτός, ὡς ἔκ τινος κάρου κεκραιπαληκώς, διυπνίζετο, καὶ τῆς ἠχῆς βαθέως ἐπῄσθετο· καὶ αὐτὸν θεασάμενος, « ἔσπευσας, ἔφη, ἀδελφέ ». Τοῦ δὲ ὑποφήσαντος· « καὶ λίαν χρονοτριβήσας, πάτερ, πάρειμι· τοῦ γὰρ ζητουμένου μὴ τετυχηκώς, κατὰ φήμην δέ, ἐν ᾧ που τόπῳ διέτριβε, μεμαθηκώς, μόνος ἐλήλυθα ». Ὑποφθάσας ὁ ὅσιός φησι· « καὶ πόσος χρόνος, ἀφ' οὗ τὴν πορείαν ἐξ ἡμῶν ἐστείλω, γέγονε; καὶ τίς ἡ ἡμέρα, ἐξ ἧς ἀφ' ἡμῶν ἐγένου; » Ὁ

δέ φησί· «ἡ τῆς ἑβδομάδος δευτέρα, καὶ νῦν πέμπτη τῆς αὐτῆς ἑβδομάδος ἐφέστηκεν». Φόβος οὖν ἐπὶ τῷ προλαβόντι θάμβει κατέσχε τὸν ἅγιον. Διαναστὰς οὖν, τῷ εἰρημένῳ γέροντι Συμεῶνι ἐπιστεῖλαι διὰ γράμματος αἴσιον ᾠήθη· ὃ καὶ ἐπὶ λέξεως ὧδέ πως εἶχε. «Γρηγόριος ἐλάχιστος μοναχὸς τῷ ἐμῷ καθηγητῇ καὶ πατρὶ Συμεῶνι. Τὸ κατὰ σάρκα μόνον χρηματίσαι πατὴρ τῆς ἐμῆς εὐτελείας, πάτερ, οὐκ ἔσχες, τὰ δὲ λοιπὰ τῆς εὐνοίας καὶ ἀγχιστείας πρὸς ἡμᾶς | ἀποσώζεις ὀ- 274.
νόματα. Ταύτῃ τοίνυν τῇ γνησιότητι θαῤῥῶν, γράμματα χαράξαι πρὸς τὴν ὑμετέραν πατρότητα προτεθύμημαι· ἔχω γέ τινα λόγον ὑποσμύχοντά μου τὸν λογισμὸν καὶ καθικνούμενον ἄχρι τῶν τῆς ψυχῆς μυελῶν, ὃν οὐκ ἄλλῳ κέκρικα φανερὸν καταστῆσαι, ἢ σοί, τῷ ἐμῷ πατρί, καὶ παρὰ σοῦ τῆς φανείσης ὄψεως τὴν δήλωσιν δέξασθαι. Μήπως ἆρά τινι κακῷ συνεκύρησα; Ὑπερεύχου οὖν τοῦ σοῦ παιδὸς καὶ διὰ τάχους ἑαυτὸν τοῖς ποθοῦσιν ἀπόδος».

8. Τὰ γράμματα τοίνυν ἐγχειρίσας τῷ διακονοῦντι μοναχῷ, πρὸς τὸν εἰρημένον Συμεώνην ἐξαπέστειλεν. Ὁ δὲ τοῦτον δεξάμενος, καὶ τὰ σεσημασμένα διαγνούς, δεέι συνεσχέθη, μήπου τι ἀπευκτὸν καὶ λύπης αἴτιον τῷ ὁσίῳ συμβέβηκεν. Ἐξ αὐτῆς οὖν ἅμα τῷ ἀγγελιοφόρῳ πρὸς τὸν ἤδη γεγραφότα κατέλαβε, καὶ τοῦτον πνευματικῶς ἀσπασάμενος, τὴν αἰτίαν, δι' ἣν παρέσεσθαι αὐτὸν ὡς αὐτόν, διηρώτα. Ὁ δὲ τῆς φανείσης ὄψεως τὸ φρικτὸν ὑφηγεῖσθαι μέλλων, λύπῃ καὶ χαρᾷ τὸν νοῦν ἐμερίζετο· λύπῃ μέν, ὡς μή τις ἐναντία τοῦτο δύναμις ἐπεγέννησεν· χαρᾷ δέ, ὡς μεστὴν γαλήνης τὴν φανεῖσαν φωτοχυσίαν εἰς ἑαυτὸν ὑπεδέξατο. Πραείᾳ οὖν καὶ ὑποχαλώσῃ φωνῇ τὰ τῆς ὀπτασίας τῷ ἀρχιμανδρίτῃ ὑπέφαινεν, οὕτως ἔχοντα. «Μονωθέντι μοι, φησί, καὶ αὐτῆς τῆς τοῦ διακονοῦντος συνουσίας, καὶ τὴν ἐξ ἔθους ἐπιτελοῦντι | δοξολογίαν, πυρός 274.
μοι ἄνωθεν δαψιλὴς περιέλαμψε φωταύγεια, καὶ τὸν οἰκίσκον

πληρώσασα καὶ τῆς ἐμῆς κορυφῆς ἀψαμένη, καὶ μέχρι ποδῶν καθιεῖσα, ἀνεικάστου τὸν τόπον εὐωδίας ἐπλήρωσεν. Ἑβδόμη γάρ, ἀφ' οὗ ταῦτα γέγονε, παρῳχήκει ἡμέρα, καὶ ἡ τῆς εὐωδίας ἐκείνης ἐπιχωριάζει τῷ τόπῳ δαψίλεια· ἀλλὰ δὴ καὶ ἣν ποτε νόσον τῆς αἱμοῤῥοίας ὑπέτρεφον, ἀποτινάξασθαί μοι συνέβη, καὶ ὃν ὑπὸ τῶν ἐχθρῶν εἶχον ἀκήρυκτον πόλεμον, διὰ τῆς ἄνωθεν ἐπελθούσης βαθείας εἰρήνης ἀπωσάμην. Ὡς οὖν δυναμένῳ ταῦτα καὶ κρίνειν καὶ διακρίνειν καλῶς τῇ ἄνωθεν ἐλλαμπούσῃ σοι διορατικῇ χάριτι πεφανέρωκα, γνῶναι παρὰ σοῦ ἠλπικὼς τὸ τῆς ὄψεως ἄῤῥητον, ὡς ἂν μὴ ἀμφισβητήσιμον ἔχων τὸν λογισμὸν ὀκλάζω, καὶ ἐπ' ἀμφοτέρους τοὺς τῆς συνειδήσεως πόδας ἵζω». Ὁ δὲ ῥηθεὶς ἀρχιμανδρίτης, θείας ἐμφορηθεὶς ἐμπνεύσεως, ὧδέ πως τὴν ἀπόκρισιν ἐποιεῖτο. «Μηδαμῶς, ὦ τέκνον, δειλίᾳ σεαυτὸν ἐπιδίδου· οὐ γὰρ ἡ τοῦ φωτὸς κείνου σοι ἐλλάμψασα χάρις τῆς σκοτεινῆς καὶ ἀφεγγοῦς τῶν δαιμόνων μετεῖχε μοίρας, ἀγγελικῆς δὲ καὶ θείας παρουσίας ὑπῆρχε τεκμήριον, ὅλον σε φωτοειδῆ τῇ αἴγλῃ δεικνύουσα, καὶ τῇ τῆς εὐωδίας ἀσυγκρίτῳ παρατάσει τὴν θανατηφόρον ὀδμὴν τῆς τῶν ἐναντίων σηπεδόνος ἐξαφανίζουσα. Τεθαῤῥηκὼς οὖν ἔσο, καὶ πρὸς τὸν τῆς ἀσκήσεως ἐπεκτείνου δρόμον, εἰδὼς ἐ-
275. πίκουρον ἔχειν ταῖς | τὸ θεῖον ἐντεύξεσιν. Οὕτω Θεὸς τοῖς διὰ τῆς τῶν ἐντολῶν τηλαυγείας τὸ ὀπτικὸν τῆς διανοίας καθηραμένοις αὐτοῦ θεράπουσιν, ἀστέρων δίκην τῇ οἰκουμένῃ πυρσεύοντας, οὐρανίῳ δόξῃ καὶ τιμῇ οἶδεν ἀμείβεσθαι, καὶ τοὺς ἐνορῶντας αὐτοῖς πίστει φωταγωγεῖν καὶ πρὸς τὸν ὅμοιον τῆς ἀρετῆς ζῆλον διανιστᾶν.

9. Αὖθις οὖν φωνῆς οὐρανόθεν ἐπήσθετο, ἧς καὶ Ἀβραὰμ ὁ πιστότατος κατήκοος γέγονε, καλούσης καὶ λεγούσης· «Γρηγόριε, εἰ πρὸς τελειότητα σεαυτὸν βλέπειν ὁρᾷς, ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν (*), ἐν ᾗ

(*) Γεν. ΙΒ'. 1.

σοι Θεῷ καλῶς εὐαρεστῆσαι συμβήσεται· οὐδὲ γὰρ ὅσιον ἔκρινε Θεὸς τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύπτεσθαι, ἀλλ' ἐπὶ τὴν κοσμικὴν τέθεῖναι λυχνίαν (*), τὴν τῶν ψυχῶν οἰκίαν ἐπιεικῶς σελαγίζουσαν (**) ». Τοῦ σπηλαίου οὖν ἀπαναστάς, ἐπὶ τὴν ἀσιάτιδα γῆν ἐπορεύετο· ἀλλὰ χειμῶνος ἐνστάντος, καὶ τὰ τῆς ἐπέκεινα πορείας εἴργεσθαι ποιοῦντος, ἐν σεμνείῳ τινὶ τῶν περὶ τὴν Ἔφεσον τέως ἡσύχαζεν. Ἀρχομένου δὲ τοῦ ἦρος, θείᾳ νεύσει τῆς Ἀσίας ἀπάρας, τὴν ὁρμὴν εἶχε πρὸς τὸ Βυζάντιον· ἦν δὲ καὶ πλῆθος πλοίων συναπαίρειν τῷ ἁγίῳ προθυμουμένων, ἀλλὰ διὰ τὴν τῶν Μαυρουσίων βαρβάρων ἐπιδρομὴν προσκαθεζομένων ἀπὸ σταδίων ἑκατόν, οὐκ ἦν ἀποπλεῦσαι καὶ τῆς ἐμπορείας ἀπόνασθαι. Ὁ δέ, τοῦ λιμένος ἀποχαλάσας τὴν ναῦν, πᾶσαν τὴν ὑγρὰν διανέωξε | τρίβον, παρεγγυῶν καὶ ὑπισχνούμενος, μηδεμίαν λώβην 275.
παρὰ τῶν ἐχθρῶν πήσεσθαι. Οἳ καὶ καταπειθεῖς τῷ ἁγίῳ γενόμενοι, ἤδη τοῦ πνεύματος ἐπιφόρου τυγχάνοντος, τὰ ἱστία πετάσαντες καὶ οὐριοδρομήσαντες, τῆς τῶν ἐχθρῶν ἐπηρείας κρείττους ὤφθησαν (εἰς γὰρ πλῆθος μὴ ῥαδίως μετρούμενον ὁ στόλος ἐκεῖνος φθάνων, τὴν τῶν ἐναντίων ὄψιν διέλαθεν). Κατῆραν οὖν ἐν Προικονήσῳ. Τῷ δὲ ὁσίῳ εἰς τὸ Βυζαντίον καταπλεῖν βουλὴ γέγονεν (ἦν γὰρ αὐτῷ θεῖος πόθος ὑπὲρ τῆς ἀληθείας ἀγωνιεῖσθαι· καὶ γὰρ ὁ τῆς αἱρέσεως τῶν χριστιανοκατηγόρων κολοφών, μέγα κρατῶν, ἐβρενθύετο)· ἀλλ' ὑπὸ τῆς θείας χάριτος κωλυθείς, ἐπέμενε τῇ Προικονήσῳ, ξενιζόμενος παρά τινι πένητι. Ὃς ἐπιστάντα τὸν ἅγιον καὶ ξενίαν αἰτοῦντα ὁρῶν, τὸ διαλλάττον τοῦ σχήματος ὑφορώμενος, ἀπαναίνεται οἴκοι προσδέξασθαι. Πανταχόσε γὰρ ἡ τῶν κρατούντων σὺν ἀπειλῇ δριμείᾳ διεδίδετο πρόσταξις, ὡς μή τινα τοιοῦτον ὑπὸ σκέπην εἰσδέξασθαι, ἀλλ' ὅμως ἐδέξατο, καὶ πολλῆς εὐεργεσίας παρὰ

(*) Ματθ. Ε΄. 14 καὶ Λουκ. ΙΑ΄. 33. (**) Χ. σελαυγίζουσαν.

τοῦ ξενισθέντος ἀπήλαυσε. Πενίαν γὰρ πρότερον σύντροφον ἔχων, ἐπὶ τῇ εἰσόδῳ καὶ τῷ ποδὶ τοῦ ὁσίου, τῶν ἀναγκαίων πολλὴν ἀφθονίαν ἐκτήσατο, ὥστε, μέλλοντος ἀπαίρειν τοῦ ὁσίου τῆς νήσου, οἰμωγαῖς καὶ θρήνοις ἑαυτὸν ὁ πένης ἐξέκοπτεν, ὡς πά-
276. λιν τὴν πενίαν | τῇ ἑαυτοῦ κατοικίᾳ συνέστιον λήψεσθαι.

10. Ὁ οὖν ὅσιος λαθὼν, ὑπεξῆλθε τοῦ δώματος, καὶ τὰ στενὰ τοῦ Ἑλλησπόντου διαπλεύσας, προσωρμίσθη τῇ Αἴνῳ, ἐν ᾗ τις νεανίας ἔκ τινος τύχης ὑπαντιάζει αὐτῷ· καὶ θυμικῇ φορᾷ δαίμονος κατατρωθεὶς, ἀποβὰς τοῦ ἐν ᾧ ἐπεβεβήκει ἵππου, ὁπλισάμενος ὅπερ ἐπεφέρετο ῥόπαλον, τύπτειν ἐπεχείρει τὸν ὅσιον, προδότην καλῶν, πάσης ἐκτὸς τοῦτο ποιῶν αἰτίας. Ὁ δὲ τῇ τῶν πληγῶν νιφάδι βαλλόμενος, ὡς ὁ πρῶτος τῶν μαρτύρων τὰς βολὰς ὑπέφερε Στέφανος, καὶ εὐχαῖς τὸν παίοντα κατημείβετο. Ὃς, ὀψὲ καὶ μόλις τῆς τοῦ θυμοῦ μέθης ἐκνήψας, ἠρώτα τὸν ὅσιον· « τίς εἶ, καὶ ποίας δόξης τυγχάνεις ». Ὁ δὲ φησί· « χριστιανός εἰμι, καὶ ἐκ τοιούτων γονέων γεγέννημαι, τῆς δὲ ὀρθῆς δόξης καὶ λίαν ἀντέχομαι ». Ὁ δὲ νεανίας τούτων ἀκηκοὼς, τὸ ἀγριαῖνον ἦθος ἀποβαλὼν, ἱκέτης τῷ ὁσίῳ καθίσταται, καὶ τὴν τοῦ πλημμελήματος ἐζήτει συγχώρησιν. Ὁ δέ, νουθετήσας καὶ πείσας μὴ τῇ νεότητι συνεπάγεσθαι, μηδέ τι ποιεῖν, τῷ θυμῷ χαριζόμενον, οὐ τῆς τυχούσης ὠφελείας αὐτῷ μετέδωκεν. Ἐξ Αἰνόθεν δὲ πλοίῳ ἐπιβὰς, τῇ Χριστοπόλει προσέσχεν. Ἐκ δὲ ταύτης, ἀποβὰς τοῦ πλοίου, κατήντησεν ἐπί τινα ποταμὸν, ἐν ᾧ Σκλαβηνοῖς λησταῖς περιέπεσεν, ἐπὶ λέμβου τοῦ ποταμοῦ παραμειβομένοις ὄχθαις, καὶ τὰ προσπίπτοντα τῶν πλοίων ληϊζομένοις· | οὓς ἰδὼν ὁ ὅσιος, μηδενὶ
276*. δέει, ἢ θάμβει κρατηθεὶς, συνῆλθε καὶ συνεκάθισεν αὐτοῖς. Οἱ δὲ, τὸ τοῦ ἀνδρὸς θάρσος ἐν θαύματι θέμενοι, πρὸς ἀλλήλους ἐπινεύοντες ἔλεγον· « τίς οὗτος, ὃς μηδεμίαν τῷ προσώπῳ δειλίαν ὑποφαίνων, μηδὲ τῶν δρασθέντων ὑφ' ἡμῶν λόγον ποιούμενος, ἐπὶ τοσούτῳ παῤῥησίας ἤλασεν, ὥστε καὶ συνεῖναι ἡμῖν

κατεθάῤῥησεν; φανερῶς οὖν ὡς διαπορθμεῦσαι τὸν ποταμὸν βουλῆς ἐστίν». Κώπαις οὖν χρησάμενοι, ἐπέκεινα τοῦ ποταμοῦ τοῦτον διεβίβασαν, καὶ τὴν ὁδὸν δι' ἧς ὁδεύειν ἤμελλεν ὑποδείξαντες, ἀσινῆ καὶ ἀλώβητον πορεύεσθαι εἴασαν.

11. Ἔνθεν ἐπὶ Θεσσαλίαν ἀφῖκται· καὶ τῇ πρώτῃ ταύτης πόλει ἐπιβὰς Θεσσαλονίκῃ, ξενίζεται παρά τινι ἀσκητικῆς μάνδρας καθηγουμένῳ, Μάρκῳ τοὔνομα. Μείνας οὖν παρ' αὐτῷ οὐ συχνὰς ἡμέρας, ἤλγει καὶ ἀθυμίᾳ κατείχετο, πόθεν ἄρα καὶ ποίᾳ τρίβῳ χρήσαιτο. Φαίνεται οὖν αὐτῷ τις μοναχὸς, τὴν ἐπὶ τῇ πρεσβυτέρᾳ Ῥώμῃ διανύων ὁδόν. Τούτῳ συνελθὼν καὶ τῆς ὁδοῦ συμμετασχὼν, μηδεμίαν ἀφορμὴν τῶν ἐπιτηδείων πρὸς βρῶσιν φερόμενος, ἐκ δὲ τῆς τοῦ συνοδοιπόρου μοναχοῦ καὶ αὐτὸς ἐφοδιαζόμενος χρείας, ἣν αὐτῷ διὰ τὴν ἀπορίαν ὑποτασσόμενος, καὶ δούλου χρείας πληρῶν μέχρι τῆς περιωνύμου πόλεως Κορίνθου. Ἐκεῖθεν δὲ ἀναχθῆναι προσεποιεῖτο καὶ τῇ Σικελίᾳ προσβῆναι. Τῶν δὲ ναυτῶν ἀποφηνάντων μὴ ποιεῖσθαι τὸν πλοῦν ἐπὶ τὰ ἐκείνης μέρη διὰ τὸ ἐπικείμενον Ἀράβων ἔθνος, θαῤῥεῖν τούτους ὁ ὅσιος ἐκέλευσεν, ὡς οὐδεμίαν πεῖραν ἐπιβουλῆς παρ' αὐτῶν δέξαιντο. | Κατῆραν οὖν εἰς Ῥή- 277.
γιον, καὶ ξενίζεται παρά τινι ἀνδρὶ εὐλαβεῖ, οὗ τῇ οἰκίᾳ τινὲς τῶν ἐπιχωρίων ἐπιστάντες, ἐλιπάρουν τὸν ὅσιον μεταλαμβάνειν τινὸς χρυσίου, αὐτὸς δὲ οὐκ ἐπένευε, καίπερ διὰ τὸν πλοῦν, καὶ ἣν ἔμελλεν ἀνύειν ὁδὸν, ἐπιδεὴς τυγχάνων· κατεπείγοντες δὲ λαβεῖν, αὐτὸς, μήτε τὸν παρέχοντα, μήτε δι' οὗ τοῦτο παρέχεται παντελῶς εἰδὼς, ἢ ἐγνωκὼς, ἔφη· «μὴ γένοιτο! μηδὲ δοίη Θεὸς, ἐκ τῆς τοῦ Μερκουρᾶ μερίδος μετασχεῖν με ἕως ἑνὸς ὀβολοῦ· πολλοὺς γὰρ ὀρφανοὺς ἀγχόνῃ δοὺς, τοῦ προσόντος κλήρου δι' ἁρπαγῆς ἀπεστέρησεν». Καὶ γὰρ ἦν ἐκεῖνος ὁ Μερκουρᾶς, ἔτι τῷ βίῳ περιὼν, πράκτωρ τῶν δημοσίων ταμείων, τὰς ἐξ ἀδιαθέτων περιουσίας καὶ κληρονομίας ἐρήμους σφετεριζόμενος, καὶ προσκυρῶν τῷ δημοσίῳ λόγῳ.

12. Ἀποπλεῖν δὲ τοῦ Ῥηγίου μέλλων, ἐπέβη πλοίῳ ἐκ Νεαπόλεως ὁρμωμένῳ· καί τις μοναχὸς κολληθεὶς αὐτῷ, συμπορεύεσθαι προεθυμεῖτο. Λαίλαπος δὲ τὴν θάλασσαν ἐγείραντος, καὶ καταιγίδος σφοδροτάτης ἐπωρύεσθαι κατασκευαζούσης, καὶ τῇ γῇ τὸ πλοῖον ἐποκειλάσης, ἐξῆλθον πρὸς τῇ χέρσῳ. Ἑσπέρας δὲ οὔσης ἤδη, καὶ τῆς ὥρας καλούσης πρὸς τράπεζαν, ὁ ῥηθεὶς μοναχὸς ἐπὶ τὴν ναῦν ὥρμησε πρὸς τὸ τροφὰς ἐξενεγκεῖν· ὃν ἔνδον γενόμενον, καὶ ὑπὸ τῆς βίας τῶν κυμάτων σὺν τῷ λέμβῳ ἀνατραπέντα, ὑποβρύχιον εἶχεν ἡ θάλασσα, μὴ παντελῶς τοῦτον εἰδότα νήχεσθαι. Ἰδὼν οὖν ὁ ὅσιος τὸν ἀδελφὸν κινδυνεύοντα, τῇ γῇ προσερείσας τὸ πρόσωπον, τὴν
277. ἄνω τοῦ Θεοῦ | ῥοπὴν καθικέτευε, μὴ τὸν ἀδελφὸν ἔργον θαλάσσης γενέσθαι καὶ τοῖς βυθίοις ὁμιλῆσαι μυχοῖς. Νεύσει οὖν θείᾳ, καὶ τῇ τοῦ ὁσίου ἐντεύξει χειραγωγούμενος ὁ ἀκόλυμβος, διὰ μικροῦ ξύλου πρὸς τῇ χέρσῳ κυμαινόμενος ἐξεκομίσθη.

Ἐκεῖθεν οὖν τὴν ἐπὶ Ῥώμην τρίβον ἐστέλλετο· εἰς ἣν ἀφικόμενος, ἐπὶ μῆνας τρεῖς κελλίῳ ἐφησυχάσας, καὶ μηδενὶ φανερὸν ἑαυτὸν καταστήσας, ὑπό τινος ἀνδρὸς, πνεύματι πονηρῷ κατισχημένου, πεφανέρωται. Ὃν ἐκ τῆς τοῦ δαίμονος ἀπολύσας ὀχλήσεως, ἐξῆλθε τῆς Ῥώμης, μήπως τῆς ἀνθρωπίνης κολακείας θήραμα γένηται (καὶ γὰρ κατὰ πνευμάτων ἀκαθάρτων δύναμιν εἰληφὼς, λαθεῖν οὐκ ἠδύνατο). Ὅθεν φυγῇ τὴν Ῥώμην ἀπολιπὼν, ταῖς πρὸς τῇ Σικελίᾳ Συρακούσαις ἐπέβη καὶ πύργῳ κατάκλειστον ἑαυτὸν ποιεῖ, τὸ τῆς ἡσυχίας τίμιον ἀσπαζόμενος. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν, τῇ προσευχῇ προσκαρτεροῦντος ὑφῆψε τὸ ψιάθιον, ἐν ᾧ περιεκάθευδεν, οὗτινος εἰς τέφραν χωρήσαντος, κωδίῳ τὴν χρείαν ἀντ' αὐτοῦ ἀνεπλήρωσεν, ἐν ᾧ δαιμόνων σμῆνος, εἰς μυῶν πλῆθος μεταμορφωθὲν, ὑπεδύετο καὶ ὑπέτρεχεν, οὓς τῇ τοῦ σταυροῦ δυνάμει ἐπιτιμήσας ἐξήλασε παραυτίκα.

13. Ἐν δὲ τῷ πύργῳ παρεδρεῦον πορνικόν τι καὶ ἀσελγκῖ-

νον γύναιον, τὰς τῶν νέων φιλεμπαθεῖς ὁρμὰς ὑπεκκαῖον, καὶ πρὸς ἑαυτῷ τοὺς τῷ πάθει φλεγμαίνοντας ἐκκαλούμενον, μάλιστα δὲ, τοὺς ἐκ θαλάσσης | ὁρμωμένους (καὶ γὰρ ἔτυχε τὸν 278.
πύργον ἐπὶ τὰς τοῦ λιμένος ἐμβολὰς ἐφορᾶν). Ἐκεῖθεν οὖν τοὺς τὸν σάλον τῶν κυμάτων διαφυγόντας, καὶ τῶν ἀγωγίμων τὸν φόρτον ἐλλιμενίζοντας, αὕτη τῷ νόθῳ κάλλει καὶ τοῖς ἀκολάστοις νεύμασιν ὡς θανατηφόρους ὑφαπλοῦσα βρόχους, ἐζώγρει, καὶ τῷ θανάτῳ τῆς ἀπωλείας θανατοῦσα συνήλαυνε. Ταύτην οὖν τὴν ψυχωλέτειρα τοῦ πάθους ἀφορμὴν κατασβέσαι βουληθεὶς ὁ ὅσιος, πρὸς ἑαυτὸν τοὺς ναυτιλλομένους ἐκάλει, καὶ τῆς αἰσχρᾶς ἐκείνης παγίδος πανάγνοις νουθεσίαις ἐξείλκυε, τὸν νοῦν αὐτῶν ἐκκαθαίρων καὶ σωφροσύνην πείθων ἀσπάζεσθαι· τήν τε τοῦ πάθους κακεργάτιν γεννήτριαν, τοῦ τοιούτου μύσους ἀφεμένην, τοῦ λοιποῦ σωφρονεῖν θείῳ λόγῳ κατήρτισε, καὶ τὸ πρὶν πορνεῖον σεμνεῖον εὐαγὲς τῇ ἑαυτοῦ προεδρίᾳ διέδειξεν. Οὕτω καρτερῶν, καὶ ἱδρῶσι καὶ πόνοις τὴν ἀρετὴν συναύξων, φθονεῖται παρὰ τοῦ βασκαίνοντος τοῖς καλοῖς δαίμονος, ὃς κατὰ πρόσωπον αὐτῷ ἀγῶνα καὶ πάλην συνίστησι. Τὸν γὰρ ἐμφωλεύοντα τῷ πύργῳ δεινότατον δράκοντα, κατὰ τοῦ ὁσίου ὁρμῆσαι συνέπειθε, καὶ φονικὸν χάσμα κατ' αὐτοῦ διανοῖξαι, καὶ ταῖς δρακοντίοις βολίσι δεινὸν ἐπιφρίσσειν καὶ ἕρπειν ὡς τὸν ἅγιον κατηπείγετο, πρὸς ὃν ὁ ἅγιος ἐμβριθέστερον | διελέγετο· «εἰ μ[ὲν ἰ]σχύς σοι καταπιεῖν με δέ- 278.
δοται, μὴ μέλλε· ἰδοὺ γὰρ βρῶμά σοι ἑαυτὸν ἐπιδίδωμι· εἰ δὲ συνεῖναι τῇ ἐμῇ ἀσθενείᾳ τεθάῤῥηκας, οὐ παραιτήσομαι τὴν συνοίκησιν. Εἰ δέ γε ὑπὸ τῆς ἄνωθεν θείας ῥοπῆς ἐκνενευρισμένος ἐδείχθης, καταπαιζόμενος ὑπὸ τῶν φοβουμένων τὸν Κύριον, τὴν σὴν γνώρισον οἴκησιν, καὶ τῆς πρός με τὸν τοῦ Θεοῦ λάτριν ἀπαλλάγηθι συμβιώσεως». Ὁ δὲ, ὥς τις παραπλὴξ καὶ μαστιγίας ὑπὸ τοῦ λόγου βαλλόμενος, πρὸς τοὺς ἑαυτοῦ χηραμοὺς καὶ καταδύσεις ἠπείγετο· οἶδε γὰρ αἰδεῖσθαι καὶ

τὰ τῆς ἀλόγου μετέχοντα φύσεως, τὴν θείῳ λόγῳ κυβερνωμένην τῶν θεραπόντων αὐτοῦ πρὸς ἀρετῆς τελειότητα.

14. Ἐπεὶ δὲ ταῦτα οὕτως εἶχε, καὶ Θεὸς πρὸς σωτηρίας ὁδὸν δι' αὐτοῦ πολλοὺς ἐξεκαλεῖτο, ἰδοὺ γύναιον, πνεύματι πονηρῷ νυττόμενον, τῷ πύργῳ ἐφίσταται, καὶ παραμονῇ χρησάμενον, τῆς ἐνοχλούσης πείρας ταῖς τοῦ ὁσίου εὐχαῖς ἀπελύετο. Καὶ ἀνήρ τις, τῇ αὐτῇ δαιμονικῇ φορᾷ πιεζόμενος, καὶ ὑπ' αὐτῶν συνωθούμενος, ὀνομαστὶ τὸν ἅγιον ἐξεκαλεῖτο, φανερὸν τοῖς πᾶσι καθιστῶν· οὓς μὴ συγχωρήσας μένειν ἐν τῷ ἀνθρώπῳ, εὐθὺς ἐξήλασεν. Τὴν ἐν τῷ πύργῳ δὲ οἴκησιν μὴ φέρων, ἐκεῖθεν ἀπέπλει, καὶ Ὑδροῦς αὐτὸν εἶχε πόλις. Ὃν οἱ ἐν αὐτῇ
279. κακοδαίμονες οἰκήτορες, ὡς ἐπὶ | προδο[σίᾳ χριστιανῶν] ἥκ[ειν τον ἅγι]ον [ἀπε]κάλουν, [θάνατον] αὐτῷ ἐπανατείνοντες· ὥστε καὶ τὴν κεφαλὴν αὐτοῦ, σουδαρίῳ δεσμήσαντες, ἀποτυμπανίσαι διὰ σπουδῆς εἶχον. Ὁ δὲ ὅσιος, ταῖς κατὰ διάνοιαν εὐχαῖς τὸ ἀγριαῖνον τῆς γνώμης τῶν κακοποιῶν ὑποχαλάσας, οὐδὲν εἰς αὐτὸν πρᾶξαι παρέπεισεν. Εἷλκον δὲ λοιπὸν πρὸς τὸν τηνικαῦτα τῆς ἐπισκοπῆς ἀντεχόμενον, ὡς τὴν κατ' αὐτοῦ κρίσιν ἐπιτρέψαι. Ὁ δὲ, κατὰ πρόσωπον τοῦ ἐπισκόπου γενόμενος, οὐδὲ χαίρειν αὐτῷ προσειπὼν διὰ τὸ τῇ αἱρέσει αὐτὸν τῶν εἰκονομάχων προσκεῖσθαι. Κολαφιζόμενος δὲ ὑπὸ τῶν ἀγόντων, ἔφη· « τοῦτό σοι καταθύμιον, ὦ ἐπίσκοπε, θανατούμενον β[λέ]πειν ἄ[νθρωπον] καὶ [σιγᾶν] ». Ὁ δὲ τοὺς [κακοῦντας] τὸν ὅσιον ἀπεσό[βει] καὶ μαστίζειν ἠπείλει· οὓς ἱκέτης τῷ ἐπισκόπῳ καταστὰς πάσης ἐξείλετο κινδυνώδους κακώσεως. Ἐξ Ὑδροῦντος δὲ ἀπάρας, φωσσάτῳ Σαρακηνῶν περιέπεσε· καὶ μέσος αὐτῶν διελθὼν, ἦλθεν ἐπί τινι φρέατι, ἐν ᾧ κατέλαβεν ἕνα τῶν ἐχθρῶν ὑδρευόμενον, καὶ τὸν ἵππον ἑαυτοῦ ποτίζειν ἐθέλοντα. Ὃς ἰδὼν τὸν ὅσιον, καὶ ὕψου τὴν χεῖρα διάρας, ἐπειρᾶτο τῷ δόρατι κτείνειν· τῆς δὲ χειρὸς ἐπὶ χώρας μεινάσης ξηρᾶς καὶ ἀπῃωρημένης, ἐλιπάρει κατακολουθῶν τὸν ὅσιον, καὶ

τυχεῖν τῆς ἰάσεως καθικέτευεν. Ὁ δὲ τῆς προπετοῦς ἐκείνης χειρὸς ἐφαψάμενος, ἰάσατο παραυτίκα, καὶ τῇ θατέρᾳ | χειρὶ 279.
ὑγιᾶ συμπαρέστησεν. Ἐκεῖθεν δὲ προβάντος καὶ γενομένου πόρρωθεν, ἀνήρ τις, δαίμονι δεινῷ συνεχόμενος, ἠκολούθει τῷ ὁσίῳ βασανιζόμενος. Ὁ δὲ σπλαγχνισθείς, καὶ πρὸς αὐτὸν τὴν χεῖρα ἐκτετακώς, ἔφη· « Κύριε, τῷ σῷ ἐλέει οἴκτειρον αὐτόν », καὶ στραφεὶς ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ, καὶ ἐξήλασε τοῦ ἀνδρός.

14. Τῇ δὲ Θεσσαλονίκῃ πάλιν προσπελάσας, καὶ πρὸς τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Μηνᾶ μονὴν ποιησάμενος, ἐγνώσθη ὑπὸ τοῦ τηνικαῦτα τὴν ἐκκλησίαν διέποντος. Μηδὲν οὖν τῶν πρὸς τροφὴν ἐπιτηδείων ἔχων τὸ σύνολον, ἑνὶ δὲ χιτῶνι καὶ μανδύῳ τὴν περιστολὴν τοῦ σώματος πληρῶν, ἡνίκα τροφῆς ἐφειστήκει καιρός, τοῦ ναοῦ ὑπεξιών, εἴ που τινὰς ἑστιωμένους ἑώρα κατὰ τὰς οἰκίας, συνήρχετο καὶ συνεκάθητο, καὶ τροφῆς μετελάμβανε, καὶ τοῦτο ἐποίει ἐφ' ἡμέρας συχνάς. Λογισάμενος οὖν ἐν ἑαυτῷ, οὐκ ἀρεστὸν ἔφη· « ὧδε κἀκεῖσε βλέποντι, καὶ εἰς ἀλλοτρίους χεῖρας καὶ κόπους ἀναμένοντι, τὰ πρὸς τὸ ζῆν ἐρανίζεσθαι· Θεῷ οὖν μελήσει (*) τὰ περὶ ἐμοῦ ». Καὶ ἦν ἔκτοτε ὑπομένων, τὴν παρὰ τοῦ Θεοῦ χορηγίαν ἀπεκδεχόμενος. Ὁ δέ, τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν Κύριος, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούων (**), ὡς Ἠλίᾳ πάλαι τράπεζαν ὑπὸ πτηνοῦ δαψιλευσάμενος, καὶ δι' ἀγγέλου προφήτην ἄλλον, λάκκῳ κατακριθέντα, τροφῇ κορέσας, καὶ τῷ ὁσίῳ διὰ γυναίου τὴν ἐφήμερον βρῶσιν | παρήρτυσεν. 280.
[Τῷ] ἠρεμοῦντι δὲ αὐτῷ καὶ τῆς ἀσκήσεως ἐπιμελουμένῳ, ἐφίσταται γύναιον, λύπῃ καὶ θρήνῳ βαλλόμενον, οὑτωσὶ λέγον· « ὅ μοι δωμάτιον, κύριε, πρὸς σκέπην ἐτύγχανεν, ἐξαπίνης κατέπτωται, καὶ ἀπορίᾳ σύντροφος οὖσα, δομῆσαι πάλιν τοῦτο

(*) Χ. μελλήσει. (**) Ψαλμ. ΡΜΕ'. 19.

οὐχ' ἱκανῶς ἔχω· δέομαί σου τοίνυν, ἵνα μοι τῇ ταλαιπώρῳ συναντιλάβοιο». Ὁ δὲ τῆς συμπαθείας ἐργάτης ὅσιος, ᾤκτειρέ τε αὐτὴν καὶ φησί· «ἄπελθε, γύναι, ἐν εἰρήνῃ καὶ τῆς οἰκοδομίας ἐφάπτου· καὶ Θεὸς ὁ χηρῶν καὶ ὀρφανῶν προστάτης, αὐτός σοι συναντιλήψεται». Ἡ δὲ, ὥσπερ τοῦ αἰτηθέντος εἰληφυῖα τὴν δόσιν, τοῦ ἔργου εἴχετο, καὶ τοὺς θεμελίους διορύσσειν ἀπήρχετο· ἐν οἷς πλῆθος ἀνεικάστου πίσσης, ἐξαπίνης φανὲν, ἀνεδόθη, ἐξ ἧς τὸν οἶκον ἐδομήσατο, καὶ τὰ πρὸς τροφὴν δαψιλῶς ἐπορίσατο. Ἐν δὲ τῇ αὐτῇ πόλει, ἀδελφός τις διακονεῖν τοῖς πένησιν ἐπιτηδείως ἔχων, εἴληφε παρά τινος λόγῳ μεταδόσεως χοίρους τρεῖς, ὃς, ἐκ τοῦ δοθέντος μοῖράν τινα παρ' ἑαυτῷ ὑφελόμενος, τὸ λοιπὸν τοῖς πένησι διανέμειν ἀπήρξατο. Καταστὰς οὖν ἐν τῷ τοῦ μάρτυρος σηκῷ, ἐκτενῶς τοῦτον ἱκέτευε, καὶ πυγμαῖς συχναῖς τὸ στῆθος ἐξέκοπτεν. Ὁ δὲ ὅσιος ἐγγίσας αὐτῷ· «ἕως πότε, φησὶ, τὸ στῆθος κόπτεις ἀνόνητα; οὐδεμία σοι τῆς εὐχῆς ἀποδοχὴ, πρὶν ἢ τοῖς δεομένοις, ὅπερ ἀπεκράτησας, ἀνασώσειας». Τοῦ δὲ πρὸς τὸν ὅσιον βλέψαντος,
280. καὶ ἄφεσιν τοῦ πραχθέντος | [αἰτήσαντος], τ[ὴν] συμ[πάθειαν ἀν]τελάμβανε. κ[αὶ τοῖς] πένησι τὸ ἑαυτοῦ ἀνέσωζεν.

15. Ἡσυχάζοντι δὲ αὐτῷ ποτε ἔν τινι κελλίῳ, μεταβαλὼν ἑαυτὸν ὁ ἐχθρὸς εἰς ἕνα τῶν τῆς πόλεως σαλῶν, ἐξαπίνης τῷ κελλίῳ ἐφίσταται· καὶ, τοῖς ὤμοις ἐπιβὰς τοῦ ὁσίου, ἔνδον τοῦ κελλίου εἰσδύνας, σεσηρότι γέλωτι καταπαίζειν ἤρξατο. Ὁ δὲ Χριστὸν ἐπονομάσας καὶ ἁγίῳ ἐμφυσήματι τοῦτον προσπνεύσας, ἐξήλασε παραχρῆμα. Ἄλλοτε δ' αὖ πάλιν εἰς ὄφιν ὁ ἐχθρὸς μετεβάλλετο, καὶ τῷ ψιαθίῳ τοῦ ἁγίου ἀναιδῶς ὑπεδύετο· καὶ ἄλλοτε εἰς λύκον ἀγριαίνοντα μετετάττετο, ἔστι δ' ὅτε, καὶ βολαῖς λίθων σὺν ἀσέμνοις βοαῖς, τὸ κελλίον βάλλειν ἐφαίνετο. Ἀλλὰ διὰ πάντων αὐτοῦ τῶν ἐπινοιῶν, [π]άν[τοτε] ἠ[σχύνετο]· τὴν γὰρ [ποι]κιλί[αν τῆς] μεθοδίας αὐτοῦ μὴ ἀγνοήσας ὁ ὅσιος, τῇ ἐν[οι]κούσῃ ἐν αὐτῷ θείᾳ χάριτι κατέβαλλεν αὐτόν. Μοναχῷ δέ τινι

στύλῳ τὸ σῶμα περιγράψαντι, πλησίον τοῦ ἀθλοφόρου Μηνᾶ, τὴν τοῦ θανάτου ἐπιστασίαν διὰ μηνύματος προεῖπε· «μὴ μελλήσῃς λέγων εἰς τὸ ἐργόχειρόν σου· μέλλεις γὰρ οὐ μετ' οὐ πολὺ τρίβον διανύειν ξένην». Καὶ ὁ λόγος ἔργον ἐγένετο· ὅσον γὰρ οὔπω καὶ ὁ στυλίτης κεκοίμητο. Ἑτέρῳ δὲ πρεσβυτέρῳ Θεοδούλῳ τοὔνομα, πρὸς αὐτὸν ἀφικνουμένῳ καὶ εὐχῆς ἐπιδεομένῳ, φησὶν ὁ ὅσιος· «πορεύου, ἀδελφέ, καὶ ἀνάγγειλον, τῷ ἀββᾷ σου, ἄνοιξον, λέγων, τὸν τάφον σου, καὶ ἀντὶ πλακὸς, σινδόνα ἐπίβαλε». Ὁ δὲ, τούτων ἀκούσας, ὑπέστρεφε, καὶ μικρὸν | οὔπω, καὶ αὐτὸς ἐτελεύτα. Δύο δὲ ἤστην κατὰ σάρκα ἀδελ- 281.
φῶν, πολλῇ γνησιότητι πρὸς τὸν ὅσιον διακειμένων, πρὸς οὓς ἔφη· «ἔρως μοι πολὺς, ὦ τέκνα, ἰδεῖν ὑμᾶς τῷ μοναδικῷ ὑπεισιόντας ζυγῷ· τοῦτο γὰρ εἰς καλὸν ὑμῖν ἀποβήσεσθαι μέλλοι». Οἱ δὲ πρὸς αὐτὸν ἀντέφησαν· «οὐκ ἐσμὲν, ὦ πάτερ, ἱκανοὶ τῷ θείῳ τούτῳ ὑπεισδῦναι σχήματι, προφάσεις εὑρίσκοντες, τὰς τοῦτο κωλύειν δυναμένας». Ὁ δὲ, διορατικῷ βλέμματι τὰ μέλλοντα συμβήσεσθαι τούτοις θεώμενος, ἔφη· «ἡ μὲν προαίρεσις ὑμῶν ἀπαναίνεται, ἐπὶ δὲ στρατείαν καὶ μὴ βουλομένους, ὁ χρόνος οὗτος ὑμᾶς κατατάξει». Οἱ δὲ τῇ ἐπιγείῳ στρατείᾳ κατατάττεσθαι λέγειν τὸν ὅσιον ὑπετόπαζον· ἀλλ' οὐ πολὺς παρίππευσε χρόνος, καὶ ἄμφω τῶν ἀδελφῶν ὁ θάνατος κατελάμβανεν.

16. Μοναχὸς δέ τις, μεθ' ἑτέρων ἀδελφῶν ἡσυχίαν ἀσκῶν, προσεποιεῖτο ὑπὸ δαίμονος ὀχλεῖσθαι. Οἱ δὲ συνόντες αὐτῷ, τὴν βίαν τῆς ἀταξίας μὴ φέροντες, περιθεῖναι κλοιὰ καὶ πρὸς τὸν ἅγιον ἕλκειν διενοήθησαν· οὗ τὸν ἐπίπλαστον σκοπὸν κατὰ τὸν ἐθελούσιον δαίμονα διελέγξας, σεσωφρόνηκε τὸν τοῦτο κακῶς ἐπιτηδεύσαντα, λέγων· «ὡς ψευδής σου, ἀδελφέ, ἡ προσποίησίς ἐστιν, ἐξ ἧς ὠφεληθῆναί σε ἀμήχανον. Πρόσεχε οὖν σεαυτῷ, καὶ εὔχου μᾶλλον φεύγειν ἀπὸ σοῦ τοὺς δυσμενεῖς καὶ κακοτρόπους δαίμονας· οὕτω γὰρ ἔσῃ Θεὸν ἐπισπώμε-

νος». Ἀνὴρ δέ τις, λίαν τῷ ἁγίῳ συνεργούμενος, θαμινώτερον
281. πρὸς αὐτὸν παραβάλλων, | ἕωθέν ποτε ὁρμῆσαι πρὸς αὐτὸν βουληθείς, κατὰ τὴν ὁδὸν ἐκ τύχης τινὸς ὁρᾷ τεθνηκὸς ἀνθρώπου κείμενον σῶμα, καὶ μηδαμῶς περὶ τοῦ ἀποιχομένου φροντίσας, ἀντιπαρῆλθεν. Ἐπιστὰς οὖν τῇ κέλλῃ τοῦ ὁσίου, ἤκουε παρ' αὐτοῦ πρὸ παντὸς ἄλλου προσρήματος, τοιάδε· «ὦ ἀδελφέ, εἴπερ ἐγὼ συνέτυχον κατὰ τὸν ὁδὸν ἐῤῥιμμένον νεκρὸν, ἔθαψα ἂν, καὶ οὕτως τῆς ἐπίπροσθεν εἰχόμην ὁδοῦ». Ὁ δὲ, τῷ λόγῳ μεστὸς γεγονὼς ἐκπλήξεως, τὴν διορατικὴν τοῦ πατρὸς ἐπιστασίαν εἶχεν ἐν θαύματι. Ἄλλος δέ τις τὴν τοῦ κόμητος διέπων ἀξίαν, ἐπί τινι πτώματι ἁλοὺς, φρουρᾷ παρὰ τοῦ τὸν τόπον ἐξουσιάζοντος παραδίδοται· (θάνατος γὰρ ἦν τὸ τῆς αἰτίας τοῦ ἀνδρὸς ἐπιτίμιον). Ὁ δὲ πατὴρ ἡμῶν Γρηγόριος, μή ποτε τὸ δρᾶμα μεμαθηκὼς, μηδέ τινα περὶ τούτου φήμην δεξάμενος, πρὸς τὸν ἄρχοντα ἧκε, καὶ δεσμώτην τῆς φρουρᾶς καὶ τοῦ προσδοκωμένου θανάτου ἐξείλετο.

17. Βουλή ποτε τῷ ἁγίῳ γέγονε σὺν ἑνὶ τῶν μαθητῶν ὁρμῆσαι πρὸς τὰ τῶν Σκλαβηνῶν μερῶν ὄρη, ἠλπικότι ἐν τούτοις ἡσυχίας τῆς ἐπιθυμουμένης τυχεῖν. Ἐπιλαβόμενος οὖν τῆς ὁδοῦ, καὶ μικρόν τι γεγονὼς προσωτέρω, τάχει πολλῷ πρὸς τὸν ἐν ᾧ ἐξῆλθε τόπον, ἀνθυπενόστει. Ὁ δὲ σὺν αὐτῷ
282. τὴν πορείαν ποιούμενος, τὴν ἀθρόαν μεταβολὴν ἑωρακὼς, | ἔφη· «πάτερ, τ[ίμι]ε, τίς ἡ ὀξεῖα αὕτη εἰς τ[οὐ]πίσω παραδρομή; εἰ γὰρ ταχινὴν οὕτω διανύειν ὁδὸν ἐμέλλομεν, τίς χρεία καταλιπεῖν τὸν ἐν ᾧ τόπον ἦμεν;» Ὁ δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· «πόθος μοι ἦν ἀδελφὲ, τὴν ὁρμὴν ἡμῶν εἰς τὰ ἐκεῖ γενέσθαι, ἀλλ' ὁρῶ, ὡς ἥλιος ἐν αὐτοῖς οὐκ ἐπιλάμπει». Οὕτως εἰπὼν ὑπέστρεφε. Καὶ μεθ' ἡμέρας τινὰς, στάσις οὐ μικρὰ τοῦ τῆς ἐκείνης Σκλαβηνίας ἐξάρχοντος γέγονε, καὶ πολλὴ χύσις αἱμάτων ποταμηδὸν ἐπεῤῥύη, καὶ πυρίκαυστος ἡ περίχωρος ἐκείνη γέγονε, καὶ σκοτοδινίας μεστή. Διεβεβαιοῦτο δὲ τῷ λό-

γῳ καὶ τοῦτο· ὡς ἄνευ σφραγῖδος καὶ νεύσεως βασιλικῆς οὔ ποτέ μοι γέγονεν ἐκ τόπου εἰς τόπον μεταβιβάσαι [τὸν] πόδα. Ν[έῳ] δ[έ τινι] ἐν τῇ τῶν παίδων σχολῇ διατρίβοντι, μοναχός τις ὤφειλε νόμισμα ἕν. Γενόμενος οὖν ὁ μοναχὸς πρὸς τὸν αὐτοῦ καθηγεμόνα καὶ μέγαν Γρηγόριον, ἐξεῖπε τὴν τῆς ὀφειλῆς αἰτίαν. Ὁ δὲ φησί· «ἀπόδος τάχιον, εἴ τι ὀφείλεις, ὡς ἂν ὑπόχρεων σαὐτὸν μὴ ποιήσῃς· ὁ γὰρ τὸ χρυσίον χρήσας σοι, μέλλει πρὸς Κύριον ἐκδημεῖν». Ἀπέδωκεν οὖν σὺν πολλῷ τῷ τάχει τὸ δάνειον, καὶ οὐ πολὺ τὸ μέσον, καὶ τοῦ τῇδε βίου ὁ νέος μεθίσταται, οὗ τὴν τελευτὴν καὶ ταφὴν, τῶν ὁμηλίκων ἦλθέ τις ἀπαγγέλλων τῷ θεσπεσίῳ πατρί. Ὁ δὲ, καὶ πάνυ ἐπὶ τῷ κατοιχομένῳ ἀνιαθεὶς, τῷ μηνύσαντι ἔφη· «μηδαμῶς, ἀδελφὲ, περὶ τοῦ προλαβόντος σκυθρώπαζε, | ἀλλὰ 282. τὰ πρὸς τὴν σὴν διευθέτησον ἔξοδον· μέλλεις γὰρ διὰ τάχους τῷ ἀποιχομένῳ συνέπεσθαι». Ὁ λόγος οὖν ἐπεραίνετο, καὶ ὁ νέος τοῦ βίου μεθίστατο.

18. Ἀναστάσιος δέ τις μοναχὸς, ἐπ' εὐλαβείᾳ καὶ ἀσκητικῇ πολιτείᾳ σεμνυνόμενος, διηγήσατο· «ὡς βουλή μοι γέγονε πρὸς τὴν μεγαλόπολιν τοῦ Βυζαντίου ἀπᾶραι. Ἀφικόμην οὖν πρὸς τὸν ὅσιον εὐλογηθῆναι, καὶ τῆς ὁδοῦ ἔχεσθαι». Ὁ δὲ πρός με φησί· «εἶδόν τινα μοναχὸν Ἀναστάσιον, τὴν ἑαυτοῦ ἀποσκευὴν πλοίῳ ἐνθέμενον, ὥστε ἀποπλεῖν, ἀφέντα πάντα, φυγῇ χρήσασθαι». Ἐγὼ δὲ ἔφην· «δι' ἐμέ σοι τοῦτο, πάτερ, ἐκκεκάλυπται;» Ὁ δὲ, πρός με ἀπεκρίνατο· «τοῦτο [γέγον]ε». [Καὶ] τριῶν διε[λθουσῶν] ἑβδομάδων, ἐμβαλόντος μοι πλοίῳ τὰ πρὸς τὴν δίυγρον ὁδὸν ἐπιτήδεια, ἰδού τις Γεώργιος, ἀξίᾳ τῇ κατὰ πρόσωπον τοῦ ἐκεῖσε στρατηγοῦντος τιμώμενος, ὃν πρωτοκαγγελλάριον ἐκάλουν, μέλλων καὶ αὐτὸς διὰ τῆς ἠπείρου πρὸς τὸ Βυζάντιον καταίρειν, παρεγένετο, ἀπολαῦσαι τῆς τοῦ ἁγίου εὐχῆς ἱμειρόμενος (διὰ γὰρ δυσχερῶν καὶ ἐπιφόβων τόπων διοδεύειν ἤμελλεν). Ὁ δὲ πατὴρ ἡμῶν λαβόμενος τῆς

ἐμῆς χειρὸς, τῇ τοῦ Γεωργίου χειρὶ συζευγνύει, καὶ φησί· « μετὰ Θεὸν σοὶ τοῦτον τὸν ἀδελφὸν παρατίθημι τελέσαι τὴν ἐπικειμένην αὐτῷ τρίβον σὺν σοί ». Ἐγὼ δὲ τῶν ἐν τῷ πλοίῳ
283. πάντων ἀλογήσας, | τῷ Γεωργίῳ εἰπόμην.

19. Εὐλογηθέντες οὖν ἄμφω, τῆς προκειμένης ἐφηπτόμεθα τρίβου. Τῇ Χριστοπόλει οὖν πλησιασάντων ἡμῶν, κρατεῖται ὁ σὺν ἐμοὶ Γεώργιος ὑπὸ τῶν τοῦ Καίσαρος ὑπασπιστῶν· ἐπεὶ γὰρ τῷ Καίσαρι παρὰ βασιλέως καθεῖσθαι προστέτακτο, καὶ ὡς αὐτὸν Καίσαρα ἤγετο, γνωστὸς οὖν τῶν ἀγόντων ἐγὼ τυγχάνων, λιπαρῶς τούτους ἐξήτουν, καὶ παρακλήσεσι συχναῖς δυσωπήσας, τὸν δεσμοῖς κατεχόμενον ἐξειλόμην Γεώργιον. Ἐκεῖθεν οὖν πρὸς τὸ Βουλλερὸν γενομένων ἡμῶν, αὖθις συνεσχέθη ὑπὸ τοῦ συνόντος τῷ Καίσαρι μαγίστρου Γεώργιος, λέγοντος ἐπιβουλήν τινα παρ' αὐτοῦ πεπονθέναι. Ἱκέτης [οὖν πάλιν τῷ μαγίστρῳ] καταστὰς, σ[υνεπεργα]ζομένης τῆς τοῦ [ὁσίου] ἐντεύξεως πρὸς τὸ κρεῖττον, τῆς μελλούσης κακώσεως ἐῤῥυσάμην Γεώργιον. Διελθόντες δὲ τὴν Μαρώνειαν, καὶ πλοίῳ ἐπιβάντες, παρήλθομεν μεταξὺ τῶν ἐκεῖσε θηρευόντων ἐχθρῶν, καὶ τὴν ὄψιν αὐτῶν διαλαθόντες, διεσώθημεν ἀσινεῖς. Ἐν δὲ τῷ Βυζαντίῳ γενόμενοι, ἐγὼ μὲν, ἐν αὐτῷ μένειν ἔκρινα, Γεώργιος δὲ τὰ κατ' αὐτὸν καλῶς διαθεὶς, καὶ ἀξίαν παρὰ τοῦ κρατοῦντος εἰληφὼς, ἣν κανδιδάτον Ῥωμαίοις καλεῖν ἔθος, πρὸς τὴν ἐνεγκαμένην ὑπενόστει· καὶ τῶν ἰχνῶν τοῦ ὁσίου ἀξιωθεὶς, φωνὰς προσῆγεν αἰσίους, πάντα τὰ κατὰ τὴν ὁδὸν συμβεβηκότα αὐτῷ φανερὰ καθιστῶν, καὶ ὡς ἐκ πάντων ταῖς αὐ-
283. τοῦ ἱεραῖς πρὸς | Κύριον ἱκεσίαις ἐῤῥύσθη μετὰ συντριμμοῦ καρδίας ἀπαγγέλλων.

20. Μηνῶν δὲ τριῶν παρῳχηκότων, ἐκ Θεσσαλονίκης ἀπῆρεν ὁ ὅσιος καὶ πρὸς τὸ Βυζάντιον κατέπλει, ἐν ᾧ ξενίζεται παρ' ἐμοὶ, καὶ πρὸς τὰς τοῦ Ὀλύμπου προπέμπεται ἐξοχάς. Ὃς μικρὸν τοῖς ἐκεῖσε προσδιατρίψας, ἔγνω τῷ πνεύματί τινα τῶν

αὐτοῦ μαθητῶν ἐκ Θεσσαλονίκης ἥκειν. Ἐκχωρήσας οὖν Ὀλυμπόθεν, καὶ πρὸς τῇ πόλει γενόμενος, συνήντα τῷ μαθητῇ, ὃς καὶ πρὸς αὐτὸν ἔφη· « πάτερ τίμιε, διὰ σὲ καὶ τὸν σὸν πόθον ἐλήλυθα ». Ὁ δέ, « κἀγὼ διὰ σέ, φησί, ἐκ τῶν Ὀλυμπίων ἀκρωτηρίων κατέσπευσα, ἵνα μή, ζητῶν με, κάμοις. » Ἄλλος δέ τις τῇ Θεσσαλονίκῃ προσοικῶν μοναχός, ᾧ ὄνομα Ζαχαρίας, ὃς καὶ τὸν σηκὸν Μηνᾶ τοῦ μάρτυρος ἀνεδείματο, γυναίῳ τινὶ τοῦ θείου τούτου νεὼ καταμένοντι πλησίον, τοῦ γειτονήματος ἕνεκεν διεμάχετο. Ὁ δὲ ἅγιος τὸν Ζαχαρίαν ἐλιπάρει, μὴ λυπεῖν τὸ γύναιον· οὐδὲ γὰρ ἄτοπόν τι παρ' αὐτῆς τοῖς σοῖς προστριβήσεται. Ζαχαρίας οὖν, οὐκ ἠνείχετο διακοῦσαι τῆς τοῦ ὁσίου πρὸς αὐτὸν παραινέσεως· σκληρῷ δὲ θυμῷ φερόμενος, καὶ τὸ δωμάτιον καθαιρεῖν προσέθετο. Ὁ δὲ φιλοικτίρμων πατὴρ ἡμῶν, ἐμβριθέστατα τούτῳ βλέψας, ὑπεχώρει, καὶ τῆς συνήθους εἴχετο ἡσυχίας. Οὔπω δὲ τελεσθείσης ἡμέρας, καὶ Ζαχαρίας, πειρατηρίῳ δαίμονι συνηλαύνετο, καί, χειραγωγούμενος, πρὸς τὸν ὅσιον ἤγετο, ᾧ καὶ ἐπαγγελλομένῳ | τὰ προστατόμενα πληροῦν, ἐλευθερίαν ὁ ὅσιος τῆς ἐπηρείας τοῦ δαίμονος καθυπέγραψεν. 284.

21. Ἕτερος δὲ μοναχὸς Πέτρος ὀνόματι, τῆς ἡσυχίας ἐρασθεὶς τοῦ ὁσίου, βουλεύεται πλησίον αὐτοῦ κελλίον δομῆσαι. Καὶ δὴ τοῦ ἔργου ἁψαμένου, ἔκ τινος λίθου δύο ἀνεδόθησαν ἔχιδναι· καὶ ἡ μὲν τῆς αὐτοῦ δεξιᾶς χειρὸς ἐκρεμάννυτο, ἡ δέ, τῶν ποδῶν τὸν ἕτερον ἐκδακοῦσα, συνέθλιβε. Δρόμῳ οὖν καὶ τάχει ἐπίπροσθεν τοῦ ἁγίου ἑαυτὸν ἐπιρρίψας, τὴν τῶν θηρίων ἐπεδείκνυ δεινότητα. Ὁ δὲ τῇ ἐμφύτῳ ταπεινώσει βαλλόμενος, καὶ μηδὲν εἰδὼς ἐνδεικτικῶς διαπράττεσθαι, ἔφη τῷ Πέτρῳ· « πορεύου· καὶ τῇ σορῷ Δαυῒδ τοῦ ὁσίου προσέγγιζε (οὐ γὰρ πόῤῥωθεν ἦν,) καὶ αὐτός σοι σὺν Θεῷ ἀντιλήψεται. » Ὁ δέ, τῇ τῶν θηρίων, ὡς τὸ εἰκός, δήξει νυττόμενος, ἀντέφησεν· « ὦ πάτερ, τῆς σῆς θεραπευτικῆς εὐχῆς, οὐκ ἀφέξομαι,

οὐδὲ ἐκεῖ πορεύσομαι. Οἴκτειρον οὖν με, καὶ τοῦ συνέχοντος δεινοῦ καὶ προσδοκωμένου θανάτου διάρπασον.» Ὃς δισσῷ δήγματι τῶν ἔχεων εὐκτικῇ θεραπείᾳ ἐπάσας, τὸν ἄνδρα τῆς τούτων ἐλυτρώσατο βλάβης. Παρθένος δέ τις λύμῃ τοὺς ὀφθαλμοὺς ἀμβλυώττουσα, ἔμελλε τοῦ προσόντος ἐστερεῖσθαι φωτός. Ἠδυνήθη οὖν συντυχεῖν τῷ ἁγίῳ, καὶ μεθ' ἱκετείας ἐβόα· «μή με τὴν τάλαιναν ὑπερόψει, Χριστοῦ θεράπων, τὴν τοῦ φωτὸς στέρησιν ὑπομένουσαν.» Ὁ δὲ, μόλις ἐπικαμφθεὶς τῇ τῆς κα-
284. μνούσης δεήσει, | ἐπιθεὶς αὐτῇ χεῖρα, τὴν λύμην ἔστησεν· ᾐσθάνετο γὰρ ἐκδιδομένην φλόγα τοῦ μετώπου καὶ συνεξέλκουσαν τὴν βλαβερὰν ἐκείνην ἐπίῤῥυαν· ὅθεν τῆς ῥώσεως καὶ μάλα ταχέως ἀπήλαυσεν.

22. Προσκαρτεροῦντι δὲ τῷ ὁσίῳ ἔν τινι κελλίῳ καὶ τοῦ δρόμου τῆς ἀρετῆς εὐτόνως ἐχομένῳ, πρός τινα τῶν ἑαυτοῦ μαθητῶν περὶ ψυχικῆς προκοπῆς διελέγετο. Ὁ δὲ μαθητὴς τῇ διαλέξει εὐήκοον οὖς ὑποθεὶς, τοὺς ψυχωφελεῖς ἐκείνους ἐκαρπίζετο λόγους. Ἐν μιᾷ οὖν τῶν νυκτῶν, διαλεγομένῳ τῷ ὁσίῳ, ὁρᾷ πυρὸς γλῶσσαν τῷ στόματι αὐτοῦ ἀφικνουμένην, καὶ ὧδε κἀκεῖσε τὴν ὄψιν αὐτοῦ περιθέουσαν, καὶ ἀντανάκλασιν φωτοειδοῦς μαρμαρυγῆς ἐπαφιεῖσαν, καὶ τοῦτο οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις τεθέατο. Τοῦ θαύματος οὖν τὸ ἀσύγκριτον τὸν μαθητὴν ἐκπλῆξαν, εἰς ἀγωνίαν συνήλαυνε· καὶ δὴ ἐπιστὰς, ἠρώτα τὸν ὅσιον, μαθεῖν τὸν τρόπον τῆς τοιαύτης ξένης ὁράσεως λιταζόμενος. Ὁ δὲ πατὴρ, ἱλαρᾷ γνώμῃ καὶ ἡσυχίῳ πνεύματι ἐπιτιμήσας τούτῳ, ἔφη· «πεπλάνησαι ἀδελφὲ, οὐδὲ γὰρ τῆς σῆς, ὡς φὴς, ὀπτασίας ἐμοί τι σημεῖον γέγονεν. Εὔχου οὖν καὶ τὸ, προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς (*) ἐπὶ γλώσσης φέρων, καὶ τῷ τὴν ὀπτασίαν διαδείξαντι εὐχαριστίαν ἀποδιδοὺς, τῆς ἐνεργοῦς προ-

(*) Ψαλ. ΙΕ. 8.

σευχῆς ἀντέχου. Ἔσται γάρ σοι οὕτω πονοῦντι, ἐκτῖλαι τῇ τοῦ πνεύματος μαχαίρᾳ τὴν τῶν παθῶν ὑλομανοῦσαν ἄκανθαν, ἣν ἄνωθεν πᾶς τις σπασάμενος καὶ | πυρὶ θείῳ φλέγων τὴν 285.
ἀκαρπίαν τῆς ἀπραξίας, πολύχουν τὸν τῆς ἀρετῆς ἀμήσει καρπόν· οὕτω γὰρ καὶ τῇ ἐμῇ ὁ Θεὸς ταπεινότητι δι' εὐχῆς τε καὶ θείας προκοπῆς μάχαιραν δίστομον χρυσῆν ἐνεχείρισεν, ἧς τὸ μέγεθος καὶ κάλλος ἐξειπεῖν ἰλιγγιῶ, καὶ δι' αὐτῆς φωτὸς περιήστραψεν αἴγλη, ἣν σοὶ χρηστότητος οἰκτιρμοῖς ἀπεκάλυψεν. Μὴ τοίνυν ἔξω χειλέων τοῦτο προενεγκεῖν βουληθῇς, μήπως δόξῃ τισὶν ἀπατηλὴν εἶναι τοῖς ἀκούουσιν ὅρασιν· ὡς γὰρ ἠγαπημένῳ σοι καὶ βιασαμένῳ με, φανερῶσαι τοῦτο, προτεθύμημαι.»

23. Κοσμικός τις, φιλίᾳ πρὸς τὸν ὅσιον συνδεόμενος, ἧκε πρὸς αὐτὸν, εὐλογίαν κομίζων καὶ εὐλογηθῆναι ζητῶν, πρὸς ὃν, ἔφη· «ἀπελθὼν, ἀδελφὲ, σεαυτὸν ἕτοιμον ποίησον· ὁ γὰρ καιρὸς τῆς ἀναλύσεώς σου ἐφέστηκεν.» Ὁ δὲ, ὡς ἔκ τινος ἀγγέλου Θεοῦ τὸν λόγον δεξάμενος, τάχει πολλῷ τὴν προσοῦσαν αὐτῷ ὕπαρξιν πτωχοῖς διανείμας, τήν τε κόμην ἀπεκείρατο καὶ μοναχοῦ σχῆμα περιθέμενος, ἐν σεμνότητι βίου τῆς ἐκεῖθεν μετέσχε λήξεως. Γυνὴ δέ τις, δεινῇ κεφαλαλγίᾳ πιεζομένη, καὶ ἧττον οὐδὲν δαιμονῶντος πάσχουσα, μεταπεμψαμένη τὸν θαυμάσιον ἄνδρα, εὐχὴν ᾔτει· ὃς παραγενόμενος, καὶ χεῖρα τῷ γυναίῳ κατὰ κεφαλῆς ἐπιθεὶς, καὶ ἱδρῶτι πολλῷ περιαντλήσας αὐτὴν δι' εὐχῆς, τῆς διακαοῦς ἐκείνης καὶ φλογώδους ἀπέλυσε ζέσεως. Ἀνὴρ δέ τις καὶ οὗτος φρίκῃ καὶ πυρετῷ συνεχόμενος, καὶ πάσαις ἰατρικαῖς ἐπιμελείαις ἑαυτὸν ἐπιῤῥίψας, ἤνυσεν οὐδέν· ὑπὸ δὲ τοῦ πάθους δεινῶς ἐνοχλούμενος, | αὐτομολεῖ πρὸς τὴν 285.
ἴασιν, καὶ τὸν χιτῶνα περιδεὶς τοῦ ὁσίου, μήπω παρόντος, τὴν τρομώδη φρίκην διὰ τῆς τοῦ χιτῶνος περιβολῆς κατεμάρανεν. Μοναχῷ δέ τινι, ἀκαθάρτῳ συσχεθέντι δαίμονι, καὶ πολλὴν ὑπομένοντι κάκωσιν, ἐγένετο παρακαλεῖν πρὸς τὸν ὅσιον· καὶ

τοῦτον, ὡς τὸ εἰκὸς, ἐπὶ τῶν κατ' οἶκον ἀγνοούμενον, δακτυλοδεικτῶν ὁ πνευματιζόμενος, ἔλεγεν· «ἰδοὺ παρέρχεται ὁ κεκαυμένος Γρηγόριος (ἦν γάρ τοτε διά τινα νόσον καυτῆρας ἐπιθεὶς τῷ ἰσχίῳ καὶ τῷ στομάχῳ).» Ἐπεβόα δὲ καὶ αὖθις ὁ δαίμων· «Γρηγόριε, τοῖς ἐν σοὶ καυτῆρσι φλέγεις με.» Οἱ δὲ τοῦτον γινώσκοντες, τῷ δαίμονι ἔφασκον, «ἀκάθαρτον καὶ κακόδαιμον πνεῦμα, τὸν Γεώργιον Γρηγόριον καλεῖς;» Ὁ δὲ ἀπεκρίνατο· «ἐπλάσατο ἑαυτὸν κεκληκὼς Γεώργιον, ἐπεὶ Γρηγόριος ὀνομάζεται· ὃς παννύχιος τῷ ναῷ προσεδρεύων, καὶ μὴ ἱκανῶς ἔχων γόνυ κλῖναι διὰ τοὺς ἐπιτεθέντας καυτῆρας, ἐκτενέσι χερσὶ πρὸς οὐρανὸν ἀποβλέπων, κατεντυγχάνει μου. Ὅθεν τοῦ πλάσματος ἀπανίσταμαι· οὐ γὰρ φέρω τὴν ἀπειλὴν τοῦ διώκοντος.»

24. Ἰωάννης δέ τις, μαθητὴς ὢν τοῦ ὁσίου, ἀνὴρ ἐπ' εὐλαβείᾳ κοσμούμενος, σὺν πολλῇ πληροφορίᾳ ἡμᾶς ἐπιστώσατο· ὡς, περιπατούντων ἡμῶν ἔωθεν ὁμοῦ, συνέβη δι' ἄλλης με γενόμενον ἀποπλανηθῆναι καὶ προφθάσαι τὸν ἅγιον οὐκ ὀλίγον διάστημα. Ἐνισταμένης δὲ ὥρας ἕκτης, ἐπιστραφεὶς, ἑώρων αὐ-
286. τὸν | πλησίον ἐρχόμενον, καὶ ὡς μόνον εἶπον ἐν ἑαυτῷ· ἰδοὺ παραγέγονεν ὁ πατὴρ, ἀφανὴς ἐκ τῶν ἐμῶν γέγονεν ὄψεων. Καὶ μεθ' ἡμέρας τρεῖς ἡνῶσθαί με τούτῳ συνέβη, καὶ πρὸς αὐτὸν εἶπον· «τίμιε πάτερ, οὐχὶ σύ μοι φανερὸν ἐν τῷδε τῷ τόπῳ κατέστησας;» Ὁ δὲ, τὸ ταπεινὸν ἐνδεικνύμενος, ὑπέκρυπτε τὸ γενόμενον, ἀλλ' οὐκ εἰς μακρὰν διωμολόγει· ὡς τῇ ἡμέρᾳ ἐκείνῃ τὴν πορείαν μετὰ σοῦ ἐποιούμην, ἕως ἀπελθὼν ἐχωρίσθης ἐν τῇ κατέναντι μεῖναι κώμῃ. Τὸ δ' αὐτὸ καὶ ὁ πολλάκις μνημονευθεὶς Συμεὼν, ἑωρακέναι διεβεβαιοῦτο. Καὶ γὰρ, φησὶ, τῷ ναῷ συνεστῶτα θεώμενος, τῆς ἐμῆς ὑπεξήρχετο θέας, καὶ πάλιν μικρὸν ἐν τῷ προτέρῳ τόπῳ συνιστάμενον ἔβλεπον. Ἄνθρωπος δέ τις, τῇ τοῦ ψύχους ἀσθενείᾳ κρατούμενος, ἱκέτευε τὸν ὅσιον δι' εὐχῆς ἀπελάσαι τὸ νόσημα. Ὁ δὲ

οὐκ ἐπείθετο. Καιρὸν οὖν ὁ νοσῶν εὑρηκώς, ἐν ᾧ τῆς οἰκείας ὁ τίμιος πατὴρ ἐξανέστη στρωμνῆς, ἑαυτὸν ἐκ πίστεως ἐν ταύτῃ κατέκλινε· καὶ οὐ πρότερον ἐφιλονείκει διαναστῆναι, πρὶν ἂν εὐχὴν αὐτῷ γενέσθαι. Βιασθεὶς οὖν καὶ τῆς χειρὸς τοῦ πάσχοντος καθαψάμενος, τὴν νόσον ἐξήλασεν. Ἡσυχαστῇ δέ τινι τὸ σῶμα περιγράψαντι στύλῳ, χρείας ἐπιστάσης, ἐδέησε τὸν ἑαυτοῦ μαθητὴν ἐπί τινα πεμφθῆναι διακονίαν. Ὁ δὲ βάσκανος καὶ βροτοκτόνος ὄφις, γύναιον ἀντεισάξαι | μηχανὴν ποιεῖ- 286.
ται, τὴν τοῦ μαθητοῦ ὑπουργίαν ἀναπληροῦν (καὶ γὰρ ἤγγιζε τὸ γύναιον τῷ μαθητῇ εἰς συγγένειαν). Ἐπὶ συχνὰς οὖν ἡμέρας προσκαρτεροῦσα διὰ τήν, ὡς εἴρηται, βραδυτῆτα τοῦ μοναχοῦ, εἰς ἔρωτα τούτους ὁ σπορεὺς τῶν ζιζανίων συνήλασε· καὶ τὸ μὲν γύναιον οἴστρῳ τρωθέν, ὑπεισδῦναι τῷ στύλῳ φιλόνεικον ἦν. Ὁ δὲ τῇ ἀσυνθέτῳ συνθέμενος, τῆς αὐτῆς ἀδοκίμου γνώμης καὶ οὗτος εἴχετο· καιρὸς δὲ τοῦ θέρους ἐφεστήκει· ἕκτη δὲ ὥρα ἦν. Ὁ οὖν ὅσιος θείῳ νεύματι τὸ τοῦ μύσους προθεωρήσας ἀτόπημα, γνωστὸς ὢν ἐκείνῳ τῷ στυλοβάτῃ, καίπερ ἀσθενείᾳ πολλῇ παλαίων, διανέστη τε καὶ τὸν τόπον κατέλαβε· καὶ ῥάβδον ἄρας σὺν βρέμοντι βλέμματι, [τὸ μὲν] κακόηθες ἐκεῖνο ἐξήλασε γύναιον, ἐπιτι[μή]σας δὲ τῷ μοναχῷ, καὶ πλεῖστα παραινέσας, οὐ τῆς τυχούσης ὠφελείας μετέδωκε.

25. Καὶ τί δεῖ πρὸς πέλαγος ἀχανὲς τῶν τῷ ἀνδρὶ διὰ τοῦ ἁγίου Πνεύματος κατορθουμένων ἐνδιατρίβειν πειρώμεθα, καὶ ταῖς τῶν θαυμάτων ἐργασίαις ἐπὶ σωτηρίᾳ πολλῶν δι' αὐτοῦ γενομέναις ἐννήχεσθαι προαιρούμεθα; Ὁποῖος δὲ τὴν ἀρετήν, καὶ πρὸς πόσον ὕψος ἀνέδραμεν, οὐ ταχέως εἰπεῖν ἐπειγόμεθα· τὰ γὰρ τῶν αὐτοῦ θαυμάτων νέφη, σωστικὴν πολλοῖς ὠφέλειαν ἐπομβρήσαντα, ποταμοὺς ἰάσεων ἐποχέτευσαν. Ἴδωμεν οὖν τίς ἡ δύναμις τῶν αὐτῷ κεχαρισμένων παρὰ τῆς ἄνωθεν νεύσεως πράξεων. Ὅλον γὰρ ἑαυτὸν οἶκον πνευματικὸν δομησάμενος, καὶ | [πολλῶν πλή]ρη [τοῦτον] ἀγ[αθῶν διαδεί- 287.

ξας, εἰς] ἐκείνην ἀνέδραμε τῶν ὀρεκτῶν κορυφήν, εἰς ἥντινα πᾶσα ἔφεσις ἵσταται· καὶ διὰ μὲν θείας μελέτης τὴν τῆς ἀσκήσεως ἐξομαλίσας τρίβον, ἅπαν πρόσκομμα καὶ σκῦλον ἐξέβαλε τῆς ἐπὶ τὴν ἀρετὴν ἀγούσης ὁδοῦ, καὶ λείαν ἑαυτῷ ταύτην κατασκευάσας, πρὸς τὸ τῆς ἄνω βασιλείας ἀνάκτορον ἔφθασεν. Ἀγρυπνίᾳ δὲ θείᾳ τὴν τῆς ἀμελείας ἐπὶ τοσοῦτον σκοτόμαιναν ἤλασεν, ὡς λαβὴν αὐτῷ μηδεμίαν, ἢ μῶμον, ἐν ταῖς καθ' ὕπνον φαντασίαις, τὸν ἀντίπαλον παρατρίψασθαι, καὶ ποιῆσαι, ὅσα ποιεῖν τοῖς ὑπνώδεσι, καὶ κατὰ τὴν παροιμίαν, ῥακώδη περιβεβλημένους ἐσθ[ήματα]· τὸν γὰρ | ὀφ[θαλμὸν ὀρθὰ βλέπειν] ἐθίσας, καὶ κατὰ τὸν ψάλλοντα, μηδὲν ἐνώπιον αὐτοῦ π ρ ο θ έ μ ε ν ο ς π ρ ᾶ γ μ α π α ρ ά ν ο μ ο ν, λύχνον ἑαυτὸν παρέστησεν ἐγρηγόρσεως, καὶ τὴν κλῆσιν ἔδειξεν ἀληθεύουσαν, μηδαμῶς ἐπινυστάξας, τοῖς ὕπνον ἐμποιοῦσι θανάσιμον. Ἐγκράτειαν δὲ τὴν τῶν ἡδονῶν ἐλάτειραν οὕτως ἠσπάσατο, ὡς μικροῦ τὴν τῶν ἀγγέλων ἀσαρκίαν προστήσασθαι καὶ τῷ πνεύματι τρέφεσθαι καὶ τῇ δαψιλείᾳ τῶν θείων ἐπεντρυφᾷν· καὶ οἷς ἡ ἄνωθεν αὐτῷ χορηγία πνευματικὴν ἡτοίμασε τράπεζαν, ἔνθεν καὶ τὴν ψυχὴν ἐξεκάθηρε, καὶ τὸ σῶμα τῆς ὑλώδους προσπαθείας ἀπήλλαξε, καὶ πρὸς ἱερωσύνης ἀνάληψιν ἄξιον ἑαυτὸν παρεσκεύασε· καὶ τῆς ἀ[ναί]μου θυσίας τὴν χειροθε-
287*. σίαν δεξάμενος, ἱερεὺς | ἐχρημάτισεν ἀμφιδέξιος, καὶ διὰ συντετριμμένου πνεύματος καὶ καρδίας τεταπεινωμένης, Θεῷ τὴν θυσίαν ἐπαξίως ἀνήνεγκεν.

26. Ὑπομονῇ δὲ κραταιῶς ἑαυτὸν συνέζευξεν, ὡς μὴ ταῖς ἐπερχομέναις τῶν πειρασμῶν παλιῤῥοίαις σαλεύεσθαι, ἀλλὰ τοὺς δι' αὐτῆς ὁδεύσαντας ὁσίως προπάτορας, καὶ τὸν μὲν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν δὲ τῆς σωφροσύνης Ἰωσὴφ ἀνεπαίσχυντον ἐν τοῖς τῆς Αἰγυπτίας πειρασμοῖς χαρακτηρίσας, στῦλον ἑαυτὸν ἀκλινέστατον ἐν τοῖς προσπίπτουσιν ἀνιαροῖς διεῤῥίζωσεν. Ὅθεν καὶ Θεὸς αὐτῷ προσέσχε, καὶ τῆς δεήσεως τούτου εἰσήκουσε,

καὶ ἐκ λάκκου ταλαιπωρίας ἀνήγαγε, καὶ ἐπὶ πέτραν ἀσφαλοῦς βιοτῆς τοὺς τῆς ψυχῆς αὐτοῦ πόδας ἤρεισε, καὶ τὰ κατὰ Θεὸν κατεύθυνε διαβήματα. Ταπείνωσιν δὲ σύνοικον ἔχων καὶ δι' αὐτῆς πᾶσι τύπος γενόμενος, τὸν ὑψαύχενα καὶ μεγαλοῤῥήμονα τῦφον κατέβαλεν. Οὐδὲ γὰρ ἐν αὐτῷ τόπον εὗρεν ἡ τῆς κενοδοξίας ἀλαζονεία, ὡς διᾶραι καὶ ταῖς ἀρεταῖς ἐπικαυχᾶσθαι καὶ παγιδεῦσαι πρὸς ἔπαρσιν. Καὶ μαρτυρεῖ ταῦτα τὸ ταπεινὸν τοῦ λόγου, τὸ προσηνὲς τῆς ἐντεύξεως, τὸ πρὸς πάντας μειλίχιον, τὸ ἐν ταῖς συνουσίαις ἀπαῤῥησίαστον, τὸ τῆς περιβολῆς καὶ ἐσθῆτος ἀνεπιτήδευτον, τὸ πᾶσι ταπεινοῖς συναπάγεσθαι, καὶ εἰδέναι μέτρον ὑφέσεως καὶ ὑψώσεως, καὶ τὸ μὲν αἱρεῖσθαι πρὸς τὴν τοῦ σώματος παιδαγωγίαν, τὸ δὲ, πρὸς ἀρετῆς ἀνάβασιν· ἡ γὰρ ὑψοποιὸς αὕτη ταπείνωσις καὶ [πραότητα συνέριθον αὐτῷ προεξένησε, δι' ἧς τὴν τοῖς 288.
πραέσιν ἐπηγγυωμένην ἐκληρονόμησε γῆν. Τῇ δὲ ἀγάπῃ καὶ συμπαθείᾳ οὕτως ἑαυτὸν συνούλωσεν, ὡς μηδενὶ τὸ παράπαν τούτων χωρίζεσθαι ἢ λογίζεσθαι τὸ κακόν· ἀλλὰ πάντα στέγων καὶ πάντα ὑπομένων, τὴν ἐπαινετὴν ταύτην δυάδα τῶν ἀρετῶν ἀδιάπτωτον ἐν ἑαυτῷ διετήρησεν· τὴν δὲ τῆς πίστεως ὀρθότομον αὔλακα, τῷ τῆς ἀκριβείας ἀρότρῳ νεώσας, στάχυν ὥριμον ἐν ταῖς τῆς Ἐκκλησίας ἀποθήκαις πνευματικῶς ἐθησαύρισεν, ἅπαν ἀχυρῶδες καὶ πυρίκαυστον φρόνημα τῷ πτύῳ τῆς ὀρθοδοξίας λικμήσας, καὶ ἀσβέστῳ πυρὶ παραπέμψας.

27. Ζῆλον γὰρ κατ' ἐπίγνωσιν ἔχων, τοὺς τῇ αἱρέσει προσκειμένους, τοῦ τῆς Ἐκκλησίας αὐλίσματος ἐξεκένωσε, καὶ Χριστὸν ἀποστολικαῖς καὶ πνευματικαῖς ὁμολογίαις Θεὸν ἀληθῶς καὶ ἄνθρωπον τὸν αὐτὸν ὁμολογήσας, ἀπερίγραπτον τὸν αὐτὸν καὶ περιγραπτὸν δοξολογεῖν ἐπαιδεύετο· ἔνθεν καὶ τῆς αὐτοῦ θείας σαρκώσεως ἀνιστορῶν τὸ ἐκτύπωμα, ὡς προσκυνητὸν καὶ σεπτὸν, καὶ προσκυνεῖν καὶ σέβειν κατὰ τὴν τῆς Ἐκκλησίας παράδοσιν οὐκ ἀπέκαμεν, οὐ περιγράφων τῇ σαρκὶ τὸ τῆς

θεότητος ἀναφές. Μὴ γένοιτο! Οὐ δὲ γὰρ περιτομὴν ἡ θεότης ὑπέμεινεν, οὐδὲ κόπους καὶ ἱδρῶτας καὶ τῶν λοιπῶν δι' ἡμᾶς παθημάτων συμμετέσχεν. Ἄπαγε! Διὰ τοῦτο οὐδὲ τῇ εἰκό-
288. νι | συμπεριγραφήσεται, οὐδὲ γραφήσεται· τῆς γὰρ θείας σαρκὸς αὐτοῦ μίμημα τὴν εἰκόνα οὖσαν ἐδίδασκεν. Ὡσαύτως δὲ καὶ τὴν τῆς Θεομήτορος, καὶ θείων ἀγγέλων, καὶ πάντων τῶν ἁγίων ἔσεβε σχετικῶς τὰ μορφώματα, οὐχ ὡς οἱ ληρῳδοῦντες καὶ φληναφοῦντες ἀναιδῶς βατταρίζουσι, λατρευτικὴν τούτοις ἀπονέμων προσκύνησιν, ἀλλὰ τὴν, ὡς εἴρηται, σχετικὴν προσφέρων διάθεσιν. Ὅθεν καὶ πολλοὺς καὶ πόλεις πλείστας τοῦ μύσους τούτου διέσωσεν, καὶ τῆς αἱρετικῆς γλωσσαλγίας, μεταμαθεῖν τὴν ὀρθόδοξον πίστιν μετέδωκε, καὶ προκινδυνεύειν τῆς πίστεως σὺν αὐτῷ ταύτης μετὰ πάσης πέπεικε τῆς σπουδῆς· ὑπὲρ γὰρ ταύτης πρὸς τυράννους ἀπάγεσθαι, καὶ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν λαβεῖν διωμολόγει, καὶ πρὸς τούτοις, παθεῖν καὶ θανεῖν ἐξ ὅλης ψυχῆς καὶ διανοίας προείλετο, μάρτυς ἀναδειχθεὶς ἄνευ μώλωπος, καὶ τῶν ἐκεῖθεν ἀμαραντίνων στεφάνων ἐπιτυχών. Ἐπὶ πᾶσι δὲ τούτοις, καὶ πρὸ πάντων καὶ σὺν αὐτοῖς, τὸ τῆς προσευχῆς καλὸν θεόθεν καρπίζεται, ἀναστηλῶν ἑαυτὸν καὶ χεῖρας ὁσίους αἴρων πρὸς οὐρανὸν, καὶ τῷ ἀμετεωρίστῳ τοῦτο ποιεῖν προσκτησάμενος, ὥστε μηδεμίαν τὴν ἐξ ἐχθρῶν φαντασίαν ἐν αὐτῇ μεσολαβεῖσθαι τὸ σύνολον· ἀλλὰ τῶν προσύλων καὶ χαμαιζήλων τὸν νοῦν ἀποσπάσας, καθαρῶς τῷ καθαρῷ προσωμίλησε, καὶ εἰς οὐρανὸν τὸν νοῦν ἀνεπτέρωσεν. Διὸ, ταῖς ἐκεῖσε συμπεριπολεῖ θείαις δυνάμεσι, τῆς δόξης ἀπολαύων τοῦ κτίσαντος, καὶ τῆς τῶν αἰωνίων
289. ἀγαθῶν μετουσίας | κληρονομῶν τὴν ἀπόλαυσιν. Καὶ περὶ μὲν τούτων ἅλις.

28. Ἐπεὶ δὲ ὁ τῆς ἀναλύσεως ἐφειστήκει καιρὸς, καὶ Θεὸς αὐτὸν πρὸς τὴν ἄνω χοροστασίαν ἐκάλει, καὶ ὁ τῶν ἀσωμάτων θίασος τὸν ὅσιον, ἐπ' αὐτῷ γενόμενον ἄγγελον, συμμετασχεῖν

τῆς ἐκεῖθεν χαρᾶς ἐπεζήτει καὶ ἡ τῶν ὁσίων ὁμήγυρις, οἷα τῆς ἀνθρωπίνης φύσεως καὶ αὐτὸς τυγχάνων, νόσῳ βαρυτάτῃ συνείληπτο. Ἡ δὲ ἦν ἐπιληψία καὶ πάρεσις ὅλου τοῦ σώματος. Ὁ δὲ ταύτῃ κάμνων, ἐλιπάρει τὸ θεῖον θερμότατα τῆς μὲν ἐπιληψίας τὸ πάθος ἐπικουφίσαι, ὑδέρῳ δὲ κατογκῶσαι, καὶ διὰ σηπεδόνος καὶ σήψεως τὸν ἐπίλοιπον παρελθεῖν τοῦ βίου δίαυλον ἐβιάζετο. Ἐπήκουε δὲ τούτου Θεὸς, καὶ ἣν μὲν ἀπηύξατο νόσον παρῆκεν (*), ἣν δὲ οὗτος ἐπόθησεν, ἀντελάμβανε. Καὶ γὰρ οὕτως ἅπαν αὐτοῦ τὸ σῶμα κατῴδηκε, καὶ εἰς πάχος ἐξώκειλεν, ὡς μόνῃ φωνῇ τοῖς εἰδόσι γνωρίζεσθαι· ἰσχνότητι γὰρ τὸ πρὶν καλλυνόμενος, ἀσκῷ πνεύματος πλήρει καὶ μάλιστα προσωμοίωτο· καὶ ταῦτα μὲν ἔτι περιόντι πρὸς τῇ τῶν Ἰλλυρίων πόλει Θεσσαλονίκῃ τῷ ὁσίῳ συμβέβηκεν. Ἐπειδὴ δὲ φήμη διέτρεχε τὰ τῆς νόσου τοῦ ὁσίου πατρὸς καταγγέλλουσα, ἦλθε καὶ πρὸς τὸν πολλάκις ῥηθέντα Συμεώνην, τὸ ἀλγεινὸν ἄκουσμα τοῦτο φέρουσα· ὅς, ἐπὶ τῷ ἀδοκήτῳ πληγείς, γράμμα πένθιμον καὶ κατηφείας γέμον χαράσσει πρὸς αὐτὸν ἔχον ὧδε. « Τέκνον ἐμοὶ ποθεινότατον, 289.
νόσῳ δεινῇ σε μανθάνω πιέζεσθαι, ἣν μὴ ὤφελον | ταῖς ἀκοαῖς διαδέξασθαι, στέρησίν μοι τὴν σὴν διὰ θανάτου πικρῶς ὑπογράφουσαν. Πρὶν οὖν τούτου τοῦ δυσαχθοῦς πάθους πεῖραν λαβεῖν τὴν σήν μοι δὸς, Θεοῦ συναίροντος, ἐπιθυμητικὴν παρουσίαν, ὡσὰν τῶν ἐν σοὶ καλῶν ἀπολαύσαιμι, καὶ τῆς ψυχωφελοῦς διακοίσας σου καὶ γλυκυτάτης ὁμιλίας, ἀποδῶ τὸν αἶνον Θεῷ, τῷ μὴ διαμαρτεῖν με τῆς σῆς εὐδοκήσαντι θέας ». Ὁ δὲ στεῤῥὸς ὄντως ἀδάμας καὶ ταῖς ἀσθενείαις ἐπευδοκῶν, ὡς ἡ τῶν ἀποστόλων κρηπὶς διδάσκει Παῦλος (**), σφόδρα τῇ νόσῳ κάμνων, καὶ ἀλγεινῶς τοῖς πόνοις δακνόμενος, τοῖς συνοῦσι τὰ τῆς ἀγγελίας τοῦ γέροντος ἀνατίθησι, καὶ πρὸς τὴν ὁδὸν εὐ-

(*) Χ. παρεῖκεν. (**) Β'. Κορ. ΙΒ'. 10.

τρεπίζεσθαι κατηνάγκαζε· πίστις γὰρ αὐτὸν ἀκλινὴς πρὸς τὸν ἤδη καθηγησάμενον εἷλκε, καὶ πίστις, ἥτις νόσου καὶ μακρᾶς ὁδοιπορίας καταφρονεῖν πείθει τοὺς οὕτω διακειμένους.

29. Ἀπάρας οὖν ἐκ τῆς ἰλλυρίδος γῆς, καὶ τὸ τῆς ὁδοῦ κατὰ μικρὸν διανύσας πέλαγος, ἐπὶ τὸ Βυζάντιον ἧκεν· ἐκεῖ γὰρ ὁ Συμεὼν δεσμώτης ἦν παρὰ τοῦ τηνικαῦτα κρατοῦντος τῆς ὀρθῆς ἕνεκεν καὶ ἀμωμήτου πίστεως, καὶ ἄρτι τῶν δεσμῶν καὶ τῆς φρουρᾶς ἀπελύετο. Ἀπολαβὼν οὖν ὁ πανόλβιος Γρηγόριος τὸ ποθούμενον, καὶ ἀντιδοὺς τὸ ζητούμενον, ἀνεικάστου χαρᾶς μετεδίδου καὶ μετελάμβανε· καὶ αὐτὸς μέν, ὡς πνευ-
290. ματικῷ γεννήτορι, ποθεινῶς τῷ γέροντι συνεπλέκετο, | ὁ δέ, στέργων καὶ περιθάλπων, ὡς υἱὸν καὶ μέρος οἰκεῖον, ἐν ἁγίῳ φιλήματι κατησπάζετο. Ἐξ ἁπαλῶν γὰρ ὀνύχων πόνοις τοῦτον ἀσκητικοῖς ἐπαυξήσας, καὶ ὑποθήκαις πνευματικαῖς πρὸς τὸ σκάμμα τοῦ μονήρους βίου παιδοτριβήσας, νυνὶ πρὸς τὸ τοῦ βίου τέλος ἐγγίσαντα, ταῖς ἑαυτοῦ χερσὶ πατρικῶς ἠγκαλίσατο, καὶ τῷ πάσης πνοῆς ἐξουσιάζοντι Θεῷ, σὺν ἀγαθοεργίᾳ πάσῃ καὶ θαυμάτων περιουσίᾳ παρέπεμψεν. Προσπαλαίων δὲ ὅλον ἐνιαυτὸν τῷ νοσήματι, ἤδη τῶν ἰατρῶν ἀπογνώσει τοῦτον τῷ θανάτῳ παραπεμπόντων, τοῖς συνοῦσιν ἀδελφοῖς εἰπεῖν κατεθάῤῥησε μετὰ πραότητος ὁ ἀοίδιμος. «Ὁ καιρός, ἀδελφοί, τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν. Ἄραντες οὖν με, πρὸς τὴν κοινὴν ξενίαν ἀπόδοτε. Ὁ γὰρ Θεὸς ἐπ' ἐμοὶ μακροθυμίᾳ χρησάμενος, ἐπὶ δυοκαίδεκα λοιπαῖς ἡμέραις συνεῖναί με τῇ ζωῇ ταύτῃ χρηστεύεται». Οἱ δὲ ταχέως ὑπήκουον καὶ κλίνην ἐπὶ τοῦτο στορέσαντες, δι' αὐτῆς ἐν τῇ εἰρημένῃ ξενίᾳ τοῦτον διέσωσαν. Τῆς οὖν δωδεκάτης περανθείσης ἡμέρας, τὴν τιμίαν αὐτοῦ καὶ ἁγίαν ψυχὴν εἰς χεῖρας τῷ Θεῷ ἐναπέθετο, μηνὸς Νοεμβρίου εἰκάδι, καὶ κοιμᾶται μετὰ τῶν πατέρων αὐτοῦ, τραφεὶς ἐν γήρᾳ καλῷ τῆς πνευματικῆς καὶ τελείας αὐξήσεως. Ἄξιον δὲ μηδὲ τὰς μετὰ τὴν ὁσίαν αὐτοῦ κοίμησιν εὐδοκηθείσας παρὰ

Θεοῦ θαυματουργίας, | [λή]θ[η παρ]αδοῦναι, [πολ]ὺ μετὰ τοῦ 290.
τιμίου ἐχούσας καὶ τὸ ἐξαίσιον.

30. Ἐκπνεύσαντι γὰρ αὐτῷ καὶ πρὸς τὴν ταφὴν ἤδη βλέποντι, ἀνήρ τις νόσῳ βαρείᾳ συνεχόμενος, καὶ μηδὲ ὀρθὸς ἑστάναι τῷ πάθει δυνάμενος, οὗτος τοῦ λειψάνου πλησίον γενόμενος, καὶ ἐπὶ τοῦ νεκροφόρου σκίμποδος μικρόν τι κατακλιθείς, ᾔσθετό τινος ἁψαμένου τῶν ὀπισθίων αὐτοῦ· καὶ στραφεὶς πρὸς ἕνα τῶν πλησίον ἑστώτων ἀδελφῶν, ἔφη· «σύ μου, πάτερ, ἥψω τῶν ὀπισθίων;» τοῦ δὲ ἀποφήσαντος, ἔγνω παρευθὺ, ὡς ἡ ἐπισκιάζουσα τῷ ἁγίῳ θεόθεν δύναμις, καὶ ἥψατο καὶ μετέδωκε τῆς ἰάσεως. Ἐπεὶ δὲ ταφῇ παρεπέμφθη, καὶ τῇ γῇ σὺν τῇ σορῷ παρεδίδοτο, ἰδού τις ἀκαθάρτῳ πνεύματι κάτοχος, ἐξαπίνης ἐπέστη τὸ τοῦ ἁγίου ἐπιβοώμενος ὄνομα. Πολλῷ οὖν θάμβει συσχεθέντες οἱ τῇ μονῇ προσοικοῦντες, ἔξω τὴν σορὸν εἷλκον τοῦ μνήματος, καὶ πᾶσι προκεῖσθαι κατ' ὀφθαλμοὺς αἰσίως ἐπέκριναν, ἐν ᾗ τινὰς ἡμέρας ἐπιμείνας ὁ τῷ πονηρῷ συνεχόμενος πνεύματι, ἀπῆλθεν οἴκοι, τρυγήσας τὴν ἴασιν. Ἄλλος δέ τις ὁμοίως τῷ προτέρῳ βασανιζόμενος καὶ τῆς γῆς ἄνωθεν ἐπαιρόμενος καὶ πρὸς ἀέρα φερόμενος, τῇ θήκῃ τοῦ ἁγίου δὶς πλησιάσας, ἐῤῥύσθη τοῦ θλίβοντος πνεύματος. Ἄλλος δέ τις καρκίνου πάθος φέρων ἐν τῷ ποδὶ, καὶ πολλοῖς χρόνοις τῷ τοῦ τραύματος ἕλκει πηρούμενος, τῷ ἀποστά-
ζοντι | τῆς θήκης ἰχῶρι χειρὶ τὸ πάθος ὑπαλείφων, τῆς ῥώ- 291.
σεως ἔτυχεν. Ἕτερος δέ τις, δεινότατον μώλωπα πρὸς τῇ κνημίδι πολυχρόνιον τρέφων, καὶ μηδεμίαν ἐκ τῆς τῶν ἰατρῶν ἐπιμελείας εὑράμενος ἴασιν, τῇ αὐτῇ τοῦ ἰχῶρος ἀλοιφῇ πίστει χρησάμενος, τὴν ἴασιν εὕρατο. Γυνὴ δέ τις, τῆς ἐγγαστρίου ὠδῖνος αὐτῇ ἐπιστάσης, καὶ τρισὶν ἡμέραις τὸν τοῦ τοκετοῦ φόρτον ἐκκενῶσαι μὴ δυναμένης, ἔλαιον ἐκ τῆς ἐν τῇ σορῷ τοῦ ἁγίου ὑφαπτούσης λαμπάδος ἀρυσαμένη, παραυτίκα πάσης ὀδύνης ἐκτὸς τέτοκεν. Ἄλλη δέ τις γυνὴ, κρυπτῷ

πάθει βιαζομένη καὶ δεινῶς πάσχουσα, τῇ θήκῃ τὴν ἑαυτῆς ὑποκλίνασα κεφαλὴν, τὸ πάθος μεθ' ἱκεσίας ἐξήγγελλεν [καὶ τὴν] ποθουμένην ἀντελάμβανεν ἴασιν. Ἀνὴρ δέ τις τὴν κεφαλὴν δονούμενος, καὶ τῆς ὀδύνης μὴ φέρων τὸ ἄλγημα, ὡς τῇ θήκῃ τοῦ ἁγίου προσήγγισε, νυκτὸς ἐπιστάσης, ὁρᾷ κατ' ὄναρ τῆς αὐτοῦ κορυφῆς τὸν ἅγιον ἐφαπτόμενον καὶ ταύτην εἰς δύο διελόντα μοίρας, καὶ σεσηπότα τινὰ ἐξ αὐτῆς ἀφελόμενον κρέα, καὶ πρὸς αὐτὸν εἰρηκότα «ἴδε ὑγιὴς γέγονας, πορεύου μετ' εἰρήνης εἰς τὸν οἶκόν σου (*)».

31. Ἀδελφὸς δέ τις, πορνείας πάθει βαλλόμενος, ἀπογινώσκων ἤμελλεν ἑαυτοῦ. Ἧκεν οὖν πρὸς τὸν ἅγιον, καὶ ἐπὶ τῇ θήκῃ τὸ πάθος ἐξειπὼν, τοῦ δεινοῦ πολέμου κουφίζεται. Πέτρος δὲ, ὁ πρὸ μικροῦ ῥηθεὶς μοναχὸς, ὑπὸ Σαρακηνῶν ἑάλω,
291. ὃν, ἐν δεσμοῖς περιβαλόντες σὺν ἑτέροις κατακρίτοις, | ἀποκτεῖναι ἕωθεν ἔμελλον. Ὁ δὲ δι' ὅλης νυκτὸς ἐλιπάρει τὸν ὅσιον, τοῦ συνέχοντος αὐτὸν ἀπαλλαγῆναι θανάτου. Φαίνεται οὖν αὐτῷ κατ' ὄναρ λέγων ὁ ἅγιος «μὴ φοβοῦ, Πέτρε· οὐ γὰρ θανάτου πεῖραν λήψῃ.» Ἡμέρας οὖν ἐπιλαμψάσης, οἱ σὺν αὐτῷ δεσμῶται μαχαίρας ἔργον ἐγένοντο, αὐτὸς δὲ τῇ τοῦ ἁγίου πρὸς Θεὸν ἐντεύξει, πᾶσαν βλάβην ἐκφυγὼν ἀπελύετο, κἀκεῖθεν πρὸς τὴν τοῦ ὁσίου παρεγένετο θήκην, ἀποδιδοὺς ὑπὲρ τῆς ἑαυτοῦ ἀπολυτρώσεως τὴν εὐχαριστίαν. Ἔτεσι δὲ τέσσαρσι καὶ δέκα προσπαλαῖον γύναιον σκαιῷ καὶ πονηροτάτῳ δαίμονι, ἐπὶ λιμένα εὔδιον προσώρμισε τῇ τοῦ ὁσίου σορῷ, καὶ ἐπί τινα προσμεῖναν χρόνον, ἠλευθερώθη τῆς βασάνου τοῦ δαίμονος. Μεσολαβῆσαν δέ τι σκάνδαλον ἁμαρτίας αἴτιον, ἤγειρεν αὖθις τὸν δαίμονα, καὶ ἐπὶ τὴν προτέραν οἰκίαν παλινδρομῆσαι πεποίηκε· καὶ γέγονε τὰ ἔσχατα χείρονα τῶν προτέρων. Χειμαζόμενον δὲ τὸ γύναιον χαλεπώτατα, πάλιν τῇ

(*) Λουκ. Ε'. 24.

σορῷ ἑαυτὴν ἐπιδίδωσι, καὶ τοῦ πτώματος ἐπιδειξαμένη τὴν διόρθωσιν, κομίζεται τὸ τῆς ἰάσεως ἀγαθὸν ἀσφαλέστατα. Ἰαθείσης οὖν αὐτῆς, καὶ καθαρθείσης τελείως, ἀπῄει ἐν τῷ οἴκῳ αὐτῆς μετ' εἰρήνης, χαίρουσα καὶ δοξάζουσα τὸν Θεὸν σὺν τῷ αὐτοῦ θεράποντι Γρηγορίῳ.

32. Ταῦτα οὖν ἅπαντα, ὅσον ὑπόμνησιν μόνην παρασχεῖν τοῖς φιλοθέοις, παρὰ τῆς ἡμετέρας βραδείας γλώσσης καὶ τῆς στενοῦ τοῦ νοῦ χορηγίας, τολμηρῶς ἤδη λέλεκται. | Εἰ γάρ, 292.
κατὰ τὴν ποίησιν, δέκα μοι γλῶσσαι, δέκα δὲ στόματα ἦν, οὐδαμῶς εἰς τὴν τοῦ ἀνδρὸς εὐφημίαν ἐξήρκεσαν. Βραδὺς δὲ ὤν, καὶ μηδεμίαν εἰς ἐπαίνων ἀφορμὴν ἀξίαν ἔχων, τὸν ἐνηχηθέντα τοῖς ἐμοῖς ὠσὶ λόγον, ἐξειπεῖν κατεθάῤῥησα· μὴ γραϊδίων μύθοις, μηδὲ φήμαις ἀπατηλαῖς, ἢ πλοκαῖς φαντασμάτων ὑπείξας τὸ σύνολον, στόμασι δὲ ἀληθείας λόγον ἐρευγομένοις πιστεύσας, καὶ τοῖς τῷ θεράποντι Θεοῦ Γρηγορίῳ διακονήσασιν εὐλαβέσιν ἀνδράσι καταπειθὴς γενόμενος, τῇ μικρᾷ ταύτῃ τοῦ λόγου ὑπηρεσίᾳ, ἑαυτὸν ἐκδέδωκα προθυμότατα, τεθαῤῥηκώς τε καὶ εἰς Θεὸν ἀδιστάκτως ἠλπικώς, ὡς ὠφελείας τοῖς ἀκροαταῖς τὰ λεγόμενα γενήσεται πρόξενα, καὶ πολλοὺς εἰς ἀνδρίαν καὶ τὸν ὅμοιον ζῆλον, ἐπεγειροῦσιν ὡς μάλιστα. Σὺ δέ, ὦ μακάριε, καὶ τῶν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ διαλαμψάντων συμμέτοχε, τῆς σῆς ποίμνης καὶ τῶν σῶν ἱκετῶν πρευσβευτικαῖς πρὸς τὸ κρεῖττον ἐντεύξεσι πρόστηθι, πάντα πειρασμὸν, καὶ πᾶσαν ἀποσοβῶν τοῦ σοῦ ποιμνίου δυσχέρειαν· τῇ Ἐκκλησίᾳ εἰρηναίαν δυσώπησον δοθῆναι κατάστασιν, τὰς αἱρέσεις σὺν τῇ νυνὶ φρυαττομένῃ τῇ βακτηρίᾳ τῆς σῆς προσευχῆς, ὡς κύνας ἐνεοὺς καὶ λαθροδήκτας ἀπέλασον. Ἐν γὰρ τῷ φωτὶ Κυρίου καὶ ταῖς ἀκηράτοις μοναῖς καὶ σκηναῖς αὐλιζόμενος, καὶ τὴν | λαμπάδα τῆς ἁγνείας τῷ ἐλαίῳ τῆς ἀσκη 292.

(¹) Α΄. Κορ. Β΄, 9.

τικῆς εὐποιΐας τηρήσας ἀκοίμητον, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐκείνων, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, σὺν τοῖς ἀπ' αἰῶνος τῷ Θεῷ εὐαρεστήσασιν ἐμφορούμενος, ἰσχύεις πάντα ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ τῷ Κυρίῳ καὶ Θεῷ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, ἅμα τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

(*) ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΩΝ ΑΓΙΩΝ ΘΕΟΣΤΕΠΤΩΝ ΜΕΓΑΛΩΝ ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΚΑΙ ΕΛΕΝΗΣ.

1. Μέγιστον μὲν τῶν ὄντων ἐστὶν ὁ Θεός, κάλλιστον δὲ ἀρετή, ἐπείπερ αὕτη περὶ Θεόν τε, καὶ θεῖον· τιμιώτατον δὲ πάντων κτισμάτων, μετά γε τὴν ἀγγελικήν τε καὶ νοερὰν φύσιν, ὁ ἄνθρωπος, ὁ ταῖς θεωρητικαῖς τε καὶ πρακτικαῖς ἀρεταῖς κατηγλαϊμένος, καὶ Θεῷ κατὰ τὰ δυνατὸν ὁμοιούμενος, τῷ μόνῳ λαμπροτάτῳ καὶ φανοτάτῳ καὶ ὑπερέχοντι πάσης ὑλικῆς καὶ ἀΰλου φύσεως καθαρότητι. Εἰ δὴ ταῦτα οὕτως ἔχει, καὶ πάντων μὲν ἀγαθῶν κρηπίς ἐστιν ἡ εὐσέβεια, τῆς

(*) Cod. Marc. CLXVIII, fol. 506. pars III. class. II.

Ἐν τῇ ᾤᾳ γέγραπται. «Λόγος ρκβ'. τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ μακαρίου ἐκείνου κυροῦ Ἰγνατίου Μητροπολίτου Σηλυμβρίας ποίημα.»

δὲ ἐν ἀνθρώποις εὐδαιμονίας ἡ βασιλεία τὸ πέρας, πῶς οὐχὶ μακαριστότατός ἐστιν ὄντως ἐν ἅπασι τοῖς τοῦ Θεοῦ φίλοις, ὁ μέγας βασιλεὺς Κωνσταντῖνος; ὅτι δὴ μετὰ τῆς εὐσεβείας καὶ πᾶσαν ἐν ἑαυτῷ συλλαβὼν εἶχε τὴν ἀρετὴν, ἢ τό γε ἀληθέστερον εἰπεῖν ἔχει, Θεῷ ζῶν τε καὶ συμβασιλεύων τῷ αἰωνίῳ καὶ ἀθανάτῳ Βασιλεῖ. Μακαριστέον τοίνυν αὐτὸν, καὶ τὰ ἐκείνου καθόσον οἷόν τε διηγητέον· εἰ γὰρ δικαίου μνήμη μετ' ἐγκωμίων, κατὰ τὸν ἐν βασιλεῦσι σοφώτατον Σολομῶντα (Πρμ. ι'. 6, 7.), καὶ εὐλογία ὑπὲρ κεφαλῆς αὐτοῦ, πολλῷ μᾶλλον ἡ τοῦ μεγάλου βασιλέως Κωνσταντίνου μνήμη μετ' ἐγκωμίων ἔσται καὶ εὐφημίας, ἅτε δὴ μετὰ τῶν ἄλλων καὶ ἰσαποστόλου τυγχάνοντος. Οἶμαι γὰρ καὶ περὶ αὐτοῦ τῷ θεσπεσίῳ καὶ θεοπάτορι Δαυῒδ εἰρῆσθαι, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χερῶν σου (Ψαλμ. η'. 9)· Ὡς οὖν ὑπὲρ τηλικούτου βασιλέως ἡμῖν ὄντος τοῦ λόγου, καὶ μὴ βασιλέως μόνον, ἀλλὰ καὶ τῆς ἡμετέρας πόλεως οἰκιστοῦ τε καὶ πολιούχου, λέγωμεν ἤδη κατὰ τὸ δυνατὸν, αὐτὸν ἐκεῖνον ἀρωγὸν ἐπικαλεσάμενοι τὸν ἐκείνου Θεὸν, ὥστε δοῦναι λόγον ἡμῖν, ἐν ἀνοίξει τοῦ στόματος (Ἐφ. ς'. 19.), εἰπεῖν τι πρὸς Θεοῦ μὲν δόξαν, ἐκείνου δὲ εὐφημίαν καὶ τὴν τῶν ἀκουόντων ὠφέλειαν.

2. Τῷ μεγάλῳ βασιλεῖ Κωνσταντίνῳ, πατὴρ ὑπῆρχε Κωνστάντιος, ὁ Κώνσταντος μὲν υἱὸς, θυγατριδοῦς δὲ Κλαυδίου τοῦ προβεβασιλευκότος ἐν Ῥώμῃ πρὸ τοῦ Διοκλητιανοῦ καὶ Καρίνου βασιλείας, εὐγενής τε ὢν καὶ τὰ πρῶτα τῶν ἐν τέλει Ῥωμαίων, ἀρετῆς τε παντοίας μετέχων καὶ πολὺ τὸ ἐπιεικὲς ἐν τῇ φύσει κεκτημένος καὶ ἥμερον, μάλιστα δὲ ῥώμῃ σώματος καὶ συνέσει τῶν κατ' αὐτὸν ὑπερφέρων ἁπάντων· μήτηρ δὲ Ἑλένη, εὐπρεπὴς αὕτη καὶ σφόδρα κοσμία καὶ ἀναλόγως ἔχουσα τῷ τε γένει καὶ τῇ σωφροσύνῃ Κωνσταντίου, ἣν ἐξ

εὐπατριδῶν οὖσαν καὶ τῶν τὰ πρῶτα φερόντων ἐν τῇ συγ-
506.* κλήτῳ φανερῶς ἠγάγετο Κωνστάντιος εἰς γυναῖκα, μήπω | βασιλείας ἐπειλημμένος, ἀλλὰ κατὰ Βιθυνίαν ποιούμενος ἔτι τὰς διατριβὰς μετὰ Διοκλητιανοῦ τε καὶ Μαξιμιανοῦ τῶν αὐτοκρατόρων. Οὐ γὰρ ἦν εἰκὸς, τὸν τοιοῦτον ὄντα καὶ ἐκ τοιούτων, μὴ καὶ τὴν ὁμοίαν αὐτῷ, κατά τε ἀρετὴν καὶ τὴν ἄλλην τοῦ βίου ἁρμόσασθαι περιφάνειαν. Φιλεῖ γὰρ ἐν τοῖς τοιούτοις ὡς τὰ πολλὰ τὸ κῆδος, ἐλάττω τίθεσθαι πλοῦτον ἅπαντα τῆς κατὰ γένος ὁμοτιμίας τε καὶ λαμπρότητος, δηλοῦσι τὰ περὶ τῆς ἀρετῆς Κωνσταντίου σὺν ἀκριβείᾳ πολλοί τε ἄλλοι τῶν συγγραφέων, οἷς ἐμέλησεν ἀληθείας, καὶ σὺν αὐτοῖς ὁ Καισαρείας τῆς Καππαδοκῶν ἐπαρχίας Γελάσιος, ἀνὴρ τῶν ἐν ἐκείνοις τοῖς χρόνοις μάλιστα εὐδοκιμῶν καὶ ἐκκλησιαστικὴν ἱστορίαν ἀναγεγραφώς.

3. «Ἐκδέχονται δή, φησὶ, τὴν βασιλείαν τῆς Ῥωμαίων ἀρχῆς, κατὰ τὸν αὐτὸν χρόνον λοιπὸν, Κωνστάντιος, καὶ Σεβῆρος, καὶ Μαξιμῖνος, καὶ Μαξέντιος, κοινὰ μὲν ἔχοντες τὰ σκῆπτρα, οὐ κοινὰ δὲ τὰ δόγματα· μόνος γὰρ Κωνστάντιος ἀντὶ τῆς ἐκείνων δυσσεβείας τὰ τοῦ Χριστοῦ διέγνω κρατύνειν κηρύγματα, ἐν πολλῇ τῆς ἀθεΐας κραιπάλῃ νήφειν ἑλόμενος, ἐν πολλῷ τῆς ἀθεΐας κατακλυσμῷ σπινθὴρ ἄσβεστος τῆς εὐσεβείας εὑρεθεὶς καὶ διαμείνας. Τῶν οὖν τυράννων ἐκείνων πολιορκεῖν τὰς τοῦ Θεοῦ ἐκκλησίας ἑλομένων, καὶ τοὺς μηδὲν ἠδικηκότας ἀνθελεῖν χριστιανοὺς, φόνων τε ἐμφυλίων ὄντων καὶ πολλοῦ μιάσματος τὴν οἰκουμένην κατέχοντος, αἱ ὑπ' ἐκεῖνον τεταγμέναι πόλεις τῶν παθῶν ἐκαθάρευον. Ἡ γὰρ ἐκείνου μοναρχία λιμὴν ἐγίνετο τῆς τῶν εὐσεβῶν πολιτείας καὶ πάντες οἱ εὖ φρονοῦντες, ὑπὸ τὴν ἐκείνου κατέφευγον ἀσπίδα. Ἦν γὰρ πρὸς τῷ θεοφιλεῖ καὶ χρηστὸς ἀνὴρ, πολλήν τε φειδὼ τῶν ὑπηκόων ποιούμενος, καὶ τὰς εἰσπράξεις ἀλυποτέρας ἐπιβάλλων, ἤπιός τε καὶ γαληνὸς τοῖς προσιοῦσι, καὶ τὸν τῆς βασιλείας φό-

βον εἰς τὸν τῆς πατρικῆς εὐνοίας μεταφέρων τρόπον· ὡς καὶ τοῖς ἥκουσι παρὰ τοῦ πρεσβυτέρου βασιλέως καὶ ὀνειδίζουσι τὴν πενίαν αὐτῷ, ἐπ' ἄλλο μὲν οὐδὲν ταμιεῖον ἢ θησαυρὸν εἰσαγαγεῖν, δεῖξαι δὲ μόνον τοὺς φίλους, εἰπόντα, ὡς ἐν τῇ τούτων φειδοῖ καὶ σωτηρίᾳ ὁ ἄσυλος αὐτῷ ταμιεύοιτο πλοῦτος. Αὕτη τοῦ καθ' ἡμῶν διωγμοῦ, καὶ τῆς τῶν ἐκκλησιῶν πολιορκίας αἰτία καὶ πρόφασις γέγονεν ἀληθεστάτη ἡ πρὸς Κωνστάντιον ἐκεῖνον τῶν τυράννων βασκανία· ὁ γὰρ ἐν τοῖς ὁμοίοις ἔργοις ἀνόμοιος ἔπαινος τοῖς πονηροῖς ἀνδράσι τίκτειν εἴωθε φθόνον.» Καὶ οὕτω μὲν ὁ σοφὸς Γελάσιος.

4. Ὁ δὲ Παλαιστηνὸς Εὐσέβιος, καὶ πατρικῆς, φησί, κηδεμονίας ἐν οὐδενὶ λείπουσαν χριστιανοῖς τὴν ἑαυτοῦ παρεῖχεν ἐπικουρίαν, κἂν τοῖς ἀναγκαίοις καὶ πρώτοις ἄγων τῶν φίλων εἰς τούτους καὶ τὰ τῆς βασιλείας ἀφθόνως ἀνήλισκε | χρήμα- 507.
τα. Οὐ μὴν ἀλλὰ καὶ ὁ σοφὸς Εὐτρόπιος, Οὐάλεντι μὲν τῷ βασιλεῖ σύγχρονος γεγονώς, τὴν δὲ ῥωμαϊκὴν ἀρχαίαν ἱστορίαν εἰς τὴν ἑλληνικὴν διάλεκτον μεταβαλών, καὶ τῆς αὐτῆς θρησκείας ὑπάρχων, συμφώνως τοῖς προειρημένοις ἐκκλησιαστικοῖς ἀνδράσι διέξεισιν. Ἐπεὶ δὲ Διοκλητιανὸς ἐκεῖνος μετὰ Πρόβον, καὶ Κάρον, καὶ Κλαύδιον, ἐπελάβετο τῶν σκήπτρων τῆς βασιλείας, ἀνὴρ, τὸ μὲν γένος Δαλμάτης, τον δὲ τρόπον σκαιότατος, καὶ κομιδῇ βάρβαρος, μάλιστα δὲ κατὰ χριστιανῶν πολλὴν τρέφων μανίαν, ἅτε δὴ τῇ περὶ τὰ εἴδωλα πλάνῃ προστετηκώς, συνιδὼν ὅτι δυσχερὲς αὐτῷ, τηλικοῦτον ἀρχῆς μέγεθος μόνῳ ὄντι διακυβερνᾶν, ἄλλως τε καὶ διὰ τοὺς συνεχεῖς τότε πολέμους πλείστων τε ἐθνῶν περιοίκων ἐπαναστάντων Ῥωμαίοις, καὶ μάλιστα Οὐαράχου (sic) τοῦ Περσῶν βασιλέως τὰ δεινότατα διαθεμένου τὴν Ἀσίαν ἅπασαν (ἐπαίδευε γὰρ ὁ Θεὸς πανταχόθεν τὴν Ῥωμαίων ἀρχὴν μὴ θεομαχεῖν μηδὲ λυττᾶν κατ' αὐτοῦ), ἐκλέγεται τὸν ἐπ' ἀδελφῇ γαμβρὸν, Μαξιμιανὸν τὸν Ἑρκούλιον, καὶ ἅμα Κωνστάντιον, τὸν Κών-

σταντος μὲν υἱὸν, Κωνσταντίνου δὲ πατέρα, καὶ τρίτον ἐπὶ τούτοις, Μαξιμιανὸν τὸν Γαλλέριον· οὓς καὶ βουλόμενος πιστοτέρους ἑαυτῷ ποιεῖν ταῖς ἐπιγαμβρίαις, Γαλλέριον μὲν τῇ ἑαυτοῦ συζεύγνυσι θυγατρὶ, τὸν δέ γε Κωνστάντιον, τῇ θυγατρὶ τοῦ συμβασιλεύοντος αὐτῷ Ἑρκουλίου, Θεοδώρᾳ, βίᾳ πρότερον ἀποστήσας αὐτῶν τὰς ἰδίας γαμετὰς, τούτων βασιλέα καταστησάμενος Μαξιμιανὸν τὸν Ἑρκούλιον, καὶ ἁλουργίδα βασιλικὴν περιθεὶς κλῆρον ἡγεμονίας τὰ πλείω χαρίζεται τῶν ἑσπερίων ἐθνῶν. Ταῦτα δ' εἰσιν ὅσα τε τὴν πρὸς δύσιν καὶ ζέφυρον ἄνεμον νέμονται ἄκραν τῆς οἰκουμένης, γένη παντοῖα τῶν Ἰσπανῶν, καὶ ὅσα κατόπιν ἀφιέντα τὸν γαδειραῖον τράχηλον καὶ τὴν τῆς κάτω Ἰβηρίας παράλιον παραλλάττονται, ἥκει μέχρι καὶ εἰς τὸν ἑλλησποντίαν πορθμόν. Κωνστάντιον δὲ καὶ Γαλλέριον εἰς τὴν τῶν καισάρων ἀναφέρει ἀξίαν. Καὶ Κωνσταντίῳ μὲν δίδωσιν ἄρχειν παρὰ τὴν ἔξω καὶ ὑπερβόρειον θάλασσαν τοῦ Ὠκεανοῦ, ὅσα τε βρεττανικὰς τὰς μεγίστας οἰκοῦσι νήσους γένη γλωσσῶν, καὶ ὅσα παρὰ τὴν καθ' ἡμᾶς οἰκουμένην ἐκ Πυῤῥηναίων ὀρῶν ἀρξάμενα ἔθνη Γαλατῶν ὁμοῦ καὶ Κελτῶν. Γαλλερίῳ δὲ τήν τε Αἴγυπτον ἐπιτρέπει διοικεῖν, καὶ ὅσα τῆς Λιβύης εἰς τὴν Αἰθιοπίαν περαίνει. Ἑαυτῷ δὲ τὴν Ἀσίαν καταλείπει, ὅσην τε Εὐφράτης ὁρίζει καὶ Τίγρις πρὸς ἕω καὶ ὅσα τῶν Καυκασίων ὀρῶν Ἴβηρες ἔχουσι, καὶ ὅσα πρὸς νότον Σύρων καὶ Φοινίκων καθήκουσιν ἔθνη, ὅσα τε τὴν ἑξῆς ἐπιπορεύεται θάλασσαν τοῦ Εὐξείνου, καὶ ὅση πρὸς τούτοις εἰς Εὐρώπην ἥπλωται Θράκη· οὐ μόνον δὲ ἀλλὰ καὶ ὅσα τῆς ἑτέ-
507. ρας πλευρᾶς ὁρίζει διείργων ὁ μέγιστος Ἴστρος, ὃς, ἐκ τῶν | βορείων Ἄλπεων ῥηγνύμενος, πέντε στόμασιν εἰς τὸν Εὔξεινον ἐκδίδοται Πόντον. Δίαιτα δὲ ἦν αὐτῷ βασιλικὴ ἡ τῆς Βιθυνίας μητρόπολις Νικομήδεια, καὶ ὅσα περὶ αὐτήν. Ἐκεῖθεν γὰρ ἦν χρηματίζων βασιλικῶς καὶ πρυτανεύων τὰς τῆς ὅλης ἀρχῆς ἡγεμονίας καὶ ἐξουσίας.

5. Ἀλλὰ Διοκλητιανὸς μὲν ἐκεῖνος καὶ Μαξιμιανὸς ὑπὸ τοῦ Σατανᾶ φυσηθέντες, καὶ οἷον εἰπεῖν εἰς ἔκτοπον ἐκβακχευθέντες θηριωδίαν καὶ ἀγριότητα, τὰ μὲν τῆς βασιλείας ἅπαντα ἐν δευτέρῳ τίθενται πράγματα, βαρύτερον δὲ καὶ βιαιότερον τὸν κατὰ χριστιανῶν ἐγείραντες πόλεμον ἐκεῖνα ἐποίησαν, ἅπερ εἰς ἔτι καὶ νῦν αἱ μαρτυρικαὶ τῆς Ἐκκλησίας ἀνακηρύττουσι βίβλοι. Ἐπεὶ δὲ ἑώρων τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, τοῖς τῶν μαρτύρων αἵμασι καὶ τοῖς διωγμοῖς μᾶλλον αὐξομένην τε καὶ δοξαζομένην, ἀπομανέντες οἱ ἀλιτήριοι, ἅτε τῶν ἐλπίδων αὐτοῖς φρούδων γεγενημένων, ἐκ συμφώνου τὴν ἀρχὴν ἀποθέμενοι, τὸν ἰδιωτικὸν καὶ ἀπράγμονα βίον ἀνθείλοντο, σκηψάμενοι μὲν ἐν τῷ φανερῷ, πρὸς τοὺς τῆς ἀρχῆς πόνους ἀπειρηκέναι διὰ τὸν χρόνον, οἷς δὲ τὰ ἀπόῤῥητα τῆς καρδίας ἐπίστευον ἐξειπόντες, ὡς οὐ φέρουσιν ὁρᾶν ἔτι τὸ τοῦ Χριστοῦ ὄνομα μεῖζον τοῖς διωγμοῖς γινόμενον καὶ περιφανέστερον. Εὐθὺς οὖν ὁ τοῦ μεγάλου Κωνσταντίνου πατὴρ Κωνστάντιος, σὺν Μαξιμιανῷ τῷ Γαλλερίῳ κύριοι τῆς ὅλης τῶν Ῥωμαίων ἡγεμονίας κατέστησαν. Καὶ Γαλλέριος μὲν τῆς προτέρας εἴχετο ἀτοπίας· καὶ ἦν διάδοχος ὥσπερ τῆς βασιλείας οὕτω καὶ τῆς κακίας τοῦ κηδεστοῦ. Κωνστάντιος δὲ ἐξ ἀντιῤῥόπου, πραότητι πολλῇ καὶ συμπαθείᾳ χρώμενος διετέλει, καὶ τοῖς τὰ χριστιανῶν πρεσβεύουσι συμβούλοις ἐχρῆτο, καὶ κοινωνοὺς τῶν βασιλικῶν εἶχε πραγμάτων.

6. Ἐπεὶ δὲ καὶ τὸν αὐτῷ φίλτατον υἱὸν, Κωνσταντῖνον τὸν μέγαν, ὅμηρον εἰρήνης καταλελοίπει τῷ Διοκλητιανῷ, ἡνίκα παρ' ἐκείνου καῖσαρ χειροτονηθεὶς εἰς Γαλλίαν ἐπέμπετο. Ὁ μὲν Κωνσταντῖνος τοῖς βασιλεῦσιν ἐν Νικομηδείᾳ συνδιατρίβων, λογικῆς ἐπεμελεῖτο παιδεύσεως· καὶ τῇ τε γνώμῃ τὰ κάλλιστα συνέλεγε τῶν μαθημάτων, καὶ τὴν γλῶτταν ἤσκει πρὸς ἑκατέραν τῶν διαλέκτων, ἑλληνικήν φημι καὶ ῥωμαϊκὴν, στρατιωτικοῖς τε ἀγῶσιν ἐγύμναζεν ἑαυτὸν, καὶ πρὸς πάντα πόνον

εἴθιζε τὸ σῶμα γενναίως ὑπομένειν, ὡμίλει τε χαριέντως τοῖς ἀνθρώποις, καὶ τῷ τῆς γνώμης ἱλαρῷ τε καὶ προσηνεῖ πρὸς ἅπαντας ἀνεκίρνατο. Ἐντεῦθεν ποθεινὸς ἦν ἅπασι καὶ ἐπέραστος, καὶ περὶ πολλοῦ τὴν ἑαυτοῦ φιλίαν ἅπαντες ἐποιοῦντο, καὶ μεγάλας ἐδίδου περὶ ἑαυτοῦ φαντάζεσθαι τὰς ἐλπίδας, τοῖς γε τὰ τοιαῦτα κρίνειν ἐπισταμένοις· δι᾽ ἅπερ καὶ ὁ βασιλεὺς Διοκλητιανὸς ἀρεσθεὶς ἐπὶ τῇ προκοπῇ Κωνσταντίνου, καὶ βουλόμενος ἐπὶ μᾶλλον αὐτὸν οἰκειώσασθαι ζεύγνυσιν αὐτῷ τὴν θυγατριδῆν τοῦ συμβαλεύοντος αὐτῷ Μαξιμιανοῦ τοῦ
508. Ἑρκουλίου. | Καὶ ἦν ἐντεῦθεν ἔτι μᾶλλον συνδιαφέρων τῷ βασιλεῖ τοὺς ὑπὲρ τοῦ κοινοῦ πόνους, στρατείας τε οὐκ ὀλίγας ποιούμενος ἀνά τε Αἴγυπτον καὶ Παλαιστίνην καὶ Συρίαν, καὶ πανταχῇ νικῶν τοὺς ἀνθισταμένους αὐτῷ καὶ κατατροπούμενος. Ἀχιλλέως οὖν τινος τηνικαῦτα τὴν Αἴγυπτον ἀποστήσαντος καὶ πόλεμον ἀραμένου πρὸς βασιλέα Διοκλητιανὸν, πολλά τε συναγηοχότος Αἰγυπτίων στρατεύματα, πεμφθεὶς κατ᾽ αὐτοῦ Κωνσταντῖνος, καὶ συμβαλὼν κατὰ τὸ Πηλούσιον, ζωγρίαν ἑλὼν αὐτὸν, ἀναπέμπει Διοκλητιανῷ, καὶ τὴν Αἴγυπτον πάλιν ὑπόφορον Ῥωμαίοις ἀποκαθίστησιν. Ἀλλ᾽ οὐκ ἔμελλε ταῦτα μέχρι πολλοῦ τινος οἴσειν ὁ φθόνος, οὐδὲ τῇ πονηρᾷ καὶ θεομάχῳ τοῦ Διοκλητιανοῦ ψυχῇ φορητὰ ταῦτα ἔσεσθαι· πῶς γὰρ ἔμελλε τοῖς καλοῖς θήσεσθαι μέχρι τέλους, ὃ ψυχῶν εὐγνωμόνων ἐστὶν ἴδιον, Διοκλητιανός γε ὢν, ὃ τὴν μὲν ἐνέργειαν τοῦ Σατανᾶ πᾶσαν εἰς ἑαυτὸν δεξάμενος, τῇ δὲ κατὰ Χριστοῦ μανίᾳ μηδενὶ τῶν πρὸ αὐτοῦ τε καὶ μετ᾽ αὐτὸν γενομένων ὑπερβολὴν λελοιπώς;

7. Ὁρῶν τοιγαροῦν ἐκεῖνος, τὴν Κωνσταντίνου σύνεσιν καὶ τὴν ἐν πολέμοις ἀνδρίαν καὶ τὸ ἄμαχον πανταχοῦ καὶ ἀήττητον καὶ διὰ πολλὴν ἡμερότητα καὶ δικαιοσύνην αὐτὸν ὄντα πᾶσιν ἐπέραστον, καὶ τὸ πάντων ἐκείνῳ βαρύτατον εἶναι δοκοῦν, κατὰ μηδένα τρόπον αὐτὸν τοῖς τῶν Χριστιανῶν πα-

θήμασι χαίροντα, ἀλλὰ πᾶν τοὐναντίον, φιλανθρωπευόμενον περὶ τούτους, καὶ τὰς κατ' αὐτῶν ἐπιβουλὰς ἐκτρεπόμενον, καὶ ὅλως ἐλέῳ πολλῷ χρώμενον περὶ τοὺς ἀδικουμένους, ζήλου πίμπλαται πονηροῦ. Καὶ συλλογισάμενος ἐντεῦθεν, ὡς εἴπερ ἐγκρατὴς γένοιτο τῆς ἀρχῆς Κωνσταντῖνος, ὁ πᾶσιν οὕτως ἐπιεικὴς καὶ φιλάνθρωπος, φροῦδα τὰ ἐκείνων ποιήσεται, δεῖν ἔγνω τὸν ἄνθρωπον ἐκποδὼν ποιήσασθαι. Καὶ πανταχόθεν αὐτῷ συσκευὰς καὶ δόλους ἐτύρευεν, ἀλλ' οὐδὲν ταῦτα πρὸς τὸν ὑπὸ Θεοῦ φυλαττόμενον, ἐν ἡμέρᾳ ἐπισκοπῆς ὡσὰν εἴποι Δαϋίδ (Α'. Πτρ. β'. 12). Κωνσταντῖνον. Ἀλλ' ὁ τὸν προφήτην καὶ θεοπάτορα βασιλέα, τῶν τοῦ παρανόμου Σαοὺλ ἀδίκων χειρῶν πολλάκις πρότερον ἐξαιρήσας, καὶ πανταχοῦ κρείττονα τῶν ἐνεδρευόντων αὐτὸν καταστήσας, οὗτος καὶ τὸν μακάριον Κωνσταντῖνον ἐξείλετο πάσης ἐπιβουλῆς παρὰ τῶν ἀσεβῶν αὐτῷ πλεκομένης. Γνοὺς γὰρ τὰ καθ' ἑαυτοῦ μελετώμενα, φυγὰς ἐκεῖθεν διαπόντιος, ὡς Μωϋσῆς ὁ προφήτης τοῦ Φαραὼ τὰς ἐνέδρας, εἰς Βρεττανίας παρὰ τὸν πατέρα Κωνστάντιον ἄπεισι· κἀκείνῳ ἐντυχὼν πρὸς τελευταίαις ἤδη πνοαῖς ὑπό τε γήρως καὶ τῶν φυσικῶν τοῦ γήρως νοσημάτων ὑπάρχοντι, παρέστη τε καὶ ἐδάκρυσεν. Ὁ δὲ μικρὸν διάρας τοὺς ὀφθαλμοὺς καὶ ἀπροσδόκητον ἤδη τὸν φίλτατον διὰ χρόνων μακρῶν | θεασάμενος, ἀνεῤῥώσθη τε εὐθὺς, καὶ ἀποῤῥήτου χαρᾶς ἐπληροῦτο, καὶ ἠρέμα ὑπαναστὰς ὅλαις περιεπλέκετο χερσὶ καὶ ὅλῃ ψυχῇ θερμὰς ἀνέπεμπε Θεῷ τὰς εὐχαριστίας. « Καὶ ὁ θάνατος οὐκ ἔτι θάνατος, ἔφασκεν, ἀλλὰ μεστὸς ἀθανασίας εἶναί μοι δοκεῖ, Κωνσταντῖνον ἐν ὀφθαλμοῖς ἰδόντι, μόνον ἱκανὸν ὄντα τὴν βασιλείαν ὡς χρὴ διοικῆσαι καὶ τὰ χριστιανῶν δάκρυα ἐκδικῆσαι δυνάμενον. » 508.

8. Φησὶν γοῦν αὖθις ὁ μικρῷ πρόσθεν ἡμῖν εἰς μαρτυρίαν παραληφθεὶς Γελάσιος ὁ Καισαρείας, τῆς Καππαδοκῶν ἐπαρχίας ἐπίσκοπος, ὡς ὁ τοῦ μεγάλου Κωνσταντίνου πατὴρ, θεό-

θεν παρορμηθείς, τοὺς ἄλλους τῶν παίδων παρείς, πάντα ἐπ' αὐτὸν μετέθηκε, σκῆπτρα, καὶ ἁλουργίδα, καὶ βασιλείας κράτος, τοσοῦτον ὑπειπών· «νῦν ὁ θάνατός μοι γίνεται τῆς ζωῆς ἡδύτερος· νῦν κατὰ γνώμην τελευτῶ, μέγιστον ἐντάφιον καταλιπὼν ἐμαυτῷ τὴν σὴν ἡγεμονίαν. Τὸ γὰρ καταλιπεῖν βασιλέα ὑπὲρ γῆς τὰ χριστιανῶν δάκρυα περιμάξαι δυνάμενον, καὶ στῆσαι τὸν ἄδικον καὶ μάταιον φόνον, ἤδη μοι προξενεῖ τὸν τῆς μακαριότητος τόπον. Θαρσεῖτε πάντες οἱ Θεὸν ἀρνησάμενοι, Χριστὸς μετὰ Κωνσταντίνου λοιπὸν ὑπὲρ ὑμῶν ὁπλίζεται, ἐκεῖνος ὑμῶν ἀοράτως ὑπερμαχεῖ.» Ταῦτα εἰπὼν καὶ ἀσπασάμενος καὶ προσευξάμενος, καὶ τὸν παῖδα περιλαβών, καὶ τὸν Δαυῒδ τὸν τῶν Ἑβραίων βασιλέα τοῖς ἔργοις μιμησάμενος, ἐπεδείκνυε πιστὸν τοῦ κράτους καὶ τῆς ἀρχῆς κληρονόμον, κήρυξ αὐτὸς πρὸ τῶν ἄλλων τοῦ παιδὸς καταστάς.

9. Οὕτω μὲν οὖν καὶ μετὰ τοιούτων προνομίων τὴν βασιλείαν ὁ μέγας Κωνσταντῖνος παραλαμβάνει· οὐχ ἁπλῶς καὶ ὡς ἔτυχε ταύτην διαδεξάμενος, οὐδ' ὡς κλῆρον πατρῷον μόνον. Τοῦτο γὰρ οὐ μέγα καὶ τῶν τυχόντων, (καὶ ἐπὶ τοὺς πονηροὺς ὡς ἐπὶ τὸ πολὺ φθάνον), ἀλλὰ σὺν πολλῷ τῷ δικαίῳ· καὶ προηγησαμένων ἀγώνων ἀξίως τῆς τοιαύτης αἱρέσεως, ὡς εἶναι τὴν βασιλείαν αὐτῷ μισθὸν ἀρετῆς μᾶλλον ἢ κληρονομίαν ἀλόγῳ σχέσει πολλάκις ἐφ' οὓς μὴ δεῖ καταβαίνουσαν. Οὐ γὰρ ἄν, εἰ μὴ πολὺ τῶν ἄλλων υἱέων, ὁ ἐξ Ἑλένης αὐτῷ γεγονώς, ὑπερεῖχεν, ἐκείνους παραλιπών, τούτῳ τὴν ἀρχὴν ἐνεχείριζεν· ἀλλ' ὡς ἁπάντων ὄντι κρείττονι τῷ τῆς ἀρχῆς βάρος προσανετίθη καὶ πατέρα καὶ δεσπότην, καὶ κηδεμόνα τῶν παίδων καὶ βασιλέα τὸν αὐτὸν ἐχειροτόνει, καὶ πᾶσι τοῖς ὑπηκόοις ἐκέλευε τὴν προσήκουσαν ἀποδιδόναι προσκύνησιν· καὶ πάντες ἐποίουν τὸ κελευόμενον ἄσμενοι. Ἔδραμε γὰρ ἡ φήμη καὶ πόῤῥωθεν πρὸς αὐτοὺς τῶν τοῦ μεγάλου Κωνσταντίνου πλεονεκτημάτων, καὶ πάντες ἐπόθουν ἰδεῖν αὐτὸν καὶ ὑ-

π' ἐκείνου βασιλικῶς ἄγεσθαι. Δύο τὸ μεταξὺ παρῆλθον ἡμέραι, καὶ πραείαις, ὡς ἂν εἴποι τις, παλάμαις Κωνστάντιον ὁ θάνατος ἀγκαλίζεται, μακαριστότατον ἐν ἀνθρώποις γενόμενον, ἅτε δὴ τοιούτου παιδὸς καταξιωθέντα ὑπηρετῆσαι γεννήσει, καὶ μεταδοῦναι τούτῳ μετὰ τῆς φύσεως καὶ τῆς | βασιλείας 509. καὶ τῶν τῆς εὐσεβείας σπερμάτων, καὶ πάντων ὡς εἰπεῖν κρατήσας τῶν ἄλλων, μόνου τοῦ παιδὸς ἐφάνη παραπολὺ λειπόμενος. Ὁ γὰρ ἐξ ἐκείνου γεγονὼς Κωνσταντῖνος, οὐ τοὺς φύσαντας μόνον ἡττηθέντας ἔδειξε τὴν καλὴν ἧτταν καὶ πᾶσιν εὐκταίαν, ἀλλὰ καὶ πάντας τοὺς ἐξ αἰῶνος βασιλικῷ τῷ πήχει βασιλέας παρήλασε.

10. Διαδεξάμενος οὖν τὴν πατρῴαν ἀρχὴν, ἡδονῆς ἐπλήρωσε τὰ πάντα, ὅσα τε ἐν βρεττανικαῖς νήσοις, καὶ ὅσα ἐν τῇ τῶν Γερμανῶν ὁμοῦ καὶ Γαλατῶν γῇ. Ἦν γὰρ ὁ μακάριος πάσαις ἀρετῶν ἰδέαις κεκοσμημένος, θάλασσα φιλοδωρίας, ἐλέους ἄβυσσος, τῷ προσηνεῖ τοῦ ἤθους εὐέντευκτος, καὶ τὴν βασίλειον ἀρετὴν ἀπαράμιλλος, φρόνησιν ἔχων βασιλικὴν τῷ ὄντι καὶ μεγαλόφρονα, καὶ ἀσυγκρίτῳ ὑπεροχῇ τῶν πολλῶν ὑπερφερούσῃ· τὸν γὰρ ἠθικόν τε καὶ οἰκονομικὸν καὶ πολιτικὸν φρόνιμον ὑπεραναβὰς, τὴν βασιλικὴν ἐκτήσατο φρόνησιν, ὡς εἶναι μὴ φρόνιμον ἁπλῶς μόνον, ἀλλὰ φρόνιμον φρονίμων, καθάπερ ὅσα τῶν μεγάλων πρὸς ἑαυτὰ παραβάλλεται, ἱκανὸς ὢν τὰ δέοντα συνιδεῖν καὶ προδιασκέψασθαι λίαν ἐπιτυχῶς καὶ δεξιῶς διαπράξασθαι. Δικαιοσύνῃ δὲ πάσῃ χρώμενος πρὸς τοὺς ἀρχομένους, ἐν τῷ μὴ μόνον ἑτέρους κωλύειν χεῖρα πλεονεκτικὴν ἐπιβάλλειν τοῖς ἀλλοτρίοις, ἀλλὰ πολλῷ πρότερον αὐτὸν ἀπέχεσθαι τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας· αὕτη μὲν γάρ ἐστιν αἰτία τῆς φιλοχρηματίας, ἐκείνη δὲ ἡ τῶν κακῶν κορωνὶς, ἣν ὁ Παῦλος (Κολ. γ'. 5.) δευτέραν εἰδωλολατρείαν εἶναί φησιν. Ἀμήχανον γὰρ τὸν ἐπιθυμοῦντα χρημάτων καὶ πρὸς ἓν τοῦτο βλέποντα μόνον, ὅπως ἂν ἐκ παντὸς τρόπου ταῦτα

συλλέγοιτο, μὴ πᾶσιν ὡς εἰπεῖν εἶναι τοῖς μεγίστοις κακοῖς ὑπεύθυνον. Ὁ δὲ μακάριος οὗτος, οἰκεῖον ἡγούμενος πλοῦτον τὴν τῶν ὑπηκόων εὐδαιμονίαν, τὰς μὲν ἐκείνων συνεκρότει κτήσεις, τὰς δὲ οἰκείας καὶ βασιλικὰς παρὰ φαῦλον ἐτίθει, ἄμεινον παρὰ τοῖς ὑπηκόοις, λέγων, φυλάττεσθαι τὴν τοῦ βασιλέως εὐπορίαν, ἢ μικρῷ περικεκλεῖσθαι χωρίῳ τῶν βασιλικῶν ταμείων· ὃ δὴ καὶ περὶ τοῦ πατρὸς αὐτῷ παρ' ἀξιοπίστων μεμαρτύρηται συγγραφέων.

11. Σωφροσύνην δὲ, τὴν, ὡς ἂν εἴποι τις, μητέρα καὶ τελεσιουργὸν τῶν ἀρετῶν ἁπασῶν, οὕτως ἐπόθησε διὰ βίου, καὶ οὕτως ἐκτόπως ἠσπάσατο, ὡς καὶ τοὺς ἐχθροὺς αὐτοῦ, τοὺς ὕστερον κατὰ τοῦ Θεοῦ τῶν ὅλων ἀδικίαν λαλήσαντας, καίτοι γε πανταχόθεν τὸν αὐτοῦ βίον περιιχνεύσαντας, μηδὲν δυνηθῆναι κατὰ τῆς αὐτοῦ σωφροσύνης εἰπεῖν· οὔτε γὰρ τῇ αὐτοῦ συμποσιακῇ βίβλῳ ὁ ἀναιδὴς εὗρεν Ἰουλιανὸς οὐδὲν καταθέσθαι πικρὸν, ἐν ᾗ τοὺς πρὸ αὐτοῦ Καίσαρας εἰσάγει περὶ πρωτείων ἐρίζοντας, οὔτε ὁ σοφιστὴς Λιβάνιος τῷ πρὸς Ἰουλιανὸν μετὰ ταῦτα ἐπιταφίῳ, ἀλλ' ἔδειξαν μὲν αὐτῶν τῆς γνώμης ἑκάτερος τὴν δυσμένειαν, εἰπεῖν δ' οὐδὲν ἰσχυρὸν κατὰ Κωνσταντίνου δεδύνηνται· οὕτω κραταιότερον καὶ τῶν ὑβριστῶν τὸ τοῦ θείου
509. Κωνσταντίνου καλὸν | ἐτύγχανεν ὄν. Τά γε μὴν τὰ τῆς ἀνδρίας αὐτοῦ τῆς ἐν τοῖς πολέμοις, οὐδὲ ὁ τοσοῦτος χρόνος ἴσχυσεν ἀμαυρῶσαι, ἀλλὰ τὰ μὲν τῶν πρὸ αὐτοῦ βασιλέων τε καὶ Καισάρων ἀπέσβη τε καὶ ἠφάνισται τρόπαια, αἵ τε τούτων ἐπώνυμοι πόλεις, καὶ ὅσα τῆς αὐτῶν ἀνδρίας ἔστησαν τρόπαια· τὰ δὲ τοῦ μεγάλου Κωνσταντίνου τέθηλε καὶ ἀνθεῖ, καὶ φανερὰ πᾶσιν ὑπάρχει βαρβάροις τε καὶ Ῥωμαίοις. Οὐ γὰρ ἦν ἀνθρώπινα ἁπλῶς, ἵνα καὶ τέλος ἀκόλουθον ἔχῃ ταῖς ἀνθρωπίναις δυνάμεσιν, ἀλλὰ θεόθεν ἔχοντα τὴν ἰσχὺν καὶ τὴν μαρτυρίαν, διὸ καὶ συμπαρεκτείνεται τῷ παντὶ χρόνῳ, λήθης ἐπέκεινα ὄντα καὶ χρόνου κρείττονα.

12. Τίς γὰρ ἀποβλέψας πρὸς τὴν ἐπώνυμον αὐτῷ πόλιν, τὴν μεγάλην ὄντως οὖσαν καὶ καλουμένην τὴν τοῦ Θεοῦ πόλιν, περὶ ἧς αὐτὸς δεδοξασμένα ἐλάλησεν, ὡς ἔφη Δαϋὶδ (πς'. 2.), τὴν κοινὴν ὡς ἂν εἴποι τις ἁπάντων χριστιανῶν ἑστίαν, τὴν ἐν ᾗ πᾶν ὁτιοῦν συνῆλθε κάλλιστόν τε καὶ σπανιώτατον, εἰς ἣν μόνην ἁμιλλᾶται περὶ τῶν πρωτείων φύσις καὶ τέχνη, ἡ μὲν ἀναδοῦσα τὰ κράτιστα, ἡ δὲ προσθεῖσα τὰ κάλλιστα, οὐκ ἂν ἀγάσαιτο διαφερόντως τὸν ταύτης οἰκιστὴν καὶ ὁμώνυμον; Τὸ δὲ τῆς αὐτοῦ γνώμης κεκραμένον καὶ εὔχαρι, τίς ἂν παραστήσειε λόγος; οὐ γὰρ ὥς τι φορτίον ἦγε τὴν ἐξουσίαν, μεῖζον ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν, ἵνα δὴ καὶ συνεχῶς περιτρέπῃ καὶ προσκρούῃ τοῖς πράγμασιν, ἀλλ' αὐτὸς ἦκε πολλῷ κρείττων ἐκείνης, ὅσῳ καὶ τὸ κινοῦν τοῦ κινουμένου, καὶ ψυχὴ σώματος κρεῖττον καὶ ἰσχυρότερον· καὶ διὰ τοῦτο οὐκ ἐξύβρισε περὶ τὴν ἀρχήν, οὐδὲ ἐξεκρούσθη τὸν λογισμὸν τοῦ καθήκοντος, οὐδὲ τῇ βίᾳ τὸ κράτος ὡρίζετο· ἀλλ' ὡς πατὴρ παίδων ἡγεῖτο καὶ τοῖς μὲν πόνοις πλεονεκτεῖν ἠξίου τῶν ἄλλων, τὰς δὲ ἐκ τούτων ἀπολαύσεις κοινὰς πᾶσι προὐτίθει. Καὶ οὔτε πρὸς τρυφὴν ἐξέδωκεν ἑαυτὸν, καὶ τὸν ὑγρόν τε καὶ διαῤῥέοντα βίον ἠγάπησεν, οὔτε μὴν ἐπιθυμία χρημάτων εἷλεν αὐτοῦ τὴν ψυχήν, ἀλλὰ τὴν βασιλείαν σωφροσύνης ἁπάσης ἀξιῶν εἶναι διδάσκαλον, ἐγκρατῶς εἶχε πάνυ πρὸς τὰς ἀτόπους ἡδονάς, ἄδικον εἶναι κρίνων, αὐτὸν μὲν ἀξιοῦν κρατεῖν τῶν ὑποτεταγμένων ὡς ἐλαττόνων, ὑπὸ δὲ τῶν αἰσχίστων ἡδονῶν ἀνδραπόδου δίκην ἄγεσθαι, καὶ δουλεύειν μᾶλλον ἢ ἄρχειν. Διὸ πρότερον αὐτὸς ἑαυτοῦ μοναρχίαν ἐν τῇ ψυχῇ καταστησάμενος, καὶ τὰς ἀλόγους ἡδονάς τε καὶ λύπας ὑποτάξας τῷ λογισμῷ, οὕτως ἐπὶ τὴν τῶν ἄλλων ἔβλεψε θεραπείαν, ἀφ' ἑστίας, ὅ φασι, τῆς βασιλείας ἀρξάμενος.

13. Εἰδὼς δὲ ὁ θαυμάσιος, ὡς ἐνδιαθέτῳ μᾶλλον εὐνοίᾳ δουλοῦσθαι πέφυκε τῶν ἀνθρώπων ἡ γνώμη, ἢ βίᾳ τε καὶ ἀνά-

γκῃ, τὸ μὲν γὰρ βασιλικὸν τῷόντι καὶ ἐλευθέριον, τὸ δὲ τυραννικόν τε καὶ βίαιον, καὶ διὰ τοῦτο κοινὸν ἅπασι τοῖς πονηροτάτοις προκείμενον, τὰς αἰτίας τῆς ἐνδιαθέτου εὐνοίας τῶν ὑπηκόων ἐσπούδαζεν ἑαυτῷ πολλαπλασιάζειν τε καὶ συναύξειν ἀεὶ, τῷ Θεῷ συνεργῷ χρώμενος. Ταῦτα δὲ ἦν· θυμοῦ κρατεῖν,
510. ἐπιθυμιῶν τε πονηρῶν, | πρᾶον εἶναι, φιλάνθρωπον, συμπαθῆ, φιλόδωρον, εὐεργετικὸν, ἀμνησίκακον, ὡς οἰκείων μελῶν κήδεσθαι τῶν ἀρχομένων, τὰ μὲν ἄλλα κοινὸν ἑαυτὸν παρέχειν τοῖς δεομένοις καὶ πρόχειρον, τῇ δ' ὑπεροχῇ τῶν ἀρετῶν ἐξῃρημένον καὶ ἰδιάζοντα. Ἅπαξ γὰρ ἑαυτὸν εἰς Θεὸν ἀνατείνας τὴν μίαν τε καὶ πρώτην ἀρχὴν ἁπάντων, ὡς πρὸς παράδειγμα τὰ ἐκείνου πάντα καθόσον δυνατὸν ἀνθρώπῳ ζηλοῦν ἔσπευδεν. Ἐκεῖνος οὐ δημιουργός ἐστι μόνον δι' ἀγαθότητος ὑπερβολὴν, ἀλλὰ καὶ προνοητὴς τῶν αὐτοῦ δημιουργημάτων· καὶ τούτων ἀεὶ κηδόμενος ὡς ἰδίων, σοφίας λόγοις ἀῤῥήτοις ἐπιστρέφει πρὸς ἑαυτὸν τὸν ἁμαρτάνοντα, διοικῶν δὲ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καθάφησι Σαλομών (Σφ. θ'. 3.). Μακρόθυμός ἐστι, καὶ πολυέλεος, καὶ ἀληθινὸς, καὶ ὅσα πρότερον αὐτὸς ἑαυτῷ μεμαρτύρηκε, τῷ Μωϋσῇ χρηματίζων ἐπὶ τοῦ ὄρους, ἅπερ ἅπαντα καὶ τὸν ἐπὶ γῆς βασιλέα κεκτῆσθαι βούλεται, εἰκόνα φέροντα τῆς αὐτοῦ βασιλείας, καὶ τάττειν τεταγμένον τὰ τῇδε κατὰ μίμησιν ὑπερκόσμιον· ὧν ἁπάντων μετεῖχε Κωνσταντῖνος ὁ μέγας ὅσον ἐνδέχεται, καὶ οὐδὲν ἦν μέρος ἀρετῆς, ὃ μὴ τὴν ἐκείνου βασιλείαν ἐκρότει καὶ κατηγλάϊζεν. Ἦν δὲ ὁ γενναῖος καὶ κατὰ τὴν σωματικὴν διάπλασίν τε καὶ διαρτίαν, ἀμύθητον ὅσον ὑποφαίνων τὸ κάλλος, καὶ ὡς εἰπεῖν, ὀφθαλμῶν τρυφὴ καὶ ψυχῆς ἔφεσις· συνέπραττε δὲ τὴν χάριν αὐτῷ καὶ ἡ τῆς ψυχῆς ἔνδοθεν ἀρετὴ, διὰ τῶν ἐκτὸς ἠθῶν ἠρέμα καὶ προσηνῶς ἀναλάμπουσα, καὶ ὥσπερ ἐν ἐπαγγελίᾳ φαιδροῦ καὶ ἵλεω τοῦ μειδιάματος αὐτὸν ἀεὶ καθιστῶσα. Τούτοις καὶ τοῖς τοιούτοις ὁ μέγας Κωνσταντῖνος καταγλαϊζόμενος, πάντας εἶχε

τοὺς ὑπηκόους μετ' εὐνοίας αὐτῷ δουλεύοντας. Καὶ ἦν ἄντικρυς ἱερὰ πανήγυρις ἐν πάσῃ τῇ ὑπ' αὐτὸν ἀρχῇ, καὶ θάλασσα χαρίτων, καὶ ἀγαθοῦ παντὸς συνδρομή.

14. Τὰ δὲ κατὰ τὴν Ἰταλίαν πράγματα καὶ πάνυ πονήρως εἶχε διὰ Μαξέντιον τὸν Ἑρκουλίου υἱόν. Οὗτος γὰρ, ἐπεὶ τὸν Κωνσταντίου ἐπύθετο θάνατον, χεῖρα στρατιωτικὴν προσεταιρισάμενος μάλα συχνὴν, ἐπέθετο, καὶ εἷλε Ῥώμην τὸ τῆς Ἰταλίας κεφάλαιον. Κἀκεῖθεν ὡς ποταμὸς ἐκλυθεὶς, ὅλην ὑπηγάγετο Ἰταλίαν, ἀλλ' ὑγιὲς οὐδὲν καὶ πρέπον τῇ τοιαύτῃ πέπραχεν ἀρχῇ. Πονηρὸς γὰρ ἦν ἐς τὰ μάλιστα, καὶ δήμιος ἀπαραίτητος καὶ τοῖς ὑπηκόοις μάλα πικρὸς, γυναιξί τε εὐγενέσι παρανόμως ἐνασελγαίνων, καὶ ἀκολασίαις παντοίαις χρώμενος, κατὰ δὲ χριστιανῶν ἐμαίνετο ἀφειδῶς, καὶ ῥύακες ἐχέοντο αἵματος τῶν εἰς Χριστὸν πιστευόντων. Ὅθεν καὶ ἤκουσεν ἡ ἀκοίμητος ἀκοὴ καὶ ἰδὼν εἶδε Θεὸς τὴν τῶν ἀδικουμένων κάκωσιν (Ἔξ. γ'. 7.), καὶ λαμπρὰν ἐντεῦθεν καὶ περιφανῆ ποιεῖ τὴν ἐκδίκησιν. Ποιεῖται δὲ οὕτως. Ῥωμαῖοι κακούμενοι συνεχῶς τῇ τοῦ τυράννου μανίᾳ, καὶ ἅμα κατήκοοι γεγονότες τῆς ἀρετῆς Κωνσταντίνου, γράμματα διεπέμποντο συνεχῆ πρὸς αὐτὸν εἰς ἐκδίκησιν σφῶν αὐτῶν διαναστῆναι παρακαλοῦντα, καὶ μὴ | περιδεῖν τηλικαύ- 510.
την ἀρχὴν, εἰς βάθος κακῶν καταδῦναι κινδυνεύουσαν. Τοῖς οὖν τῶν Ῥωμαίων παρακλητικοῖς γράμμασι διαθερμανθεὶς τὴν ψυχὴν Κωνσταντῖνος, καὶ μισήσας τὴν πολλὴν Μαξεντίου πονηρίαν τε καὶ ἀσέβειαν, τάς τε γαλατικὰς καὶ βρεττανικὰς ἀθροίζει δυνάμεις, καὶ ὅλῃ προθυμίᾳ τὸν Ῥῆνον διαβὰς κατὰ τοῦ ἀσεβοῦς ἐκστρατεύει Μαξεντίου, τῷ πέμπτῳ τῆς βασιλείας ἔτει, σύμμαχον καὶ ἡγεμόνα τῆς ὁδοῦ ποιησάμενος Θεὸν τῶν πάντων δημιουργὸν, ὃν χριστιανοὶ πρεσβεύουσι μονογενῆ υἱὸν ἐκείνου. Ἤδει γὰρ ἐκ πολλοῦ καὶ διὰ πολλῶν, ὡς Κωνστάντιός τε ὁ τούτου πατὴρ, καὶ ὅσοι τῶν πρὸ αὐτοῦ βασιλέων εὐμενέστερον προσίεντο τοὺς χριστιανοὺς καὶ τὴν θρησκείαν ἐθαύ-

μαζον, καὶ συστρατευομένους εἶχον, μέγιστα κατ' ἐχθρῶν ἐστήσαντο τρόπαια. Ἀλλ' οὕτω μὲν ἐκεῖνος.

15. Ὁ δὲ πάλαι πρὸς Ἰησοῦν τὸν τοῦ Ναυῆ, μετὰ Μωσέα τὴν δημαγωγίαν ἄρτι διαδεξάμενον, Θεὸς εἰπών· ἐν τῇ ἡμέρᾳ ταύτῃ ἄρχομαι τοῦ ὑψῶσαί σε κατενώπιον τῶν υἱῶν Ἰσραὴλ, ἵνα γνῶσι πάντες, ὅτι καθὼς ἤμην μετὰ Μωσῆ, οὕτως ἔσομαι καὶ μετά σου (Ἰησ. Ν. γ'. 7.) οὗτος καὶ Κωνσταντῖνον, τὸν αὐτῷ προωρισμένον εἰς βασιλείαν ἀπὸ γενεῶν ἀρχαίων, ἄρχεται τιμᾶν ἤδη· καὶ συνιστᾶν τῷ κόσμῳ παντὶ λαμπρῷ καὶ μετεώρῳ κελεύσματι. Καὶ ὁ τρόπος οἷος; Ὡς θαυμαστὸς ὄντως, καὶ τῆς τοῦ καλοῦντος σοφίας τε καὶ δυνάμεως καὶ προνοίας ἐπάξιος! Ἀγωνιῶν γὰρ ὁ θαυμάσιος περὶ τοῦ πολέμου καὶ τὸ τοῦ μέλλοντος ἄδηλον λογιζόμενος, μάλιστα καὶ τοὺς ἐχθροὺς ἀκούων ὑπερβάλλειν αὐτὸν τῇ δυνάμει, ἀναβλέψας εἰς τὸν οὐρανὸν, τοῦ ἡλίου περὶ αὐτὴν ἤδη τὴν μεσημβρίαν ὄντος, εἶδε τὸ τοῦ σταυροῦ σημεῖον ἐν τῷ οὐρανῷ δι' ὑπερλάμπρων ἀστέρων· καὶ γράμματα περὶ αὐτὸν ἐδόκουν εἶναι, ΕΝ ΤΟΥΤΩι ΝΙΚΑ τοὺς ἐχθρούς σου, Κωνσταντῖνε, λέγοντα. Ἐβρόντησε γὰρ ὡς ἀληθῶς ἐξ οὐρανοῦ ὁ Κύριος, καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ, ὥστε περιφανῆ καὶ περιβόητον γενέσθαι παντὶ τῷ κόσμῳ τὴν Κωνσταντίνου δύναμιν, ὡς οὐρανία τίς ἐστι καὶ ἀήττητος. Οὐ μὴν δὲ, ἀλλὰ καὶ νυκτεριναί τινες ὀπτασίαι κατ' ἐκεῖνο τῆς νυκτὸς ὤφθησαν αὐτῷ, βεβαιοῦσαι τὰ τῆς μεθημερινῆς θέας· καὶ διὰ πάντων αὐτῷ πληροφορίαν παρέχουσαι οὐκ αὐτῷ δὲ μόνον, ἀλλὰ καὶ δι' αὐτὸν καὶ παντὶ τῷ μεθ' ἑαυτοῦ στρατεύματι τὰ περιφανῆ καὶ οὐράνια ταῦτα ὦπτο θεάματα, περιουσίᾳ τῆς τοῦ καλοῦντος αὐτὸν ἀγάπης τε καὶ δυνάμεως. Τί τοῦτο τοῦ κατὰ Παῦλον (Πρ. θ'.) γενομένου θαύματος ἔλαττον; Ὁ γὰρ ἐκεῖνον ἐξ οὐρανοῦ καλέσας Θεὸς, καὶ ἑαυτὸν ἀποκαλύψας ἐκείνῳ, καὶ εἰς μαθητείαν ἐπιλεξάμενος, καὶ σκεῦος ἐκλογῆς ποιησάμενος, οὗτος

νῦν καὶ Κωνσταντῖνον οὐρανόθεν καλεῖ τὸν μέγαν, καὶ ἑαυτὸν, ὅστις εἴη, τούτῳ ἀποκαλύπτει, καὶ μαθητὴν καὶ κήρυκα τοῦ διωκομένου παρὰ τῶν εἰδωλολατρῶν ποιεῖται Λόγου, καὶ τῆς αὐτοῦ Ἐκκλησίας ἐκδικητὴν καὶ ὑπέρμαχον. Καὶ ὥσπερ ἐκείνῳ πρὸς τὴν κλῆσίν τε καὶ οἰκείωσιν τοῦ διωκομένου | συνήργησε, 511.
τὸ γενέσθαι κατὰ τὴν ἐν νόμῳ δικαιοσύνην ἄμεμπτον, καὶ παντελῶς ἐλεύθερον εἶναι τῶν ἐγκλημάτων, ἅπερ ὁ Χριστὸς τοῖς Ἰουδαίοις ὠνείδιζεν, οὕτω καὶ Κωνσταντίνῳ πρὸς τὴν κλῆσιν ἤρκεσεν ἡ τοῦ φυσικοῦ νόμου τήρησις ἀκριβής.

16. Εἰ δὲ καὶ Πέτρος φησὶν ὁ μακάριος· « ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει, ὁ φοβούμενος τὸν Θεὸν καὶ ποιῶν δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι » (Πρ. ι'. 34.), πῶς οὐχὶ πρόδηλόν ἐστι σαφῶς, ὡς ἄρα ὁ τῆς φύσεως δημιουργὸς ἀρεσθεὶς ἐπὶ τῇ Κωνσταντίνου προαιρέσει, μηδαμῶς ἐν τηλικαύτῃ παγκοσμίου πλάνης ἀωρίᾳ παραχωρήσαντος τὸν λογισμὸν ἐνδοῦναι τοῖς πάθεσιν, ἐπέλαμψεν αὐτῷ φῶς εὐσεβείας καὶ γνώσεως; Εἰ δὲ καὶ καθάπερ ὁ μακάριος Παῦλός φησι, διὰ μετριοφροσύνης ὑπερβολὴν ὑπὸ τοῦ Θεοῦ κληθῆναι, ὅπως εἴη ὑπόδειγμα τῶν μελλόντων σώζεσθαι πρὸς ζωὴν αἰώνιον, τί κωλύει κἀνταῦθα λέγειν, ὡς οὐρανόθεν ὁ Χριστὸς εἵλκυσε Κωνσταντῖνον εἰς βεβαίωσιν τῶν τε ἤδη πιστευόντων, καὶ τῶν εἰς ὕστερον πιστεύειν μελλόντων τῷ τοῦ Εὐαγγελίου κηρύγματι; Καὶ τοὺς μὲν Ἰουδαίους τετρακόσια ἔτη τοῖς ἀλλοφύλοις δουλεύσαντας διὰ Μωσέως ὁ Θεὸς ἠλευθέρωσε, (Γεν. ιέ. 13.) σημείοις καὶ τέρασι μεγίστοις δοξάσας τὸν ἑαυτοῦ θεράποντα, ἵν' ἔχῃ πανταχόθεν ἡ νομοθεσία τὸ ἀξιόπιστον. Χριστιανοὺς δὲ τριακοσίοις καὶ ἔτι τούτων ἐπέκεινα ἔτεσι πολεμουμένοις, καὶ πᾶν εἶδος ἐπενεγκοῦσι πειρασμῶν καὶ βασάνων, Κωνσταντῖνον ἐλευθερωτὴν καὶ βασιλέα ἐπέστησεν, ἵν' ὥσπερ ὁ Παῦλος, ἀπόστολος ἦν, οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ θελήματος Ἰησοῦ Χριστοῦ (Γαλ. α'. 1.) οὕτω

καὶ Κωνσταντῖνος εἴη χριστιανῶν βασιλεύς, οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ θελήματος Θεοῦ τὴν χειροτονίαν δεξάμενος· καὶ ὥσπερ ἡ προφητεία τὴν ἔμπνευσιν εἶχεν ἄνωθεν καὶ τῶν ἀποστόλων ἡ μαθητεία τὴν ἐπιλογὴν παρ' αὐτοῦ τοῦ Θεοῦ, οὕτω καὶ ἡ βασιλεία τὸ ἰσχυρὸν ἔχῃ παρ' αὐτοῦ τοῦ Χριστοῦ· ἐπεὶ καὶ Θεός ἐστιν ὁ αὐτὸς ταῦτά τε κἀκεῖνα διενεργῶν, καὶ διὰ πάντων ὡς Θεὸς δοξαζόμενος.

17. Μετὰ γοῦν τὴν θείαν ἐκείνην ὄψιν σταυρὸν κατασκευασάμενος ὁ Κωνσταντῖνος χρυσήλατον ἐπὶ τῆς σημαίας ἵστησι· καὶ ἅμα πάντας τοὺς ἀμφ' αὐτὸν στρατηγούς τε καὶ στρατιώτας, καὶ ταξιάρχους καὶ λοχαγούς, τὰ παραπλήσια πράττειν ἐκέλευσεν. Ὧν τἀναντία ποιῶν διετέλει Μαξέντιος, πάσαις τερατείαις καὶ ἀῤῥητουργίαις δαιμονικαῖς χρώμενος· καὶ μετὰ τοιούτων ἐλπίδων τάς τε ἰβηρικὰς καὶ ἰταλικὰς συγκροτῶν καθώπλιζε δυνάμεις, τάφρους τε ὤρυττε πρὸ τῆς Ῥώμης καὶ μηχανὰς συνίστη, καὶ δόλους ἔῤῥαπτε. Ἤδη δὲ πλησίον τῆς Ῥώμης Κωνσταντῖνος γενόμενος, καὶ ἐφ' ἡμέραις αὐλισάμενος τέσσαρσι, καὶ τὸν στρατὸν τοῖς προσήκουσι λόγοις παραθαῤῥύνας, ἐξῄει
511. τοῦ χάρακος. Ἀντεπεξῄει δὲ καὶ Μαξέντιος καὶ τὰ | Μαξεντίου στρατεύματα, καὶ εἰς τάξεις ἑκατέρωθεν παρετάξαντο. Καὶ συμβολῆς γενομένης, καὶ τῶν στρατευμάτων ἀλλήλοις συμπεσόντων, βοὴ συμμιγὴς ἑκατέρωθεν ἤρθη, τῶν μὲν ἐπιβοωμένων Θεὸν ἀληθινὸν, τῶν δὲ θεούς τε καὶ δαίμονας. Τέλος δ' ἐκλίναντες αἱ πολέμιοι, ὅλαις ἐχρῶντο φυγαῖς. Τότε δὴ τὴν συμφορὰν τοῦ οἰκείου θεασάμενος στρατοπέδου Μαξέντιος, ὅτι δίκην ἀσταχύων ὡς ἐν ἅλωνι θερινῷ τὸ πλεῖστον κατακοπὲν ἔκειτο, καὶ δήσας μὴ καὶ αὐτὸς ἁλώσιμος γένηται ζῶν, ᾤχετο φεύγων ὅλαις ἡνίαις εἰς Ῥώμην τὴν πόλιν. Ἀλλ' ἡ πρὸ τῆς πόλεως γέφυρα τοῦ ποταμοῦ, τὸ βάρος οὐ δεξαμένη τοῦ σὺν Μαξεντίῳ φεύγοντος πλήθους, ἐῤῥάγησε καὶ κατηνέχθη. Καὶ οὕτως Μαξέντιος ἅμα τοῖς πλείστοις τῶν σὺν

αὐτῷ πλουσίοις τοῖς ὕδασιν ἀπώλοντο· καὶ ὁ τὴν κακίαν τῷ αἰγυπτίῳ Φαραὼ παραπλήσιος, καὶ τὰ παραπλήσια ἐκείνῳ περιφανῶς ἐπεπόνθει.

18. Ὁ δὲ Κωνσταντῖνος μετὰ τῶν ἐπινικίων θριάμβων ἤλαυνεν ἐς τὴν Ῥώμην, ὅλαις ῥοπαῖς τῆς ψυχῆς τῇ τοῦ σταυροῦ δυνάμει τὴν νίκην ἐπιγραφόμενος. Καὶ ἄσμενοι πάντες αὐτὸν ὑπεδέχοντο, καὶ τὰ δεσμωτήρια ἐκενοῦτο, καὶ τὰ τῆς εὐσεβείας ἐπαῤῥησιάζετο δόγματα, καὶ τὰ χριστιανῶν ἀνέῳγε θυσιαστήρια, καὶ πάντα εὐφροσύνης ἐπίμπλατο· καὶ ἦν οὐδεὶς ὃς οὐ σκιρτῶσαν εἶχε τὴν ψυχὴν ὑπὸ τῆς ἡδονῆς. Ἔστησε δὲ καὶ τὸν ἑαυτοῦ ἀνδριάντα πρὸς ὕψος σταυρὸν ἐγκεχειρισμένον, ᾧ καὶ ταῦτα ἐπέγραψε γράμματα· «τῷ σωτηριώδει τούτῳ σημείῳ, τῷ ἀληθεῖ ἐλέγχῳ τῆς ἀνδρίας, τὴν πόλιν ἡμῶν ζυγοῦ τυραννικοῦ διασωθεῖσαν, ἠλευθέρωσα· ἔτι μὴν καὶ τὴν σύγκλητον καὶ τὸν δῆμον Ῥωμαίων τῇ ἀρχαίᾳ ἐπιφανείᾳ καὶ λαμπρότητι ἐλευθερώσας ἀποκατέστησα.» Θαυμάσειε δ' ἄν τις εἰκότως καὶ τὸ τηνικαῦτα ἱστορούμενον ἐπὶ τῆς σημαίας ἐκείνης τῆς βασιλικῆς, τῆς τὸν σταυρὸν τοῦ Σωτῆρος φερούσης, μεγίστης οὔσης ὁμοῦ καὶ προανεχούσας τῶν ἄλλων. Τῆς γὰρ συμβολῆς τῶν στρατευμάτων γενομένης, ὁ ταύτην κατέχων σημαιοφόρος ἀποδειλιάσας πρὸς τὰς νιφάδας τῶν κατ' αὐτοῦ φερομένων βελῶν, ταύτην μὲν ἀπολείπει, καὶ ἅμα τὴν ζωὴν προσαπόλλυσι, βέλους ἐν καιρίῳ παγέντος τοῦ σώματος. Ἕτερος δὲ ταύτην εὐθὺς ὑπελθὼν τῶν ἀνδρικῶν καὶ ψυχῇ καὶ τῇ πίστει, μυρίων ὅσων ἐπ' αὐτὸν οἰστῶν τε καὶ ἀκοντίων ἀφιεμένων, ἄτρωτος ἔμεινε, μηδὲ τὴν ἀρχὴν ὅλως ἁψαμένου τινὸς βέλους αὐτοῦ, ἀλλὰ πάντων ἐπὶ τῆς σημαίας ἀπηωρημένων ἀπράκτων· οὐ τηνικαῦτα δὲ μόνον συνηνέχθη τὸ παράδοξον τοῦτο, ἀλλὰ καὶ ἐν τοῖς μετὰ ταῦτα γενομένοις αὐτῷ πολέμοις κατά τε Λικινίου καὶ ἑτέρων τυράννων ταὐτὸ τοῦτο γέγονεν, εἰς δόξαν τοῦ ἐν αὐτῷ σαρκὶ σταυρωθέντος Ἰησοῦ Χριστοῦ, υἱοῦ τοῦ Θεοῦ.

Ἐπεὶ δὲ ἔδει καὶ τοῦ ἱεροῦ βαπτίσματος ἀξιωθῆναι τὸν καὶ
512. πρὸ τῆς κλήσεως | ἄξιον ὄντα, καὶ μετὰ τὴν κλῆσιν ἀξίαν τοῦ
καλέσαντος τὴν πολιτείαν ἐπιδειξάμενον, οἰκονομεῖται καὶ τοῦ-
το παρὰ τῆς πάντα σοφῶς ἀγούσης προνοίας τόνδε τὸν τρόπον.

19. Νόσῳ μὲν ὁ βασιλεὺς περιπίπτει τῆς ἐλεφαντιάσεως. Δεινὴ δὲ αὕτη, καὶ τῶν ἀδυνάτων θεραπευθῆναι σχεδὸν, ὅσον εἰς ἀνθρωπίνην καθέστηκε δύναμιν. Ἰατροὶ δὲ πανταχόθεν συχνῶς παρὰ τὸν βασιλέα φοιτῶντες, συνετέλουν ἅπαντα τὰ ἀπὸ τῆς τέχνης, καὶ ὅσα οἴκοθεν ἦν δυνατὸν προσεξευρεῖν. Ἐπεὶ δὲ τὸ πάθος κατὰ πάντα τρόπον ἀνίατον ἦν, οἱ τῶν εἰδώλων ἱερεῖς αὐτῷ συνεβούλευον, παίδων ἔτι κομιδῇ νηπίων συναθροῖσαι πλῆθος, κελεῦσαί τε αὐτὰ σφαγῆναι ἔν τινι κολυμβήθρᾳ τοῦ Καπιτωλίου, ἔπειτα ἐμβῆναι τὸν βασιλέα καὶ λούσασθαι, νεκρῷ ἔτι καὶ ἀτμίζοντι τῷ τῶν παίδων αἵματι, ἐπ' ἀμφιβόλῳ μέν τοι καὶ τότε τῇ θεραπείᾳ. Πείθεται τούτοις ὑπὸ ἀπορίας ὁ βασιλεὺς, καὶ δὴ πλῆθος συναθροίζεται νηπίων. Αἱ δὲ μητέρες αὐτῶν, ἐφ' ὅτῳ ταῦτα κληθεῖεν πυθόμεναι, βοῆς καὶ ὀλολυγμοῦ πικροτάτου τὸν ἀέρα ἐπλήρουν. Κατακούσας δὲ τὸν θρῆνον ὁ βασιλεὺς, ἀναστὰς τῆς εὐνῆς, καὶ τὰ παιδία κατιδὼν, ἤδη καὶ αὐτὰ τοῦ πάθους αἴσθησιν λαμβάνοντα καὶ κλαυθμηριζόμενα, πλήττεται τὴν ψυχὴν ὑπὸ τῆς ἐμφύτου συμπαθείας τε καὶ χρηστότητος. Καὶ τοὺς φίλους καὶ αὐτοὺς δὴ τοὺς ἰατροὺς συναγαγὼν, ἔλεγε πρὸς αὐτούς· «ὡς ἡ τῶν Ῥωμαίων βασιλεία θεμέλιον ἔχει δικαιοσύνην μάλιστα σὺν ταῖς ἄλλαις ἀρεταῖς. Ἄδικον οὖν ἐστι καὶ ἀνόσιον οὕτως ἀτόπῳ πράγματι ἡμᾶς ἐγχειρῆσαι, καὶ ταῦτα ἐπ' ἀδήλῳ τῷ μέλλοντι· ὅπου γε, εἰ καὶ πρόδηλα τὰ τῆς θεραπείας ἦν, οὐδ' οὕτως ἔδει διὰ μυσαρᾶς οὕτω πράξεως ἐπὶ ταύτην ἐλθεῖν. Ὡς ἔγωγε μᾶλλον ἂν ἑλοίμην διὰ βίου παντὸς τηλικαύτῃ νόσῳ παλαίειν, ἢ αἴτιος διὰ ταύτην ἀνθρωπίνου γενέσθαι θανάτου. Ἀποδοθήτωσαν οὖν ταῖς μητράσι τὰ φίλτατα καὶ πρὸς τούτῳ βασιλικῶν αὗται

τυγχανέτωσαν δωρεῶν, ὅπως ἡ τῆς λύπης ἐπίτασις ἐκποδὼν γένηται, νικηθεῖσα τῷ φιλοτίμῳ τῆς εὐεργεσίας.» Γέγονε ταῦτα διὰ τάχους, τοῦ γαληνοτάτου βασιλέως κελεύσαντος. Αἱ δὲ μητέρες οὕτω μεγάλης καὶ ἀνελπίστου τῆς εὐεργεσίας τυχοῦσαι, εὐχαῖς ὁμοῦ καὶ εὐχαριστίαις μετὰ βοῆς χαρᾷ συμμιγοῦς ἠμείβοντο τὸν βασιλέα.

20. Τί οὖν ὁ πάντων δημιουργὸς καὶ προνοητὴς Θεός; ἆρα παρεῖδε τὴν τοσαύτην τοῦ βασιλέως φιλοτιμίαν, ἢ ἠμείψατο μέν, μικραῖς δέ τισι δωρεαῖς καὶ μέχρι τοῦ παρόντος ἱσταμέναις; οὔμενουν, ἀλλ' ὡς μεγίσταις τε καὶ καλλίσταις. Καὶ τί γὰρ ἄλλο ἢ Θεοῦ τοῦ ἀγαθοῦ πάντως ἀξίαις; ἐπεὶ καὶ πάντων δημιουργός ἐστι καὶ προνοητής, καὶ πάντων ὡς αὐτοῦ κήδεται ποιημάτων, καὶ ἀγαπᾷ τὰ πεποιημένα ὑπ' αὐτοῦ, κἂν ἀφηνιάζῃ πως ἐκεῖνα διὰ πονηρίαν, τὸν Δεσπότην ἑαυτῶν ὁμολογεῖν οὐκ ἐθέλοντα. Ὅθεν ἐπιπέμπει νυκτὸς αὐτῷ τοὺς κορυφαίους τῶν ἀποστόλων Πέτρον καὶ Παῦλον· οἵτινες ὀφθέντες αὐτῷ, τὴν πολλὴν τοῦ Θεοῦ περὶ αὐτὸν ἀπαγγέλλουσι κηδεμονίαν | καὶ ὡς πρὸς πολλοῖς ἑτέροις 512.
αὐτοῦ ἀγαθοῖς ἔργοις, καὶ τοῦτο νῦν ὁ φιλάνθρωπος Θεὸς ἀγασθείη διαφερόντως, τὴν περὶ τὰ βρέφη φιλανθρωπίαν καὶ τὸ ὁμογενὲς συμπάθειαν, ἀνθ' ὧν αὐτῷ χαρίζεσθαι νῦν ἑτέραν κολυμβήθραν, καὶ βάπτισμα σωτηρίας γέμον οὐ σωμάτων μόνον, ἀλλὰ πολλῷ μᾶλλον καὶ ψυχῶν καθάρσιον. «Ζήτησον τοίνυν, εἶπον αὐτῷ, τὸν ἱερέα τῆς πόλεως· καὶ ὃς παραγενόμενος διάκονος ἔσται σοι τοῦ μυστηρίου τῆς χάριτος.» Ταῦτα εἰπόντες, αὐτοὶ μὲν εἰς οὐρανοὺς ᾤχοντο, τὸν βασιλέα δὲ ὁ ὕπνος ἀνῆκε· καὶ αὐτὸς ἠρέμα διαναστάς, καὶ τὸν ἐξ ἔθους ἰατρὸν ἰδὼν αὐτῷ παρεστῶτα, «ἄπιθι, πρὸς αὐτὸν ἔφη μετ' ὀργῆς· οὐκ ἔτι γὰρ βούλομαι τὸ λοιπὸν ὑφ' ὑμῶν θεραπεύεσθαι, ὅτι μηδὲ δυνατὸν ὑμῖν τὰ τοιαῦτα ἰᾶσθαι.» Κελεύει τοίνυν ὅτι τάχιστα ζητῆσαι τὸν ἱερέα τῆς πόλεως. Ὁ δὲ ἦν ἄρα ὁ μακάριος Σίλβεστρος ἐν τῷ Ταρπηΐῳ καλουμένῳ ὄρει τηνικαῦτα κρυπτόμενος διὰ

τὸν τοῦ Μαξεντίου διωγμόν. Ὁ δὲ Σίλβεστρος οὗτος Ῥωμαῖος μὲν ἦν τὸ γένος, Μιλτιάδῃ δὲ τῷ μακαρίῳ ἐπισκόπῳ καὶ μάρτυρι μαθητευθείς, καὶ μιμητὴς αὐτῷ τοῦ βίου γενόμενος, ἐκείνου πρὸς Θεὸν διὰ μαρτυρίου καὶ αἵματος ἐκδημήσαντος ἐπὶ τῆς τυραννίδος τοῦ ἀσεβεστάτου Μαξεντίου, διάδοχος αὐτός, ὥσπερ τῆς ἀρετῆς τοῦ διδασκάλου πρότερον, οὕτω δὴ καὶ τῆς ἱερωσύνης ὕστερον αὐτοῦ γίνεται, καὶ ποιμαίνει τὴν Ῥωμαίων πόλιν, μέγας ὄντως ἔν τε βίῳ καὶ ὀρθοδοξίᾳ καὶ ταῖς ἄλλαις ἀρεταῖς γενόμενος.

21. Μετάκλητος τοιγαροῦν ὑπὸ τοῦ βασιλέως γενόμενος Σίλβεστρος, ἐρωτᾶται παρ' αὐτοῦ μάλα προσηνῶς τε καὶ φιλανθρώπως, εἴ τινες εἶεν παρὰ χριστιανοῖς θεοὶ Πέτρος καὶ Παῦλος οὕτω καλούμενοι. Ὁ δέ, «Θεὸς μὲν ἡμῖν εἷς ἐστιν, εἶπεν, ὦ βασιλεῦ, οὗτοι δέ εἰσιν αὐτοῦ μαθηταί, καὶ τῶν λοιπῶν ἀποστόλων οἱ κορυφαῖοι· οἷς διὰ τὴν εἰς αὐτὸν εἰλικρινῆ πίστιν τε καὶ ἀγάπην, κεχάρισται παρὰ Θεοῦ πάντα ποιεῖν ἐν ἡμῖν ὅσα αὐτὸς δύναται· καὶ μὴ μόνον ἄρχειν τῶν ἡμετέρων σωμάτων, ἀλλὰ καὶ αὐτῶν τῶν ψυχῶν, ζωῆς τε γοῦν καὶ θανάτου τὴν ἐξουσίαν ἔχουσι. Καὶ ὅσα ἂν αὐτοὶ δήσωσιν ἢ λύσωσιν ἐπὶ τῆς γῆς, ταῦτα καὶ αὐτὸς ἄνω βεβαιοῖ ἐν τοῖς οὐρανοῖς.» Καὶ ὁ βασιλεὺς ἔχεις «οὖν, εἶπεν, ἐν τύπῳ μοι τὰς μορφὰς αὐτῶν ἐπιδεῖξαί τινι;» Ὁ δὲ πέμψας εὐθὺς προήγαγεν ἐν εἰκόσι τοὺς χαρακτῆρας αὐτῶν, οὓς ὁ βασιλεὺς ἰδών, ὑπὸ πολλῆς περιχαρείας οὐκ εἶχεν ὅτι καὶ γένοιτο, ἀλλ' ἐβόα συχνῶς· «οὗτοι εἰσὶν ἀκριβῶς οἱ ὀφθέντες μοι· οὗτοι σαφῶς, καὶ οὐκ ἄλλοι τινές.» Ὁ δὲ μακάριος Σίλβεστρος, τὸν Θεὸν ἐπὶ τούτοις τὰ εἰκότα δοξάσας, ποικίλως οὕτω καὶ πανσόφως τὴν τῶν ἀνθρώπων σωτηρίαν πραγματευόμενον, φησὶ πρὸς τὸν βασιλέα· «ὡς εἴ γε κατὰ τὰς ὑποθήκας τῶν ἀποστόλων προσέλθῃς, ὦ βασιλεῦ, τῷ βαπτίσματι, εἴσῃ σαφῶς τοῦ Θεοῦ περὶ σὲ τὰ θαυμάσια.» Ἐπένευσε τούτοις ἀνενδοιάστως ὁ βασιλεὺς

ἡ εὐγνώμων ἐκείνη καὶ πιστοτάτη ψυχή· καὶ κελεύει σχεδιασθῆναι κολυμβήθραν ἐν τῷ παλατίῳ τῆς Ῥώμης Λατερανησίῳ καλουμένῳ. | Καὶ δὴ κατηχήσας αὐτὸν ὁ μακάριος Σίλβεστρος, 513.
ἔπειτα ὑποδεικνύων αὐτῷ τῇ χειρὶ τὸ ὕδωρ· « τοῦτο, εἶπε μεγαλοφώνως, ὦ βασιλεῦ, οὐ ψυχῆς μόνον ἔσται σοι καθαρτήριον, ἀλλὰ καὶ παντὸς ῥύπου σωματικοῦ, καὶ ζωὴν αἰώνιον προξενήσει, καὶ Θεοῦ υἱὸν κατὰ χάριν ποιήσει, καὶ βασιλείας οὐρανὸν κληρονόμον καὶ τῆς αἰωνίου μακριότητος. »

22. Ταῦτα εἰπὼν βαπτίζει τοῦτον εὐθὺς εἰς ὄνομα Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Καὶ ὢ τῶν μεγάλων τοῦ Θεοῦ τεραστίων! ἅμα τῷ ἐξελθεῖν αὐτὸν τῆς ἱερᾶς κολυμβήθρας καὶ ἡ νόσους εὐθὺς δραπετεύει, καθάπερ τινων λεπίδων ἰχθύων ἐναπομεινάντων τῷ τῆς καθάρσεως ὕδατι· καὶ ὁ βασιλεὺς ὅλος ὑγιὴς γίνεται, βραχέος ἐναπολειφθέντος λειψάνου τῷ αὐτοῦ μετώπῳ, ὃ δὴ καὶ αὐτὸ μετ' οὐ πολὺ τεθεράπευτο τῇ χρίσει τοῦ ἁγίου μύρου· καὶ θαυμαστὸν οὐδὲν τοῖς πιστεύουσιν. Εἰ γὰρ ἐπὶ Νεεμὰν τοῦ Σύρου τοσοῦτον ἴσχυσεν ἡ τοῦ Ἐλισσαίου πρὸς Θεὸν παῤῥησία, ὥστε προστάγματι μόνῳ καθαρισθῆναι τὸν ἄνθρωπον ἑπτάκις ἐν τῷ Ἰορδάνῃ λουσάμενον (Δ'. Βσ. ε'. 14.), πολλῷ μᾶλλον, αὐτοῦ Θεοῦ ἐνεργοῦντος, εἰκὸς ἦν παραδοξότερα τούτων γίνεσθαι· εἴ περ ἐκεῖ μὲν τὸ σῶμα μόνον, ἐνταῦθα δὲ ψυχή τε καὶ σῶμα τὴν ἴασιν εὕραντο. Λέγεται δὲ τὸν πανεύφημον βασιλέα τοῦτο πρὸς τοὺς παρόντας εὐθέως εἰπεῖν· « ὡς παρ' ὅσον χρόνου ἐπὶ τῆς ἱερᾶς εἴη κολυμβήθρας, αἰσθάνοιτο σαφῶς, ὥσπερ ἐξ οὐρανοῦ κατιούσης μεγάλης χειρὸς, καὶ τῆς κεφαλῆς ἐφαπτομένης αὐτοῦ, καὶ ὡς δόξειεν αὐτῷ κατελθεῖν μὲν ὥσπερ εἰς ᾅδου τρὶς ἤδη, αὖθις δὲ τοσαυτάκις ἐκεῖθεν εἰς οὐρανοὺς ἀναδῦναι. » Σύμβολον τοῦτο σαφὲς, τοῦ ἐνταφῆναι μὲν αὐτῷ τὸν παλαιὸν ἄνθρωπον, ἀνακαινισθῆναι δὲ αὐτὸν ἐν Χριστῷ, ζωοποιηθέντα διὰ τοῦ θείου βαπτίσματος. Φασὶ δὲ αὐτὸν ἅμα τῷ ἐνδῦναι τὴν ἐμφώτιον ἐσθῆτα

νόμον εὐθὺς γράψαι βασιλικὸν τῷόντι καὶ μεγαλόφρονα· «τοὺς τολμῶντας βλασφημεῖν φανερῶς τὸ πανάγιον ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τούτους ὑπέχειν δίκην εὐθὺς, τὴν τῆς οὐσίας δήμευσιν, καὶ ἀτίμους εἶναι.» Δεύτερος αὐτῷ γέγραπται νόμος «μηδένα βιάζεσθαι τῶν μὴ βουλομένων προσελθεῖν τῇ κατὰ Χριστὸν πίστει, ἀλλ' εἴ τινες ἑκόντες ὄντες αὐτῷ πιστεύσαιεν, τούτοις ἅπασιν ἀποτετάχθαι βασιλικὰ σιτηρέσια καὶ τιμάς.» Ὁ δέ γε τρίτος αὐτῷ νόμος· «τὰς μιαρὰς τῶν Ἑλλήνων θυσίας παντάπασι διεκώλυσε, θάνατον ὁρίσας τὴν τιμωρίαν, εἴ τις ἁλοίη θύων τοῖς δαίμοσι ἰδίᾳ τε καὶ κοινῇ.» Τὴν γὰρ οἰκουμένην σχεδὸν ἔτι μεμηνυῖαν ὁρῶν ὁ μακάριος τῇ περὶ τὰ εἴδωλα πλάνῃ καὶ ταῖς κνίσσαις χαίρουσαν, οὐκ ᾤετο δεῖν ἐξ ἀρχῆς βίᾳ τὴν τούτων ἀποπαῦσαι λατρείαν, ἀλλὰ τὰς μὲν θυσίας, ἧπερ ἔφην, ἐκώλυσεν, ὡς οὐ θεμιτὸν ὂν, τὸ μέντοι θρησκεύειν, ὡς ἐβούλοντο, τοὺς ἑλληνιστὰς οὐ διεκώλυσεν.

23. Ἔγραψε δὲ καὶ κατὰ τῶν εἰδώλων λόγον κάλλιστόν τε καὶ περιφανέστατον, ὡς οἱ παλαιοὶ τῶν τὴν ἐκκλησιαστικὴν ἱστορίαν συντεταχότων φασὶν, ἐν ᾧ κωμῳδεῖ μὲν αὐτῶν τὴν
513. ἀσθένειαν, | καθάπτεται δὲ τῶν πρὸ αὐτοῦ βασιλέων, «ὡς σὺν οὐδενὶ λόγῳ προσήκοντι διὰ τέλους ἐξακολουθῆσαι ἐν τῇ τῶν Ἑλλήνων θρησκείᾳ, καὶ ταῦτα δοκοῦντες ἔνιοι τούτων συνέσει τε καὶ ἀγχινοίᾳ τῶν ἄλλων παρὰ πολὺ διαφέρειν. Οἱ δὲ ἄρα οὕτως ἀθλίως διετέθησαν, ὡς μὴ δυνηθῆναι συνιδεῖν, ὡς ἀδύνατόν ἐστι φύσει καὶ λόγῳ πολυαρχίαν ἐν τῇ ἁπλῇ τῇ θείᾳ φύσει συστῆναί ποτε. Εἰ γὰρ ἡ μὲν ἁπλότης αὐτὴ καθ' ἑαυτὴν εἰρηναία καὶ ἀστασίαστος, μάχη δὲ καὶ διάστασις ἐξ ἀνάγκης ἐστὶν ἐν τοῖς διαφέρουσι, πῶς ἔνι δυνατὸν ὅλως πολλοὺς εἶναι θεούς; ἀνένδεκτον γάρ ἐστιν ἰσοδυναμεῖν αὐτοὺς ἀλλήλοις κατά τε τὴν δύναμιν καὶ τὴν βούλησιν, καὶ ταῦτα πραγματικῶς διαφέροντας. Τῆς γὰρ παντελοῦς ἐστι τοῦτο ταὐτότητος, εἴτ' οὖν ἁπλότητος, πολυαρχία δὲ, ἀναρχία σαφῶς. Ἀλ-

λὰ μὴν τό γε ἄναρχον, ἄτακτον, τό τε πολύαρχον, στασιῶδες καὶ ὁμοίως ἄναρχον, καὶ ὁμοίως ἄτακτον. Εἰς ταὐτὸν γὰρ ἀμφότερα φέρει τὴν ἀταξίαν· ἀταξία δὲ μήτηρ λύσεως. Τὸ δὲ καὶ διαφέροντας αὐτοὺς ἀλλήλων ὁμολογεῖν φύσει τε καὶ δυνάμει, κατὰ τὰ τῶν ἀνθρώπων πάθη, πηλίκον ἐστὶν εἰς παρανοίας λόγον; Εἰ δὲ εἰς αὐτὴν ἀνάγοιεν τὴν κτίσιν τὰ λεγόμενα, καὶ διὰ τὴν καλλονὴν αὐτῆς καὶ τὴν ἄλλην χρείαν εἰς διαφόρους θεότητας ταύτην ἀπομερίζοιεν, πρῶτον μὲν τίς ἡ ἀνάγκη; Εἰ καλόν ἐστιν ἡ κτίσις, ἤδη καὶ θεῖον αὐτὴν εἶναι· πολλὰ γάρ εἰσι πάνυ μὲν καλά, οὐ θεοὶ δὲ καθάπερ ἄγγελοι καὶ ψυχαί. Ἔπειτα πόθεν αὐτῇ δοτέον τό τε ἄναρχον καὶ ἀΐδιον, ἃ Θεοῦ μόνου ἐστὶν ἴδια; Εἰ γὰρ ἔστιν αὕτη σύνθετος, τὸ πάντων ἐναργέστατον, πάντως ὑπό τινος συνετέθη· εἰ δὲ καὶ μένει, ὡσαύτως ἔχουσα, προνοίᾳ τινὶ πάντως τοῦ τἀναντία καὶ διαφέροντα κατὰ φύσιν εἰς ἓν συνθέντος τε καὶ ἁρμοσαμένου. Καὶ εἰ εὐτάκτως ὁ κόσμος ἄγεται, ὑπὸ τίνος ἔχει τὸ τάττεσθαι; Πᾶσα γὰρ σύνθεσίς τε καὶ τάξις δευτέρα τοῦ συντιθέντος καὶ τάττοντος· οὐ γὰρ τῷ αὐτομάτῳ δοτέον τοσαύτην δύναμιν. Ἔστω γὰρ τὸ γενέσθαι τοῦ αὐτομάτου, τίνος τὸ τάξαι; καὶ τοῦτο, εἰ δοκεῖ, δῶμεν, τίνος τὸ τηρῆσαι καὶ φυλάξαι καθ' οὓς πρῶτον ὑπέστη λόγους; ἑτέρου δηλαδὴ παρὰ τὸ αὐτόματον. Τοῦτο δὲ τίποτε ἄλλο πλὴν Θεός; Εἰ δὲ διὰ τὸ κάλλος, καὶ διὰ τὴν ἁρμονίαν, καὶ τὴν χρείαν, αὐτοῖς ἡ κτίσις ἐθεοποιήθη, ἔδει πολλῷ μᾶλλον τὸν ταύτης δημιουργὸν προσκυνεῖσθαι.

24. «Εἰ γὰρ καλὴ ἡ κτίσις, ὥσπερ οὖν καὶ ἔστι καλή τε καὶ ἐναρμόνιος, πηλίκος ἂν εἴη ὁ ταύτης δυμιουργός; καὶ εἰ τὸ δημιούργημα οὕτως ἐστὶ θαυμαστὸν, πόσον εἰκὸς ὑπερέχειν τὸν δημιουργὸν, οὗ περ ἡ δύναμις ἀπειράκις ἀπείρως ὑπερβάλλει τῶν ἐνεργειῶν ἀεὶ τὰ ἀποτελέσματα; Πολλῷ οὖν δικαιότερόν ἐστι μᾶλλον τῷ δημιουργῷ τὸ σέβας ἀπονέμειν, ἤπερ τοῖς αὐτοῦ ποιήμασιν. Οὐ μὴν ἀλλὰ καὶ αὐτοῖς τοῖς δοκιμω-

τάτοις τῶν παρὰ σφίσι φιλοσόφων, τἀναντία φρονοῦσι καὶ λέγουσιν Ἕλληνες, εἴ περ οἱ μὲν αὐτὸν νοῦν εἶναι τὸν τοῦ παντὸς ἡγεμόνα καὶ διακοσμητὴν ἀπεφήναντο, οἱ δὲ τὸ πρῶτον αἴτιον ἓν εἶναί φασι καὶ ἀκίνητον, αὐτοὶ δὲ παλλοὺς ἀναπλάττουσι θεοὺς, καὶ οὕτως ἀνομοίους, ὡς μὴ μόνον κατὰ φύσιν ἀλλήλων διαφέρειν, ἀλλὰ καὶ κατὰ δύναμιν, καὶ βούλη-
514. σιν, καὶ ἐνέργειαν. Τὸ δὲ καὶ | τοὺς μὲν αὐτῶν ἀγαθοὺς θεοὺς ὑποθέσθαι, τοὺς δὲ πονηροὺς, καὶ διελεῖν αὐτοῖς τὴν τοῦ κόσμου πρόνοιαν, καὶ φέροντας ἀναθεῖναι ταύτην τοῖς πονηροῖς δαίμοσι, τοῦτο οὐκ ἀνοίας μόνον ἀλλὰ καὶ πάσης ἀσεβείας ὑπερβαλὴν ὑπερβέβηκεν. Ἐντεῦθεν οὖν αὐτοῖς ἐπῆλθε καὶ δύο ἀρχὰς ὑποθέσθαι τῶν ὄντων κατ' οὐσίαν ἀντικειμένας ἀλλήλαις, ἀγαθόν τέ φημι καὶ κακόν. Καὶ οὐκ αἰσχύνονται πόλεμον εἰσάγοντες ἀδιάλλακτον ἐν τῇ θείᾳ καὶ ἁπλῇ φύσει, καὶ τό γε εἰς αὐτοὺς ἧκον ἀμφότερα δι' ἀλλήλων ἀναιροῦντες. Ὥσπερ γάρ ἐστι τοῦ ἀγαθοῦ ἴδιον ἥ τε ὕπαρξις τῶν ὄντων καὶ συνοχή τε καὶ τάξις καὶ διακόσμησις, οὕτω τῆς πονηρίας ἐστὶν ἔργον ἀταξία τε καὶ ἀναρμοστία καὶ ἀῤῥυθμία, καὶ τέλος ἡ εἰς τὸ μὴ εἶναι ἀντιπεριχώρησις. Ταῦτα δὲ ἀλλήλοις ἀντίκεινται, ὥστε ἔνθα μάχη, πάντως ἐστὶ καὶ ἐπικράτεια· ἡ γὰρ τοῦ ἑνὸς ὑπεροχὴ μὴ εἶναι τὸ ἕτερον ἐστί.

25. « Πῶς οὖν ὁ κόσμος καὶ τὰ τούτου συνίσταται μέρη; πῶς δὲ καὶ ἡ αὐτὴ τάξις ἀεὶ τοῖς οὖσι κατὰ τὴν ἐξ ἀρχῆς αὐτῶν δύναμιν καὶ ἐνέργειαν; τίνα δὲ καὶ λόγον ἔχει τὸ καὶ ὅλως εἰς ἴσον ἀντεπεξάγειν τῷ ἀγαθῷ τὸ κακόν; Εἰ γὰρ ἐφ' ἡμῶν τῶν ἀνθρώπων, τὸ κακὸν ἀποτυχία τῶν κατὰ φύσιν ἐνεργειῶν ὁρίζεται καὶ φθορὰ, τὸ δὲ κατὰ φύσιν πρότερόν ἐστι τῆς ἐν τούτῳ παρατροπῆς, πρόδηλον ὅτι τὸ κακὸν, ἀνυπόστατον ὂν καθ' ἑαυτό, ὥσπέρ τις νόσος ἐστὶ τῶν κατὰ φύσιν ἐνεργειῶν τοῦ ὑποκειμένου. Καὶ καθάπερ ὁ αἰσθητὸς οὗτος ἥλιος οὐσιωδῶς ἔχει καὶ καθ' αὑτὸ τὸ φῶς, τὸ δὲ σκότος κατὰ συμ-

βεβηκὸς ὑποχωρήσει τοῦ φωτὸς παρυφίσταται, οὕτως ἐπὶ τῆς θείας ἐκείνης καὶ ἀκηράτου φύσεως, πολλῷ μᾶλλον δίκαιόν ἐστιν ὁμολογεῖν μηδαμῶς ἀντικεῖσθαι αὐτῇ τὸ κακὸν καθ' ὑπόστασιν. Εἰ δὲ ἀνούσιον τοῦτο καὶ ἀνυπόστατον, πρόδηλον ὡς οὐδὲ τῆς θείας ἐστὶ προσηγορίας ἄξιον, ἀλλὰ τῆς πονηρᾶς καὶ ἀντικειμένης δυνάμεως, δι' ἡμετέραν ἐξ ἀρχῆς ῥαθυμίαν, ὑποβολῇ τοῦ πονηροῦ τῷ κόσμῳ παρεισφθαρέν. Ἀλλ' ὡς ἔοικε τὸ ταῖς οὐ καλαῖς ἡδοναῖς δουλωθῆναι τὸν λογισμὸν, αἴτιον αὐτοῖς ἐγένετο τοῦ περὶ πολλοῦ ποιεῖσθαι τὰ εἴδωλα καθὼς φησι καὶ Σολομὼν ὁ σοφός· ὅτι ἀρχὴ πορνοίας ἐπίνοια εἰδώλων (Σφ. ιδ'. 12). Ταῖς γὰρ ἀθεμίτοις ἡδοναῖς βοσκημάτων δίκην ἑαυτοὺς καταδουλωσάμενοι, τὴν τῶν εἰδώλων θρησκείαν, ὥσπερ ἀπολογίαν τῆς ἑαυτῶν ἀσελγείας οἱ τάλανες ἐπενόησαν. Εἰ γὰρ καὶ θυμὸν καὶ τὰ κατ' αὐτὸν ἐθεοποίησαν πάθη, ἀλλ' ὅπως καὶ ταῦτα ἔκδικα τῆς ἡδονῆς ἔχωσι· διὸ καὶ παρεδόθησαν εἰς ἀδόκιμον νοῦν, ᾗ φησι Παῦλος (Ῥμ. α'. 2), ποιεῖν τὰ μὴ καθήκοντα, καὶ τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἀνάξιοι ἐκρίθησαν. Εἰς γὰρ κακότεχνον ψυχὴν σοφία οὐκ εἰσελεύσεται, καὶ οὐκ ἐνοικήσει πνεῦμα ἅγιον ἐν ψυχῇ ἁμαρτίαις ὑπόχρεῳ, φησὶν αὖθις Σολομὼν ὁ σοφώτατος (Σφ. α'. 4).» Ταῦτα καὶ ἕτερα πλείονα τούτων καὶ βασιλικῆς | τῷόντι φρενὸς ἄξια. Μᾶλλον δὲ, εἰ χρὴ τό γε ἀκριβέστερον εἰπεῖν τῆς 514.
ἐκείνου μεγάλης ψυχῆς τε καὶ διανοίας, κατὰ τῶν ἀναισθήτων εἰδώλων, καὶ τῶν ἐν αὐτοῖς ἐνεργούντων δαιμόνων εἰπών τε καὶ συγγραψάμενος, στήλην κατ' ἐκείνων ἀθάνατον ταῖς ἑξῆς γενεαῖς τὸν λόγον κατέλιπεν.

26. Ὥσπερ δὲ ὁ Θεὸς, ἀγαθὸς ὢν, οὐ παύεται τοῦ τῶν ἀνθρώπων γένους ἀεὶ κηδόμενος, οὕτως ἐκ τοῦ ἐναντίου πονηρὸς ὢν ὁ διάβολος οὐδέποτε διαλείπει, τῷ Θεῷ κατὰ τῆς ἡμετέρας σωτηρίας ἐναντιούμενος. Ἰδὼν τοιγαροῦν ὡς ὁ μέγας Κωνσταντῖνος ἐπέστρεψεν ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐξ ὅλης

ψυχῆς καὶ ἰσχύος καὶ διανοίας, ὡς αὐτὸς ἐν Εὐαγγελίοις φησὶν ὁ Σωτὴρ, καὶ ὡς κινδυνεύει κατὰ μικρὸν τὰ τῆς εἰδωλολατρείας ὑποῤῥεῖν ἤδη, καὶ τέλεον ἀφανισθῆναι τῇ δυνάμει Χριστοῦ (πάντες γὰρ ἄνθρωποι σχεδὸν ἤρξαντο καταγινώσκειν τῆς ματαιότητος τῶν εἰδώλων, εἰ καὶ μὴ ἀθρόον ἀπέστησαν αὐτῶν διὰ τὸ τῶν ἡδονῶν ἐμπαθὲς καὶ δυσκάθεκτον), ἕτερον τρόπον περινοεῖ προσβάλλειν αὐτῷ. Καὶ δὴ τῆς τρισμακαρίας αὐτοῦ μητρὸς Ἑλένης περὶ τῆς Ἀσίαν διατριβούσης, ἡνίκα βασιλεὺς Κωνσταντῖνος τὰ ὑπερφυῆ καὶ μεγάλα ἐκεῖνα ἔπραττε, παρασκευάζει τοὺς πονηροτάτους τῶν κατ' ἐκεῖνον τὸν καιρὸν Ἰουδαίους, προσελθεῖν αὐτῇ μετὰ δόλου, καθάπερ οἱ πρόγονοι τούτων πάλαι τῷ ἐμῷ Χριστῷ, καὶ εἰπεῖν πρὸς αὐτήν: « ὅτι μὲν ὁ σὸς υἱός τε καὶ βασιλεὺς ἀποσταίη τῆς τῶν εἰδώλων ἀπάτης τε καὶ θρησκείας, τοῦτο ὀρθῶς, καὶ κατὰ τὸν προσήκοντα λόγον αὐτῷ πέπρακται· ὅτι δὲ Χριστῷ προσέλθοι καὶ πιστεύσειεν ὡς Θεῷ τῷ ὑπὸ τῶν προγόνων ἡμῶν σταυρωθέντι, τοῦτο ἀνάξιόν ἐστι τῆς ἑαυτοῦ βασιλείας, καὶ αἰσχύνην οὐκ ὀλίγην φέρον αὐτῷ τε καὶ παντὶ τῷ ἔθνη Ῥωμαίων. Εἰ τοίνυν ὁ σὸς υἱός τε καὶ βασιλεὺς, ἀποσταίη μὲν τῆς τῶν χριστιανῶν πίστεως, χθὲς καὶ πρώην ὡς εἰπεῖν ἀναφανείσης, προσέλθοι δὲ τῷ Ἰουδαϊσμῷ, παρὰ τῶν ἐξ ἀρχῆς πατέρων ἄνωθεν παραδεδομένῳ, ἵλεω μὲν ἑαυτῷ καὶ εὐμενῆ ποιήσει τὸν τῶν Ἑβραίων Θεὸν, χαριεῖται δὲ οὗτος αὐτῷ μῆκος ζωῆς. Καὶ ζήσεται μὲν κατὰ τὸν ὅρον τῆς τοῦ Δαυὶδ βασιλείας, εὐδαιμονήσει δὲ, ὡς ὁ ἐκείνου παῖς Σολομὼν, καὶ τἆλλα πάντα αὐτῷ ἐπακολουθήσει κρείττονα ἢ κατὰ πᾶσαν ἐλπίδα. »

27. Τούτων ἡ μακαρία Ἑλένη ἀκούσασα, γράφει τῷ υἱῷ τε καὶ βασιλεῖ. Καὶ ὃς εὐθὺς ἀναγνοὺς καὶ τῶν Ἰουδαίων τὸν δόλον συνεὶς, ἀντιγράφει τῇ μητρὶ διὰ τάχους ἐπιλεξαμένης τοὺς λογιωτάτους τῶν Ἰουδαίων ἐλθεῖν εἰς Ῥώμην μετ' αὐτῶν, ὡς ἐνώπιον αὐτοῦ λέξοντας ὅ, τι δὴ καὶ βούλοιντο. Γέγονε

τοῦτο. Καὶ τῆς μακαρίας Ἑλένης ἄρτι πρῶτον ἀφιγμένης ἐν Ῥώ-
μῃ μετὰ βασιλικῆς τῆς δορυφορίας, παρῆσαν σὺν αὐτῇ καὶ
τῶν Ἰουδαίων ἄλλοι τε πλεῖστοι πολλῶν ὑπερέχοντες δόξῃ τε
καὶ σοφίᾳ· καὶ δὴ κατ' ἐξοχὴν ἄνδρες τινὲς δώδεκα τῶν ἀ-
ριθμὸν, λογάδες ὑπ' ἐκείνων κριθέντες, προεστάναι τοῦ Ἰουδαϊ-
σμοῦ, | οὓς καὶ πατριάρχας καὶ ῥαββεῖς ἀπεκάλουν· ὀξύτατοι 515.
μὲν συνιέναι, εἰπεῖν δὲ τὸ νοηθὲν ἱκανώτατοι, ἄκρως τε ἠσκη-
μένοι τὰ πάτρια, θαῤῥοῦντες δὲ μάλιστα γοητείαις, ἃς σφίσιν
αὐτοῖς συνηπίσταντο. Ἡμέρας οὖν τακτῆς ὁρισθείσης, καὶ τοῦ
βασιλέως προκαθίσαντος ἅμα τῇ μητρί τε καὶ βασιλίδι, παρῆν
μὲν ὁ τῶν Ῥωμαίων ἅπας δῆμος, παρῆν δὲ καὶ ἡ σύγκλητος,
πλῆθος ἑκατέρωθεν ἀριθμοῦ κρεῖττον· τόπος δὲ αὐτοὺς ὑπε-
δέξατο τὸ πρὸ τῆς Ῥώμης θέατρον, παραγίνεται δὲ καὶ ὁ μα-
κάριος Σίλβεστρος ὁ ἀρχιέπισκοπος (ἐπεὶ καὶ πρὸς αὐτὸν ἦν
σχεδὸν τοῦ ἀγῶνος τὸ πλέον, καὶ πάντες εἰς αὐτὸν ἑώρων,
ὡς τῆς ἀληθείας πρωταγωνιστὴν καὶ ὑπέρμαχον).

28. Ἀρξαμένων τοίνυν τῶν ἰουδαϊκῶν διδασκάλων καθ' ἕνα προτείνειν γραφικὰς ἐρωτήσεις, ἀναιρετικὰς, ὡς ᾤοντο, τοῦ κατὰ Χριστὸν μυστηρίου, οὕτως ἀντέλεγε ταύταις εὐφυῶς ὁ μακάριος Σίλβεστρος τῇ πνευματικῇ σοφίᾳ· καὶ ταῦτα διὰ βραχέων, ὡς μηδὲ αὐτοὺς ἔχειν εἰπεῖν τι τοὺς ἐναντίους, ἀλλ' οἰκείαις, ὅ φασι, συνδεῖσθαι φωναῖς. ἥπερ ἐστι καὶ μεγίστη λόγου δύναμις. Καὶ ἥδιστα μὲν ἂν ἀπεμνημόνευσα τούτων, ἵνα δὲ μὴ ὁ λόγος ἡμῖν εἰς μῆκος ἐκταθῇ, καὶ δόξωμεν ἔξω τοῦ προκειμένου βαδίζειν, ταύτας μὲν ἑκὼν παρίημι, ἐπὶ δὲ τὸ χαριέστερον εἶμι τοῦ ἀγῶνος, τοῦτο διηγησόμενος. Τῶν γὰρ ἄλλων οὕτως ἡττημένων καὶ ᾐσχυμμένων, καὶ τοῦ βασιλέως σὺν τοῖς ἄλλοις, ὅσοι τὰ χριστιανῶν ὁλοψύχως ἐπρέσβευον, μάλιστα χαίροντος, καὶ τῷ μονογενεῖ υἱῷ τοῦ Θεοῦ τὴν προσήκουσαν εὐχαριστίαν ἀποδιδόντος, ὑπελείπετο μὲν τελευταῖος τῶν δώδεκα Ἰουδαίων Ζαμβρίας τις, οὕτω καλούμενος, ὅς φησι πρὸς

τὸν βασιλέα· « ὡς οὐκ ἔτι χρεία τοῦ λοιποῦ λόγων ἡμῖν, ὦ βασιλεῦ, ἐν οἷς παραλογισμοί τε καὶ ἀντιθέσεις καὶ τἆλλα ὅσα ἐξευρίσκουσιν ἄνθρωποι κακοτέχνως εἰς ἐπήρειαν τῆς ἀληθείας· ἀλλὰ δέον ἐστὶν ἔργων ἀποδείξει παραστῆσαι τὴν δύναμιν τῆς ἡμετέρας πίστεως, πρὸς ἅπερ οὐδεὶς ἂν λόγος ἰσχύσειεν ἀντιστῆναι ». Ἀπῄτησε τοιγαροῦν ὁ μάγος παρὰ τοῦ βασιλέως ἐνεχθῆναί οἱ ἓν τῶν ἀγρίων ζῴων, ὅπως ἐνδείξαιτο τὰ τῆς δυνάμεως ἐπ' αὐτῷ. Ἠνέχθη τοίνυν αὐτῷ, βασιλέως κελεύσαντος, ταῦρος παμμεγέθης τῶν ἀγριωτάτων, οὓς μόλις, ὥς φασιν, ὑπὸ τριάκοντα ἀνδρῶν εἵλκυστο πρὸς τὸ θέατρον· ὃν ἐκεῖνος ἰδὼν καὶ ὡς εἰκὸς ἀλαζονευσάμενος ἐπὶ τερατοποιΐᾳ, κλίνει μὲν ἑαυτὸν ἠρέμα πρὸς τὸ οὖς ἐκείνῳ, καί τι ψιθυρίζει τοιοῦτον, οἷον ὁ ἀρχέκακος ὄφις ἐξ ἀρχῆς, ὁ τούτου διδάσκαλος. Παραχρῆμα δὲ τὸ ζῷον, ἐξαίσιόν τι καὶ τερατῶδες μυκησάμενον, ἀποθνήσκει, πρότερον ἐκπεπηδηκότων αὐτῷ τῶν ὀφθαλμῶν αὐτομάτως τῆς οἰκείας ἕδρας, πρὸς ὅπερ Ἰουδαῖοι μὲν πάντες ἠλάλαξαν, ἅτε δὴ καινοῦ τινος καὶ παραδόξου γεγενημένου·
515. οὐ μὴν ἀλλὰ καὶ αὐτὸ τὸ περιεστὼς | ὡς εἰκὸς ἐξεπέπληκτο πλῆθος ἐπὶ τῷ παραδόξῳ θεάματι.

29. Ὁ δὲ μέγας τὴν ψυχήν τε καὶ σύνεσιν Κωνσταντῖνος ἠρώτα τὸν γόητα· « τί ἐστιν ἐκεῖνο, ὅπερ εἰπών, ἤδρασας, οὕτω ταχέως θανατῶσαι τὸ ζῷον; » Ὁ δὲ πρὸς αὐτὸν « οὐκ ἐγώ φησιν, ὦ βασιλεῦ, ἥττων γάρ εἰμι παραπολὺ τοῦ τοιαῦτα δύνασθαι, ἀλλὰ τὸ μέγα τοῦ Θεοῦ καὶ τίμιον ὄνομα, ὅπερ Ἑβραῖοι τιμῶσι καὶ σέβονται, τὸν θάνατον τούτῳ ἐπήγαγε· μὴ δυνηθὲν γὰρ τὸ ζῷον ὑπομεῖναι τὴν προφορὰν τοῦ ὀνόματος, ταχέως διαπεφώνηκε ». Καὶ ὁ βασιλεὺς « ζωοποιὸν ἅπαντες ἴσμεν εἶναι τὴν τοῦ Θεοῦ προσηγορίαν ἔφησε· πῶς οὖν ἐκ τοῦ τῆς ζωῆς ὀνόματος θάνατος οὕτω πικρὸς ἠκολούθησε; » Καὶ ὁ γόης « ἀλλ' οὐχὶ πᾶσι ζωοποιὸν ἔφησεν εἶναι τοῦτο. » « Τί δέ, φησιν ὁ μακάριος Σίλβεστρος πρὸς αὐτόν, οὐχὶ πρὸς

ἐμὲ τοῦτο λέγεις τὸν ἀντικείμενόν σοι τὰ μάλιστα, ἵνα καὶ μάλιστα γνῶμεν τὴν τοῦ ὀνόματος δύναμιν; » «Ἀλλ' οὐ θέμις, εἶπεν ὁ Ἑβραῖος, ἐξειπεῖν τοῦτο πρὸς σὲ χριστιανόν γε ὄντα, καὶ πολεμιώτατον μάλιστα τῷ ἡμετέρῳ δόγματι.» Πρὸς ταῦτα ὁ μακάριος Κωνσταντῖνος· « ἀλλ' ἐμοί γε τοῦτο εἰπέ, φησί, βασιλεῖ γε ὄντι καὶ δικαστῇ, καὶ πολλὴν ἀνάγκην ἔκ τε τῶν νόμων καὶ τῆς ἀρχῆς ἔχοντι τὰ δίκαια κρίνειν ». « Οὐ δύναμαι, φησὶν ὁ Ζαμβρίας, ἀπαγγεῖλαί σοι, βασιλεῦ· δέος γὰρ μὴ καὶ αὐτὸς ἀποθάνῃς, ἅτε δὴ τὴν ἰσχὺν μὴ οἷός τε ὢν ὑπενεγκεῖν τοῦ ὀνόματος ». « Πῶς οὖν αὐτὸ σὺ μαθών, εἶπεν ὁ βασιλεύς, οὐκ ἀπέθανες; » Ὁ δέ φησιν· « λεκάνην ὕδατος πληρώσας, ὦ βασιλεῦ, ἔπειτα ἡμέρας τινὰς προσευξάμενος, ἐκεῖ τοῦτο ἐντετυπωμένον εἶδον ἀμυδρῶς ὡς ἐν ὕδατι ».

30. Πρὸς ταῦτα ὁ μακάριος Σίλβεστρος, « γέγραπται, εἶπεν, ὦ βασιλεῦ, ἐν ᾠδῇ Μωϋσέως, ὡς ἀπὸ προσώπου τοῦ Θεοῦ τῶν ὅλων, ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι (Δευτ. λβ'. 39). Εἰ τοίνυν ἀληθινοῦ Θεοῦ ἐστι δύναμις ἡ τὸ ζῷον τοῦτο θανατώσασα, δειξάτω νῦν ὁ Ἑβραῖος διὰ τῆς εἰσαῦθις τούτου ἀναζωώσεως, ἐπείπερ ὁ Θεὸς ζωῆς ὁμοῦ καὶ θανάτου τὴν ἐξουσίαν ἔχειν λέγεται καὶ πιστεύεται. Ὡς νῦν ἔγωγε, πονηροῦ τινος δαίμονος ἐπίκλησίν τε καὶ παρουσίαν εἰργάσθαι τὸν θάνατον ἀποφαίνομαι ». Καὶ ὁ βασιλεύς, « δίκαιον, ἔφησεν, εἶναι ἕκαστον τῷ οἰκείῳ δόγματι σύμφωνα πράττειν καὶ ὁμολογεῖν ἀναγκάζεσθαι ». Καὶ ἡ σύγκλητος εὐθὺς ἐπεβόησεν οὕτως ἔχειν. Κελεύει τοίνυν ὁ βασιλεὺς τῷ μάγῳ ζωῶσαι τὸν βοῦν. Καὶ ὡς ἐπεὶ μὴ ἠδύνατο (πῶς γὰρ τοῦ αὐτοκτόνου διαβόλου μαθητὴς ὑπάρχων, ὃς ἓν τοῦτο ἐπίσταται μόνον ἀποκτιννύειν ἀεί;) σιωπῶν ὑπὸ ἀπορίας εἱστήκει καὶ πάντες Ἰουδαῖοι μετ' αὐτοῦ. Τότε τοίνυν ἐν ἐπηκόῳ πάντων σταθεὶς ὁ μακάριος Σίλβεστρος καὶ τὰς καθαρὰς αὐτοῦ χεῖρας πρὸς Θεὸν ἀνατείνας καὶ τοῦτον ἐπικαλεσάμενος,

πάντων ἀκουόντων τὰ τῆς εὐχῆς ῥήματα, ἐπιστραφεὶς πρὸς
τὸ ζῷον « ἐν ὀνόματι τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡ-
μῶν Ἰησοῦ Χριστοῦ, εἶπεν οὑτωσὶ πράως καὶ γαληνῶς, διανά-
516. στηθι »· καὶ ἅμα τὸ ζῷον, ὡς ἐξ ὕπνου ἀνενεγκὸν [διανίστα-
ται, καὶ ἥμερον πᾶσι προσβλέπει καὶ κατὰ φύσιν. Καὶ ὁ μα-
κάριος Σίλβεστρος ἄγειν αὐτὸ κελεύει πρὸς τὰς οἰκείας νομὰς,
κελεύσας αὐτῷ μηδένα ἕτερον τοῦ λοιποῦ θάνατον ἄνευ τοῦ
κατὰ φύσιν ὑποστῆναι. Τούτου γενομένου τοῦ παραδόξου θαύ-
ματος, οἱ μὲν μυριάδες τῶν ἐκεῖσε συνειλεγμένων ἀνθρώπων
ἀνευφήμησάν τε παραχρῆμα, καὶ τὸν Χριστὸν φωναῖς διαπρυ-
σίοις ἀνύμνησαν, ὡς ἐπὶ τρεῖς ὥρας διαρκέσαι τὴν φωνὴν αὐ-
τῶν ὑφ' ἑνὶ τόνῳ προσαγομένην, ὥς φασιν οἱ τὰ περὶ τοῦ θαύ-
ματος συγγραψάμενοι. Αὐτοὺς δὲ τοὺς συνελθόντας Ἰουδαίους
καταπλαγέντας, συγγνώμην αἰτῆσαι παρὰ τοῦ βασιλέως καὶ
προσελθεῖν τῷ βαπτίσματι· πολλοὺς δὲ καὶ τῶν παρ' Ἕλλησι
δεισιδαιμονεστάτων, καταγνόντας τῆς ἑαυτῶν πλάνης, πιστεῦ-
σαι Χριστῷ, ὁδηγηθέντας τῷ θαύματι πρὸς τὴν ἐπίγνωσιν.
Καὶ ταῦτα μὲν οὕτως.

31. Ὁ δὲ μέγας βασιλεὺς Κωνσταντῖνος, Λικίνιον τὸν ἐπ' ἀδελφῇ Κωνσταντίᾳ γαμβρὸν καίσαρα ἀναδείξας, καὶ πίστεις παρ' αὐτοῦ καὶ ὅρκους λαβὼν, ὡς οὐδοτιοῦν κακὸν διαθήσει χριστιανοὺς, ἔπειτα πλείοσι στρατεύμασι περιφράξας καὶ καθοπλίσας, εἰς ὄλεθρον αὐτὸν ἐκπέμπει Μαξιμίνου τοῦ υἱοῦ Γαλλερίου τοῦ τυράννου τε καὶ διώκτου, ὃς ἦγε τηνικαῦτα Φοινίκην καὶ κοίλην Συρίαν, καὶ Ἀραβίαν εὐδαίμονα, καὶ ὅσα μετὰ τὴν Αἴγυπτον, Λιβύην τε καὶ Μαυρούσια ἔθνη παρήκει· καὶ τοῦτον ὁμοίως τῇ τοῦ σταυροῦ δυνάμει καταγωνίζεται. Αὐτοῦ δὲ Λικινίου μετὰ ταῦτα παρ' οὐδὲν ποιησαμένου τοὺς ὅρκους, ἀλλὰ διωγμὸν μέγαν ἐγείραντος κατὰ τῶν ἐν Ἀσίᾳ χριστιανῶν, καὶ πολλοὺς τῷ διὰ μαρτυρικοῦ θανάτῳ ὑπαγαγόντος, καὶ ὅπλα κινήσαντος κατὰ τοῦ μεγάλου βασιλέως Κων-

σταντίνου, καὶ δυνάμεις πλείστας ἠθροικότος κατὰ γῆν τε καὶ θάλασσαν, ἐπιστρατεύσας κατ' αὐτοῦ Κωνσταντῖνος, ὁ πανεύφημος βασιλεὺς, σὺν πολλῇ καὶ βαρείᾳ δυνάμει, πεζῇ τε καὶ ναυτικῇ, καὶ πόλεμον μέγιστον καὶ ὀνομαστότατον τῶν πώποτε γενομένων μετὰ Λικινίου συνάψας, τῇ τοῦ Χριστοῦ δυνάμει κατὰ κράτος νικᾷ νίκαις διτταῖς αὐθημερὸν κατὰ γῆν τε καὶ θάλατταν. Καὶ τοῦτον ἑλὼν ζωγρίαν ἐν τῷ πολέμῳ, εἰς Θεσσαλονίκην περιορίζει· αὖθις δὲ μαθὼν οὐκ ἠρεμεῖν ἐκεῖσε, ἀλλὰ διαπέμπεσθαι κρύφα πρὸς Σκύθας, πέμψας εὐθὺς ἐκποδὼν ποιεῖται τὸν ἀλιτήριον τῷ διὰ ξίφους θανάτῳ ὑπαγαγών.

32. Καὶ δὴ τῶν τυράννων ἐκ μέσου γενομένων, καὶ μοναρχίας ἤδη καθαρᾶς ἐπιλαμψάσης τῷ κόσμῳ, ἀπάρας ἀπὸ τῆς Ῥωμαίων πόλεως, ἐβούλετο κτίσαι πόλιν ἐπὶ τῷ ἰδίῳ ὀνόματι ἐν τῷ Ἰλίῳ, ἔνθα τὸ πάλαι Ἕλληνες, τοῖς Τρωσὶ πολεμοῦντες ἐνιαυτοὺς ὥς φασι δέκα τὸν ἀριθμὸν, τὰ πάντων δεινότατα ἔπαθόν τε καὶ ἔδρασαν, ὡς παροιμίαν ἐντεῦθεν συστῆναι τῇ τῶν κακῶν ὑπερβολῇ πρέπουσαν, καὶ παρασχεῖν Ὁμήρῳ καὶ τοῖς μετ' αὐτὸν ποιηταῖς ὕλην ἀξιόλογον διηγημάτων καὶ ἀφορμὴν εὐδοκιμήσεως ἐν τοῖς Ἕλλησιν. Οὐ γὰρ ἦν πω τότε Κωνσταντῖνος καὶ τὰ πολλὰ τούτου | τρόπαια· τί γὰρ ἂν 507.
ἔδρασεν Ὅμηρος εἰς ὕλην ἐμπεσὼν τῶν αὐτοῦ διηγημάτων, ὁπότε εἰς ἑνὸς πολιχνίου ἅλωσιν τοσαύτας Ἰλιάδας στίχων ἀνάλωσεν; Ἀλλ' ὁ μὲν πανεύφημος βασιλεὺς, ὡς εἴρηται, τὴν ἑαυτοῦ πόλιν ἐν Ἰλίῳ διενοεῖτο κτίσαι. Θεῷ δὲ ἄρα οὐχ οὕτως ἔδοξεν ἐξ ἀρχῆς, ἀλλὰ τὸ Βυζάντιον ἐδικαίωσεν εἰς Κωνσταντινούπολιν μετασκευασθῆναι, καὶ νέαν Ῥώμην καὶ τῆς οἰκουμένης βασίλειον. Τὸ δὲ Βυζάντιον πάλαι μὲν ἦν πόλις μικρά τε καὶ ὀχυρά· διὸ καὶ Ἀθηναῖοι καὶ Μακεδόνες περὶ πολλοῦ ἐτίθεντο τὴν πρὸς αὐτοὺς φιλίαν διά τε τὸ ἐν ἐπικαίρῳ τοῦ τόπου κείμενον, πολλὴν παρέχειν αὐτοῖς τὴν ἀπὸ τῆς σιτοπομπείας ὠφέλειαν, καὶ ἅμα ὅτι σύνδεσμός ἐστι τῆς

τε Ἀσίας καὶ Εὐρώπης. Ἀεὶ γὰρ τὸν ὑπὲρ ἐλευθερίας Ἕλληνες ἀγωνιζόμενοι πρὸς τοὺς Πέρσας ἀγῶνα, ἐβούλοντο πανταχόθεν αὐτῶν ἀναστέλλειν τὰς κατὰ θάλατταν ὁρμὰς, καὶ κωλύειν αὐτοὺς ἐπιβαίνειν τῆς Εὐρώπης. Ὅθεν τοῦτο εὑρίσκοντες ὁρμητήριον τοῦ πρὸς αὐτοὺς πολέμου κάλλιστον, μάλα φιλίως ἐχρῶντο τῷ πολίσματι· καὶ πολλὰ παρ' Ἀθηναίων τοῖς Βυζαντίοις ὑπῆρξε χρηστὰ καὶ φιλάνθρωπα καὶ φιλοτιμίας ὅτι πλείστης ἐχόμενα, καὶ τούτων αὖ πρὸς ἐκείνους ὁμολογίαι τε τῶν εὐεργετημάτων καὶ ὑπὲρ αὐτῶν ψηρίσματά τε δημόσια καὶ στέφανοι τῆς πόλεως. Ἐπεὶ δὲ ἡ ῥωμαϊκὴ δύναμις καὶ ἀρχὴ πάντων κραταιοτέρα γενομένη γῆν τε καὶ θάλασσαν ἐδουλώσατο, μετὰ πάντων καὶ οὗτοι Ῥωμαίοις ἐδούλευον ἄχρι τῶν Σεβήρου τοῦ βασιλέως χρόνων· ἐπὶ δὲ τούτου θαῤῥοῦντες τῇ τῶν τειχῶν ὀχυρότητι, Ῥωμαίων ἀπέστησαν. Ὅθεν ἐπιστρατεύσας κατ' αὐτῶν Σεβῆρος ὁ βασιλεὺς ἀπὸ Αὐγούστου γενόμενος, καὶ ἐπὶ τρισὶν ἔτεσιν αὐτὸ πολιορκήσας αἱρεῖ, καὶ πάντας ἐξανδραποδίζεται, τά τε τείχη καθεῖλεν εἰς ἔδαφος, ὡς μὴ πάλιν ἀφορμὴν ἀποστασίας ἔχωσιν αὐτὰ, καὶ πάντα τὰ προνόμια τῆς πόλεως ἀνελὼν, Πειρίνθῳ, τῇ νῦν Ἡρακλείᾳ λεγομένῃ, ταύτην ὑπέταξεν.

33. Ἐνταῦθα τοίνυν τῷ θείῳ κατακολουθήσας θελήματι Κωνσταντῖνος ὁ μέγας τὴν περιβόητον ταυτηνὶ κτίζει πόλιν· καὶ ἀνάθημα ταύτην καταστησάμενος τῇ πανάγνῳ Μητρὶ τοῦ Θεοῦ Λόγου, τὰ τῆς εὐσεβείας πάντα παρακατέθετο ταύτῃ κειμήλια. Καὶ χάρις πολλὴ περὶ τούτων τῷ εὐσεβεῖ ἡμῶν οἰκιστῇ τε καὶ βασιλεῖ Κωνσταντίνῳ, ὅτι τοσούτοις ἀγαθοῖς καταπλουτίσας τὴν ἡμετέραν πόλιν, οὐδὲ τῆς εἰς τὸ μέλλον αὐτῆς ἀσφαλείας ἠμέλησεν, ἀλλὰ τὸ πάσης αἰσθητῆς τε καὶ νοητῆς κτίσεως ἰσχυρότερον ὅπλον τὴν ἀειπάρθενον Μητέρα τοῦ Θεοῦ Λόγου, τὴν θεοτόκον Μαρίαν, ταύτην ἡμῖν κατέλιπε φύλακα. Ταύτῃ τὴν ἡμῶν ἐνεπίστευσε σωτηρίαν. Αὕτη

τὴν αὐτοῦ προσδεξαμένη παραθήκην εὐμενῶς τοῦ εὐσεβοῦς βα-
σιλέως καὶ φίλου, τοῦ διαφερόντως Χριστὸν ἀγαπήσαντος, καὶ
εἰς τὰ πέρατα τῆς οἰκουμένης, ἀποστολικῶς εἰπεῖν, τὴν αὐ-
τοῦ θεότητα καὶ βασιλείαν ἀνακηρύξαντος, καὶ τὸν τοῦ Εὐαγ-
γελίου λόγον τοῖς ἔργοις ἐπιστηρίξαντος, βοηθὸν ἡμῖν καὶ φύ-
λακα | καὶ πρέσβιν ἀκοίμητον δίδωσιν ἑαυτήν· παρορῶσα τὰς 517.
πολλὰς ἡμῶν ἁμαρτίας διὰ τὴν πρὸς τὸν βασιλέα καὶ φίλον
αἰδῶ, καὶ Θεὸν ἵλεον ἡμῖν ἀεὶ καθιστῶσα, καὶ τῶν πολλῶν
καὶ μεγάλων ἐξαιρουμένη κινδύνων. Καὶ νῦν ἡμῖν εὔλογόν ἐ-
στιν ἐννοεῖν καὶ πιστεύειν, ὡς εἰ πρὸς τὸν Ἐζεκίαν ὁ Θεὸς
ἔλεγε πάλαι περὶ τῆς Ἱερουσαλὴμ, ὅτι ὑπερασπιῶ ὑπὲρ
τῆς πόλεως ταύτης δι' ἐμὲ, καὶ διὰ Δαυὶδ τὸν παῖ-
δά μου (Δ'. Βσ. ιθ'. 34), πόσῳ μᾶλλον ἡμᾶς ἐλεήσει, καὶ φεί-
σεται τῆς ἡμῶν ἀσθενείας, διά τε τὴν αὐτοῦ μητέρα καὶ Κων-
σταντῖνον τὸν εὐσεβῆ βασιλέα, τὸν τὴν ἑαυτοῦ πόλιν αὐτῷ
παρακαταθέμενον; Ἀλλ' οὕτω μὲν ὁ πανεύφημος ἡμῶν βασι-
λεὺς Κωνσταντῖνος τήν τε ἡμετέραν ἔκτισε πόλιν, καὶ τὸ κρά-
τος ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης φέρων ἐνταῦθα μετέθη-
κε, Κωνσταντινούπολιν αὐτὴν ἀποκαλέσας, καὶ νέαν Ῥώμην,
καὶ πάσης οἰκουμένης βασίλειον· καὶ τήν τε Ῥωμαίων σύγ-
κλητον μετήγαγε ὧδε διὰ τῶν παρὰ σφίσιν ἐνδοξοτάτων καὶ
τῇ βασιλίδι καὶ τῇ ἀειπαρθένῳ Μητρὶ τοῦ Θεοῦ Λόγου ταύ-
την ἀνέθηκε.

34. Ὁ δὲ τῆς ἀληθείας ἐχθρὸς καὶ πολέμιος φέρειν οὐκ ἠδύνατο τὰ τοιαῦτα οὐδὲ ὁρᾶν ἑαυτὸν οὕτω κακῶς πάσχοντα. Καὶ ἐπεὶ διὰ τῶν τυράννων ἐπιχειρήσας ἐξ ὑπογυίου κατά τε χριστιανῶν καὶ τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου, καθ' ἑαυτοῦ μᾶλλον ἔλαθε τὴν τοῦ Θεοῦ μάχαιραν ἀκονῶν, ἕτερον τρόπον ἔγνω προσβάλλειν, οἷος ἐκεῖνος περὶ τὰ τοιαῦτα δεινὸς καὶ πονηρίας ἁπάσης ὑφηγητὴς καὶ διδάσκαλος· καὶ τὸ προφανῶς μεταπείθειν ἐπιχειρεῖν τοὺς ἀνθρώπους ἀποστῆναι

τῆς εἰς Χριστὸν πίστεως ἀπαγορεύσας, τρόπον ἕτερον ἀσεβείας εἰσάγει μάλα ὑπούλως καὶ δολερῶς. Ἤδη μὲν γὰρ ὁ μακάριος Πέτρος ὁ τῆς Ἀλεξανδρείας ἀρχιεπίσκοπος διὰ μαρτυρίου τελειωθεὶς, προστάξει Διοκλητιανοῦ τοῦ τυράννου, πρὸς ὃν ἐπόθει Χριστὸν μεταβέβηκε. Τοῦτον Ἀχιλλᾶς διαδέχεται, κἀκεῖνον Ἀλέξανδρος, βίῳ καὶ λόγῳ κοσμούμενος. Οὗτός ποτε, πανδήμου ἑορτῆς ἐνεστώσης, κατὰ τὸ ἐπικρατοῦν ἔθος ἐν τοῖς τοιούτοις, ἀναστὰς ἐδημηγόρει πλατύτερον περί τε τῆς ἀϊδιότητος τοῦ Θεοῦ Λόγου, καὶ τῆς ἀνάρχου καὶ προαιωνίου γεννήσεως, καὶ τοῦ ὁμοούσιον αὐτὸν εἶναι τῷ Πατρὶ καὶ τῷ παναγίῳ Πνεύματι. Ἄρειος δέ τις τῷ συλλόγῳ παρὼν τηνικαῦτα, τῷ μὲν ἀξιώματι τελῶν εἰς πρεσβυτέρους καὶ προεστάναι τεταγμένος τοῦ ἐν Ἀλεξανδρείᾳ διδασκαλείου, τἆλλα δὲ πονηρὸς ἄνθρωπος καὶ κακοήθης, καὶ πάλαι φθονῶν Ἀλεξάνδρῳ, ὅτι μᾶλλον ἐκεῖνος εἰς τὴν τῆς Ἐκκλησίας ἀρχὴν προτετίμητο, καὶ πανταχόθεν δόλους ἐπινοῶν κατ' αὐτοῦ καὶ συσκευαζόμενος, ἐπεί περ ἑώρα τὸν θεῖον Ἀλέξανδρον ἄληπτον ὄντα τῷ βίῳ καὶ ἀνεπίληπτον, κατὰ τῆς αὐτοῦ διδασκαλίας χωρεῖ, καὶ μὴ δυνάμενος τῷ λέγοντι πολεμεῖν, τοῦ Λόγου καθυλακτεῖ. Καὶ δὴ τηνικαῦτα ἐκεῖσε παρὼν οὑτωσί πως ἀπήντησεν Ἀλεξάνδρῳ. « Εἰ μὲν ἄναρχος ὁ Υἱὸς, καὶ ἀγέννητος πάντως, εἰ δὲ γεννητὸς, οὐκ ἄναρχος· ἦν γὰρ ἐξ ἀνάγκης, ὅτε οὐκ ἦν. Τούτου δὲ οὕτως ἔχοντος ἐξ οὐκ ὄντων αὐτὸν ἕπεται εἶναι καθάπερ τὰ κτίσματα. » Ταῦτα ἔλεγε, καὶ κατασκευάζειν ἐπειρᾶτο τὸν λόγον διά τε σοφιστικῶν ἐπιχει-
217. ρημάτων καὶ συλλογισμῶν | ἢ παραλογισμῶν εἰπεῖν οἰκειότερον, πόῤῥω φερομένων τῆς ἀληθείας.

35. Τοῦτο εἰς ἀκοὰς ἐμπεσὸν τοῦ λαοῦ, ταραχὴν ἐγείρει μεγίστην καὶ κονιορτὸν λογισμῶν· καὶ γίνεται φιλονεικία πολλὴ καὶ διαμάχη περὶ τοῦ Λόγου. Καὶ καθάπερ πῦρ ὕλης εὐκαταπρήστου δραξάμενον, ἔπειτα ὑποκινούμενον πνεύματι, ὅ-

σῳ ἂν καταπνέηται μᾶλλον, τοσοῦτον σφοδρότερον γίνεται, καὶ εἰς οὐρανὸν ἤδη βαίνει, ὡς καὶ τὰς ἰσχυροτάτας τῶν ὑλῶν διαλύειν τε καὶ ἀποτεφροῦν· οὕτω δὴ καὶ τότε πυρὸς δίκην παμφάγου σφοδρότερον ἐμπεσὸν τὸ ῥῆμα τοῦτο ταῖς ἀκοαῖς τῶν ἀνθρώπων, ἔπειτα ὑποκινούμενον ἀεὶ καὶ μετεωριζόμενον ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας, ἐπιβαίνει λοιπὸν Ἀλεξανδρείας τε καὶ πάσης Αἰγύπτου, Λιβύην τε καὶ Ἀραβίαν καὶ Παλαιστίνην ἐφεξῆς ἐπινέμεται. Ἔπειτ' ἐκεῖθεν μετεωρισθέν τε καὶ κυρτωθὲν, ἀνόπιν εἰς τὴν Ἀσίαν διαβαίνει, καὶ μέχρι Νικομηδείας τε καὶ Χαλκηδόνος χωρεῖ, πλείστους τε αἱρεῖ τῶν ἐπισκόπων, καὶ μάλιστα τῶν λογιωτάτων εἶναι δοκούντων· καὶ λαοὺς διαστασιάζει, καὶ κατ' ἀλλήλων ἐκμαίνει, καὶ ὅλως εἰπεῖν ἀφόρητον γίνεται. Ταῦτα ὁρῶν Ἀλέξανδρος ὁ τῆς Ἀλεξανδρείας ἀρχιεπίσκοπος, σύνοδον ἐξ ἁπάσης τῆς ὑπ' αὐτὸν ἐπαρχίας ἀθροίζει, ἐν οἷς ἦν καὶ ὁ περιώνυμος τὴν ἀρετὴν Ἀθανάσιος, εἰς διακόνου βαθμὸν τηνικαῦτα τελῶν, ἄλλοι τε οὐκ ὀλίγοι λογάδες τῶν ἐν Ἀλεξανδρείᾳ κληρικῶν τε καὶ διακόνων, ἀποκηρύττει τε Ἄρειον καὶ τοὺς ὁμόφρονας τούτου καὶ ἀναθεματίζει λαμπρῶς. Ἔπειτα ἐπιστολὰς ἐκθέμενος πέμπει πανταχοῦ τῆς Αἰγύπτου τε καὶ Λιβύης ἀναδιδάσκων τὰ τετολμημένα τοῖς ἀρειανοῖς, καὶ παρακαλῶν καὶ διαμαρτυρόμενος, ὥστε ἵστασθαι γενναίως ἐπὶ τῶν τῆς Ἐκκλησίας δογμάτων, καὶ μὴ ὑποσύρεσθαι τῇ τῶν λόγων ἀπάτῃ, κἂν ἀπὸ τῶν θείων Γραφῶν δοκῶσι λέγειν, κἂν πολὺ τὸ πιθανὸν αὐτῶν ὁ λόγος ἔχῃ καὶ μεστὸν ὑποκρίσεως. Ἔπειτα κατὰ λέξιν ἐκτίθησι τὰ κεφάλαια τῶν ἀσεβημάτων Ἀρείου, πᾶσαν ἀτοπίας ὑπερβολὴν κατὰ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ παρελαύνοντα. Οὐ μὴν οὐδ' αὐτὸς Ἄρειος ἠμέλει, ἀλλ' ὅσοι περ ἦσαν τῶν ἐπισκόπων τὴν νόσον αὐτοῦ δεδεγμένοι (πολλοὶ δὲ οὗτοι καὶ πολλαχοῦ τῶν ἐπαρχιῶν εὑρισκόμενοι), καὶ τοὺς ἄλλως ὄντας τοῦ αὐτοῦ κόμματος, γράφων καὶ διδάσκων,

συνεκρότει τε καὶ ἀνθώπλιζε κατά τε Ἀλεξάνδρου καὶ τῆς ἀληθείας αὐτῆς· μάλιστα δὲ Εὐσεβίῳ τῷ Νικομηδείας πλέον ἐθάῤῥει, ἅτε δὴ πλεῖστα παρὰ βασιλεῖ δυναμένῳ. Ἦν οὖν ὡς εἰπεῖν ἀδιήγητον τὸ κακὸν, καὶ πόλεμος ἐμφύλιος ἀκριβὴς καὶ στάσις ἀδιάλλακτος.

36. Ταῦτα μαθὼν ὁ μακάριος βασιλεὺς Κωνσταντῖνος ἤλγησε τὴν ψυχήν· καὶ γράφει λοιπὸν ἐπιστολὰς οἰκειοχείρως Ἀλεξάνδρῳ καὶ Ἀρείῳ, πλήρεις μὲν ἁπάσης σοφίας, πλήρεις δὲ ἀληθείας, πλήρεις δὲ ἐλέγχων καὶ νουθετημάτων πνευματικῶν,
518. « μὴ δεῖν, λέγων, περὶ τῶν θείων δογμάτων οὕτως εὐχερῶς διαλέγεσθαι, μηδ' εἰς ἀκοὰς τῶν | πολλῶν ἐκφέρειν τὰ τίμια καὶ σεβάσμια, ἀλλ' εἰδέναι καιρὸν καὶ τόπον, καὶ μετὰ τοῦ προσήκοντος λόγου ταῦτα ποιεῖν. Πολλῷ μᾶλλον ὑποστέλλεσθαι χρεὼν, Ἑλλήνων περιεστηκότων τε καὶ ἀκροωμένων, μὴ καὶ λάθωμέν φησι, κατὰ τὸν σωτήριον λόγον, ῥίπτοντες τὰ ἅγια τοῖς κυσὶ, καὶ τοὺς μαργαρίτας ἡμῶν ἔμπροσθεν τῶν χοίρων παραβάλλοντες· ἔπειτα ἐκεῖνοι στραφέντες, ῥήξωσιν ἡμᾶς· (Ματθ. ζ'. 6), εἴτ' οὖν διαστασιάζειν πρὸς ἑαυτοὺς ποιήσωσι καὶ ἀντιφωνεῖν ταῖς ἀντιλογίαις καὶ πιθανότησιν.» Τὰ δὲ πρὸς Ἄρειον γράμματα καὶ μείζονα τὴν καταφορὰν εἶχε, καὶ ἰσχυροτέραν τὴν ἐπίπληξιν· « εἰ μὲν γὰρ ἀμαθὴς ὢν ὑπήχθης, φησὶν, εἰς τὸ τοιαῦτα λέγειν, συγγνωστή πως ἐστιν ἡ ἄγνοια· τὸ δὲ ἐπὶ πολὺ παιδεύσεως ἥκειν δοκοῦντα καὶ διδασκάλου περικείμενον ἀξίωμα τοιαῦτα λέγειν, καὶ ὁδηγὸν ἀπωλείας γίνεσθαι τοῖς πειθομένοις, ποῦ τοῦτο συγγνώμης ἄξιον;» Φαίνεται γὰρ ὁ τοιοῦτος, οὐ ζήλῳ τῆς ἀληθείας μᾶλλον ἢ πονηρίας ὑπερβολῇ, καὶ φθόνῳ τῷ πάντων αἰτιωτάτῳ κακῶν ὄντι, ἐπὶ ταῦτα ἐλθεῖν. Καὶ τέλος «ἀπόδοτε μοί φησιν, ἡμέρας γαληνὰς ἀξιῶ. Ἀπόδοτέ μοι νύκτας ἀφροντίδας, ὅπως κἀμοί τις ἡδονὴ φωτὸς ἐπιγένηται καθαροῦ καὶ ἡσυχία βίου. Εἰ δ' οὖν, ἀνάγκη μοι στένειν, καὶ δάκρυσι τὸν

πάντα βίον κατατήκειν· τῶν γὰρ λαῶν τοῦ Θεοῦ τῶν συνθεραπόντων φησὶ τῶν ἐμῶν, οὕτω πρὸς ἀλλήλους φιλονεικίᾳ διισταμένων, οὐκ ἐγχωρεῖ γαλήνης τινὸς ἀπολαύειν τὸν λογισμόν.» Ταῦτα καὶ πλείονα τούτων γράψας διὰ ὁσίου τοῦ Κουδρούβης, Ἱσπανίας ἐπισκόπου, ᾧ καὶ τὰ πλεῖστα ὁ βασιλεὺς ἐθάῤῥει, τούτοις ἀπέστειλεν, ἐντειλάμενος αὐτῷ καὶ διὰ γλώττης εἰπεῖν, ὅσα εἰκός.

37. Ἀλλ' οὐκ ἦν ἄρα τοῦ κακοῦ συστολή τις, οὐδέ τις ἀνάπαυλα τῆς φιλονεικίας καὶ διαμάχης. Τὸ γὰρ ἐν τούτοις δεινότατον, ὅτι περ καὶ Ἕλληνες αὐτοὶ καὶ τούτων οἱ λογιώτατοι μάλιστα Ἀρείῳ συνίστων ἑαυτοὺς, βοηθοῦντες τῷ ἐκείνου λόγῳ, τοῦτο μὲν εἰς ἀνατροπὴν καὶ χλεύην τῆς ἡμετέρας πίστεως, τοῦτο δὲ ὅτι καὶ συγγενῆ πως εἶναι δοκοῦσιν ἄμφω τὼ δόγματε, εἴπερ Ἕλληνες μὲν λατρεύουσι τῇ κτίσει παρὰ τὸν κτίσαντα (Ρωμ. ι'. 15.), Ἄρειος δὲ τὸν τοῦ Θεοῦ Υἱὸν κτιστὸν ἔλεγε, καὶ τρεπτὸν, καὶ ἀλλοιωτὸν, καὶ ἑτεροούσιον. Ὅθεν ἐπεὶ τὸ κακὸν ἑώρα μᾶλλον προβαῖνον, καὶ μηδὲν αὐτὸν ἀνύττειν ἔτι τοῦ λοιποῦ δυνάμενον διὰ τῶν ἐπιστολῶν, σύνοδον οἰκουμενικὴν ἐν τῇ Νικαέων πόλει συναθροισθῆναι κελεύει. Καὶ δὴ συνῆλθον ἁπανταχόθεν τὸν ἀριθμὸν ὀκτωκαίδεκα καὶ τριακόσιοι πατέρες, ἐν οἷς ἦσαν, ὥσπερ τινες ἀστέρες ἐξόχως ἐν αὐτοῖς διαλάμποντες, Ἰάκωβος ὁ τῆς Νισιβινῶν πρόεδρος, ὃς πολλοὺς ποικίλων ἠλευθέρωσε νοσημάτων, ἐμαρτυρεῖτο δὲ καὶ νεκροὺς ἀναστῆσαι· Παῦλος ὁ Καισαρείας τῆς Εὐφρατησίας ἐπίσκοπος, ὃς ὑπὸ τοῦ παρανόμου Λικινίου τά τε γεννητικὰ μόρια
τοῦ σώματος ἐξεκέκοπτο, καὶ τὰς χεῖρας | εἶχε σιδηροκαύστους, 518.
Νικόλαος ὁ μέγας ἱερόμαρτυς ὄντως καὶ Μύρων τῆς Λυκίας ἐπίσκοπος, Παφνούτιος ὁ Αἰγύπτιος, ἀνὴρ σημειοφόρος καὶ ἀποστολικοῖς χαρίσμασι καλλυνόμενος, Σπυρίδων ὁ θαυμάσιος Τριμυθοῦντος τῆς Κυπρίων ἐπαρχίας, καὶ ἄλλοι πλεῖστοι πολιτείᾳ τε διαλάμποντες, καὶ τοῖς ὑπὲρ τοῦ Χριστοῦ στίγμασιν

ὡραϊζόμενοι. Ὅσοι δὲ ἦσαν ἐν αὐτοῖς, λόγῳ τε καὶ σοφίᾳ τῶν ἄλλων ὑπερφέροντες, Εὐστάθιος τε ἦν ὁ Ἀντιοχείας τῆς Συρίας, καὶ Μακάριος Ἱεροσολύμων, Λεόντιός τε ὁ Καισαρείας τῆς Καππαδοκῶν ἐπαρχίας ἐπίσκοπος, καὶ ὁ πολυμαθὴς καὶ πᾶσιν αἰδέσιμος ἐπ' ἀγχινοίᾳ καὶ μεταχειρήσει πραγμάτων, ὁ εὐγηρότατος ὅσιος Κουδρούβης Ἰσπανίας τῆς ἐν Εὐρώπῃ Ταρακωνησίας ἐπίσκοπος. Τῶν δὲ συνεστώτων Ἀρείῳ, Εὐσέβιός τε ἦν ἐν πρώτοις ὁ Νικομηδείας, καὶ Θέογνις Νικαίας, Μάρις Χαλκηδόνος, καὶ Μηνόφαντος ὁ Ἐφέσου, Πατρόφιλος Σκυθοπόλεως, καὶ Θεωνᾶς Μαρμαρικῆς, καὶ ἄλλοι τινὲς ὀλίγοι μετ' αὐτῶν τεταγμένοι. Οὗτοι πάντες βασιλικοῖς προστάγμασι συνῆλθον εἰς Νίκαιαν. Ὁ δέ γε Κωνσταντινουπόλεως πρόεδρος ὁ θαυμαστὸς Μητροφάνης, ὃν οὗτος ὁ μέγας Κωνσταντῖνος ἠγάσθη τε καὶ ἐθαύμασεν ἐξ ἀρχῆς ἰδών, ὥστε εἰπεῖν, ὡς ἄρα οὐδὲν ἧττον δι' αὐτὸν ἐκεῖνον, ἢ διὰ τὴν ἀρετὴν τοῦ τόπου καὶ τὴν θέσιν κτίζοι τὴν αὑτοῦ πόλιν ἐν Βυζαντίῳ· οὗτος οὖν ἀσθενῶν τηνικαῦτα, καὶ ἄλλως δὲ τῷ γήρᾳ βαρυνόμενος, δι' Ἀλεξάνδρου τοῦ πάνυ τὸν αὐτοῦ τόπον ἀναπληροῦντος, τηνικαῦτα παρῆν τῇ συνόδῳ, ὥσπερ ἄρα καὶ Σίλβεστρος ὁ μέγας ὁ τῆς Ῥώμης ἐπίσκοπος· καὶ γὰρ καὶ τὸν αὐτοῦ τόπον ἐπέχων ἦν ἐν τῇ συνόδῳ Ἰούλιος.

38. Τούτων οὖν ἐκ πάσης τῆς οἰκουμένης συνελθόντων, τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων, ἐπισκόπων, καὶ πρεσβυτέρων, καὶ διακόνων (καὶ γὰρ καὶ Ἀθανάσιος ὁ μέγας τηνικαῦτα τῇ συνόδῳ παρῆν, ἐγκατειλεγμένος τῷ τῶν διακόνων χορῷ), καὶ καθεσθέντων ἐν οἴκῳ περιφανεῖ, εἰσῄει μετὰ ταῦτα καὶ ὁ βασιλεὺς, πάντας εἰς ἔκπληξιν ἄγων τῷ τε μεγέθει τοῦ σώματος καὶ τῷ τοῦ ἤθους ὑγρῷ τε καὶ μειλιχίῳ, καὶ ὄντως βασιλικῇ μεγαλοπρεπείᾳ προσήκοντι. Ἀλλ' ἐνταῦθα ἄν τις αὐτοῦ μάλιστα καταμάθοι μετὰ τῆς εἰς Χριστὸν διαπύρου πίστεως καὶ ἀγάπης, καὶ τὸ ὑπερβάλλον τῆς ταπεινώσεως. Το-

σούτων γὰρ καὶ τοιούτων ἀγαθῶν θείων τε καὶ ἀνθρωπίνων ἔμπλεως ὢν—ὧν ἓν δὴ καὶ μόνον ἤρκεσεν ἂν ἑτέρῳ κόσμος εἶναι τοῦ βίου ξύμπαντος. Τίνων δὴ λέγω τούτων; τῆς ἐξ οὐρανοῦ κλήσεως, κατὰ Παῦλον τὸν μέγαν ἀπόστολον, τῆς διὰ τοῦ βαπτίσματος υἱοθεσίας, τῆς εὐσεβείας, τῆς διαπύρου πρὸς Χριστὸν ἀγάπης, κατὰ τοὺς υἱοὺς τῆς βροντῆς, τοῦ ζήλου καὶ τῆς ὁμολογίας, δι' ἣν ἐμακαρίσθη Πέτρος ὁ | κορυφαῖος τῶν Ἀ- 519.
ποστόλων ὑπ' αὐτοῦ τοῦ τῶν ὅλων Θεοῦ, πρὸς τούτοις ἀνδρίας, φρονήσεως, δικαιοσύνης, σωφροσύνης, τῶν γενικῶν ἀρετῶν, καὶ ἔτι τῶν ἐκτὸς τούτων καὶ περὶ ἡμᾶς λεγομένων, ἃ δὴ συμπληροῖ κατὰ τοὺς ἔξω σοφοὺς τὴν ἐν ἀνθρώποις εὐδαιμονίαν τοῦ πολιτικοῦ βίου, οἷον, εὐγενείας, εὐκληρίας, εὐπαιδίας, πλούτου παντοδαποῦ, κάλλους σώματος, καὶ τὸ τούτων ἁπάντων μεῖζον, βασιλείας· αὐτῆς καὶ οὐχὶ μικροῦ μέρους τῆς γῆς, κατὰ τὴν Δαυῒδ τε καὶ Σολομῶντος τῶν εὐδαιμονεστάτων ἐν βασιλεῦσι γενομένων, ἀλλὰ τοῦ πλείονος μέρους τῆς οἰκουμένης, μᾶλλον δὲ τῆς γῆς ἁπάσης, ὅσην ὁ σωτήριος λόγος ἐπέδραμεν· καὶ γὰρ ὡς ἀληθῶς συνεισῆλθε τῇ ἐπιδημίᾳ Χριστοῦ τὸ κράτος, οὔπω πρότερον τελέως εἰς μοναρχίαν νενικηκὸς ἀπὸ τῶν ἡμερῶν Αὐγούστου Καίσαρος, καὶ τοσαύταις νίκαις ταῖς κατὰ τῶν ἐχθρῶν ἀναγορευθείς, καὶ οὕτω περιφανέσιν, ὡς ἐξ ἐκείνου μέχρι τοῦ νῦν ἀνθεῖν ἔτι παρὰ ταῖς ψυχαῖς τῶν ἀνθρώπων διὰ τῆς μνήμης τὰ τρόπαια· καὶ τὸ τούτων ἁπάντων μεῖζον· ἀκριβῆ καὶ βεβαίαν ἔχων πληροφορίαν ἐκ τῶν ὑπηργμένων αὐτῷ κατορθωμάτων, ὡς καὶ μετὰ τὸν ἐνταῦθα βίον, εἰς τὴν ἀγήρω καὶ ἀθάνατον ἐκείνην ζωὴν μεταστάς, ἐν πρώτοις ἔσται τεταγμένος τῶν τοῦ Χριστοῦ φίλων—οὐκ ἐπήρθη τῇ διανοίᾳ, οὐδὲ ἐφρόνησε μεῖζον ἑαυτοῦ, οὐδ' εἰς ἴσον ἑαυτὸν ἠθέλησεν ἐντάξαι, μήτοί γε προθεῖναι τῶν φοβουμένων τὸν Κύριον, οὐδ' ἠγνόησεν ὅθεν αὐτῷ τῶν τοσούτων καὶ τηλικούτων ἀγαθῶν ἦλθεν ὁ σωρὸς, ἀλλὰ καὶ ἔγνω καλῶς, καὶ ἔμεινεν ἐν τῇ προσ-

ηκούσῃ τάξει τῆς διανοίας, καὶ τῷ Θεῷ μέχρι τέλους τὴν εὐχαριστίαν ἐφύλαξε. Καὶ τούτου πολλαὶ μέν εἰσι καὶ ἄλλαι διὰ τῶν ἔργων ἀποδείξεις, ἀρκέσει δὲ αὕτη μάλιστα.

39. Τῶν γὰρ ἐπισκόπων, ὡς εἴρηται, συναθροισθέντων, καὶ πλείστων ἐν ἐκείνοις τὰ τοῦ Χριστοῦ στίγματα ἐν τοῖς σώμασι βασταζόντων, κατὰ Παῦλον εἰπεῖν τὸν ἀπόστολον (Γαλ. ς΄. 17.), καὶ τούτοις ὡραϊζομένων, καὶ ὑποδεικνύντων ἀλλήλοις, τοῦ μὲν χεῖρα κεκομμένου, ἑτέρου δὲ ὦτα, ἄλλου ῥῖνα, καὶ ἑτέρου ὀφθαλμὸν, καὶ ἄλλου ἄλλο ἀφῃρημένου μέλος τοῦ σώματος διὰ Χριστὸν, ὁ μακάριος Κωνσταντῖνος ὁ βασιλεὺς, ἐν πρώτοις ἠσπάζετο καὶ κατεφίλει πάντας τοὺς ὑπὲρ Χριστοῦ παθόντας ἐν τοῖς τῶν διωκτῶν καιροῖς· «καὶ ἰδοὺ ὀσμὴ τραυμάτων, ἔλεγεν, ὡς ὀσμὴ ἀγροῦ πλήρους εὐφροσύνης, ὃν εὐλόγησε Κύριος (Γν. κζ΄. 27).» Δεῆσαν δὲ αὐτὸν καθεσθῆναι, οὐ πρότερον εἰς τοῦτο κατένευσε, πρὶν ἢ παρὰ τῶν ἐπισκόπων ἔλαβε τὸ ἐνδόσιμον, σφόδρα παρακληθείς. Καὶ ἐπ' αὐτοῦ δὲ καθιζήσας τοῦ σκίμποδος, κἀν τούτῳ πολὺ τὸ μέτριον καὶ κοινὸν πρὸς τοὺς ἄλλους ἀπέσωζεν· οὕτω συνεσταλμένος ἦν, οὕτω μέτριος, οὕτω πολὺ τῆς θείας ἀπώνατο ταπεινώσεως. Πρῶτος μὲν οὖν ὁ πολὺς τὴν ἀρετὴν καὶ τὴν σοφίαν ὁ μέγας Εὐστάθιος μετὰ Φιλογόνιον τὸν μα-
511. κάριον τῆς Ἀντιοχέων ἐκκλησίας | τὴν προεδρίαν λαχὼν, προτραπὲν αὐτῷ παρὰ τῆς συνόδου ποιήσασθαι τοὺς λόγους, τοῖς ἄνθεσι τῶν ἐγκωμίων τὴν τοῦ βασιλέως ἐστεφάνωσε κεφαλὴν, καὶ τὴν περὶ τὰ θεῖα σπουδὴν εὐλογίαις ἠμείψατο. «Χάριν, εἰπὼν, ἔχομεν πολλὴν τῷ Θεῷ τῷ δοτῆρι τῶν ἀγαθῶν ἁπάντων, ὦ βασιλεῦ, ὅτι σε κατὰ τὴν μεγάλην αὐτοῦ σοφίαν καὶ πρόγνωσιν φέρων, ἐπέστησε ποιμένα τε καὶ βασιλέα τῶν λογικῶν αὐτοῦ θρεμμάτων, ὑπὲρ ὧν αὐτὸς τὸ ἴδιον αἷμα ἐξέχεεν. Οὐ μὴν δὲ ἀλλὰ καὶ τοσούτοις ἀγαθοῖς ἐκάλλυνεν, ὡς ἅπαντας παρέχειν σοι τὸ πειθήνιον, διαθέσει ψυχῆς μᾶλλον ἢ τάξει τοῦ ἄρχεσθαι. Καὶ νῦν πιστεύομεν, ὦ φιλανθρωπότατε βασιλεῦ, διὰ

σοῦ, καὶ τῆς ἣν πλουτεῖς πρὸς αὐτὸν οἰκειώσεως, εὖ τε καὶ ὡς αὐτῷ φίλον εὐοδωθήσεσθαι ἡμῖν τὰ τοῦ παρόντος ἀγῶνος. Καὶ τὴν μὲν ὀρθόδοξον πίστιν, ἣν ἄνωθεν ἐξ ἀρχῆς παρὰ τῶν ἁγίων ἀποστόλων παρειλήφαμεν, καὶ νῦν ἐν τῷ παρόντι τρανότερον ἀνακηρυχθήσεσθαι, τοὺς δὲ ἐναντιουμένους, εἰμὴ μεταμεληθεῖεν, αἰσχύνῃ περιβληθῆναι. Χαῖρε τοίνυν, ὦ βασιλεῦ, εἴτι τοιούτου Θεοῦ μαθητὴς καὶ ὀπαδὸς ὑπάρχεις καὶ μιμητὴς, καὶ ἡμῖν πειρῶ χεῖρα διδόναι διὰ τῆς σῆς συνέσεως καὶ σοφίας, καὶ τῆς ἐνοικούσης σοι χάριτος.» Τούτοις καὶ πᾶν τὸ πλῆθος τῶν πατέρων συνεπευφήμησε.

40. Παυσαμένου δὲ τούτου, βασιλεὺς ὁ πανεύφημος τοὺς περὶ τῆς ὁμονοίας τε καὶ συμφωνίας προσενήνοχε λόγους, τῆς τε τῶν τυράννων ἐκείνων ἀναμιμνήσκων ὠμότητος, καὶ τῆς ἐπ' αὐτοῦ θεόθεν παρασχεθείσης ἐντιμοτάτης εἰρήνης· καὶ «ὡς δεινὸν εἴη, καὶ ἄγαν δεινὸν, τῶν πολεμίων καταλυθέντων καὶ μηδενὸς ἀντιτείνειν τολμῶντος, ἀλλήλους βάλλειν, καὶ τοῖς δυσμενέσιν ἡδονὴν καὶ γέλωτα προξενεῖν, ἄλλως τε καὶ περὶ θείων διαλεγομένους πραγμάτων, καὶ τοῦ θείου καὶ παναγίου Πνεύματος τὴν διδασκαλίαν ἀνάγραπτον ἔχοντας· εὐαγγελικαὶ γάρ φησι βίβλοι καὶ ἀποστολικαὶ καὶ τῶν παλαιῶν προφητῶν τὰ θεσπίσματα σαφῶς ἡμᾶς ἃ χρὴ περὶ τοῦ θείου φρονεῖν ἐκπαιδεύουσι· τὴν πολεμοποιὸν οὖν ἀπελάσαντες ἔριν ἐκ τῶν θεοπνεύστων λόγων λάβωμεν τῶν ζητουμένων τὴν λύσιν.»

Ταῦτα καὶ τὰ τούτοις παραπλήσια, οἷα δὴ παῖς φιλοπάτωρ τοῖς ἱερεῦσιν ὡς πατράσι προσέφερε. Κἀκεῖνοι πάντες ἐπῄνουν τὰ εἰρημένα, καὶ ἐπὶ τοῖς λόγοις ἐθαύμαζον. Ἦν οὖν ὁρᾶν τότε συνόδους τε καὶ διαλέξεις τῶν ὀρθοδόξων πάσης συνέσεως καὶ σοφίας πνευματικῆς πλήρεις. Ὁ γὰρ εἰπὼν Θεὸς, ὅπου δύο ἢ τρεῖς εἰσὶ συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν (Μθ. ιη'. 20.), οὗτος πολλῷ μᾶλλον, τοσούτων ἀθροισθέντων ὑπὲρ τῆς ἐκείνου δόξης, ἦν ἐν μέσῳ αὐ-

τῶν, συνεφαπτόμενος αὐτοῖς τῶν ὑπὲρ τῆς ἀληθείας ἀγωνισμάτων, καὶ δύναμιν ἐμπνέων αὐτοῖς γνώσεως καὶ σοφίας κατὰ τῶν πολεμούντων τῇ ἀληθείᾳ. Βουλόμενος δὲ περιφανεστέραν
520. ποιῆσαι καὶ περιβόητον | πᾶσιν ἀνθρώποις τὴν σύνοδον ὁ βασιλεὺς, παρεῖναι πάντα τὸν βουλόμενον ἐκέλευσε, κἂν ὁποίας ἄρα δόξης οὗτος ἔτυχεν ὤν. Διὸ καὶ Ἑλλήνων οὐκ ὀλίγοι τηνικαῦτα παρεγένοντο, σοφίᾳ παντοδαπῇ κλεϊζόμενοι καὶ διαλεκτικαῖς πιθανότησιν, ὧν ἔνιοι τῶν ἄλλων προέχειν δοκοῦντες, προβλήματα λόγου ἄξια, περὶ κόσμου τε καὶ ὕλης, καὶ περὶ ἀρχῆς ἢ ἀρχῶν, καὶ περὶ τοῦ συναΐδιον, ἢ μὴ, τὴν ὕλην εἶναι, καί τινων ἑτέρων τοιούτων τοῖς ἐπισκόποις κατὰ κέλευσιν τοῦ βασιλέως προὔτειναν, καὶ λύσεις ἐπορίσαντο θαυμασιωτάτας, τῆς συνόδου διὰ τῶν παρὰ σφίσι λογάδων ἐπισκόπων ἀπαντώσης εὐφυῶς πρὸς τὰ προβαλλόμενα, καὶ δίκην ἀραχνίων ὑφασμάτων τὰ τέως ἰσχυρὰ παρ' αὐτοῖς εἶναι δοκοῦντα διαλυούσης, οὕτω σαφῶς, οὕτως ἰσχυρῶς καὶ ἀναντιῤῥήτως, ὡς καὶ αὐτοὺς ἐκείνους πολλὴν χάριν τοῖς ἐπισκόποις ὁμολογεῖν.

41. Ἵνα δὲ καὶ περιφανέστερον γένηται τὸ ῥηθὲν ὑπὸ τοῦ Θεοῦ πρὸς τὸν Παῦλον, ὅτι ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται, (Β'. Κρ. ιβ'. 9.), οἰκονομεῖταί τι κἀνταῦθα λόγου καὶ μνήμης ἄξιον. Τῶν γάρ τις ἑλληνικῶν φιλοσόφων ἐκείνων πολὺ τῶν ἄλλων, σοφίᾳ τε παντοδαπῇ, καὶ διαλεκτικαῖς πιθανότησιν, ἔτι τε εὐφυΐᾳ καὶ τῇ περὶ τὸ λέγειν εὐπορίᾳ, πελαγίζων ἄντικρυς, καὶ δοκῶν ἀπαράμιλλος εἶναι σχεδὸν καὶ ἀπρόσψαυστος, οὗτος ἐξ ἀρχῆς Ἀρείῳ συνεστὼς, καὶ τὰ μέγιστα βοηθῶν, πόνον οὐκ ὀλίγον παρεῖχε τοῖς ὀρθοδόξοις ἐν ταῖς πρὸς αὐτὸν διαλέξεσιν. Εἰ γὰρ πού τις ἴσχυσεν αὐτὸν περιτρέψαι καὶ ὁπωσοῦν ἐν τοῖς λόγοις, ἀλλ' ἐκεῖνος μάλα ῥᾳδίως μεταπηδῶν, ἐπανήρχετο πρὸς τὸν ἐξ ἀρχῆς λόγον δίκην ἐγχέλυος διολισθαίνων, καὶ ἀποδιδράσκων τοὺς ἔχειν δοκοῦντας. Τοῦτον ὁ Θεὸς, τὸν φοβερὸν εἶναι δοκοῦντα καὶ ἄμαχον, οὕτως εἷλε καὶ

ῳκειώσατο δι' ἀποστολικῆς φρονήσεως, ἁπλότητι καὶ ἀκεραιότητι κεκραμένης, ὡς πάντας τοὺς τότε ὄντας, καὶ τοὺς ἀκούοντας ὕστερον ἐξίστασθαι τῆς μεγαλουργίας τῆς χάριτος.

Ἦν μὲν γὰρ ἐν τῷ καταλόγῳ τῶν ἱερέων, ὡς εἴρηται, καὶ ὁ ἐν ἁγίοις Σπυρίδων ὁ Τριμυθοῦντος τῆς Κυπρίων ἐπαρχίας ἐπίσκοπος, ἀνὴρ ἀποστολικῷ βίῳ καὶ χαρίσμασι διαλάμπων, καὶ πᾶσιν ὢν ἐραστὸς καὶ ἐπίχαρις δι' ἐπαινουμένην ἁπλότητα. Οὗτος ὁρῶν τὸν φιλόσοφον, τῇ πολυμαθίᾳ καὶ τοῖς φυσικοῖς προτερήμασι βρενθυόμενον, καί τι συνειδὼν ἴσως ἐν ἑαυτῷ παρὰ τῆς ἐνοικούσης αὐτῷ χάριτος, αἰτεῖται παρὰ τῶν ἐπισκόπων εἰς λόγους ἐλθεῖν αὐτῷ. Τῶν οὖν συνειδότων αὐτῷ τὸ τοῦ ἤθους ἀρχαϊκὸν καὶ ἀκέραιον, διακωλύειν ἐπιχειρούντων ὅση δύναμις (μηδὲ γὰρ εἶναι νῦν τὴν ἅμιλλαν κατὰ τὸν βίον, ἐν ᾧ μέγας ἐστὶν ὁ Σπυρίδων, ἀλλὰ περὶ δόγματα καὶ λόγους, ἐν οἷς καὶ οἱ πρὸς εὐσέβειαν κράτιστοι, ἂν μὴ σφόδρα προσέχωσι τὸν νοῦν, περιτρέπονται τῇ πιθανολογίᾳ τῶν ἀντιλεγόντων, καὶ τοῖς σοφίσμασιν), οὐδὲν ἧττον ὁ μέγας Σπυρίδων ἐπέμενε τὴν πρὸς ἐκείνους | διάλεξιν ἀπαιτῶν. Εἶξαν οὖν οἱ 520.
θεῖοι πατέρες αὐτῷ πρὸς τὴν αἴτησιν. Καὶ δὴ τοῦ φιλοσόφου παραγενομένου πρὸς τρυφὴν ἄντικρυς καὶ ἡδονὴν διαλέξεως μᾶλλον ἢ ἀγῶνα, φησὶ πρὸς αὐτὸν ὁ μακάριος· «ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἄκουσον κἀμοῦ, ὦ φιλόσοφε.» Καὶ ὃς μετά τινος αἰδοῦς πρὸς τὸν ἅγιον «εἰπέ φησι, καὶ ἡμεῖς ἀκουσόμεθα.» Καὶ ὁ μακάριος Σπυρίδων, «εἷς ἐστι Θεὸς, ἔφησεν, οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἐν μέσῳ πάντων δημιουργός. Οὗτος Υἱὸν ὁμοούσιον ἀχρόνως τε καὶ ἀπαθῶς καὶ ἀϊδίως γεννᾷ, καὶ Πνεῦμα ἅγιον ὁμότιμον αὐτῷ προβάλλει. Τοῦτον ἡμεῖς τὸν Υἱὸν ὕστερον ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων, καὶ ἄνθρωπον γενέσθαι καθ' ἡμᾶς ἐξ ἁγίας Παρθένου πιστεύομεν, μὴ ἐκστάντα τῆς ἑαυτοῦ θεότητος, σταυρωθῆναί τε καὶ ἀποθανεῖν, ἔπειτα ἐκ νεκρῶν ἐγηγέρθαι καὶ εἰς οὐρανοὺς ἀνειλῆφθαι, καὶ ἐν δεξιᾷ

τοῦ Θεοῦ καὶ πατρὸς καθῆσθαι, μέλλειν τε πάλιν ἥξειν ἐπὶ τῆς γῆς κρῖναι ζῶντας καὶ νεκρούς, ὃς καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Οὐχ' οὕτω καὶ σοί δοκεῖ, ὦ φιλόσοφε;» Ὁ δὲ ὥσπερ οὐ τὴν αὐτὴν ἔχων καὶ ψυχὴν καὶ γνώμην, ἣν καὶ πρότερον, ἀλλ' ὅλος ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος ἠλλοιωμένος μικρὸν ἐπισχών, «κἀμοί, φησίν, οὕτω ταῦτα ἔχειν δοκεῖ.» Εἶτα πρὸς τοὺς παρόντας ἐπιστραφείς· «μέχρι μέν, εἶπεν, ὦ ἄνδρες, ἐν λόγοις ἐμοὶ καὶ διαλέξεσι πρὸς ἀνθρώπους ὑπῆρχεν ἡ ἅμιλλα, ἀντεῖχον κἀγὼ τοῖς ἐκ τῆς τέχνης ὅπλοις πεφραγμένος καὶ βάλλων οὕτως ἐν μέρει τε καὶ βαλλόμενος· ἐπεὶ δὲ τοῦ γέροντος ἤκουσα τούτου, οὗ ἡ μορφὴ μὲν ἀνθρώπου, οἱ δὲ λόγοι κρείττους ἢ κατ' ἄνθρωπον, πέπεισμαι τὴν ψυχήν, καὶ οὕτως ἀκριβῶς πεπληροφόρημαι περὶ πάντων, ὡς μηδ' ἂν εἴτι γένοιτο μεταπεισθῆναί ποτε.» «Τί οὖν κωλύει, φησίν, ὁ μέγας Σπυρίδων, ἐπεὶ ὁμογνώμων ἡμῖν ὑπάρχεις, ἤδη καὶ τὸ βάπτισμα δέξασθαι;» Καὶ ὃς εὐθέως ἐπένευσε, καὶ βαπτίζεται, πάντων ὁρώντων, ὑπὸ τῶν μακαρίων ἐκείνου χειρῶν, καὶ υἱὸς Θεοῦ, καὶ φωτὸς ἄνθρωπος, καὶ τῆς ἐνυποστάτου σοφίας τοῦ Θεοῦ λόγου μαθητὴς γίνεται, καὶ πρόβατον ἱερὸν, ἀντὶ θηρὸς ἀγρίου, τῇ τοῦ Χριστοῦ μάνδρᾳ συναγελαζόμενον. Ἐξέπληξε τοῦτο τὸν βασιλέα, ἀλλὰ μὴν καὶ αὐτῶν τῶν ἁγίων πατέρων τὸν θίασον. Καὶ ἀνεμνήσθησαν πάντες περὶ τῆς ἀποστολικῆς χάριτος, καὶ γέγονε πᾶσιν ἐναργὲς ὅπως ὁ Πέτρος σὺν τοῖς ἕνδεκα, ἐν προοιμίοις ἔτι τοῦ κηρύγματος ὄντος, δυσὶ δημηγορίαις τῇ μὲν τοὺς τρισχιλίους, τῇ δὲ τοὺς πεντακισχιλίους ἐζώγρησαν, καὶ ἔτι τὰς πολλὰς μυριάδας, ἃς οἱ ἀπόστολοι μετὰ ταῦτα Θεῷ προσήγαγον, καὶ Θεῷ τὴν εὐχαριστίαν ἐκ βαθέων ψυχῆς πάντες ἀνέπεμπον, τῷ διὰ πάντων ἡμῖν τὸν ἀποστολικὸν βίον καὶ τὴν αὐτῶν διδασκαλίαν κρατύναντι.

42. Ἐντεῦθεν περὶ τῶν βλασφημιῶν Ἀρείου ζήτησις γίνεται τοῖς πατράσιν ἐνώπιον τοῦ βασιλέως· ὁ γὰρ τῆς μανίας ἐπώ-

νυμος Ἄρειος, καίτοι σοφὸς εἶναι οἰόμενος τά τε θεῖα καὶ τὰ ἀνθρώπινα, ὅμως ἀνοήτως πάντῃ καὶ ἀμαθῶς | καὶ παντάπασιν 521.
ἔξω μὴ μόνον τῆς θεολογικῆς ἀκολουθίας, ἀλλὰ καὶ αὐτῶν τῶν λογικῶν μεθόδων ἐφθέγξατο. Πρῶτον μὲν γὰρ τὰ πίστει μόνῃ παρ' ἡμῶν προσκυνούμενα καὶ σεβόμενα, αὐτὸς ᾠήθη δεῖν ἀνθρωπίνοις ὑποβαλεῖν λογισμοῖς καὶ ἀποδείξεσιν, ἐκ τῶν ὄντων τὸ κράτος ἔχουσι, μὴ δυνηθεὶς συνιδεῖν ὁ δείλαιος, ὡς ὁ πρῶτος ὅρος τῆς φιλοσοφίας ἀναιρετικός ἐστι τοῦ πρώτου ὅρου τῆς θεολογίας. Ὁ μὲν γάρ φησιν ἀδύνατον εἶναί τι ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, καὶ περὶ τούτου, φησὶν Ἀριστοτέλης, ὁμογνωμονοῦσι βάρβαροί τε καὶ Ἕλληνες. Ὁ δέ γε τῆς θεολογίας πρῶτος ὅρος, ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος φησὶν ὁ Θεὸς, τὴν ὁρωμένην καὶ ἀόρατον κτίσιν ἐδημιούργησεν. Εἰ τοίνυν αἱ πρῶται τούτων ἀρχαὶ καὶ τὰ ἀξιώματα οὕτως ἀλλήλοις ἀντίκεινται, πῶς ἐστὶν εἰκὸς τὰ ἐξ αὐτῶν συμφωνεῖν; ἀνάλογον γὰρ ἔχειν δεῖ ταῖς ἀρχαῖς τὰ ἐκ τῶν ἀρχῶν ἐπὶ πάσης ἐπιστήμης θεωρητικῆς τε καὶ πρακτικῆς· ἐπείπερ ἑκάστη ἐπιστήμη, ὡρισμένον ἔχει τὸ οἰκεῖον γένος, ἤγουν ὑποκείμενον, ἐκ τοῦ αὐτοῦ γένους ἀνάγκη τὰ μέσα καὶ τὰ ἄκρα εἶναι, εἰμὴ εἶεν ὑπάλληλοι, εἰ δὲ μὴ, κατὰ συμβεβηκὸς ἔσται φησὶν ἡ ἀπόδειξις ἀλλ' οὐ καθ' αὑτό. Ἔπειθ' ὅτι καὶ διὰ τῶν λογικῶν μεθόδων κατὰ τοῦ ἡμετέρου δόγματος ἐπιχειρήσας, οὐδὲ ἐν αὐτοῖς τοῖς ἐπιχειρήμασι τὸ ἀκόλουθον διεσώσατο· πρῶτον μὲν τῷ προτάσεις εἰληφέναι ἀνακολούθους· τὰς μὲν γὰρ ἐκ τῶν θεολογικῶν ἀρχῶν ὑπετίθετο, τὰς δὲ ἐκ τῶν καθ' ἡμᾶς· ἔπειθ' ὅτι μιγνὺς ἀλλήλοις τά τε δηλωτικὰ τῆς θείας φύσεως, καὶ τὰ ἀνθρωποπρεπῶς ἐν Εὐαγγελίοις ὑπὸ τοῦ Σωτῆρος εἰρημένα διὰ τὸ πρόσλημμα τῆς σαρκὸς, καὶ μηδὲν διορίζων ἢ διαστέλλων, μήτε ὁμωνυμίαν φωνῆς, μήτε φύσεως ἰδιότητα, καθ' ἣν τὰ μὲν ἀνθρώπινα τῇ ἀνθρωπίνῃ, τὰ δὲ θεῖα τῇ θείᾳ φύσει τετάχαται, οὐ κτιστὸν εἶναι μόνον τὸν τοῦ Θεοῦ Υἱὸν, ἀλλὰ καὶ τρεπτὸν, καὶ ἀλλοιω-

τόν, ὢ μανίας δεινῆς! ὁ πάντα ἄτοπος καὶ ἀμαθὴς ἀπεφαίνετο. Τῇ γὰρ τοῦ ἀγεννήτου φωνῇ, καθάπερ ἀκροπόλει ἐπικαθίσας, καὶ ταύτῃ μόνῃ περιγράψας τῆς θείας φύσεως τὴν μεγαλειότητα, τὸ γεννητὸν, οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸ ἐκπορευτὸν ἐξώριζε τῆς θεότητος, ὀνόματος μόνον κοινωνίᾳ τὴν Τριάδα τιμῶν· ἢ μηδὲ τοῦτο αὐτῇ φυλάττων, καὶ παραλιμπάνων ἀμαθῶς τὰς προτάσεις καὶ ἀποδείξεις, αἳ τὸ γεννητὸν ἰσοδύναμον καὶ ὁμόθεον εἶναι τῷ ἀγεννήτῳ σαφῶς παρίστασαν, ὡς ἑπομένου λοιπὸν, ἐξ ἀνάγκης τοῦ ἀεὶ εἶναι τῷ ἀγεννήτῳ τὸ γεννητὸν, ἦν ὅτε οὐκ ἦν, καὶ πρὶν γενέσθαι οὐκ ἦν, καὶ τρεπτὸν καὶ ἀλλοιωτὸν ἐβλασφήμει. Ἀλλ' οἱ τῆς ἀληθείας, ὡς ἂν φαίη τις, οὑτωσὶ χείμαῤῥοι ἐκ τῶν εὐαγγελικῶν τε καὶ ἀποστολι-
521*. κῶν | ἀβύσσων διὰ τῶν μακαρίων ἐν Νικαίᾳ πατέρων σφοδρότερον ῥεύσαντες, πάντα τὸν ἐκείνου συρφετὸν τῶν ἀσεβημάτων κατέσυράν τε καὶ κατεπόντισαν.

43. Τῷ μὲν γὰρ ἦν ὅτε οὐκ ἦν, ἀντιτεθείκασιν οἱ πατέρες τὸ ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ πρὸς τὸν Θεὸν ἦν· καὶ τὸ ἀπ' ἀρχῆς ἦν, καὶ ἀπαύγασμα τῆς δόξης τῆς πατρικῆς (Ἰωάν.), καὶ ὅσα τούτοις ἀκόλουθα. Τὰ δὲ ταπεινῶς περὶ Θεοῦ καὶ ὑφειμένως ἐν ταῖς Γραφαῖς λεγόμενα, τῷ ἀνθρωπίνῳ προσλήμματι τοῦ Θεοῦ Λόγου προσνείμαντες, ἀκήρατον καὶ ἀπαθῆ τὴν φύσιν τῆς θεότητος ἐδογμάτισαν, μίαν μὲν οὐσίαν καὶ δύναμιν καὶ βασιλείαν Πατρὸς Υἱοῦ τε καὶ ἁγίου Πνεύματος ἀνακηρύξαντες, τρεῖς δὲ ὑποστάσεις· εἰ τὸ ἦν τρία πρόσωπα, ἰδιότησι μόνον ὑποστατικαῖς ἀλλήλων διαφέροντα, τἄλλα δὲ κοινὰ κεκτημένα πρὸς ἄλληλα, καὶ τὸν αὐτὸν καὶ μετὰ τὴν σάρκωσιν ἕνα Θεὸν, Υἱὸν, Κύριον, Ἰησοῦν Χριστὸν, ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι δογματίσαντες καὶ θεσπίσαντες, τοῖς πᾶσι παρέδωκαν ὁμολογεῖν ἐν τῷ τῆς πίστεως συμβόλῳ, Ἀρείου καὶ τῶν αὐτοῦ δογμάτων παραπεμθέντων τῷ ἀναθέματι. Τὴν δὲ τοῦ ὁμοουσίου φωνὴν ἐξηγούμενος σὺν τοῖς

ἄλλοις πατράσιν, ὁ μακάριος Κωνσταντῖνος ἐν τῇ συνόδῳ διεξήει, «ὡς ἄρα μὴ κατὰ σωμάτων πάθη λέγεται τῷ Πατρὶ ὁ Υἱὸς ὁμοούσιος, οὔτε μὴν κατὰ διαίρεσιν τῆς οὐσίας· ἀλλ' οὐδὲ κατὰ ἀποτομὴν ἢ κατά τι πάθος, ἢ τροπὴν, ἢ ἀλλοίωσιν, τῆς τοῦ Πατρὸς δυνάμεως. Ἐπείπερ ἀδύνατον πάντῃ τὴν ἄϋλον, καὶ νοερὰν, καὶ ἀσώματον φύσιν, σωματικόν τι πάθος ὑφίστασθαι, θείοις δὲ καὶ ἀποῤῥήτοις λόγοις, καθ' οὓς προσήκει τὰ τοιαῦτα νοεῖν. Παραστατικὸν γὰρ εἶναι διωμολόγει τὸ ὁμοούσιον τῷ Πατρὶ, τοῦ μηδεμίαν ἐμφέρειαν φέρεσθαι πρὸς τὰ γένη τὰ κτίσματα τὸν Υἱὸν τοῦ Θεοῦ· μόνῳ δὲ τῷ Πατρὶ τῷ γεγεννηκότι κατὰ πάντα τρόπον ἀφωμοιῶσθαι, καὶ μὴ εἶναι ἐξ ἑτέρας τινὸς ὑποστάσεώς τε καὶ οὐσίας ἀλλ' ἐκ τοῦ Πατρός.»

Ὅσα μὲν οὖν καὶ ἕτερα συνηνέχθησαν ἐν τῇ συνόδῳ, τῶν δογματικῶν κινουμένων λόγων, καὶ ὅπως ἄνωθεν καὶ Θεὸς ἐγένετο σύμψηφος τῇ τοῦ βασιλέως κρίσει, κατὰ πόδας Ἀρείῳ τὴν κόλασιν ἐπενεγκὼν, τὴν ἐν βεβήλοις τόποις ῥῆξίν τε καὶ χύσιν τῶν ἐγκάτων αὐτοῦ, αἱ τὰς συνοδικὰς ἀναγράφουσαι πράξεις καὶ διαλέξεις δηλοῦσι καθ' ἕκαστα. Ἀλλὰ τὸ ἐφεξῆς ῥηθησόμενον πῶς ἄν τις ἀξίως θαυμάσειε;

44. Ἐνίων γὰρ χαιρεκάκων ἀνδρῶν λιβέλλους κατηγοριῶν ἐπιδεδωκότων κατά τινων ἐπισκόπων τῷ βασιλεῖ, καὶ δεηθέντων τὰ δοκοῦντά οἱ ψηφίσασθαι περὶ αὐτῶν, ὁ μακάριος Κωνσταντῖνος εὐμενῶς προσδεξάμενος τὰ δοθέντα, καὶ ταῖς οἰκείαις σφραγῖσιν ἐπισημηνάμενος, καὶ παρ' ἑαυτῷ κατασχὼν, πέρας ἤδη λαβόντων τῶν κατὰ τὰς διαλέξεις ἀγωνισμάτων, καὶ τῆς ὀρθοδόξου πίστεως λαμπρῶς ἀνακηρυχθείσης, καὶ τοῦ ταύτης | ἐκτεθέντος ἱεροῦ συμβόλου, ὁ μέγας ὄντως ἐκεῖνος πολὺ πλέον τὴν ψυχὴν ἢ τὴν φαινομένην εὐημερίαν, ἅπαντας τοὺς δεδωκότας αὐτῷ τοὺς λιβέλλους συγκαλεσάμενος, καὶ ὑποδείξας ἑκάστῳ τὸν δεδομένον ὡς εἶχε σφραγῖδος τῆς ἑαυτοῦ, ἐπωμόσατο μηδέν τι τῶν ἐν αὐτοῖς γεγραμμένων ὁπωσοῦν κατιδεῖν. Ἔπειτα

πῦρ ἐνεχθῆναι κελεύσας, ὑπὸ μάρτυσι τοῖς ἐκείνων ὀφθαλμοῖς τούτους κατέκαυσεν ἐπειπὼν, ὡς «εἴπερ ἐνέτυχον ἐπισκόπῳ πορνεύοντι, τῇ ἐμαυτοῦ χλαμύδι τοῦτον ἐσκέπασα ἂν, ἵνα μὴ τοῖς ἄλλοις ἔκφορον τὸ μύσος γενόμενον, σκανδάλου αἴτιον κατασταίη.» Ἔπειτα διαλεχθεὶς τὰ εἰκότα περὶ τῆς εἰς ἀλλήλους ὁμονοίας καὶ περὶ τοῦ δεῖν κατὰ Παῦλον ἀλλήλων τὰ βάρη βαστάζειν, καὶ μὴ μνησικακεῖν, ἀλλ' ἀφιέναι τοῖς ἁμαρτάνουσιν ἑσαεὶ κατὰ τὴν δεσποτικὴν ἐντολὴν, ἐπεὶ καὶ ἡμεῖς τῆς παρὰ Θεοῦ χρήζομεν ἀφέσεως, ἀεί τε καὶ διὰ παντὸς ἁμαρτάνοντες, μετ' εἰρήνης αὐτοὺς ἀπέλυσε, χαίροντας ὁμοῦ καὶ ἐκπληττομένους το ἀπαράμιλλον τῆς αὐτοῦ ἀρετῆς καὶ συνέσεως.

45. Τῆς δὲ τοῦ Πάσχα ἑορτῆς ἄλλοτε ἄλλως παρὰ τῶν ἑκασταχοῦ γῆς χριστιανῶν τελουμένης, τῷ μήπω διαρθρωθῆναι τέως τὸν περὶ αὐτοῦ λόγον συνοδικῇ διαγνώσει, ἀεὶ ἐπικειμένου τοῦ διωγμοῦ σφοδροτέρου καὶ πανταχόθεν ἐλαύνοντος τὰ ἡμέτερα, καὶ διὰ τοῦτο, τῶν μὲν αὐτὸ τελούντων μετὰ Ἰουδαίων, ἄλλων δὲ ἦρος ὥρᾳ καὶ κατὰ τὴν πέμπτην καὶ εἰκοστὴν ἀεὶ τοῦ Μαρτίου μηνὸς, ἐνίων δὲ θέρους ἢ χειμῶνος, καὶ ἁπλῶς εἰπεῖν ὡς ἐβούλετο ἕκαστος, καὶ κατὰ τοῦτο συγχύσεως πολλῆς ἐν τοῖς χριστιανοῖς ὑπαρχούσης καὶ ἀωρίας, εἴπερ τοῦτο μεγίστης ἀτοπίας, τὸ κατὰ τὸν αὐτὸν καιρόν τε καὶ χρόνον τοὺς μὲν ἑορτάζειν τῷ ἐκ νεκρῶν ἀναστάντι Χριστῷ, καὶ θύειν αὐτῷ τὰ εὐχαριστήρια, χαίροντας ἐπὶ τῇ κοινῇ σωτηρίᾳ τοῦ γένους ἡμῶν, τοὺς δὲ πενθεῖν καὶ σκυθρωπάζειν ἐπὶ τοῖς ἑαυτῶν πλημμελήμασι, καὶ τοῦτο τῆς προσηκούσης τετύχηκε διορθώσεως, θεσπίσαντος τοῦ βασιλέως μετὰ τῆς ἱερᾶς συνόδου, μηδένα τῶν πιστῶν τελεῖν τὸ Πάσχα μετὰ Ἰουδαίων, ἀλλὰ πρότερον ἐπιτηρήσαντας ἀκριβῶς ἑκάστου ἔτους τὴν μετὰ ἐαρινὴν ἰσημερίαν πανσέληνον, ἐν ᾗ παῖδες Ἑβραίων τὰ διαβατήρια θύουσι κατὰ τὸν νόμον, τῇ ἐφεξῆς ἐρχομένῃ Κυριακῇ τε-

λεῖν τὸ ἀληθινὸν καὶ ἡμέτερον. Καὶ νόμοι δὲ συνετέθησαν εἰς διόρθωσιν τῶν πολιτικῶν πραγμάτων, καὶ κανόντες ἐξεφωνήθησαν ὑπὸ τῆς συνόδου τῆς ἐκκλησιαστικῆς εὐταξίας εἵνεκα· πρὸς τούτοις καὶ τὰς τῆς ἑβδομάδος ἡμέρας εἰς τὸν νῦν ἐξ ἐκείνου λεγόμενον τρόπον ἐνομοθέτησαν, ἐκ τῶν ἑπτὰ πλανωμένων ἀστέρων τὰ ὀνόματα κεκτημένας πρότερον, παραπλήσιον ὥσπερ καὶ Ἰούλιος πάλαι Καῖσαρ πεποίηκε, τὸν τῶν μηνῶν καὶ ἐτῶν ἀριθμὸν, εἰς τὸν νῦν καταστησάμενος τρόπον, πρὸς τὰς
τῆς σελήνης περιόδους [ἀριθμουμένων πρότερον. Τὴν δὲ τῶν 522.
ἱερῶν βίβλων ἁπασῶν τῆς Ἐκκλησίας κατασκευὴν ἀνέθηκεν Εὐσεβίῳ τῷ Καισαρείας ἐπισκόπῳ τῷ Παλαιστηνῷ, σὺν μεγάλαις σφόδρα καὶ δαψιλέσι δαπάναις. Ἐπιστολάς τε πλείστας πανταχοῦ τῆς οἰκουμένης διέπεμψε, τά τε κατὰ τὴν σύνοδον πραχθέντα γνωρίζων ἅπασι καὶ φυλάττειν αὐτὰ νομοθετῶν, ναούς τε ἀνεγείρειν ἱεροὺς πανταχοῦ, καὶ πάντα πράττειν ἀκωλύτως, ὅσα χριστιανοῖς ἔθιμά τε καὶ νόμιμα.

46. Εἶχε δέ ἡ τῶν ἐπιστολῶν αὐτοῦ πρότασις ταπεινῶς πάνυ καὶ μετρίως. Οὐ γὰρ ὥσπερ οἱ πρὸ αὐτοῦ βασιλεῖς ἀπὸ τῶν κατορθωμάτων ἐπέγραφεν ἑαυτὸν, ἅπερ ἐτροπώσατο ἔθνη καταλέγων· ἀλλ' ἀφεὶς ἀπαριθμεῖσθαι τὰ ἀμύθητα τρόπαια καὶ τὰς περιφανεῖς ἐκείνας καὶ παγκοσμίους νίκας, Κωνσταντῖνος σεβαστὸς ἑαυτὸν ἐπέγραφε πανταχοῦ. Ἐκεῖνα μὲν γὰρ ἅπαντα τῇ ἀμάχῳ τοῦ σταυροῦ δυνάμει προσανετίθει, ὃν καὶ ἀνεκήρυττε πανταχοῦ τῶν αὐτοῦ ἐπιστολῶν τε καὶ συγγραμμάτων, αὐτὸς δὲ ἑαυτῷ τὴν μετριοφροσύνην ἐτήρει, καὶ τὸ ταπεινὸν ὡς πρὸς τὴν Χριστοῦ μίμησιν ἄγον, ὃν ἐφίλησε διαφερόντως, καὶ ὑφ' οὗ ἀντεφιλήθη περιφανέστερον. Τί δὲ δεῖ καθέκαστα λέγειν, ὅπως τε πάντων τῶν τότε πενήτων ἐξέτισε τὰ χρέη, καὶ τὰ βάρη τῶν δημοσίων ἐπεκούφισε φόρων, καὶ πτωχοτροφεῖα, καὶ γηροκομεῖα, καὶ χορηγίας κατέλιπε πάσας, αἱ τῶν ἀεννάων ποταμῶν μιμούμεναι τὰ ῥεύματα, καὶ τἆλλα πάντα,

ὅσα τῶν ἱστορούντων ἐμπιπλῶσι τὰς βίβλους Ἑλλήνων τε καὶ Ῥωμαίων καὶ Αἰγυπτίων; Ἔγραφε δὲ καὶ καθ' Ἕλληνας καὶ Ῥωμαίους πάνυ τοι εὐφυῶς, ὡς δηλοῦσι τὸν τῆς γραφῆς αὐτοῦ χαρακτῆρα ἔνιαι τῶν ἐπιστολῶν αὐτοῦ, ἃς οἱ τὰ ἐκείνου διεξιόντες ἐν ταῖς τῶν συνοδικῶν πράξεων βίβλοις ἐξέθεντο, Γελάσιός τε ὁ Ῥουφῆνος, Θεοδώρητός τε ὁ Κύρου, καὶ ὁ Βυζάντιος Σωκράτης, καὶ πρό γε τούτων ὁ Παλαιστηνὸς Εὐσέβιος. Δηλοῖ δὲ μάλιστα τὴν τῶν λόγων αὐτοῦ δύναμιν ὁ κατὰ τῶν εἰδώλων πονηθεὶς αὐτῷ λόγος κάλλιστος ὁμοῦ καὶ περιφανέστατος. Καὶ τύπον δὲ τῆς πρὸς τὸν Θεὸν εὐχῆς αὐτὸς ἐκθέμενος, γλώσσῃ Ῥωμαίων ἅπασι τοῖς τότε χριστιανοῖς ὑπὲρ αὐτοῦ τελεῖν παραδέδωκεν. Ἔχει δὲ τὰ τῆς εὐχῆς οὕτως. « Σὲ μόνον οἴδαμεν Θεὸν, Σὲ βασιλέα γνωρίζομεν, Σὲ βοηθὸν ἀνακαλούμεθα. Παρὰ Σοῦ τὰς νίκας ἠράμεθα, διὰ Σοῦ κρείττους τῶν ἐχθρῶν κατέστημεν. Σοὶ τὴν τῶν ὑπαρξάντων ἀγαθῶν χάριν γνωρίζομεν, Σὲ καὶ τῶν μελλόντων ἐλπίζομεν, Σοὶ πάντες ἱκέται γινόμεθα. Τὸν ἡμέτερον βασιλέα Κωνσταντῖνον, παῖδάς τε αὐτοῦ θεοφιλεῖς, ἐπὶ μήκιστον ἡμῖν βίου σῶον καὶ νικητὴν φυλάττεσθαι ποτνιώμεθα. » Καὶ ὁ μισθὸς τοῖς ταῦτα εὐχομένοις ὡς δαψιλὴς καὶ φιλότιμος, ἐτήσια σιτηρέσια καθ' ἑκάστην πόλιν τε καὶ χώραν ταῖς παρθένοις καὶ χήραις καὶ τοῖς ἀφιερωμένοις τῇ θείᾳ λειτουργίᾳ χορηγούμενα, φιλοτιμίᾳ μᾶλλον ἢ χρείᾳ μετρούμενα,

523. 47. Ὁ δὲ αὐτὸς μέγιστος βασιλεὺς γράφων | ἕτερον λόγον, καὶ τὸν ἐπίλογον οὑτωσί πως ὑποφαίνων· « Χρὴ, φησὶ, πάντας τοὺς τὴν θεοσέβειαν καταδιώκοντας, χάριν ὁμολογεῖν τῷ Σωτῆρι τῶν πάντων ἕνεκα τῆς ἡμετέρας αὐτῶν σωτηρίας, καὶ τῆς τῶν δημοσίων πραγμάτων εὐμοιρίας, ὁσίαις τε εὐχαῖς καὶ λιτανείαις ἐπαλλήλοις, ἐξιλεοῦσθαι τὸν Χριστὸν ἡμῖν, ὅπως τὰς εὐεργεσίας αὐτοῦ διαφυλάττῃ. Οὗτος γάρ ἐστιν ἀήττητος σύμμαχος καὶ ὑπερασπιστὴς τῶν δικαίων. Ὁ δὲ αὐτὸς κριτὴς ἄ-

ριστος, ἀθανασίας ἡμῖν καὶ ἀϊδίου ζωῆς χορηγός.» Τοὺς δὲ συνεληλυθότας τῶν ἐπισκόπων (ὀκτωκαίδεκα δὲ ἦσαν οὗτοι καὶ τριακόσιοι), πολλοῖς μὲν ἐφιλοφρονήσατο καὶ λόγοις καὶ δώροις, πολλὰς δὲ στιβάδας εὐτρεπισθῆναι κελεύσας κατὰ ταὐτὸν ἐποίησεν ἅπαντας, τοὺς μὲν ἀξιωτέρους ὁμοτραπέζους λαβών, τοὺς δὲ ἄλλους διελὼν εἰς τὰς ἄλλας. Θεασάμενος δέ τινας, τοὺς δεξιοὺς ὀφθαλμοὺς ἐκκεκομμένους, καὶ μαθὼν ὡς ὑπὲρ Χριστοῦ ταῦτα πάθοιεν, τὰ χείλη τοῖς τραύμασι προσενήνοχεν, ἑλκύσειν ἐκεῖθεν τῷ φιλήματι τὴν εὐλογίαν πιστεύων. Πέρας δὲ τοῦ συμποσίου λαβόντος ἱκανὰ τούτοις ἐδωρήσατο δῶρα, καὶ γράμματα πρὸς τοὺς τῶν ἐθνῶν προστατεύοντας δέδωκεν ἄρχοντας, ταῖς αὐτῶν παροικίαις παρέχεσθαι κελεύσας, δωρεὰς ἐτησίους εἰς εὐποιΐαν τοῖς πενομένοις. Οἷον δὲ ἦν ὁρᾶν τότε, μέγαν βασιλέα τοῖς ἐπισκόποις συνευωχούμενον, καὶ χαίροντα ἐπὶ τῇ ὁμοφροσύνῃ τε καὶ εἰρηνικῇ καταστάσει τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ πάντα θυμηδίας ἐμπιπλῶντα τῇ τῶν δωρεῶν ἀφθονίᾳ, καὶ τῷ χαρίεντι τοῦ ἤθους, καὶ τῇ τῆς γνώμης ἱλαρότητι, καὶ τῷ μελιχρῷ τῆς γλώττης, καὶ τῷ ὑψηλῷ καὶ ἀπαραμίλλῳ τῶν ἔργων, καὶ τῷ ταπεινῷ τοῦ φρονήματος. Ὅσα γὰρ ἔδει συνδραμεῖν ἀγαθὰ ἐν ἑνὸς ἀνθρώπου φύσει, ταῦτα καθάπαξ ἐν τῇ ψυχῇ τοῦ μεγάλου Κωνσταντίνου συνέδραμεν. Ἔδει γὰρ τὸν ὑπὸ τῆς μεγάλης τοῦ Θεοῦ σοφίας προωρισμένον διακονῆσαι τῇ ἐλευθερίᾳ τοῦ εὐαγγελικοῦ κηρύγματος, καὶ τὸ τῶν ἁγίων ἀποστόλων ἀναπληρῶσαι ὑστέρημα, τηλικοῦτον εἶναι διὰ πάντων, ὡς μηδένα ἕτερον ἐγχωρεῖν, τῶν πρὸ αὐτοῦ τε καὶ μετ' αὐτὸν γενομένων, κρείττονα τούτου γενέσθαι καὶ ἀξιώτερον. Ὁ γὰρ περὶ τοῦ Δαυῒδ εἰπὼν πρὸς Σαμουὴλ τὸν προφήτην· εὗρον Δαυῒδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ ἐντάλματά μου (Πρξ. ιγ'. 22.), ὁ τὸν Παῦλον, καίτοι βλάσφημον ὄντα πρότερον καὶ διώκτην καὶ ὑβριστήν, ἐξ οὐρανοῦ καλέσας καὶ εἰπών, ὅτι

σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων καὶ υἱῶν Ἰσραὴλ (Πρξ. θ'. 14.), ὁ καὶ πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους, ἵνα μὴ καθ' ἕκαστον λέγω κατὰ γενεὰν καὶ γενεὰν, εἰς ὅπερ ἕκαστος ἔδοξεν αὐτῷ ἐπιτηδείως ἔχειν, ἐπὶ τοῦτο καλέσας, οὗτος καὶ τὸν μακάριον Κωνσταντῖνον ἀπὸ χρόνων αἰωνίων ἐπιλεξάμενος καὶ βασιλέα χειροτονήσας, φέρων ὕστερον
523. ἐπέστησεν ἐν καιρῷ τῷ προσήκοντι τοῖς ἀνθρώποις, | προειπὼν καὶ περὶ αὐτοῦ διὰ τοῦ προφήτου καὶ θεοπάτορος· «ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου, εὗρον Κωνσταντῖνον τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν (Ψλ. πη'. 20.). Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης (Σρχ. μδ'. 24.).» Καὶ ὅσα ἄλλα περὶ αὐτοῦ τῷ θείῳ πνεύματι προείρηται.

48. Ἢ τίνι τῶν ἄλλων ἁπάντων βασιλέων, μετὰ τὸν Σωτῆρα καὶ Κύριον, ἔθνη τόσα δέδοται κληρονομία καὶ κατάσχεσις αὐτῷ τὰ πέρατα τῆς γῆς; τίνι δὲ ἄλλῳ δεδουλεύκασιν ὑφ' ἕνα ζυγὸν, καὶ προσεκύνησαν ἐκ τῶν ἰδίων τόπων ἕκαστος κατὰ τὰς τῶν προφητῶν προῤῥήσεις (Σφν. γ'. 10.); Εἰς τρία γὰρ τῆς οἰκουμένης διῃρημένης, Εὐρώπην, Ἀσίαν, καὶ Λιβύην, Εὐρώπη μὲν ὑποτέτακτο πᾶσα τῷ βασιλεῖ Κωνσταντίνῳ, Ἀσίας δὲ καὶ Λιβύης τὸ πλεῖστον ἅμα καὶ κάλλιστον ἐδούλευεν αὐτῷ. Καὶ αὖ τεττάρων μερῶν ὄντων τῆς οἰκουμένης, ἑῴας καὶ ἑσπερίας, νοτίας τε καὶ ἀρκτῴου λήξεως, πάντα τῆς αὐτοῦ ἐξουσίας καὶ προμηθείας ἀπολελαύκεισαν, καὶ τὴν χριστιανῶν θρησκείαν οἱ μὲν ἐδέξαντό τε καὶ ἐβαπτίσθησαν, καθάπερ Ἰνδοί τε καὶ Ἴβηρες, οἱ δὲ ζηλώσαντες καὶ ὑμνήσαντες, ὡς ἐνῆν, ὑπεχώρησαν, ἀποδειλιάσαντες, ὥσπερ διὰ τὸ παχὺ καὶ φιλήδονον, τὰ ὑπὲρ τὴν σάρκα προστάγματα. Τὰ μέν τοι πέρα Γαδείρων μὴ βάσιμα εἶναι λεγόμενα τοῖς ἀνθρώποις, ὑπὸ τὴν τοῦ βασιλέως

ἐξουσίαν ἐγεγόνεισαν· αἵ τε γὰρ βρεττανικαὶ νῆσοι, μέγισται οὖσαι καὶ πολυανθρωπότατοι παρὰ τὸν Ὠκεανὸν, πρῶται τῶν ἄλλων τούτῳ δεδούλωνται. Οἵ τε ὑπὸ τὰς ἄρκτους Σαυρομάται καὶ Σκύθαι καὶ Μασσαγέται τὰ ἐκείνου περιφανῶς ὑποπεπτήχεσαν ὅπλα. Οἵγε μὴν πρὸς ἕω παρὰ τὸν Γάγγην Ἰνδοί, καὶ αὖ οἱ πρὸς μεσημβρίαν τε καὶ νότον Αἰθίοπες ὑπήκοοι καὶ οὗτοι τῇ Κωνσταντίνου βασιλείᾳ γεγόνασι. Καὶ ἦν λοιπὸν ὁρᾶν, νῦν μὲν εἰκόνων γραφαῖς καὶ ἀνδριάντων ἀναθήμασι Κωνσταντῖνον τιμώμενον ἐν πᾶσιν ἔθνεσι, νῦν δὲ ἀνὰ πᾶσαν ὥραν ἔτους τοὺς ἁπανταχόθεν τῆς οἰκουμένης πρέσβεις, δίκην ῥευμάτων ποταμίων, συνιόντας εἰς τὴν βασιλεύουσαν τῶν πόλεων, παρὰ Κωνσταντῖνον τὸν βασιλέα τὰ παρ' ἑαυτοῖς κομίζοντας τιμιώτατα· ἅπερ βλέπων ὁ μακάριος, καὶ συννοῶν τῆς ἀρχῆς αὐτοῦ καὶ τῆς ἐξουσίας τὸ μέγεθος, οὐκ ἐπήρθη τῇ διανοίᾳ, οὐδὲ ὑψώθη ἡ καρδία αὐτοῦ ἐνώπιον Κυρίου, καθὰ περὶ τοῦ Ὀζίου φησὶν ἡ Γραφή (Πρλ. κς'. 16.), ἀλλὰ τῷ μετρίῳ τῆς γλώττης τὴν τῆς ψυχῆς ἐδημοσίευε σωφροσύνην, καὶ Θεῷ τὰς χάριτας ἐκ μέσης ἀπεδίδου ψυχῆς, καὶ τῇ τοῦ σωτηρίου σταυροῦ δυνάμει τὸ πᾶν ἐπέγραφε. Καὶ τοῦτο δῆλον πολλαχόθεν μὲν καὶ ἄλλοθεν, μάλιστα δὲ ἐκ τοῦ πορφυροῦ καὶ μεγάλου κίονος, ὃν ἐπὶ μέσης τῆσδε τῆς αὐτοῦ πόλεως, σὺν πολλαῖς ἱδρυσάμενος ταῖς δαπάναις, ἐπ' αὐτοῦ τὸν οἰκεῖον ἔστησεν ἀνδριάντα, τὸ τοῦ σταυροῦ σημεῖον ἠγκαλισμένον, ὁποῖον κἀν τοῖς νομίσμασιν ἑαυτὸν ἐχάραττεν.

49. Οὕτω μὲν οὖν, εἰς | πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ 524.
φθόγγος αὐτοῦ, κατὰ τὸν προφητικὸν λόγον, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ. (Ψαλ. ιη'.). Προσθείη δ' ἄν τις εὐλόγως, οὐ κατὰ γῆν μόνον ἀλλὰ καὶ εἰς αὐτοὺς τοὺς ἐσχάτους τῆς γῆς πυθμένας διαδραμεῖν τὴν τούτου δόξαν. Καὶ αὐτοὺς γὰρ τοὺς κόλπους τῆς γῆς ἐξηρεύνησεν, ἵνα τὸν πολύτιμον ἐκεῖθεν εἰς φῶς ἀναγάγῃ τοῦ Σωτῆ-

ρος σταυρὸν, οὗ κατ' οὐρανοὺς τὸν τύπον εὐθὺς ἐν προοιμίοις τῆς βασιλείας τεθέαται. Μετὰ γὰρ τὸ πέμψαι αὐτὸν τοὺς ἐπισκόπους ἕκαστον εἰς τὴν λαχοῦσαν αὐτῷ ἐκκλησίαν μετὰ πολλῶν τε καὶ βασιλικῶν δωρημάτων, ἵν' ἔχοιεν ἀφθόνους τὰς πρὸς ὁδοιπορίαν δαπάνας, τὴν ἑαυτοῦ μητέρα τὴν τρισμακαρίαν ὄντως καὶ ἀοίδιμον Ἑλένην ἀπέστειλεν εἰς Ἱεροσόλυμα μετὰ δορυφορίας βασιλικῆς καὶ τῆς ἄλλης προσηκούσης βασιλίδι τιμῆς, ὥστε πᾶσαν σπουδὴν εἰσενέγκασθαι, ἐφ' ᾧ τὸν σωτήριον τοῦ Κυρίου σταυρὸν ἐξευρεῖν· ὃν Ἰουδαῖοι μὲν πάλαι φθόνῳ κρατούμενοι μετὰ τὴν ἀνάστασιν τοῦ Σωτῆρος εἰς γῆν κατέκρυψαν, Ῥωμαῖοι δὲ μετὰ ταῦτα ἐπὶ Αἰλίου Ἀδριανοῦ τῶν Ἱεροσολύμων αὐτοὺς ἐκδιώξαντες, ἀποστάντας ἤδη καὶ πλεῖστα νεωτερίσαντας, τά τε τείχη καθεῖλον εἰς ἔδαφος, καὶ τὸ ἀρχαῖον αὐτῆς ἀμείψαντες σχῆμα, πάλιν ἀνῳκοδόμησαν ἑτέραν, ἣν Αἰλίαν ὠνόμασαν, καὶ ἐπ' αὐτοῦ δὴ τοῦ Κρανίου τόπου ναὸν ἐδείμαντο τῷ μιαρῷ τῆς Ἀφροδίτης ἀγάλματι. Καὶ ἦν ὁ τόπος ἄγνωστος πᾶσι διά τε τὸ τοῦ χρόνου μῆκος καὶ τὴν τοῦ διωγμοῦ βίαν, κατὰ συνέχειαν καὶ ἀλληλουχίαν ἀδιάκοπον ὡς εἰπεῖν προϊόντος.

50. Ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ μεγάλου Κωνσταντίνου, ἐλευθερίας ἐπιλαμψάσης, ὡς εἴρηται, χριστιανοῖς, ἀνεζητεῖτο καὶ ὁ τίμιος τοῦ Κυρίου σταυρὸς ὑπὸ τῆς μακαρίας Ἑλένης ἀφιγμένης ἐκεῖσε. Καὶ δὴ λοιπὸν ἐπιμελοῦς τῆς ζητήσεως γενομένης, καὶ τῶν σημείων ἀνιχνευομένων φόβῳ καὶ ἐπαγγελίαις ἅμα ταῖς πρὸς Ἕλληνας καὶ Ἰουδαίους (ἀπήρεσκε γὰρ αὐτοῖς ἡ τοῦ ζωοποιοῦ ξύλου εὕρεσις)· μόλις οὖν, ὡς εἴρηται, τῶν σημείων καταφώρων γενομένων, καὶ τοῦ τῆς Ἀφροδίτης ναοῦ καθῃρημένου, καὶ τῶν θεμελίων ἀνορυττομένων τοῦ εἰδωλικοῦ τεμένους, εὑρέθησαν ὑποκάτω κρυπτόμενοι σταυροὶ τρεῖς. Καὶ τούτους ἀνελομένη ἡ μακαρία καὶ ἀοίδιμος Ἑλένη, διαποροῦσα ἦν, τίς ἄρα ἐκ τῶν τριῶν εἴη ὁ τοῦ Κυρίου σταυρὸς (πρό-

δῆλον γάρ, ὡς οἱ λοιποὶ δύο τῶν συσταυρωθέντων αὐτῷ λῃστῶν ἐτύγχανον ὄντες)· ἀλλὰ παραχρῆμα Θεὸς ἄνωθεν τὴν λύσιν ἐπήνεγκε. Κατ' ἐκεῖνο γὰρ τῆς ἡμέρας νεκρὸς ἐκομίζετο γυναικὸς εἰς ταφήν· ἐπιτεθέντων οὖν τῷ λειψάνῳ τῶν λοιπῶν δύο σταυρῶν, ἐπεὶ μηδὲν ἦν, ὡς μόνος ἔψαυσεν αὐτῆς ὁ τοῦ Κυρίου σταυρός, ὢ τῶν μεγάλων τοῦ Θεοῦ τεραστίων! ἀναπηδήσασα θᾶττον ἡ νεκρὰ τῆς σοροῦ, τοῦτον εὐθὺς ἀγκαλίζεται
καὶ γίνεται πᾶσι καταφανὲς ἐντεῦθεν τὸ | τίμιον καὶ ἅγιον 524.
ξύλον· ὃ καὶ ἀργυρέᾳ θήκῃ ἐνθεμένη ἡ βασιλίς, μέρος μὲν ἐκεῖθεν ἀνείλετο, ὥστε τῷ υἱῷ καὶ βασιλεῖ κομίσαι, τὸ δὲ λοιπὸν ἐν Ἱεροσολύμοις ἀφῆκεν, ὥστε εἶναι ταῖς ἐφεξῆς γενεαῖς εἰς μαρτύριον. Ἀλλὰ καὶ τοὺς τιμίους ἥλους, οἷς ὁ Σωτὴρ ἡμῶν τὰς ἀχράντους χεῖράς τε καὶ πόδας ἐν τῷ σταυρῷ προσηλώθη, μηδὲν ὑπὸ τοῦ καιροῦ λελυμασμένους εὑροῦσα καὶ ἀνελοῦσα, τοὺς μὲν αὐτῶν ἐνέθηκε τῷ κράνει τοῦ υἱοῦ τε καὶ βασιλέως, ὅπλον αὐτῷ καὶ φυλακτήριον ἄμαχον ἐν τοῖς πολέμοις ἐσόμενα, τοὺς δὲ τῷ χαλινῷ τοῦ ἵππου αὐτοῦ ἐγκατέπηξε, κἀν τούτῳ πληροῦσα προφητείαν τινὰ Ζαχαρίου τοῦ προφήτου, λέγοντος· Καὶ ἔσται λοιπὸν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τὸ ἐπὶ τοῦ χαλινοῦ τοῦ ἵππου τοῦ βασιλέως ἅγιον τῷ Κυρίῳ (Ζχ. ιδ'. 20). Οὐ μὴν ἀλλὰ καὶ πάντας τοὺς ἁγίους περιοδεύσασα τόπους, ἐν οἷς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εὐδόκησεν ἐμπεριπατῆσαι ἢ ἄλλο τι μυστήριον ἐνεργῆσαι τῆς θεανδρικῆς οἰκονομίας αὐτοῦ, καὶ πάντας κατακοσμήσασα θείων ναῶν ἀνεγέρσει καὶ ἀναθήμασι φιλοτίμοις, ἔτι τε πτωχοτροφεῖα, καὶ ξενοδοχεῖα καὶ γηροκομεῖα πλεῖστα κατασκευάσασα, καὶ ἀποχρῶντα τούτοις ἐπιμετρήσασα σιτηρέσια καὶ προσόδους, καὶ πάμπολλα χρήματα διαδοῦσα τοῖς πενομένοις, καὶ σχεδὸν εἰπεῖν, ἐν μηδενὶ ληφθεῖσα τῆς τοῦ υἱοῦ καὶ βασιλέως εὐσεβείας τε καὶ φιλοτιμίας, ἐπανῆλθεν εἰς τὸ Βυζάντιον μετὰ πολλῶν τῶν τῆς ἀρετῆς φορτίων, πλεῖστα ἐξ Ἱε-

ροσολύμων ἁγιάσματα τῇ ἐπωνύμῳ τοῦ υἱοῦ καὶ βασιλέως πόλει ἐγκαταθεῖσα. Ἃ καὶ τῷ υἱῷ παραθεμένη, καὶ ἀμυθήτου πληρώσασα ἡδονῆς τὴν ἔνθεον ἐκείνου ψυχὴν, μετ' οὐ πολὺ τοῦ τῇδε ἀπάρασα κόσμου, πρὸς τὴν ὑπερκόσμιον καὶ ἀθάνατον βασιλείαν μεταχωρεῖ, ὀγδοήκοντα ἐπὶ τῆς γῆς διαζήσασα ἔτη, καὶ πλήρης ἡμερῶν γενομένη τῶν τε ἡμετέρων καὶ τῶν τοῦ πνεύματος, πλεῖστα τῷ υἱῷ περὶ τῆς εὐσεβοῦς πολιτείας ἐντειλαμένη, καὶ ταῖς ἐξιτηρίοις αὐτὸν εὐλογίαις ὥσπερ ἄνθεσι καταστέψασα· μακαρία τῳόντι καὶ τρισμακαρία γενομένη, καὶ αἰωνίου βασιλείας ἅμα καὶ εὐφημίας ἀξία, ὡς Ἄννα ἡ προφῆτις, ἡ τὸν Σαμουὴλ ἀποτεκοῦσα τὸν ἅγιον, ὡς ἡ πανεύφημος Ἐλισάβετ, ἡ τὸν Βαπτιστὴν τοῦ Σωτῆρος ἀποτεκοῦσα καὶ Πρόδρομον, οὕτω καὶ αὕτη τὸν μέγαν βασιλέα καὶ ἰσαπόστολον Κωνσταντῖνον γεννήσασα, καὶ ἁμιλλησαμένη πρὸς αὐτὸν, διὰ πάντων ἑξῆς τῶν τῆς ἀρετῆς εἰδῶν, καὶ τὸν Χριστὸν ἐν ἑαυτῇ δοξάσασά τε καὶ θεραπεύσασα, καὶ τύπος γενομένη καὶ ὑπογραμμὸς πάσαις ταῖς μετ' αὐτὴν καὶ παράδειγμα.

51. Ἐκείνη μὲν οὖν οὕτως ἐπὶ γῆς βιώσασα, καὶ θανοῦσα τῷ κοινῷ νόμῳ τῆς φύσεως, τῆς προσηκούσης τιμῆς ἔτυχε καὶ κηδείας παρὰ τοῦ υἱοῦ τε καὶ βασιλέως καὶ πάντων τῶν ἐν τέλει, καὶ παντὸς ὡς εἰπεῖν χριστιανικοῦ πληρώματος. Ὁ
525. μέντοι μέγας Κωνσταντῖνος, | τὸ ἀπ' ἐκείνου μείζονος ἐπειλημμένος τῆς προθυμίας, ἅτε δὴ καὶ πρὸς τὰς μητρικὰς ἁμιλλώμενος ἀρετὰς, οὐ διέλιπεν ἀφθόνους ῥέων ἅπασι τὰς πρὸς φιλοτιμίαν τε καὶ τὴν ἀναγκαίαν χρείαν ἀφορμάς. Πόλεις τε ἀνακαινίζων τῷ χρόνῳ πεπονηκυίας, τὰς δὲ καὶ ἐκ βάθρων οἰκοδομῶν, γεφύρας τε καὶ ὁδοστρωσίας κατασκευάζων, καὶ ναοὺς ἀνεγείρων φιλοτίμως· ἔτι τε πτωχοτροφεῖα καὶ ξενοδοχεῖα συνιστῶν, καὶ τἄλλα πάντα, ὅσα πρὸς σύστασιν τοῦ ἀνθρωπίνου βίου καὶ βοήθειαν ἐπινενόηται, φόρων τε ἀνέσεις ποιούμενος καὶ χρεῶν ἀποκοπάς· ὅς γε περιουσίᾳ φιλοτιμίας, καὶ πᾶσι

τοῖς εὑρισκομένοις ἐν τῇ ἐπωνύμῳ αὐτοῦ πόλει, τρεῖς ἄρτους ἑκάστης ἡμέρας ἀπὸ τῆς βασιλικῆς τραπέζης ἔταξε χορηγεῖσθαι.

Τὸ δὲ μεῖζον ἁπάντων καὶ διαρκέστερον, κήρυξ καὶ διδάσκαλος τῆς εὐσεβείας γινόμενος πᾶσιν ἀνθρώποις, ἐπιστέλλων, νομοθετῶν, ἐπιστρέφων πεπλανημένους, ἔθνη βαπτίζων ὁλόκληρα διὰ τῆς ἐπιμελείας, καὶ τοῦ σπουδάζειν ἐφιστάνειν ἁπανταχοῦ διδασκάλους τῆς εὐσεβείας, τὴν ὀρθόδοξον πίστιν ἀνακηρύττων ἅπασι καὶ ταύτης ἀντέχεσθαι παραινῶν, τῶν εἰδώλων τὴν πλάνην ἐγγράφως τε καὶ ἀγγράφως στηλιτεύων, Ἰουδαίων ἐπιστομίζων τὴν ἀναίσχυντον γλῶτταν κατὰ Χριστοῦ φερομένων ἀεί. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; αὐτὸς π ᾶ σ ι π ά ν τ α γ ι ν ό μ ε ν ο ς κατὰ Παῦλον (ά. Κορ. θ΄. 20) τὸν ὁμοταγῆ καὶ συναπόστολον, ἵ ν α κ ε ρ δ ά ν ῃ τ ο ὺ ς π ά ν τ α ς ἢ π λ ε ί ο ν α ς. Ὅπως δὲ καὶ τὸ ἀπαράμιλλον αὐτοῦ τῆς μακροθυμίας ἀναφανῇ λεκτέον δὴ τοῦτο πρὸς ἔνδειξιν, ᾧ δὴ καὶ πολλοὶ τῶν ἁγίων χρησάμενοι φαίνονται, καὶ Θεοδόσιος ὁ μέγας, ὁ πανεύφημος βασιλεύς, πλεῖστα ὠφεληθεὶς ὤφθη κἀκ τούτου, εἰς τὴν ὁμοίαν ἐμπεσὼν ὑπόθεσιν. Καταλευσθείσης γάρ ποτε τῆς εἰκόνος αὐτοῦ παρά τινων ἀνδρῶν, ἐκβεβακχευμένων τῇ μέθῃ, καί τινων τῶν ἐν τέλει παροξυνόντων τὸν βασιλέα ἀμύνασθαι τοὺς τὰ τοιαῦτα πεπαρῳνηκότας, καὶ λεγόντων, « ὡς ἄρα ἡ κεφαλὴ τῆς εἰκόνος πλείστας δέξαιτο τὰς πληγάς, » ὁ πανεύφημος βασιλεὺς ἠρέμα τῆς ἑαυτοῦ κεφαλῆς ἐπαφώμενος, οὐδὲν ἔλεγε τραῦμα ἔχειν ἐκ τῶν πληγῶν, ἀλλ' ὑγιᾶ τυγχάνειν ὅλον καὶ κακῶν ἀπαθῆ. Πρὸς δὲ τοὺς ἀμύνασθαι παρακαλοῦντας ἔλεγεν, « ὡς οὐδὲν μᾶλλον ἄν τι κακὸν διάθοιτο τοὺς τὰ τοιαῦτα τετολμηκότας ἢ τοὺς μαινομένους τε καὶ τῶν ἰδίων ἀπογευομένους σαρκῶν, ἀλλ' ὥσπερ ἐκεῖνοι δίκαιοι μᾶλλον ἐλεεῖσθαι διὰ τὸ πάθος, οὕτω καὶ οὗτοι συγγνώμης ἂν τυγχάνοιεν, εἰς τὴν αὐτὴν ἐμπεσόντες μανίαν, καὶ καθ' ἑαυτῶν τὰς χεῖρας ὁπλίσαντες· καὶ ἅμα δίκαιον ἐννοεῖν, ὡς ἐκείνοις μὲν ῥᾴδιον ἀνι-

στᾶν τὴν εἰκόνα καὶ πολλῷ κρείττονα, τούτῳ δὲ εἰ λαβεῖν ἐθέλοι δίκην παρ' αὐτῶν, οὐκ ὕστερον δυνηθείη, οὐδ' εἰ πολλὰ μεταμεληθείη, μίαν τρίχα ἐκ τῆς τοῦ Θεοῦ εἰκόνος κατασκευάσαι». Τοῦτο μὲν οὖν ὕστερον, ὥσπερ ἔφην, καὶ Θεοδό-
525. σιον τὸν μέγαν | τὸν πανεύφημον βασιλέα τὰ μέγιστα ὤνησεν· οἶμαι δὲ ὅτι καὶ πάντας τοὺς ἐφεξῆς βασιλέας, ὅσοι ζηλοῦν ἠθέλησαν. Ἐμπεσὼν γὰρ εἰς τὴν ὁμοίαν ὑπόθεσιν καὶ αὐτὸς ἐν τῇ κατ' Ἀντιόχειαν γενομένῃ στάσει, ἀφορμὴν μακροθυμίας τὴν τοῦ μεγάλου Κωνσταντίνου γνώμην ἐποιήσατο, ζηλώσας κἀν τούτῳ τὸν μέγιστον ὁ πανεύφημος, ὥσπερ δὴ κἀν τοῖς ἄλλοις σχεδὸν ἅπασι τῆς ἀρετῆς εἴδεσι. Καὶ θαυμαστὸν οὐδέν, φίλον γάρ φησι τῷ ὁμοίῳ τὸ ὅμοιον.

52. Τοῦτο μὲν οὖν τοιοῦτον. Ἐγὼ δὲ καὶ αὖθις ἑτέρου μνησθήσομαι, ἄλλην ἀρετῆς ἀπόδειξιν ἔχοντος. Πλεονέκτῃ τινὶ παρασπῶντι τὰ τοῦ γείτονος ὅρια ἐπιτιμῶν, μνημείου τύπον ἐπὶ τῆς κόνεως τῇ ῥάβδῳ ὑπέγραψεν ἐπειπών· «τί μάτην πονεῖς ἄνθρωπε; τούτου γὰρ λήψῃ πλέον οὐδὲν ἐκ τοῦ βίου, καὶ εἰ τὸν κόσμον ἅπαντα πρὸς ἴδιον πορίσῃ πλοῦτον.» Ἰουδαίων δέ ποτε νεωτερισάντων, καὶ τὸν ἐν Ἱεροσολύμοις ναὸν ἐπιχειρούντων ἀνανεοῦσθαι, πρὶν ἢ πυθέσθαι αὐτόν, συνειληφὼς καὶ λωβησάμενος πάντων τὰ ὦτα, μαστιγοφόροις ἔδωκε, περιάγειν τε καὶ μαστίζειν τὸ τῆς γνώμης ἀκόλαστον μετὰ τῆς σαρκός, καὶ ἐκπομπεύειν πανταχοῦ γῆς Παλαιστίνης ὁμοῦ καὶ Συρίας τῆς τόλμης αὐτῶν τὴν τραγῳδίαν, ἵνα καὶ πλείοσιν ἄλλοις στήλη κακίας ὁ νεωτερισμὸς αὐτῶν καταστῇ. Σοφῶς δὲ πάνυ τούτους κατ' ἐκεῖνο τὸ μέρος ἐλωβήσατο τοῦ σώματος, καθὸ προσῆκεν αὐτοὺς τῶν τοῦ Σωτῆρος προῤῥήσεων ἀκούειν, εἰρηκότος· ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ ἀφεθῇ λίθος ἐπὶ λίθου, ὃς οὐ μὴ καταλυθήσεται (Μρκ. ιγ'. 2). Οὕτως ἐκεῖνος τοῖς μὲν ὑπὲρ τοῦ Θεοῦ τῶν ὅλων ἀγωνιζομένοις ἀεὶ φίλοις ἐχρῆτο καὶ ὁμοψύχοις, τοὺς δὲ κατ' αὐτοῦ μαινομένους

καὶ πολεμεῖν ἔργοις ἐπιχειροῦντας, ἐσωφρόνιζέ τε καὶ τῆς πολλῆς ἀνέστελλεν ἀναιδείας, ὡς καὶ αὐτὸν μετὰ τοῦ προφήτου λέγειν· «ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν. Ἐξαριθμήσομαι αὐτοὺς καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται.» Καὶ τοὐναντίον αὖθις· «τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην· τέλειον μῖσος ἐμίσουν αὐτούς εἰς ἐχθροὺς ἐγένοντό μοι (ρλη'. 16, 21).»

53. Τριῶν οὖν ἤδη δεκαετηρίδων τὴν βασιλείαν τοῦ μεγάλου διαμετρουσῶν, καὶ τριῶν αὖ υἱέων ἐκ τῆς Ἑρκουλίου θυγατριδῆς ἐκείνῳ γενομένων, ἐν μὲν τῇ πρώτῃ δεκαετηρίδι τὸν πρῶτον εὐθὺς ἀνηγόρευσε βασιλέα, ὃν ἐξ ἑαυτοῦ καὶ Κωνσταντῖνον ὠνόμασεν· ἐν δὲ τῇ δευτέρᾳ τὸν δεύτερον, ὃν καὶ Κωνστάντιον προσηγόρευσεν ἐκ τοῦ πατρός· ἐν δὲ τῇ τρίτῃ τὸν τρίτον, ὃν ἐκ τοῦ πάππου Κώνσταντα κέκληκεν· οἷς καὶ κατὰ τὸ ἀνάλογον τὴν ὅλην μετρισάμενος διένειμε βασιλείαν. Ἄρτι δὲ περὶ τὴν Βιθυνίαν διατρίβοντι παρὰ τὴν τῆς μητρὸς Ἑλένης ἐπώνυμον πόλιν, νόσος ἐνσκήπτει θάνατον ἐπαγγελλομένη. Ὁ δὲ αἰσθόμενος ἑαυτοῦ πρὸς Θεὸν | ἤδη μετα- 526.
χωροῦντος, ἐν ἐσχάταις ὢν ἤδη τοῦ βίου πνοαῖς, περὶ ἀθανασίας ἐθεολόγει ψυχῆς, περὶ τῶν τοῖς δικαίοις ἀποκειμένων ἐν τῇ μελλούσῃ ζωῇ· ἔπειτα ηὐχαρίστει τῷ Θεῷ ὑπὲρ ὧν ἀπέλαυσεν ἀγαθῶν, ὑπέρ τε τῆς εὐσεβείας, ὑπέρ τε τῆς βασιλείας, ὑπέρ τε τοῦ θείου βαπτίσματος καὶ τῶν ἐκεῖθεν ἀθανάτων ἐλπίδων. Καὶ πολλὰ τοῖς παρεστῶσι διαλεχθεὶς περὶ τῆς εἰς Χριστὸν πίστεως καὶ ἀγάπης, καὶ ὥστε ταύτην αὐτῷ τηρεῖν βεβαίαν μέχρι θανάτου, καὶ μὴ ἀμνημονεῖν τῶν πολλῶν θαυμάτων, ὧν εἰς αὐτοὺς ἐνεδείξατο, καὶ ὅσων ἐξείλετο κινδύνων αὐτούς, ἀλλ' ἀεὶ διὰ μνήμης ἔχειν αὐτὰς ἀναγράπτους, καὶ ταῖς ἐφεξῆς παραπέμπειν γενεαῖς εἰς μαρτύριον· ἔτι τε πληροῦν τὰς αὐτοῦ ἁγίας ἐντολάς, καὶ βδελύττεσθαι τὴν εἰ-

δωλολατρείαν, καὶ πᾶσαν αἵρεσιν ἐναντίως ἔχουσαν τῇ καθολικῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ὁμονοεῖν τε ἀκριβῶς καὶ ὑποτάσσεσθαι τοῖς υἱέσιν, οὓς ἐκεῖνος μετὰ δοκιμασίας τῆς προσηκούσης κεχειροτόνηκε βασιλέας· καθόλου τε εἰπεῖν, ἀποβλέπειν ὡς πρὸς ἀρχέτυπον τὸν ἐκείνου βίον, καὶ ταύτῃ πειρᾶσθαι ρυθμίζειν ἑαυτούς, πρὸς τὴν ἀγήρω καὶ ἀθάνατον μεταβαίνει ζωὴν, Χριστῷ συνεῖναι, Χριστῷ συμβασιλεύειν ἀεὶ, Χριστὸν ἔχειν ἀντὶ πάντων, ὃν αὐτὸς ἐφίλησεν ἐξ ὅλης ψυχῆς καὶ ἰσχύος καὶ διανοίας, κατὰ τὴν αὐτοῦ θείαν φωνὴν (Μρκ. ιβ'. 33)· καὶ ὑφ' οὗ ἀντεφιλήθη τὰ μάλιστα· τοὺς δοξάζοντάς με γὰρ δοξάσω, φησὶν ἡ θεία φωνὴ, καὶ ὁ ἐξουθενῶν με ἀτιμασθήσεται (Α'. Βσ. β'. 23).

54. Ἀνελόμενοι δὲ τὸν ἐκείνου νεκρὸν ἐκ τῆς Βιθυνίας μετὰ χρυσηλάτου θήκης, ἥτε σύγκλητος ὅλη καὶ ὁ στρατὸς ἅπας, ἤγαγον εἰς τὴν ἐκείνου μεγάλην καὶ περιβόητον πόλιν, προηγουμένων μὲν ἐπισκόπων καὶ πρεσβυτέρων πολλῶν, ἑπομένων δὲ παντοίων ἐθνῶν, καὶ ὁμοῦ πάντων πικρῶς τὴν ἐκείνου στέρησιν ὀλοφυρομένων, κἀν τῷ ναῷ τῶν ἁγίων κατέθεντο Ἀποστόλων, ὃν αὐτὸς ἀπὸ κρηπίδων ἤγειρε, βασιλικῶς ὁμοῦ καὶ μεγαλοπρεπῶς. Μετὰ γὰρ τὴν τοῦ νεὼ τῆς Χριστοῦ Ἀναστάσεως οἰκοδομὴν, καὶ ἅμα Σοφίας τε καὶ Εἰρήνης καὶ Δυνάμεως τῶν αὐτοῦ ἐπωνύμων, ἀνήγειρε τοῖς ἱεροῖς τοῦ Χριστοῦ Ἀποστόλοις οἶκον περιφανῆ καὶ μέγιστον, ἐν ᾧ καὶ τὸν ἑαυτοῦ πηξάμενος τάφον, καὶ τοῖς δώδεκα ἀποστόλοις ἰσαρίθμους ἀνὰ ἓξ ἑκατέρωθεν ἵδρυσε τάφους. Ἐῶ δὲ λέγειν καὶ ἀριθμεῖν τῶν ἐκείνου κτισμάτων, ὁπόσα τε περίεισιν ἔτι φαινόμενα καὶ ὅσα ὁ πολύς τε ἐδαπάνησε χρόνος, καὶ ὀψιγόνων βασιλέων χεῖρες ἁμιλλησάμεναι πρὸς ἐκεῖνον, τὰ μὲν ἐκείνου κατήνεγκαν, τοῖς δὲ ἐκείνου προσέθηκαν θεμελίοις τὰ ἑαυτῶν· καθάπερ ἄρα καὶ Ἰουστινιανὸς ὕστερον ὁ μέγας ἐν βασιλεῦσι, τὸν τοιοῦτον ναὸν τῶν Ἀποστόλων κατενεγκὼν, μείζω τε καὶ ἐπιφανέστερον

ἤγειρε, τῇ βασιλίδι καὶ ἀλόχῳ Θεοδώρᾳ τὴν οἰκοδομὴν [χα- 526.
ρισάμενος. Κωνσταντίνου δὲ τοῦ μεγάλου ταφέντος ἐν τῷ κατ' αὐτὸν ἡρῴῳ, καὶ Κωνστάντιος ὁ τούτου υἱὸς καὶ διάδοχος τῆς αὐτοῦ βασιλείας καὶ τῆς ἐπωνύμου πόλεως κληρονόμος, καὶ Θεοδόσιος ὁ μέγας, ἔτι τε Μαρκιανὸς, καὶ Λέων οἱ μακάριοι βασιλεῖς, ἕτεροί τε οὐκ ὀλίγοι, ἐχόμενοι τούτου, τὰς ἑαυτῶν κατέθεντο θήκας, πιστεύοντες καὶ ἀπ' αὐτῆς τῆς ἐγγύτητος μείζονα τὴν δόξαν ἕξειν εἰς τὸ ἑξῆς, καὶ τὸ κλέος ἀθάνατον. Καὶ ἅμα δίκαιον ἦν, τοὺς τὴν αὐτὴν ὁδὸν τοῦ βίου προελομένους, καὶ διὰ πολλῶν κόπων τε καὶ μόχθων, ἀποστολικῶς εἰπεῖν, ὁδεύσαντας τῶν ὑπὲρ τῶν ἀρχομένων, κοινὴν ἔχειν καὶ τὴν ἐπ' αὐτοῦ τοῦ τόπου κατάθεσιν.

55. Ἀλλ', ὦ μέγιστε βασιλέων καὶ φιλανθρωπότατε, ὁ διαφερόντως τὸν Χριστὸν ἀγαπήσας, καὶ μηδὲν ἧττον ἀγαπηθεὶς ὑπ' αὐτοῦ, καὶ πᾶσι τοῖς μετὰ σὲ παράδειγμα γεγονὼς εἰς ἀρετὴν οὐκ εὐμίμητον· ὦ πρῶτε χριστιανῶν βασιλέων καὶ τῆς ἡμετέρας πόλεως οἰκιστὰ, καὶ δομῆτορ, πίστεως ἀρχηγὲ, ὀρθοδοξίας ποδηγὲ, στέφανε καυχήσεως, καλοῦ παντὸς ἐνδιαίτημα· ὦ τοῦ Δαυῒδ μὲν ἐσχηκὼς τὴν πραότητα, Παύλου δὲ τὸν τόνον τοῦ κηρύγματος, Πέτρου τὸν ζῆλον, Ἰωάννου τὴν θεολογίαν καὶ τῶν λοιπῶν ἀποστόλων τὴν ὀρθοδοξίαν, οἷς καὶ αὐτὸς συνηρίθμησαι· ὦ παντὸς ἀγαθοῦ θείου τε καὶ ἀνθρωπίνου κρατὴρ γενόμενος ἄντικρυς, ἀφ' οὗ ῥυέντες οἱ ποταμοὶ τῶν εὐεργεσιῶν τὴν οἰκουμένην ἐνέπλησαν καὶ τὰς αὔλακας τῆς γῆς, κατὰ τὸν προφητικὸν λόγον, ἐμέθυσαν (Ψαλ. ξδ'. 11)· τί ὅτι τοσοῦτον ἡμῶν ἐπελάθου, τῆς σῆς κληρονομίας, τῆς σῆς πόλεως, τῶν σῶν δούλων, τῶν ἀπὸ Χριστοῦ μὲν ὡς Θεοῦ καλουμένων, καὶ αὐτὸν εὐσεβῶς προσκυνούντων, τῇ δὲ σῇ βασιλείᾳ σεμνυνομένων, καὶ οὐκ ἐπιστρέφῃ πρὸς τὴν πτωχείαν ἡμῶν, οὐδὲ τὴν ταπείνωσιν, ὁ συμπαθὴς, ὁ φιλάνθρωπος, ἀλλὰ παρορᾷς ἡμᾶς κινδυνεύοντας; Ἡ γὰρ κληρονομία, ἣν κατέλι-

πες ἡμῖν ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης (Σρχ. μδ'.24), ἠρημώθη πᾶσα καὶ ἐνήλλακται, ἕως μηδὲ πίστιν τινὰ παρασχεῖν δύνασθαι, εἴ γε ὅλως ὑπὸ τῆς σῆς βασιλείας ἐτηρήθη ποτέ, καὶ χριστιανικοῖς ὑπεῖξε θεσμοῖς. Τινὲς δὲ καὶ χριστιανῶν μὲν ἔχοντες ὄνομα πλημμελές, τῇ δὲ καθ' ἡμῶν διαθέσει μηδὲν αὐτῶν διαφέροντες, ὥσπερ δοῦλοι πονηροὶ δεσπόταις νοσοῦσιν ἐπαναστάντες, τὰ ἡμέτερα ᾠκειώσαντο. Ἄλλοι ἄλλα μέρη γῆς ἀφῃρημένοι τε καὶ ἀποτεμόντες, καὶ τυραννικῶς κατάρχοντες, καὶ νῦν ἁπανταχοῦ γῆς, « ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς· ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ οὐ τῆς Ἱερουσαλὴμ κύκλῳ (Ψαλ. οη'. 2) » μόνον, ἀλλὰ καὶ πανταχόσε τῶν πόλεων, καὶ γέγονε τὸ πάλαι μέγα καὶ περιφανέστατον ὄνομα Ῥωμαίων, καὶ πολλῷ μᾶλλον ὑπὸ
527. σοῦ τε καὶ τῆς σῆς κλήσεως δοξασθέν τε | καὶ ὑψωθέν, εἰς κατάγελων τοῖς ἔθνεσι καὶ πολεμίοις, καὶ πανταχόθεν ἐλαυνόμεθα, διωκόμεθα, πολεμούμεθα, καὶ γίνεται καθ' ἡμῶν ἀεὶ προσθήκη τῆς ἐκείνων μανίας, ἡ πάλαι διὰ σοῦ γενομένη δόξα τῇ πόλει καὶ παντὶ τῷ ἔθνῃ. Ἡμεῖς δὲ οὕτω κακῶς διακείμεθα τὰ πρὸς τὸν Θεὸν καὶ τὰς αὐτοῦ ἁγίας ἐντολάς, ὡς μηδὲ δύνασθαι διᾶραι τὸ στόμα, καὶ τοῦτον εἰς ἐπικουρίαν ἐπικαλέσασθαι· οὕτως ἐσμὲν κατῃσχυμμένοι καὶ ἡττημένοι καὶ ὑπὸ τοῦ συνειδότος τοῦ πικροῦ καὶ ἀπαραιτήτου δικαστοῦ κατακρινόμενοι.

56. Ἀλλ' ἵλασαι Θεὸν ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν τε καὶ ἀναξίων, τὸν ἀγαθὸν καὶ φιλάνθρωπον, ὁ νῦν ἀμέσως αὐτῷ συνών, καὶ τῆς αὐτοῦ δόξης ἀπολαύων τρανότερον καὶ συμβασιλεύων αὐτῷ κατὰ τὴν ὑπόσχεσιν. Εἰ γὰρ καὶ δοῦλοι ἀγνώμονες ἐσμέν, καὶ τὰ προστάγματα τοῦ Δεσπότου ἠθετηκότες, ἀλλ' οὐκ οἴδαμεν προσκυνεῖν Θεῷ ἀλλοτρίῳ, οὐδὲ τὴν παρακαταθήκην τῆς ὀρθοδόξου πίστεως ἐκιβδηλεύσαμεν, ἣν διὰ σοῦ

τε καὶ τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων ἐδεξάμεθα καὶ κατέχομεν. Προβαλοῦ τοίνυν τὰ δίκαια πάντα δι' ἅπερ ἀνάγκην ἔχεις ἡμῶν κήδεσθαι· καὶ γὰρ ὑπάρχεις ἡμῶν βασιλεὺς, οἰκιστὴς, λαὸς ἡμεῖς σὸς, οἰκέται σοὶ, κλῆρος σός. Ἡ Ἐκκλησία τὸ πάλαι διὰ σοῦ τὴν ἐλευθερίαν εὕρατο ἀπὸ τῶν διωγμῶν, ὁ τῆς ἀληθείας λόγος ὠρθοτόμηται διὰ σοῦ· σὺ τὸ ὑστέρημα τῶν ἁγίων ἀποστόλων (Κολ. κδ'.) ἐπὶ τῆς γῆς ἀνεπλήρωσας, σὺ πιστὸς βασιλεὺς καὶ βασιλέων ὀρθοδόξων ἐγένου πατήρ. Τὴν γὰρ ἁλουργίδα πρῶτος καθυπέταξας τῷ παμβασιλεῖ τῶν ὅλων Χριστῷ τῷ Θεῷ ἡμῶν. Σὺ τῆς ἡμετέρας πόλεως γεγονὼς οἰκιστὴς, τὴν σὴν ἀπεχαρίσω κλῆσιν ταύτῃ μνημόσυνον ταῖς ἐφεξῆς γενεαῖς, τῆς φιλανθρώπου γνώμης, καὶ βασιλικῆς τῷόντι καὶ μεγαλοδώρου χειρὸς καὶ δυνάμεως. Σὺ καὶ τῆς εἰς τὸ μέλλον ἀσφαλείας αὐτῆς προὐνοήθης, καὶ φέρων ἀνέθηκας ταύτην τῇ παναμώμῳ καὶ ἀειπαρθένῳ Μητρὶ τοῦ Θεοῦ Λόγου, τῇ Θεοτόκῳ Μαρίᾳ, ἣ καὶ διὰ τὸ πρὸς σὲ φίλτρον καὶ τὸ εἰς ἡμᾶς ἔλεος, ἀπὸ κινδύνων ἀναριθμήτων ἐξαιρεῖται τὴν πόλιν σου, καὶ μυρίαις καταπλουτίζει δωρεαῖς. Σὺ οὖν ὁ πρῶτος χριστιανῶν βασιλεὺς, ὁ ἅγιος, ὁ ἰσαπόστολος ὁ ἡμέτερος δεσπότης, καὶ κτήτωρ καὶ κηδεμὼν, καὶ πᾶν ὅ,τι ἂν εἴποι τις, σεβάσμιον καὶ πρᾶγμα καὶ ὄνομα, μὴ ἐγκαταλίπῃς ἡμᾶς τὰ ἔσχατα παθεῖν τῶν κακῶν.

57. Ταῦτα καὶ πλείονα τούτων ἱκανὰ πρὸς τὸ πεῖσαι τὴν ὑπὲρ ἡμῶν ἱκετείαν πρὸς τὸν Θεὸν ἀναδέξασθαι. Ἔχεις εἰς ταῦτα συνεργόν τε καὶ βοηθὸν τὴν ἀειπάρθενον Μητέρα τοῦ Θεοῦ Λόγου, τὴν Θεοτόκον Μαρίαν, ᾗ τὴν σὴν ἐπίστευσας παρακαταθήκην, καὶ ἣν κατέλιπες φύλακα καὶ φρουρὸν ἡμετέραν· οὐδὲν ἀδύνατον ἔσται σοι μετὰ ταύτης, Χριστῷ προσιόντι καὶ δεομένῳ. Καὶ εἰ πάσης ἐπισκοπῆς παρ' αὐτοῦ καὶ προνοίας ἀναξίους κατεστήσαμεν ἑαυτοὺς διὰ τὰς ἁμαρτίας ἡμῶν,
| καὶ οὐκ ἔχομεν παῤῥησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα 527.

πρὸς Θεὸν ἀνοῖξαι τὸ στόμα, καὶ τοῦτον ὑπὲρ ἀπαλλαγῆς τῶν ἐνεστώτων ἱκετεῦσαι κακῶν· ἀλλ' ἐσμὲν κατῃσχυμμένοι, καὶ αὐτοκατάκριτοι διὰ τὰς κοινὰς καὶ ἰδίας ἡμῶν ἁμαρτίας, αἳ τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν εἰς τοσοῦτον παρώργισαν.

58. Ὡς οὖν, ἐν ἐσχάτοις ὄντες κινδύνοις, δυσωποῦμεν, καὶ παρακαλοῦμεν σὲ, τὸν ἅγιον δεσπότην καὶ βασιλέα, καὶ τὴν σὴν ἁγίαν μητέρα, δεηθῆναι τοῦ κοινοῦ πάντων Δεσπότου ὑπὲρ ἡμῶν τῶν ταπεινῶν καὶ ἁμαρτωλῶν, ὥστε ἐλεῆσαι ἡμᾶς. Οὐ δὲ γὰρ περὶ τοῦ τυχόντος ἐστὶ νῦν ὁ κίνδυνος, οὐδὲ περὶ πόλεων καὶ χωρῶν ῥωμαϊκῶν, ἃς πρότερον ἔχοντες, ὕστερον ἀφῃρέθημεν ὡς ἀνάξιοι, ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ χριστιανισμοῦ, ὑπὲρ τῆς εὐσεβείας αὐτῆς. Διὸ συμπαραλαβόντες [ὑ]μεῖς οἱ πανεύφημοι, καὶ ἅγιοι βασιλεῖς Κωνσταντῖνος καὶ Ἑλένη, καὶ τὴν ἀειπάρθενον Μητέρα τοῦ Θεοῦ Λόγου, τὴν Θεοτόκον Μαρίαν, τὴν τῶν οὐρανῶν ὑψηλοτέραν καὶ τῶν ἐπὶ γῆς ἐνδοξοτέραν, καὶ πάσης κτίσεως τιμιωτέραν, δεήθητε τοῦ Θεοῦ, ὑπὲρ τῆς σωτηρίας ἡμῶν, ὅπως ποιήσῃ εἰς ἡμᾶς ἔλεος διὰ τὸ πανάγιον αὐτοῦ ὄνομα, ἵνα μὴ εἴπωσι τὰ ἔθνη· ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν ('Ιωὴλ β'. 13)· ἵνα μὴ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ βλασφημῆται ἐν τοῖς ἔθνεσιν· ἵνα μὴ ῥομφαία σκανδάλου διέρχηται τὰς τῶν πιστευόντων ψυχάς. Ἀναμνήσατε αὐτὸν τῶν ἀπ' αἰῶνος γεγενημένων αὐτῷ θαυμασίων, ὧν εἰς ἡμᾶς ἐπεδείξατο, τῆς ἀγάπης αὐτοῦ τῆς εἰς τὸ ἡμέτερον γένος, ὅσων καὶ οἵων κινδύνων ἡμᾶς ἠλευθέρωσε, καὶ μέχρι τοῦ νῦν ᾄδοντες, ἀνυμνοῦμεν, καὶ δοξολογοῦμεν αὐτόν τε καὶ τὴν ἀῤῥήτως καὶ ὑπὲρ λόγον αὐτὸν γεννήσασαν, Θεοτόκον Μαρίαν, ἐφ' ᾗ μόνῃ θαῤῥοῦντες, τὰς χεῖρας αἴρομεν πρὸς αὐτὸν, καὶ ἐπικαλούμεθα τὸ πανάγιον αὐτοῦ ὄνομα εἰς βοήθειαν· οἴδαμεν γὰρ ὅτι ἁμαρτωλοὺς μετανοοῦντας οὐκ ἀποστρέφεται (Πρλ. λ'. 9), ἀλλὰ βούλεται μᾶλλον αὐτοὺς ἐπιμένειν τῇ παρακλήσει, ὡς ἡ χήρα ἐκείνη, καὶ κρούειν ἐπιμόνως ὡς ὁ φίλος ἐκεῖνος, ὁ προσιὼν

ἀωρὶ τῆς νυκτὸς, καὶ βρέχειν τοὺς αὐτοῦ πόδας τοῖς δάκρυσιν, ὡς ἡ πόρνη, καὶ τύπτειν ἐν ταπεινώσει τὸ στῆθος, ὡς ὁ τελώνης, καὶ ἐξομολογεῖσθαι τὰς ἁμαρτίας, ὡς ὁ Δαυΐδ τε καὶ Μανασσῆς, καὶ μετανοεῖν, ὡς ὁ Πέτρος, καὶ ἀποστρέφειν ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς, ὡς οἱ Νινευῖται.

59. Ἂν οὕτω τὴν ὑπὲρ ἡμῶν ἀναδέξῃ πρεσβείαν, ἅγιε βασιλεῦ καὶ ἰσαπόστολε Κωνσταντῖνε, ἕξεις καὶ τὰ πλήθη τῶν ἁγίων ἀγγέλων συνεφαπτόμενά σοι τὴν παράκλησιν, τοὺς ἱεροὺς ἀποστόλους, οἷς αὐτὸς συνηρίθμησαι, τοὺς ἀπ' αἰῶνος ἁγίους, δικαίους, προφήτας, ἱεράρχας, μάρτυρας, ὁσίους, ὧν ἁπάντων μνημεῖα τῆς ἀγάπης ἐγκατέθου τῇ ἐπωνύμῳ σου ταύτῃ πόλει, καὶ ταῖς εὐχαῖς ἐκείνων ταύτην ὠχύρωσας· ἵν' οὕτω δυσωπηθεὶς τὰς ὑμῶν ἱκεσίας ὁ φιλάνθρωπος Κύριος, ὁ πρὸς τὸ κολάζειν μὲν ἀνάγκῃ κινούμενος, πρὸς δὲ τὸ εὐεργετεῖν ἀεὶ φυσικῶς ἔχων, ὡς ἂν
εἴποι τις, εἰ μὴ | καὶ τοῦτο μεγίστης ἂν εἴη φιλανθρωπίας 528.
παιδεύειν τοὺς ἁμαρτάνοντας, διανοίξῃ τὰ τῆς χρηστότητος σπλάγχνα, καὶ τοῦ ἐλέους αὐτοῦ πληρώσῃ ἡμᾶς, καὶ τὰ τῆς ἀγαθότητος, ὥσπερ εἴωθε πάλιν εἰς ἡμᾶς ἐπιδείξηται. Ἐλευθερίαν τε ἡμῖν δῴη τῶν κατεχόντων ἀνιαρῶν, καὶ τῇ Ἐκκλησίᾳ, ἣν περιεποιήσατο τῷ τιμίῳ αὐτοῦ αἵματι, βαθεῖαν καὶ ἀναφαίρετον χαρίσηται εἰρήνην, καὶ ἀξιῶσαι ἡμᾶς διαφυλάξαι μέχρι τέλους τὴν ὀρθόδοξον πίστιν, καὶ δι' ἔργων ἀγαθῶν δοξάσαι αὐτὸν ἐπὶ τῆς γῆς· ὡσὰν διὰ πίστεως ὀρθοδόξου, καὶ πολιτείας εἰλικρινοῦς, τέλειοι γενόμενοι, ἀκατάκριτοι σταίημεν τῷ φοβερῷ αὐτοῦ βήματι, εὐχαῖς καὶ ἱκεσίαις ὑμῶν τῶν ἁγίων θεοστέπτων μεγάλων βασιλέων καὶ ἰσαποστόλων, Κωνσταντίνου καὶ Ἑλένης, καὶ πάντων τῶν ἀπ' αἰῶνος ἁγίων. Ἀμήν!

(*) ΒΙΟΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΥΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ.

1. Κωνστάντιος τὴν ῥωμαϊκὴν ἀρχὴν, ἢ τὰ τῆς Ἀνατολῆς ἐχειρίζετο σκῆπτρα, προδοσίᾳ τοῦ τῆς αἱρέσεως πρεσβυτέρου καὶ συνδρομῇ τῶν εὐνούχων ὑποτρέχει, καὶ οἱ ἐξ Ἀρείου διωγμὸν κατὰ τῶν εὐσεβούντων πάλιν κινοῦσι, καὶ Ἀθανάσιον αὖθις δέχεται ἡ Ἑσπερία. Ὁ δὲ θεῖος Ἀλέξανδρος ἐν τῷ τοῦ
70. βίου πλησιάσας τέλει, | οὐδένα μὲν τῆς Κωνσταντινουπόλεως διάδοχον αὐτοῦ χειροτονεῖ, λογάδας δὲ τῶν ἄλλων δύο ποιεῖται, γνώμην τοιαύτην ὡς αἵρεσιν τῷ πλήθει διδοὺς, « ὡς, εἰ μὲν βούλοιντο διδάσκαλόν τε ἅμα καὶ ταῖς ἀρεταῖς ἀστράπτοντα, Παῦλον αἱρήσονται, ὃν αὐτὸς ἐχειροτόνησε πρεσβύτερον· εἰ δ' ἐν τῷ σχήματι σεμνὸν καὶ κόσμιον τῇ ἔξωθεν περιβολῇ, Μακεδόνιον, πάλαι χειροτονηθέντα διάκονον καὶ πρὸς γῆρας ἀποκλίναντα. » Ταῦτα εἰσηγησάμενος, εἰς τὴν ἀμείνω λῆξιν μεταβαίνει, ἀρχιερατεύσας μὲν τρία καὶ εἴκοσι ἔτη, βιοὺς δὲ τὸν πάντα βίον ὀκτὼ καὶ ἐνενήκοντα. Γίνεται δὲ φιλονεικία περὶ τὴν αἵρεσιν τῶν προειρημένων ἀνδρῶν· οἱ μὲν γὰρ ἐξ Ἀρείου πρὸς Μακεδόνιον ἔβλεπον, τὸ δὲ ὀρθόδοξον τὸν Παῦλον προὐτίθεσαν. Κρατεῖ δ' οὖν ἡ τῶν ὀρθοδόξων ψῆφος, καὶ χειροτονεῖται ὁ Παῦλος ἐπίσκοπος ἐν τῇ τῆς ἁγίας Εἰρήνης ἐπωνύμῳ ἐκκλησίᾳ, ἣν ὁ χρόνος, ἀντιδιαστέλλων τῆς νέας, ἔδωκε καλεῖσθαι παλαιάν. Κωνστάντιος δὲ οὐ μετ' οὐ πολὺ ἐκ τῆς Ἀντιοχέων πό-

(*) Μαρκ. κῶδιξ CCCXLIX, φύλλ. 70. αἰῶν. XII. Zan.

λεως ἐν τῇ Κωνσταντίνου γεγονὼς, δι' ὀργῆς εἶχε τὸν χειροτονηθέντα, ὅτι μὴ σὺν γνώμῃ τῇ αὐτοῦ προῆλθεν ἡ χειροτονία· καὶ ἀρειανῶν καθίσας συνέδριον, τὸν μὲν Παῦλον σχολάζειν κατεψηφίσατο, Εὐσέβιον δὲ, τρίτον θρόνον ἀμείβοντα, ἐκ Νικομηδείας τῆς βασιλίδος ἐπίσκοπον ἀναδείκνυσιν. Ἀλλ' ὁ μὲν, δυσσεβῶς ταῦτα πράξας, ὑποστρέφει πρὸς Ἀντιόχειαν, Εὐσέβιος δὲ πάντα λίθον ἐκίνει, ὡς ἂν περιέλοι τοῦ ἱεροῦ συμβόλου τὸ ὁμοούσιον.

2. Ἄγεται δὴ τὰ ἐγκαίνια τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας, ἣν Κωνσταντῖνος μὲν ὁ εὐσεβὴς ἐκ βάθρων ἤγειρεν, ὁ δὲ Κωνστάντιος καθιερωθῆναι γνώμην ἔθετο, καὶ τῇ τῶν ἐγκαινίων προφάσει, ἐπίσκοποι συλλέγονται ἐνενήκοντα. Μάξιμος δὲ ὁ τῶν Ἱεροσολύμων ἔφορος, ἀνὴρ εὐσεβὴς, οὐ παρῆν, ἀλλ' οὐδὲ Ῥώμης Ἰούλιος, οὔτ' αὐτοπρόσωπος, οὔτε διά | τινος τῶν 71.
ὑποτελῶν. Συγκροτεῖται μὲν ἡ σύνοδος, παρόντος καὶ Κωνσταντίου· οἱ δὲ περὶ Εὐσέβιον σπουδὴν ἄγουσι πρὸ τῶν ἄλλων ἀποσκευάσασθαι Ἀθανάσιον. Ἐπάγουσιν οὖν πρώτην αὐτῷ αἰτίαν τὸ παρὰ κανόνα πρᾶξαι, κανόνα λέγοντες, ὃν αὐτοὶ τηνικαῦτα ἐξέθεσαν. «Ἐπανελθὼν γὰρ, ἔφασκον, τῆς ὑπερορίας οὐχὶ τῇ τοῦ κοινοῦ γνώμῃ, ἀλλ' αὐτὸς ἑαυτῷ τὴν ἀρχιερωσύνην ἐπέτρεψε·» δευτέραν, ὅτι κατὰ τὴν εἴσοδον αὐτῷ στάσεως συῤῥαγείσης, πολλοὶ ἀπέθανον· καὶ τρίτην, τὰ ἐν Τύρῳ πεπραγμένα· ἐξ ὧν, καὶ καταψηφισάμενοι τοῦ τῆς εὐσεβείας ἀθλητοῦ, Γρηγόριον ἀντικαθιστῶσι τὸν ὁμόφρονα. Καὶ τολμήσαντες ταῦτα, ἐπιτολμῶσι καὶ τὸν μεταπλασμὸν τῆς πίστεως, οὐδὲν μὲν κατὰ φωνὴν τῶν ἐν Νικαίᾳ μεμψάμενοι, τῷ δ' ὑφάλῳ καὶ κακομηχάνῳ τῆς διανοίας, σπέρματα προκαταλαβόντες πρὸς τὴν τοῦ ὁμοουσίου καθαίρεσιν. Καὶ ἡ μὲν κατὰ Ἀντιόχειαν σύνοδος, ταῦτα καὶ τοιαῦθ' ἕτερα τολμήσασα, καί τινα κανονίσασα, διαλέλυται. Εὐσέβιος δὲ πρὸς τὸν Ῥώμης Ἰούλιον διαπρεσβεύεται, τὴν κατὰ Ἀθανασίου ψῆφον κυρωθῆναι

τεχναζόμενος, ἀλλ' οὐδὲν ὧν ἤλπιζεν ἤνυσε. Παῦλος δ' ὁ ἀρχιερεὺς τὴν Ῥώμην καταλαβών, καὶ ἕτεροι δὲ οὐκ ὀλίγοι ἐπίσκοποι κατὰ συσκευὴν ἐκδιωχθέντες Εὐσεβίου, ἀλλὰ καὶ Ἀθάνασιος, ὁμοῦ διῆγον ἐν τῇ Ῥώμῃ. Ὁ δ' ἱερὸς Ἰούλιος, συκοφαντίαν εἶναι μαθὼν τὰ κατὰ τῶν ἀρχιερέων πεπραγμένα, γράμμασιν αὐτοὺς ὀχυρώσας, ἐπὶ τὴν Ἀνατολὴν ἀποστέλλει, τόν τε οἰκεῖον ἑκάστῳ θρόνον ἀποδιδούς, καὶ σὺν δίκῃ αἰτιώμενος τοὺς καθελόντας. Καὶ τὰς μὲν οἰκείας ἐκκλησίας ἀναλαμβάνουσιν, ἀλλὰ καὶ τὰς ἐπιστολάς, οἷς ἐγράφησαν, διαπέμπονται. Καὶ Εὐσεβίου μὲν ἀποφθαρέντος, Παῦλος εἰς τὸν οἰκεῖον θρόνον ἀποκαθίσταται. Οἱ δ' ἀρειανίζοντες ἐν τῇ νῦν
71. λεγομένῃ ἐπὶ Παῦλον ἐκκλησίᾳ, χειροτονοῦσι τὸν | Μακεδόνιον, ὃς τὸν Υἱὸν μὲν τῷ Πατρὶ ἀνόμοιον ἐβλασφήμει, παραγραφόμενος τὸ ὁμοούσιον, τὸ δὲ πανάγιον Πνεῦμα παντελῶς ἀλλότριον τῆς Θεότητος.

3. Ἀθανασίου δὲ τὴν ἰδίαν ἀναλαβόντος ἐκκλησίαν, οἱ ἐν Ἀντιοχείᾳ πάλιν συνεδρεύοντες, (καὶ γὰρ συνίεσαν ἀντεγκαλεῖν ἐπιχειροῦντες Ἰουλίῳ τῷ Ῥώμης), τὸν δυσσεβῆ Γρηγόριον διὰ τάχους, ὃν αὐτοὶ παρανόμως ἐχειροτόνησαν, εἰς τὴν Ἀντιόχου ἀποστέλλουσι, καὶ κατῆγεν αὐτὸν ὁ τῆς Ἀλεξανδρείας στρατηγός, ἑπτακισχιλίους στρατὸν ἐπαγόμενος· ὃ μαθὼν Ἀθανάσιος, εἰς τὴν Ῥώμην πάλιν ἀπέπλευσεν. Ὁ δὲ τῶν Ἀλεξανδρέων λαός, οὐκ ἐνεγκὼν τὸ ἔκθεσμον, τὴν καλουμένην Διονυσίου ἐκκλησίαν, οὐκ ὀρθῶς ποιοῦντες (τί γάρ; εἰ μεμήνασιν ἄνθρωποι κατὰ τοῦ μηδὲν ἠδικηκότος δεῖ τὴν ἄμυναν φέρειν), ἐνέπρησαν. Μανθάνει δὲ ὁ Κωνστάντιος ἐν Ἀντιοχείᾳ διάγων, ὡς Παῦλος ὁ τῆς ἀληθείας κήρυξ εἰς τὸν ἴδιον ἀποκατέστη θρόνον, καὶ Ἑρμογένει τῷ στρατηλάτῃ ἐντέλλεται ἐπὶ τὰ τῆς Θρᾴκης ἐκπεμπομένῳ μέρη, ἐξωθῆσαι τὸν ὅσιον τῆς ἐκκλησίας. Καὶ ὁ μὲν τὴν Κωνσταντίνου φθάσας πόλιν ἐσπούδαζεν, ᾗ προσετέτακτο, πράττειν τὸ ἔκθεσμον, τὸ δὲ πλῆθος οὐκ ἠνείχετο·

ἀλλὰ τὴν οἰκίαν αὐτοῦ κατακαίουσι, καὶ αὐτὸν σύροντες, διαφθείρουσι. Μαθὼν δὲ τοῦτο Κωνστάντιος, αὐτὸς καταλαμβάνει τὴν πόλιν, καὶ τὸν μὲν ὅσιον Παῦλον ταύτης ἀπελαύνει, ζημιοῖ δὲ καὶ τὴν πόλιν τὸ σιτηρέσιον (ἀφελὼν αὐτῆς τὸ ἥμισυ τῆς δωρεᾶς, ἣν ὁ φιλάνθρωπος Κωνσταντῖνος αὐτῇ ἐδωρήσατο· ἦν δὲ τὸ ὅλον τῆς δωρεᾶς ἡμερήσιοι ἄρτοι μυριάδες ὀκτώ)· ὠργίζετο δὲ καὶ κατὰ Μακεδονίου, οὐ μόνον ὅτι παρὰ γνώμην αὐτοῦ κεχειροτόνητο, ἀλλὰ καὶ διὰ τοὺς φόνους, ὧν αὐτὸς στασιάζων γέγονεν αἴτιος. Ὅμως οὖν ἐάσας ἐν ᾗ ἐκκλησίᾳ τὴν χειροτονίαν ὑπέδυ, εἰς τὴν Ἀντιόχου ἐξώρμησεν.

4. Ὁ μέν τοι θεοπέσιος Παῦλος πάλιν τὸ δεύτερον καταλαμβάνει τὴν Ῥώμην, καὶ | Ἀθανασίῳ συνῆν. Ἀναφέρει γοῦν, ἃ 72.
πεπόνθει τῷ Ῥώμης· καὶ αὖθις τοῖς παρ' αὐτοῦ, ἔτι δὲ καὶ τοῖς Κώνσταντος τοῦ βασιλέως κατοχυρωθεὶς γράμμασι, παραυτίκα τε ἐπάνεισι, καὶ τῷ οἰκείῳ θρόνῳ, μετὰ πολλῆς αὐτὸν θυμηδίας τῆς πόλεως ὑποδεξαμένης, ἐγκαθίδρυται. Καὶ πάλιν ὁ Κωνστάντιος δι' ὀργῆς ἐτίθετο τὸ γινόμενον, καὶ πάλιν πρόσταγμα, εἰς ὑπερορίαν ἄγον τὸν ἀοίδιμον. Καὶ γὰρ τοῦτο δεξάμενος ὁ ὕπαρχος Φίλιππος, ἐξορίζει μὲν τὸν ὅσιον, ἀντικαθίστησι δὲ τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ τὸν πνευματομάχον Μακεδόνιον, τὸ δὲ τῆς ὑπερορίας οὐκ ἐκ τοῦ ἐμφανοῦς, ἀλλ' ἐξ ἐνέδρας προῆλθεν· ὁ γὰρ τοῦ Ἑρμογένους φθόρος σοφώτερον κακουργῆσαι τὸν Φίλιππον ἀπειργάσατο. Καὶ καλεῖ μὲν σὺν τιμῇ τὸν τοῦ Θεοῦ ἀρχιερέα εἰς τὸ λουτρὸν, ᾧ ἐπώνυμον ὁ Ζεύξιππος, ὡς ἐπὶ κοινωφελέσι δῆθεν καὶ μυστικοῖς βουλήμασι, κἀκεῖθεν εἰς τὰς βασιλείους ἐκπέμπει αὐλὰς, καὶ δι' αὐτῶν ἐν τῇ Θεσσαλονίκῃ, ἣν καὶ οἱ αὐτοῦ πρόγονοι πατρίδα εἶχον· καὶ τοῖς μὲν τῆς Ἀνατολῆς ἐπιβαίνειν μέρεσιν ἐκεκώλυτο, ταῖς δὲ πλησιαζούσαις πόλεσιν οὐκ ἔτι.

5. Καὶ ὁ δυσσεβὴς Μακεδόνιος, στρατιωτικῆς χειρὸς ὑπηρετούσης, συνεποχούμενος τῷ ὑπάρχῳ, εἰς τὴν τοῦ Θεοῦ ἐκκλη-

σίαν παρεισδύεται, καὶ φόνος γίνεται πολύς, τῆς διαφθορᾶς εἰς πεντήκοντα καὶ τρισχιλίους παραταθείσης. Ταύτης τῆς παροινίας καὶ Μαρκιανὸς συναπέλαυσε καὶ Μαρτύριος ἀναγνῶσται, παῤῥησίᾳ καὶ αὐτοὶ τὸ ὁμοούσιον συνανακηρύττοντες, καὶ ταῖς τῶν χριστιανῶν σφαγαῖς ὁ τρισαλιτήριος ἐνθρονίζεται, καθ' ὃν δὴ καιρὸν καὶ Κωνστάντιος τὴν μεγάλην Ἐκκλησίαν (ἐπώνυμον δ' αὐτῇ ἡ τοῦ Θεοῦ Σοφία) νεουργεῖ· καὶ Παῦλος τὸ τρίτον ὁ θεσπέσιος μετ' ὀλίγον εἰς τὴν Ἰταλίαν παραγίνεται. Καὶ Ἀθανάσιον τὸν σύναθλον λαβών, ἀναδιδάσκουσιν, ἃ πεπόνθεσαν, Κώνσταντα, τὸν τῆς Ἑσπέρας βασιλεύοντα. Ὁ δέ, τὰ ἔκθεσμα, | ὧν ὑπέστησαν ἀκριβέστερον ἐκμαθών, γράφει τἀδελφῷ «τρεῖς παρ' αὐτῶν ἀπὸ τῆς Ἀνατολῆς ἐπισκόπους, οἳ λόγον δώσουσι τῶν περὶ Ἀθανάσιον καὶ Παῦλον τολμημάτων καὶ τὴν τῆς πίστεως ἔγγραφον ἔκθεσιν παραγενέσθαι.» Ἐκπέμπονται δὴ τέσσαρες, Νάρκισσος ὁ Κίλιξ, Θεόδωρος ὁ Θρᾷξ, Μάρης ὁ Χαλκηδόνιος, καὶ Μάρκος ὁ Σύρος. Οὗτοι τοῖς περὶ Ἀθανάσιον καὶ Παῦλον εἰς λόγους ἐλθεῖν οὐκ ἐθάῤῥησαν, τὴν δ' ὑπ' αὐτῶν ἐν τῇ Ἀντιόχου ἐκτεθεῖσαν πίστιν ἀποκρύψαντες, ἑτέραν δὲ συνθέντες, τὸ μὲν ἐμφανὲς τῆς βλασφημίας φεύγουσαν, τὸ δὲ ὁμοούσιον οὐ πρεσβεύουσαν, ἐπιδιδόασι τῷ βασιλεῖ, καὶ πλέον οὐδὲν οὔτε δράσαντες, οὔτε παθόντες, ἀνεχώρησαν.

72.

6. Τριετίας δὲ διαδραμούσης, πάλιν οἱ τῆς Ἀνατολῆς συναθροίζονται, καὶ πίστιν ἄλλην συντάττουσι, καὶ τοῖς ἐν Ἰταλίᾳ ἐκπέμπουσι. Διάκονοι δ' ἦσαν τοῦ συντάγματος Εὐδόξιος, ὁ τηνικαῦτα Γερμανικείας ἐπίσκοπος, καὶ Μαρτύριος, ὅ τε Μοψουεστίας Μακεδόνιος. Ἡ δὲ τῆς πίστεως αὐτῶν ἔκθεσις ἡ αὐτὴ μὲν ἦν τὰ ἄλλα τῇ προεκτεθείσῃ, προσθήκαις δέ τισι ταῖς κατὰ τὸ τέλος ἀλλοκότοις εἰς τὸ μακρότερον ἐξετείνετο. Ὁ δὲ κατὰ τὴν Ῥώμην τῶν ἀρχιερέων σύλλογος ταύτην οὐ προσεδέξαντο, ἀρκεῖσθαι φάμενοι τῷ συμβόλῳ τῆς πίστεως, ὃ ἡ ἐν Νικαίᾳ ὑπηγόρευσε σύνοδος. Οὕτω δὲ πάντα ταραχῆς κα-

τεχούσης καὶ ἀδιακρίτου ἔριδος, κηρύσσεται σύνοδος οἰκουμενικὴ γνώμῃ τῶν δύο βασιλέων, μετὰ ἑνδέκατον ἔτος τῆς τοῦ εὐσεβεστάτου Κωνσταντίνου τελευτῆς.

7. Συνῆλθον οὖν ἐν Σαρδικῇ, ἐκ μὲν Ἑσπέρας ὑπὲρ τοὺς τριακοσίους ἐπισκόπους, ἐκ δὲ τῆς Ἀνατολῆς ἓξ μόνοι καὶ ἑβδομήκοντα. Καὶ οἱ τῆς Ἑῴας τοῖς ἐκ Δύσεως εἰς ὁμιλίαν συνελθεῖν οὐκ ἐπένευον· καὶ τὸ αἴτιον, ὅτι Παῦλος αὐτοῖς καὶ Ἀθανάσιος οἱ τῆς εὐσεβείας ἀθληταὶ συνεδρίαζον. Ὡς δ' οὔτε οἱ τῆς εὐσεβείας τοὺς περὶ Ἀθανάσιον ἀπεσκευάζοντο, οὔτε οἱ τῆς αἱρέσεως τῆς πρὸς τοὺς ἀθλητὰς ἔχθρας ὑπέληγον, | διασχίζονται ἀπ' ἀλλήλων, καὶ τὴν ἐν Μακεδονίᾳ Φιλίππου οἱ ἐξ Ἀνατολῆς καταλαβόντες, συναθροίζονται, καὶ τηνικαῦτα εἰς τὸ ἐμφανὲς ἀναθεματίζουσι τὸ ὁμοούσιον. Οἱ δὲ ἐν Σαρδικῇ τούτους μὲν ἐρήμῃ δίκῃ καταδικάζουσι, τοὺς δὲ κατηγόρους Ἀθανασίου, ὡς συκοφάντας καθελόντες, τήν τε ἐν Νικαίᾳ κυρωθεῖσαν πίστιν ἐπικρατύνουσι, καὶ τὸ ἀνόμοιον ἀναθεματίζουσιν. Ὧν τὴν γνῶσιν ὁ τῶν Ἑσπερίων βασιλεὺς Κώνστας λαβών, ἀναδιδάσκει τε διὰ γραμμάτων τὸν ἀδελφὸν Κωνστάντιον, καὶ παραινεῖ εὐμενῶς διακεῖσθαι πρὸς Παῦλον καὶ Ἀθανάσιον, καὶ μηδαμῶς αὐτοῖς ἐμποδὼν ἵστασθαι πρὸς τὴν τῶν οἰκείων ἀποκατάστασιν θρόνων, προστιθείς, «ὡσεὶ μὴ ἑκὼν τοῖς δικαίοις κατανεύσοι, αὐτὸς δὴ παραγεγονὼς καὶ ἄκοντος τὸ δίκαιον τοῖς ἠδικημένοις ἀποδοίη.» Δείσας οὖν τὴν τοῦ ἀδελφοῦ ἀπειλὴν ὁ Κωνστάντιος, τὸν μὲν ὅσιον Παῦλον τῇ ἰδίᾳ ἐπισκοπῇ οὐκ ἐπέσχεν ἐνιδρύεσθαι, τὸν δὲ σύναθλον Ἀθανάσιον διαφόροις ἐπιστολαῖς καλεῖ | παρ' αὐτόν, καὶ εὐμενῶς ἐλθόντα προσδέχεται, καὶ τῷ 73.
οἰκείῳ θρόνῳ ἀποκαθίστησιν. Οὕτω μὲν ὁ πολὺς τάραχος ἐγαληνία, καὶ ἡ Ἐκκλησία τοὺς τῆς εὐσεβείας ἔχαιρεν ἔχουσα προμάχους.

8. Μαγνεντίου δὲ τυραννίδι ἐπιθεμένου, καὶ Κώνσταντα τὸν τῆς Ἑσπέρας βασιλεύοντα ἀνελόντος, πάλιν ἡ τῆς Ἀρείου λύσ-

σης καταιγὶς τὰς τῆς οἰκουμένης ἐκκλησίας ἐτάραττε. Καὶ φεύγει μὲν πάλιν Ἀθανάσιος, ἁρπάζει δὲ τὸν αὐτοῦ θρόνον Γρηγόριος, καὶ ὑπερορίζεται Παῦλος ἐν Κουκουσῷ τῆς Ἀρμενίας, ὁ τῆς εὐσεβείας ὑπέρμαχος, καὶ τῷ δι' ἀγχόνης, τῶν δυσσεβῶν νύκτωρ ἐπεισπεσόντων, τελειοῦται μαρτυρίῳ, καὶ ἀντεισάγεται τῇ Κωνσταντίνου πόλει ὁ δυσσεβὴς Μακεδόνιος, καὶ ἐξωθοῦνται μὲν καὶ τῶν ἄλλων ἐκκλησιῶν οἱ ποιμένες, ἐπεισπηδῶσι δὲ οἱ λύκοι, καὶ τὴν κατὰ τῶν χριστιανῶν Ἑλλήνων ὠμότητα ἡ Μακεδονίου μανία ἐφιλονείκει ἀποκρύψασθαι· καὶ πᾶσα μὲν ἡ Ἀνατολὴ τοῖς δεινοῖς διεφθείρετο, ἡ πόλις δὲ Κωνσταντίνου κατὰ τὸ ἐξαίρετον, ὅτε καὶ Ἀγέλιος ὁ τῶν
73. Ναβατιανῶν ἐπίσκοπος, οἷα δὴ καὶ | αὐτὸς τὸ ὁμοούσιον πρεσβεύων, ὑπερορίζεται. Καὶ ἦν ἀδιήγητον τὸ κακὸν, ὅπερ οὐ μέχρις ἀρχιέρεων καὶ ἱερέων ἐκέχυτο, ἀλλὰ καὶ γυναῖκας καὶ παῖδας, ὅσοι τὴν Μακεδονίου κοινωνίαν ἀπετρέποντο, ἐπενέμετο. Μασθοὶ γυναικῶν, ὢ τῆς μανίας! κιβωτῶν καλύμμασιν ἐμβαλλόμενοί τε καὶ συμπιεζόμενοι, ἀπεπρίζοντο· οἱ δὲ σιδήρῳ, τοῖς δὲ καὶ ᾠοῖς πεπυρακτωμένοις, ταινίαις αὐτὰ τοῖς μορίοις ἐνειλίττοντες, κατέκαιον. Ἧκεν γὰρ τοῖς δυσσεβέσιν ἐπὶ νοῦν, καὶ ἃ τοὺς ἀθέους Ἕλληνας κατὰ τῆς φύσεως ἐπινοεῖν αἰδὼς ἀνθρωπίνη ἀνεχαίτιζεν.

9. Ἐκτείνει δὲ τὴν λύσσαν Μακεδόνιος καὶ ἐπὶ τὴν τῶν Παφλαγόνων χώραν (πολλοὺς γὰρ ἠκηκόει καὶ τῶν ὀρθοδόξων καὶ τῶν ἀπὸ Ναβάτου ἐν αὐτῇ διατρίβειν), καὶ τέσσαρας φάλαγγας στρατιωτῶν ἐνόπλων παρασκευάζει σταλῆναι κατ' αὐτῶν, καὶ τοῖς ὅπλοις βιάζεσθαι πρὸς τὴν ἀσέβειαν. Οἱ δὲ κατὰ τὸ Μαντίνιον οἰκοῦντες, εἰς πλῆθος | συστάντες, καὶ ζήλῳ τῆς εὐσεβείας δρέπανα καὶ ἀξίνας καὶ τὸ παρατυχὸν ὅπλα ποιησάμενοι, ἀντιπαρατάττονται τοῖς στρατιώταις· καὶ συμβουλῆς γενομένης, πολλοὶ μὲν διαφθείρονται τῶν Παφλαγόνων, τῶν δὲ στρατιωτῶν, πλὴν ὀλίγων, ἅπαντες. Αὕτη τοίνυν ἡ

μιαιφόνος καὶ ἀναίσχυντος πρᾶξις, οὐ παρὰ τῶν ἠδικημένων μόνον, ἀλλὰ καὶ παρὰ τῶν οἰκείως δοκούντων ἔχειν Μακεδονίῳ, μῖσος ἀνήγειρε δίκαιον, ἀλλὰ καὶ αὐτὸν τὸν βασιλέα διέσεισε πρὸς ἀπέχθειαν. Οὐ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι καὶ τὸ σῶμα Κωνσταντίνου τοῦ βασιλέων εὐσεβεστάτου (ἐδόκει γὰρ ὁ ναὸς, ἐν ᾧ κατέκειτο, ἐγγὺς εἶναι τοῦ καταπεσεῖν), λαβὼν ἄνευ γνώμης αὐτοῦ, εἰς τὸν τοῦ ἁγίου Ἀκακίου νεὼν μετεκόμισε· καὶ ἐπειδὴ πᾶσιν ἡ μετάθεσις οὐ συνεδόκει, ἀλλὰ πολλὰ πολλοῖς ἀνόσιον ἐνομίζετο τὰ τῶν ἀποιχομένων ἀνορύττεσθαι σώματα, καὶ τότε βασιλέως ἐν εὐσεβείᾳ διαλάμψαντος, φόνος ἐῤῥύη πολὺς, καὶ τῶν | πολλῶν καὶ ἀνηκέστων κακῶν, 74.
ὧν ἐτόλμα Μακεδόνιος, μικράν τινα δίκην ἀπέτισε, τὴν καθαίρεσιν τοῦ ἀξιώματος.

10. Ἐκράτει δ' οὖν ὅμως τὰ Ἀρείου δι' ὅλης τε τῆς Κωνσταντίου βασιλείας, καὶ ἐπὶ μᾶλλον κατὰ τοὺς Οὐάλεντος τοῦ δυσσεβεστάτου χρόνους, ἕως ἂν ἐκεῖνον μὲν ἡ θεία μετῆλθε δίκη, Θεοδόσιον δὲ τὸν ἐκ Σπανίας, ψήφῳ δικαίᾳ Γρατιανοῦ τοῦ τὰ Ἑσπέρια περιέποντος, εἰς τὸν βασίλειον τῆς Ἀνατολῆς θρόνον ἀνεβίβασε, καὶ τῇ ὀρθοδοξίᾳ δι' αὐτοῦ τὸ κράτος ἐβράβευσεν. Ἀλλ' οὕτω μὲν ἡ Ἀρείου αἵρεσις, τὰς ἐκκλησίας ἐπὶ τεσσαράκοντα ἔτη κατανεμηθεῖσα, τῇ Θεοδοσίου εὐσεβείᾳ ἐξωστράκισται, καὶ τὸ ὀρθόδοξον τοῖς οἰκείοις ἐνεκαλλωπίζετο δικαιώμασι. Συγκροτεῖ γοῦν ὁ αὐτὸς θεοφιλέστατος βασιλεὺς σύνοδον, μελέτην ἔχων καὶ τοὺς ἀπὸ Μακεδονίου πρὸς ἕνωσιν συναγαγεῖν τοῖς ὀρθοδοξοῦσι καὶ πρεσβεύουσι τὸ ὁμοούσιον· διὸ καλεῖ καὶ τοὺς προεστῶτας αὐτῶν τῆς αἱρέσεως. Καὶ συνῆλθον τῶν ὀρθοδοξούντων ἀπὸ Ἀλεξανδρείας Τιμόθεος, ἐξ Ἱεροσολύμων δὲ Κύριλλος, Μελέτιος δὲ ἐξ Ἀντιοχείας, Γρηγόριός τε παρῆν ὁ Θεολόγος, καὶ Ἀχόλιος ὁ Θεσσαλονίκης, καὶ ὁ Νύσσης Γρηγόριος, καὶ ἄλλοι πολλοὶ, πεντήκοντα καὶ ἑκατὸν ἦσαν αὐτῶν ὁ πᾶς σύλλογος. Τοῦ δι' αἱρετικοῦ στί-

φους, ἡγεῖτο μὲν ὁ Κυζίκου Ἐλεύσιος, καὶ Μαρκιανὸς ὁ Λαμψάκου, καὶ ὁ Ἐφέσου Εὐήθιος, καὶ ἄλλοι τινες, εἰς τὸν ἓξ καὶ τριάκοντα συγκεφαλαιούμενοι ἀριθμόν.

11. Παρῄνουν δὴ βασιλεύς τε αὐτὸς καὶ ὅσον ὀρθόδοξον τοὺς τῆς αἱρετικῆς μοίρας συνελθεῖν εἰς ὁμοφροσύνην καὶ ἀσπάσασθαι τὸ ὁμοούσιον· ὡς καὶ χωρὶς παραινέσεως διαπρεσβευσαμένους αὐτοὺς οἴκοθεν πρὸς Λιβέριον πρότερον, καὶ ἀνομολογεῖν ὑποσχομένους τὸ ὁμοούσιον, ὑπομιμνήσκοντες, ὡς καὶ τὴν τῶν ὀρθοδόξων κοινωνίαν αὐτεπάγγελτοι προσεδέχοντο. Τὸ δὲ αἱρετικὸν, τῶν δικαίων ἐλέγχων καὶ φιλανθρώπων
74. παραινέσεων οὐδένα ποιήσαντες | λόγον, τῆς οἰκείας δυσσεβείας οὐ μεθίεντο. Ἐκβάλλονται οὖν διὰ τοῦτο καὶ τοῦ συνεδρίου καὶ τῆς πόλεως· καὶ ἡ σύνοδος χειροτονεῖ τὸν Νεκτάριον, συγκλητικοῦ μὲν αἵματος ὄντα, τὴν τοῦ πραίτωρος δὲ χειρίζοντα ἀρχὴν, τὸν τρόπον δὲ ἐπιεικέστατον, διὸ καὶ μάλιστα ἐθαυμάζετο. Βεβαιοῖ δ' ἡ ἁγία σύνοδος αὕτη καὶ ἣν ἡ ἐν Νικαίᾳ διετυπώσατο πίστεως ἔκθεσιν, καὶ σύμψηφος πᾶσιν ὁ βασιλεὺς γίνεται, καὶ ἀνακομίζει μετὰ πολλοῦ τοῦ σεβάσματος καὶ Παύλου τοῦ ὁμολογητοῦ τὸ λείψανον, καὶ ἀπαντῶσι τῶν ἐπισκόπων αὐτῷ Νεκταρίῳ πρὸ πολλοῦ τῆς Χαλκηδόνος ὅσοι παρῆσαν, καὶ μετὰ πολλῆς ὑμνολογίας καὶ τῆς ἄλλης δορυφορίας ὑποδέχονται· καὶ διὰ μέσης τῆς πόλεως τὸ σῶμα κομίζοντες, εἰς τὴν ἐκκλησίαν τῆς ἁγίας Εἰρήνης τῆς ἀρχαίας καλουμένης, ἣν Κωνσταντῖνος εἰς πλάτος καὶ μέγεθος ἐκ βραχυτέρας ἀνήγειρεν, ἧς καὶ προήδρευε πρὸς ὀλίγον, ἀπέθεντο. Καὶ παννύχιον ὑμνῳδίαν τελεσάμενοι, ὄρθρου πάλιν ἡ πόλις πᾶσα μετὰ τῆς ἴσης καὶ ὁμοίας τιμῆς καὶ δόξης εἰς τὴν νῦν ἐπώνυμον αὐτοῦ ἐκκλησίαν, πάντων τε τῶν ἀρχιερέων καὶ τοῦ κλήρου καὶ αὐτοῦ συμπαρόντος τοῦ βασιλέως τῷ ἁγιοδόχῳ τάφῳ κατατίθενται, μακραῖς καὶ παννύχοις αὐτὸν ὑμνῳδίαις καταγεραίροντες, ἀνθ' ὧν πόνοις μακροῖς καὶ τοῖς ὑπὲρ εὐσεβείας ἀ-

γῶσιν ἐγκαρτερήσας, τῶν ἐν οὐρανοῖς ἀκηράτων γερῶν κατηξίωται· ὧν καὶ ἡμεῖς ταῖς αὐτοῦ καταξιωθείημεν θεοπειθέσι λιταῖς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

(*) ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ ΝΕΟΦΥΤΟΥ.

Εὐλόγησον, πάτερ.

1. Οὐ πολλὰ μόνον, ἀλλὰ καὶ τερπνὰ τῆς κατὰ Βιθυνίαν Νικαίας τὰ καλλωπίσματα. Καὶ τίνα ταῦτα; Θέσεως ἐπιτηδειότης, ὡρῶν εὐκρασία, ἀροσίμη γῆ καὶ πολύφορος πέριξ, ἄμπελοι εὐκληματοῦσαι, ἐλαῖαι κατάκαρποι, ὀχετοὶ ναμάτων ἀμφιῤῥύτων, μύλωνας στοιχηδὸν, λειμῶνάς τε καὶ παραδείσους καὶ λουτρὰ καταρδεύοντες, τειχῶν ἐρυμνότης, ναῶν κάλλη, οἰκητόρων λαμπρότης, καὶ χρειῶν ἀφθονία τῶν τε ἄλλων καὶ δὴ καὶ τῶν ἀπὸ τῆς γείτονος λίμνης ἀπολαύει, πρὸς τούτοις καὶ τῶν ἐκ θαλάσσης καλῶν, ἡμερησίαν οὐδὲ ὅλως ὁδὸν ταύτης ἀφεστηκυίας. Ἔχει τι καὶ ἄλλο τῶν λοιπῶν πόλεων | καὶ βασι- 33*.
λίδος αὐτῆς ὑπερφυὲς καὶ ἐξαίρετον, ἐφ᾽ ᾧ καὶ μᾶλλον σεμνυνομένη, καὶ ὡς ὀφθαλμός τις εὔκυκλος καλὸν ἀπολάμπων, οὐ Βιθυνίαν μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν ὑφήλιον καταυγάζει. Καὶ δικαίως· θεῖον γὰρ κατ᾽ εὐδοκίαν τοῦ κρείττονος. Ὁποῖον δὲ

(*) Μαρκ. κῶδιξ CCCLXII, φύλλ. 33. αἰῶν. XI. Zan.

ἄρα τοῦτο; Τὸ τῆς ὁμοουσίου καὶ ζωαρχικῆς Τριάδος μυστήριον, ἐν αὐτῇ τρανῶς κηρυχθὲν, καὶ συλλαβαῖς ἁγίων ὀκτωκαίδεκα καὶ τριακοσίων πατέρων, πρὸς δὲ καὶ βασιλέως μεγάλου καὶ τῶν πώποτε φιλοχρίστου βεβαιωθὲν, εἰς δόξαν μὲν καὶ φωτισμὸν τῶν ἀληθῶς ὀρθοδόξων, αἰσχύνην δὲ καὶ ἀναθεματισμὸν τοῦ μανιώδους Ἀρείου, καὶ τῶν ἀμφὶ αὐτὸν δυσωνύμων. Ἐκ ταύτης οὖν τῆς πόλεως καὶ ὁ μέγας ἐν ἀθληταῖς Νεόφυτος οἷόν τι φυτὸν ἀειθαλὲς ἐβλάστησε, καὶ τοὺς ἡδίστους καρποὺς διὰ τοῦ μαρτυρίου τῇ θρεψαμένῃ ὁ εὐγενὴς ἐδωρήσατο. Ἄνωθεν τοίνυν τὰ τούτου διηγητέον ἡμῖν τοῖς τῶν καλῶν ἐρασταῖς τε καὶ φιλομάρτυσι.

2. Τῷ μεγάλῳ τούτῳ τῆς ἀληθείας ἀγωνιστῇ, πατρὶς μὲν ἡ εἰρημένη περιώνυμος πόλις, πατέρες (δὲ) τῶν ἐπιφανῶν καὶ πλούτῳ κομώντων Θεόδωρος καὶ Φλωρεντία εὐσεβεῖς ἄμφω καὶ θείαις ἐντολαῖς ῥυθμιζόμενοι· ἰδιαίτατον τῶν ἄλλων τούτοις καὶ περισπούδαστον, ἡ τῶν ἐνδεῶς ἐχόντων συμπαθεστάτη προμήθεια, ταύτῃ τοι καὶ ἀμοιβὴν τῆς φιλαγάθου γνώμης αὐτῶν τὸν εὐθαλῆ τοῦτον κλάδον παρὰ Θεοῦ ἀξίως κομίζονται. Οὐδὲ γὰρ ἐγεγόνει τούτοις παιδίον ἄλλο· ὃν μετὰ τὸ θεῖον λουτρὸν ἀπογαλακτισθέντα καὶ πρὸς μάθησιν γραμμάτων ἐπιτηδείως ἔχοντα, γραμματιστῇ
34. τινι τῶν εὐλαβεστέρων παραδιδοῦσιν. | Ὁ δὲ ἐν βραχεῖ τὴν προπαιδείαν ἐκμανθάνει καὶ τῶν ὑψηλοτέρων ἅπτεται μαθημάτων· ἅτε ἡγιασμένος καὶ οὗτος κατὰ τὸν μέγαν Ἱερεμίαν (α.′ ς′.) καὶ τὸ πνεῦμα τὸ ἅγιον συνεργὸν κεκτημένος, καὶ τοσοῦτον, ὡς καὶ φανερῶς πολλάκις τούτῳ ἐπιφοιτᾶν, καὶ τὰ δέοντα ἐνωπίως διομιλεῖν. Τεκμήριον τούτου σαφὲς, τὸ νῦν μελλον ῥηθήσεσθαι θαῦμα, καὶ θαῦμα ὄντως ἐξαίσιον· ἔχει δὲ ὧδε.

3. Δέησασάν ποτε τὴν καλλίτεκτον τοῦ Νεοφύτου μητέρα τὸν κοιτωνίσκον τοῦ ταύτης υἱοῦ εἰσδραμεῖν, ἔνθα καταμόνας αὐτὸς ἀσκούμενος, ἀ ν α β ά σ ε ι ς ἐ ν τ ῇ κ α ρ δ ί ᾳ δ ι έ θ ε τ ο (Ψαλμ. πγ′. 6.), ὁρᾷ θέαμα ξένον καὶ ὀλίγων ἄξιον ὀφθαλμοῖς πε-

ριστερὰν ἐν ἀμηχάνῳ τῷ κάλλει, μαρμαρυγὰς ἡλίου δίκην ἐκπέμπουσαν· ἔνθεν τοι καὶ φρένας καὶ σῶμα τῷ παραδόξῳ διασεισθεῖσα, τοῖς ἐστρωμένοις τῷ ἐδάφει μαρμάροις προσκαταπίπτει νεκρά. Κωκυτὸς οὖν εὐθὺς καὶ θρῆνος πολὺς ἐπ' αὐτὴν παρά τε τῶν οἰκείων καὶ τῆς πόλεως πάσης σχεδόν, ὡς καὶ τοὺς ὁμοτίμους τῷ Θεοδώρῳ συγκλητικοὺς ἐπὶ τῷ πτώματι συνελθεῖν, ἐν οἷς καὶ Λιβάδιος, τῶν ἄλλων ὁ διαφορώτατος φίλος ἐς τὰ μάλιστα καὶ συγγενὴς τούτῳ τυγχάνων. Καὶ ἐπεὶ μετὰ τὸν πολύδακρυν θρῆνον, καὶ περὶ ἐκφορᾶς ἐσκοποῦντο, οὐ συνεχώρει τοῦτο ὁ τῆς κειμένης υἱός, ἕως ἂν καὶ ὁ τούτου μὲν πατήρ, ἀνὴρ δὲ αὐτῆς παραγένηται, ἐν προαστείῳ τινί φυτουργοῦντας ἐπισκεπτόμενος γεωργούς. Συνεδόκει τοῦτο καὶ τοῖς πολλοῖς, καὶ παραυτίκα μηνύει τῷ Θεοδώρῳ διὰ ταχυδρόμου τὴν συμφορὰν ὁ Λιβάδιος. Καὶ ὃς παρῆν κατὰ τάχος, τὸν χιτῶνα διεῤῥηγμένος, τρίχας ἐπιγενείους τίλλων, καὶ ὀλοφυρμοῖς καὶ βοαῖς τὴν ὁμευνέτιν | ἀποκλαιόμενος. Τί οὖν ὁ θεοφόρος 34.
παῖς καὶ θεόφυτος μᾶλλον εἰπεῖν ἢ νεόφυτος, οὐκ εὔκολον νενόμικε μὴ τὰ τροφεῖα τῇ μητρὶ παρασχεῖν, καὶ ταῦτα τοῦ καιροῦ καλοῦντος, καὶ τοῦ πράγματος ἀπαιτοῦντος; Τοιγάρτοι καὶ παρέσχε, καὶ λίαν θεομιμήτως· ἀλλὰ προσεκτέον, ὅπως καὶ τίνα τρόπον κατασιγάσας τὸν πατέρα καὶ τὸ πᾶν ἄλλο πλῆθος· ὢ ψυχῆς εὐσυνέτου καὶ μεγαλόφρονος! Ὑπνοῦν ἔλεγε τὴν μητέρα. Ὑπνοῦν. Καὶ εἰ θελητὸν αὐτοῖς, ἑτοίμως αὐτὴν ἐξυπνίζειν. Ἐπὶ τοῦτο, οἱ μὲν ἀγνοοῦντες, ἐμυκτήριζον αὐτόν, ὥσπερ δὴ καὶ τὸν ἐμὸν Ἰησοῦν Ἑβραίων παῖδες τὸ πρότερον, οἱ δέ, ποσῶς αὐτοῦ πεῖραν ἔχοντες, καὶ μάλιστα ὁ γεννήτωρ, ἐνέκειντο μεθ' ἱκετηρίας τὴν ὑπόχεσιν ἐπισπεύδοντες. Ἐπικλήσει τοιγαροῦν τῆς πανυμνήτου Τριάδος καὶ ζωηφόρῳ σταυροῦ σημείῳ θᾶττον ταύτην ἀνέστησε, καὶ τῶν ἀπίστων πολλοὺς πρὸς θεοσέβειαν εἵλκυσεν.

4. Ἀλλὰ τούτῳ μὲν ὕστερον. Ἄρτι δὲ ἀπὸ τῆς σχολῆς οἴ-

καδε ὑποστρέφων, τοὺς ἥλικας τῶν συμφοιτητῶν μεθ' ἑαυτοῦ λαμβάνων, καὶ τούτων τοὺς ὀρφανοὺς καὶ πενίᾳ πιεζομένους, ἔτρεφέ τε ὡς δυνατὸν ἐκ τῶν παρὰ τῶν γονέων αὐτῷ δεδομένων. Καὶ τὴν ἀνατολικὴν πύλην τῆς πόλεως σὺν αὐτοῖς ἐξιὼν (ἀγχοῦ γὰρ ταύτης ὁ οἶκος ὁ πατρικὸς), καὶ ἐν ἀταράχῳ τοῦ τείχους τούτους καθίζων, οὐ μόνον οἷς ἔλεγεν ἀρχέτυπον ἑαυτὸν πρὸς ἀρετῆς ἀνάληψιν τούτοις παρεῖχεν, ἀλλὰ καὶ οἷς μᾶλλον ἐποίει. Κατὰ γὰρ τὴν θερείαν τροπὴν δίψῃ τοὺς παῖδας
35. ἑαλωκότας, γόνυ κλίνων καὶ προσευχόμενος, καὶ αὐτοὺς δὲ | προσεύχεσθαι διὰ τὸ ἀκενόδοξον ἐπιτρέπων, μωσαϊκήν τινα θαυματουργίαν πολλάκις εἰργάζετο. Μετὰ γὰρ τὴν εὐχὴν, τῶν τῷ τείχει λίθων ἑνὸς σταυροτύπως ἁπτόμενος, ὢ τοῦ θαύματος! ὕδωρ γάλακτι σύμμικτον ἐξιέναι ἐποίει· καὶ τούτους ποτίζων, ἀδίψους καὶ τῶν ἀνθοσμίαν πινόντων εὐθαλεστέρους ἐδείκνυ, ἔργῳ τὸν λόγον τοῦ Σωτῆρος πιστούμενος· ὅτι, ὅπου καθαρότης καρδίας, ἐκεῖ πάντως Θεοῦ παρουσία, καὶ ἔργα τούτου θαυμάσια, κἂν ἀτελῆ τοῖς καθαροῖς τὰ τοῦ σώματος. Καὶ ταῦτα μὲν οὕτως.

5. Ἐπεὶ δὲ αὐτῷ τὰ τῆς παιδεύσεως ἱκανῶς ἤθροιστο, ἤρα δὲ τελεωτέρας γνώσεως καὶ ἀρετῆς ἀκροτάτης· ἐπεὶ μὲν ἄλλως κατορθοῦν τοῦτο (οὐκ) ἠδύνατο, ἢ διὰ τῆς ἐπεράστου καὶ θαυμαστῆς ἡσυχίας τό· Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ, καὶ τό· Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου (Β'. Τιμ. β'. 19)· ναὶ μὴν καὶ τό· Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι Θεός (Ψαλ. με'.) εἰς νοῦν βαλλόμενος, γονεῖς, πλοῦτον, συγγενεῖς, ἡλικιώτας, ἄστυ, θορύβους ἀπολιπὼν, τοῦ τὸ Ὀλύμπου ὄρος καταλαμβάνει τῆς παγκάλης περιστερᾶς κἀντεῦθεν ἐπιφανείσης, καὶ μονονουχὶ τὴν ξενίαν εὐτρεπιζούσης· ἀρκούντως γὰρ, καὶ ὅσον ἐβούλετο τοῦ νέου ἡγησαμένη, ἐκκλίνει τε τῆς κατ' εὐθεῖαν μικρὸν, καὶ πρός τινα χηραμὸν σπηλαίου εὐπεριγράπτου ἑαυτὴν καταδύει,

οὗ πρὸς τὸ στόμιον πηγὴ ὕδατος ἀλλομένου ἡδεῖα καὶ διαυγὴς, ἣ καὶ εἰς δεῦρο τὴν κλῆσιν τοῦ ἁγίου πλουτοῦσα, φάρμακόν ἐστι τοῖς πίνουσιν ἀτεχνῶς ἀκεσώδυνον. Ἐν μυχῷ δὲ τοῦ σπηλαίου λέων μεγέθει μέγιστος καὶ τὴν ὁρμὴν ἀνυπόστατος | καταμένων, φόβον οὐ τὸν τυχόντα τοῖς περιοίκοις 35.
παρεῖχεν· ὅθεν δὲ καὶ ὅπως ὁ θὴρ εἰς τοιοῦτον λέουσιν ἀνάρμοστον ὄρος ἦν, συνελὼν ὁ λόγος ἤδη δηλώσει. Οὐκ ἤρκεσε τοῖς ἀσεβέσιν ὁ λοιπὸς τῶν βασανιστηρίων κατὰ τῶν ἀθώων ὁρμαθός· ἀλλὰ καὶ γαστέρας θηρῶν ἐκ τῶν σαρκῶν αὐτῶν ἐμηχανήσαντο ἐμπιπλᾶν. Ὁ τοίνυν λέων κατά τινος τῶν ἁγίων ἀπολύεσθαι μέλλων, οὓς ὁ τότε δικάζων ἀνόμως οἴμοι! ἐτιμωρεῖτο, ἅμα τῷ τούτου ζωγρῷ ἐξελθεῖν, εἴτε πτοίας τινὸς αἰσθόμενος (ἀνέθορε γὰρ ὁ δῆμος ἐπὶ τῷ μεγέθει τοῦ ζῴου), εἴτε καὶ θείας δυνάμεως, τῆς καὶ μᾶλλον ἀληθῶς τοῦτον παρακινούσης, πλήττει μὲν ἀγρίως τὰς πλευρὰς τῇ ἀλκαίᾳ, βρύχεται δέ τι βροντῶδες καὶ φοβερὸν, καὶ ἅλμασιν ὀξυτάτοις οὐ τοὺς τυχόντας μόνον ἀλλὰ καὶ λεοντοκόμους αὐτοὺς, ἄλλον ἀλλαχόσε διασκεδάσας, ἔξεισι τοῦ ἀμφιθεάτρου, καὶ πρὸς τὰ σφέτερα ἤθη καὶ τουτὶ τὸ σπήλαιον διὰ τὴν πηγὴν καὶ τὸ εὔθηρον ἀποτρέχει· ἀλλ' ἐπανιτέον ὅθεν ἐξέβημεν.

6. Ὡς δὲ τὴν φωτοβόλον εἶδε περιστερὰν ὁ Νεόφυτος, πρὸς τὸ ἄντρον ἐκνεύσασαν, χαίρων εἵπετο καὶ αὐτὸς, ὡς εἰς θεῖον ὄντως καὶ ἱερὸν ἀνάκτορον σκηνωσόμενος. Εἰσελθὼν οὖν, εὑρίσκει τὸν θῆρα πεφηβότα (sic) τὴν χαίτην, βλοσυρὸν δεδορκότα, σεσηρότα τε καὶ βυθίως ἀσθμάζοντα. Ἆρ' οὐκ ἐδειλιάσατε καὶ πρὸς μόνην τὴν ἀκοήν; ἀλλ' ἐκεῖνος ἀτρέμας ἑστήκει, καίτοι θεαμάτων ἄπειρος ὢν τοιούτων, ἀλλὰ καὶ μετὰ πολλῆς αὐθεντίας τοῦτον ἐκεῖθεν ἐλαύνει, « ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰπὼν, οὗ δοῦλος ἐγὼ, ἔξελθε, λέον, τῶν ὧδε, παραχωρήσας μοι τοῦ σπηλαίου ἄχρι καιροῦ (τὸν τῆς μαρτυρίας | δη- 36.
λαδὴ αἰνισσόμενος), ὅτε καὶ πάλιν ἀλλήλους ὀψόμεθα, Θεοῦ

εὐδοκοῦντος, καὶ πρὸς τὰ ἐνταῦθα ἀνθυποστρέψεις ». Ἤκουσεν ὁ λέων, καὶ οἷα δοῦλος, δεσπότου προστάσσοντος, ἐποίει τὸ κελευσθέν, τοὺς ὡραίους πρότερον πόδας τοῦ μάρτυρος προσκυνήσας, καὶ τὸν ἐκ τῆς ὁδοῦ κονιορτὸν καὶ ἱδρῶτα τῇ γλώττῃ ἀπομορξάμενος. Ἀλλ' ὅπως μὲν πρὸς δαιμόνων πάλας καὶ παθῶν βαρύτητας, ἔτι τε μεταβολὰς ὡρῶν νεανικῶς ἀντιβαίη, ὅπως δὲ καὶ τὸ σαρκίον, εὐχαῖς, ἀγρυπνίαις, καὶ τῇ λοιπῇ σκληραγωγίᾳ ἐκτήξειε, καίπερ ἐν ἁπαλῷ κομιδῇ τῷ σώματι (δέκατος γὰρ αὐτῷ τῆς ἡλικίας χρόνος), τῆς τε διαίτης τὸ παρηλλαγμένον, καὶ ὡς τὰ πολλὰ δι' ἀγγέλου ὁ ἰσάγγελος τρέφεται, καὶ ὡς μετὰ δεύτερον ἔτος πρὸς τοὺς τεκόντας κατέλθοι, ἐκείνων τοῦτον αἰτησαμένων, καὶ Θεοῦ ἄνωθεν ἐπινεύσαντος, ὅσης τε χαρᾶς καὶ σωτηρίας αὐτοῖς αἴτιος γέγονε, καὶ ὡς τοὺς πενομένους καὶ μάλιστα τούς λελωβημένους ἀπὸ τῶν πατρικῶν χρημάτων ἐμπλήσειε, καὶ ὡς αὐτοῦ προτελευτήσουσιν οἱ γονεῖς ἀριδήλως προείποι, καὶ πρὸς τὸ ὄρος παλινδρομήσοι· ταῦτά τε πάντα, καὶ ἄλλα ἅττα τοῦ μήκους χάριν παρατρέχων ὁ λόγος, ἐπὶ τὸν μαρτυρικὸν αὐτοῦ δρόμον σὺν Θεῷ καὶ οὗτος δραμεῖται.

7. Ἀνελθὼν τοιγαροῦν, ὡς εἴρηται, τὸ δεύτερον εἰς τὸ ὄρος, καὶ καλοῖς, ὅ φασι, καλὰ προστιθείς, καλλίω καὶ περιφανεστέραν πλουτεῖ τὴν ἀντίδοσιν. Τὸν γὰρ τῆς ἀπαθείας γνόφον εἰσδύς, ὥς τις ἄλλος θεόπτης μυεῖται, πρὸς τοῦ ὄντος τὰ θεῖα τρανότερον, καὶ πρὸς τῶν ὀρεκτῶν ἐπείγεται τὸ ἀκρότατον, οὐδὲν ὑπὸ τῆς ὕλης καὶ τῆς ἀτελοῦς ἡλικίας ἐμποδιζόμενος.
36*. Ἀμέλει· πεντεκαιδεκαετὴς γεγονώς, | ὡς οὐχ οἷός τε ὢν καρτερεῖν, καὶ ἐνδόξως ἀναλῦσαι κατὰ Παῦλον, καὶ σὺν Χριστῷ διὰ παντὸς εἶναι, τοῦ κατὰ χριστιανῶν διωγμοῦ σφοδρότερον, ἢ πρόσθεν ῥιπιζομένου, Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν ἀθέων τὴν Ῥωμαίων βασιλείαν ἐχόντων, τὰς ἐν τῷ ὄρει διατριβὰς ἀφεὶς, ἐπὶ τὴν ἐνεγκαμένην πάλιν, ἀγγέλους συνοδοιπόρους

ἔχων, προθυμότατα ἴεται, μαρτυρήσων τῇ ἀληθείᾳ, ἐλέγξων τοὺς ἀσεβεῖς, καὶ κατὰ τῆς πλάνης τρόπαιον λαμπρὸν ἀναστήσων. Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος, ἐκπλήττομαι τῆς περὶ τὸν θῆρα προφητείας τὸν ἅγιον· οὐκ ἔφθασε γὰρ οὗτος τὴν Νίκαιαν εἰσελθεῖν, καὶ ὁ λέων μετὰ καὶ λοιπῶν θηρίων εὐφυῶς ὑπὸ κυνηγῶν ἐζωγρήθη.

8. Δεκίῳ Οὐάρῳ τοῦτο δόξαν τηνικαῦτα τῆς Βιθυνίας ὑπάρχοντι, ἀνδρὶ δεινῷ τε καὶ δεισιδαίμονι, καὶ αἱματεκχυσίαις ἐνηδομένῳ, ὡς καὶ κατ' αὐτὴν δήπου τὴν ἡμέραν τῆς τοῦ μάρτυρος εἰσελεύσεως ἀπὸ Νικομηδείας ἐληλυθὼς, ἑορτὴν γενέθλιον τῇ ὑστεραίᾳ Ἡρακλεῖ τῷ νόθῳ θεῷ πανδημεὶ ἐπετέλει· ᾧ καὶ ὁ τῷ θείῳ ζήλῳ πυρπολούμενος νεανίας, προφητικῶς εἰπεῖν, εὑρίσκεται μὴ ζητούμενος καὶ ἐμφανὴς γίνεται, καὶ μὴ ἐπερωτώμενος· « καὶ ἵνα τί, φησὶν, ὦ ἡγεμὼν, μεγάλῃ τῇ φωνῇ ἀνεβόησε, τοῖς κτήνεσιν ὡμοιώθης, καὶ δαίμοσι χαριζόμενος ἀνθρώπους τοὺς κατ' εἰκόνα Θεοῦ πλασθέντας, κωφοῖς καὶ ἀναισθήτοις εἰδώλοις, θυσίαν ἀναγκάζῃς προσφέρειν, ἀγνοῶν ὡς λόγον ἀποδώσεις τῆς ἀπωλείας σοῦ τε καὶ τῶν τοσούτων ψυχῶν; Καὶ ὑμεῖς δὲ ἄνδρες, ὅσοι τε πολῖται, καὶ ὅσοι ἐπήλυδες, τίνος χάριν τὰς ψυχὰς ὑμῶν ἀπόλλυτε, ἀλόγων αἵμασι καὶ κνίσσαις σαρκῶν μολυνόμενοι, | τῆς ἐν πνεύματι κα- 37.
τολιγωροῦντες λατρείας; Ἀλλ' ἐπιστρέψατε καὶ γνῶτε τὸν ἕνα καὶ μόνον Θεὸν, οὗ ἔργον ὁ οὐρανὸς, γῆ τε καὶ θάλασσα, καὶ πάντα τὰ ἐν αὐτοῖς· ὃς πρὸ αἰώνων τῷ Πατρὶ συνυπάρχων, εὐδοκίᾳ τούτου καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος ἄνθρωπος ἐγένετο δι' ἡμᾶς, ἀσπόρως τεχθεὶς ἐκ Παρθένου ἁγίας καὶ σεμνῆς, μὴ τραπεὶς τὴν θεότητα· ὃς καὶ σταυρὸν καὶ θάνατον σαρκὶ κατεδέξατο, ἵνα τῶν ματαίων τούτων τοὺς ἀνθρώπους ἐλευθερώσῃ, καὶ τῆς τῶν οὐρανῶν βασιλείας καταξιώσῃ. »

9. Τούτοις τοῖς γλυκυτέροις μέλιτος τοῦ μάρτυρος λόγοις τοῦ λαοῦ τὸ πλεῖστον ἑάλω, ὡς καὶ παραυτα τὴν θυσίαν καταλι-

πεῖν καὶ πρὸς τὴν τοῦ Χριστοῦ πίστιν αὐτομολῆσαι. Δέκιος δὲ ὁ ἀνόητος, τῷ βαθεῖ τῆς ἀσεβείας σκότῳ κάτοχος ὤν, ὄνος ἦν τὸ τοῦ λόγου πρὸς λύραν. Ὅθεν καὶ τοῦ θυμοῦ αὐτῷ ἐπιζέσαντος, βουνεύροις ὠμοῖς (οὐδὲ λόγου τὸν ἅγιον ἀξιώσας), τὸ καλὸν ἐκείνου σῶμα ξαίνειν ἀφειδῶς τοῖς δημίοις ἐπέταττεν· « ὅτι δή φησι, μετὰ πικρίας ὑποφωνῶν, μειράκιον εὐτελὲς τὸ φαινόμενον καὶ ἄλλως ἄγροικον, τῶν μεγάλων θεῶν, νόμων τε βασιλικῶν καὶ τῆς ἡμετέρας ἐξουσίας ἀναιδῶς οὕτω κατεφρυάξατο. » Ἐξαίνετο τοιγαροῦν ὁ μάρτυς ἀνηλεῶς, καὶ ταῖς ῥοαῖς τοῦ αἵματος ἡ γῆ ἐφοινίσσετο, αὐτὸς δὲ ὥς περ ἄλλου πάσχοντος τοῖς παροῦσιν ἐδείκνυτο· οὐ γὰρ φωνὴν ἀφῆκεν, οὐ στεναγμόν, οὐκ ἀλλοίωσίν τινα περὶ τὸ πρόσωπον ἔσχε. Τότε καὶ πλέον ὁ τύραννος ἀγριάνας, καὶ εἰς πίθον μεστὸν ὀξάλμης χαλασθῆναι τοῦτον προστάττει. Καὶ τούτου γενομένου, μικρὸν τοῦ πίθου ὁ ἀθλητὴς ἀνανεύσας, « λέληθας, ἔφη, ὦ ἀδικώτατε δικαστῶν, συσφίγξας με μᾶλλον ἢ βασανίσας τὴν
37. | τήμερον· τὰς γὰρ ἐκ τῶν οὐλῶν πληγὰς ἐπιστύψασα ἡ ὀξάλμη, στεῤῥότερον πρὸς τὰς μελλούσας τιμωρίας εἰργάσατο. » Τοῦτο ἐκεῖνος ἀκούσας, ἐπὶ ξύλου μετεωρίζει τὸν δίκαιον, καὶ σιδηροῖς ὄνυξι τὰς πλευρὰς αὐτοῦ ἄχρι καὶ γυμνὰς σαρκῶν φαίνεσθαι ὁ καὶ θηρίων ὠμότερος ἀποξαίει. Ἐπεὶ δὲ ἀνθηρότερον τοῦτον ἑώρα, καὶ οὐμενοῦν οὐδαμῶς ἐνδιδόντα, ἀνίησι τῆς βασάνου τῆς καρτερίας αὐτὸν ἀγάμενος, καὶ πρὸς τὴν εἱρκτὴν παραπέμπει, τοῖς αὐτοκράτορσι, φάμενος, ἄξιον περὶ τούτου ἀνενεγκεῖν, αὐτοῦ που παρὰ τὸν Φαρμούτιον τὸ νῦν ἔχον σκηνωσαμένοις καὶ τῆς ἐκ Περσίδος σοβαρῶς χρηματίζουσι.

10. Ποταμὸς δέ ἐστιν ὁ Φαρμούτιος· οὗτος βοῤῥάθεν Νικαίας περὶ τοὺς πρόποδας τῶν Ἀστακηνῶν ὀρῶν ἀναβλύζων, καὶ χῶρον ὅτι πλεῖστον ὕπτιον καὶ πολύδενδρον τοῖς ἑλιγμοῖς παραμείβων, καὶ τοῖς μετὰ τὴν Τραϊνοῦ γέφυραν λειμῶσι τε καὶ

κήποις, Νεῖλος ἄλλος γιγνόμενος, τῇ Ἀσκανίᾳ ἐπισμίγνυται λίμνῃ. Τούτου τὸ ὕδωρ κάλλιστον, ὡς καὶ τοὺς ἀπὸ τῆς λίμνης ἰχθύας ἐν καιρῷ τοῦ ἔαρος τὸν ὁλκὸν ἀνατρέχειν, καὶ ἀγρευομένους, ἥδιστον ὄψον οὐ Νικαεῦσι μόνοις, καὶ ἀστυγείτοσι γινομένους, ἀλλὰ δὴ καὶ ὑπερορίοις, καὶ πλέον τοῖς ἁβροδιαίτοις τῶν Βυζαντίων. Φύσις γὰρ τοῖς ἰχθύσι τοιαύτη, ὡς νεαλεῖς πυρὶ ὀπτωμένους, ἀδιαφθόρους ἐπὶ πολὺ διαρκεῖν. Ἀλλ' ἐπὶ τὸν μάρτυρα πάλιν ἰτέον, εἰ καὶ οἷον ἥδυσμά τι τῷ λόγῳ τὸ τοῦ ποταμοῦ προσετέθη διήγημα.

11. Εἶχε μὲν ἡ φυλακὴ τοῦτον, καθὰ φθάσας ὁ λόγος ἐδήλωσε, παρεμβολαῖς ἀγγέλων ὅσαι ὧραι κυκλούμενον, καὶ νοερῶς τούτοις συναγαλλόμενον. Ὁ Δέκιος δὲ τοῖς κρατοῦσιν ἐμφανισθεὶς διέξεισι μὲν καὶ ἄλλων | ἕνεκα δημοσίων, ἐξαιρέτως 38.
δὲ περὶ τούτου· « ὡς ἐξυβρίζει μὲν ἀναίδην εἰς τοὺς θεοὺς τῶν θεσπισμάτων ἡμῶν οὐκ ἐπιστρεφόμενος, καὶ ὅτι ἀπειλῶν ὑψηλῶν ὑψηλότερος, πειθοῦς ἰσχυρότερος, τῶν βασάνων καταφρονῶν, μικροῦ καὶ χάριτας τοῖς δημίοις ὁμολογῶν, καὶ ὡς, εἰ μὴ συντόμως, φησίν, ἐκ τοῦ μέσου γένοιτο, οὐ Νικαέας μόνον, ἀλλὰ καὶ πολλοὺς ἄλλους τῶν θεῶν ἀποστήσει, καὶ τῷ ἐσταυρωμένῳ προσάξει. » Οὕτως εἰπόντι, τῷ μιαρῷ ψῆφον ἐγγράφως οἱ δυσσεβεῖς ἐγχειρίζουσιν, οὑτωσὶ περιέχουσαν. « Εἰ μὴ μεταβάλοιτο ὁ θεοῖς ἐχθρὸς Νεόφυτος, ἐν κλιβάνῳ, σφοδρῶς ἐγκαυθέντι, ζῶντα τοῦτον βληθῆναι καὶ ἀσφαλισθῆναι τὸ θεῖον ἡμῶν διακελεύεται κράτος. Εἰ δ' ἴσως καὶ τοῦ πυρὸς ὑπέρτερος ταῖς μαγγανείαις ὡς πολλοὶ καὶ ἄλλοι τῶν αὐτῷ ὁμοφρόνων ὀφθείη, θηρίοις καὶ ξίφεσι βιαίως τῆς ἡδίστης ζωῆς στερηθήτω. » Καὶ αὕτη μὲν τοῖν βασιλέοιν ἡ ψῆφος.

12. Τὸν κλίβανον δὲ οὐ μετ' οὐ πολὺ ἐγκαύσας ὁ ἡγεμών, ὃν δὴ καὶ φοῦρνον Ῥωμαίοις καλεῖν σύνηθες, καὶ τὸν στεῤῥὸν ὄντως παραστησάμενος, ποίας μὲν ὁ σκολιὸς μηχανῆς ἀπέσχετο; τί δὲ οὐκ ἔλεξε τῶν ἐπαγωγῶν, καὶ ψυχὴν φιλόκοσμον

ἐφελκύσασθαι δυναμένων; βασιλέων φίλον τοῦτον γενέσθαι, τῶν ἐν τῷ παλατίῳ τὰ πρῶτα φερόντων ἕνα, κήδους τῶν εὐγενῶν καὶ ἐνδόξων τυχεῖν, ἀπείρου πλούτου καὶ κτημάτων κύριον, καὶ τῇ ἑαυτοῦ πατρίδι καὶ τῷ γένει περίβλεπτον, μόνον εἰ συγκατάθοιτο θύειν, ἀλλὰ μὴ ὡς εἷς τῶν κακούργων κακῶς ἀπόλοιτο, καὶ ταῦτα, σοφὸς ὢν καὶ καλὸς νεανίας. Καὶ γὰρ « εἰ μὴ θελήσειας, φησὶ, ταύταις δὴ ταῖς ἡμετέραις συμβουλίαις πεισθῆναι, τῷ κλιβάνῳ τούτῳ σε ἐμβαλῶ, κατὰ τὴν
38. ἀπόφασιν τῶν | κρατούντων (δείξας αὐτῷ τὸν φοῦρνον), ἑπταπλασίως καιόμενον, καὶ οὐδέν σε ἡ ἄκαιρος ἔνστασις καὶ ὁ Ναζωραῖος ὠφελῆσαι ἰσχύσουσι. » Πρὸς ταῦτα ὁ μάρτυς ὑπολαβών· « ἀλλ' ἐγὼ, φησὶν, ὦ ἡγεμὼν (ἀπεκρίνατο), Θεῷ πιστεύων ἀληθινῷ, οὗ τῷ νεύματι πάντα εἴκει καὶ μεταβάλλεται, οὐ τὸ ὁμόδουλον τοῦτο πῦρ δειλιάσω, οὐ ξίφος, οὐ θῆρας, οὐκ αὐτὸν τὸ τελευταῖον τὸν θάνατον· τιμῆς δὲ καὶ δόξης καὶ πλούτου ἐκείνων ἐφίεμαι, τῶν ἀκηράτων καὶ εἰσαεὶ διαμενόντων. Μὴ οὖν τρῖβε τὸν καιρὸν, οἰόμενος ἐμὲ πείσειν ποτὲ τοῦ φωτὸς τὸ σκότος ἀλλάξασθαι, κἂν χρηστότερα προτείνῃς, κἂν ἀπειλῇς χαλεπώτερα ». Ἀπείρηκε πάντῃ ἐπὶ τούτοις ὁ τύραννος.

13. Καὶ ὅρα λοιπόν· πρὸς τοὺς δημίους ἐπιστραφεὶς, « ἀσφαλῶς τοῦτον δεσμεύσαντας, τῷ κλιβάνῳ ἐπεμβαλεῖν, καὶ τὸ στόμιον λίθῳ πωμάσαντας ἄχρι καὶ τρίτης διατηρεῖν ἀπαράνοικτον, ὡς ἂν μηδὲ κόνις τοῖς κατὰ γένος αὐτοῖς καὶ σέβας προσήκουσιν ὑπολειφθείη. Τῆς τρίτης δὲ περαιουμένης, ἐλεύσομαι καὶ ἴδω, τίς, καὶ ποταπὴ, ἡ τοῦ Θεοῦ αὐτοῦ βοήθεια » εἶπε· καὶ εὐθὺς οἱ δήμιοι τὸ κελευσθὲν ἐξεπλήρουν. Μετὰ γοῦν τὴν τρίτην ἡμέραν ἧκεν ὁ ἡγεμὼν μετὰ πάσης αὐτοῦ τῆς δορυφορίας καὶ τάξεως· ἧκε δὲ καὶ ἄλλο πλῆθος κατὰ θέαν, ἀριθμὸν ὑπερβαῖνον. Καὶ πρὸ τοῦ τὸν φοῦρνον ἀνοῖξαι, ὢ τῆς θαυμαστῆς σου, Χριστὲ βασιλεῦ, δυνάμεως! ἀκούουσι τοῦ μάρτυρος, ὡς ἐν ναῷ ἁγίῳ μεγαλοφώνως ψάλλοντος·

«Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν· Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με (Ψμ. κβ´.)» καὶ τὰ | ἑξῆς. 39.
Ὡς δὲ καὶ τῶν ἀνδρικῶν τινες στρατιῶται (οὕτως προσταγὲν ὑπὸ τοῦ ἄρχοντος), τὸ στόμιον ἀνοῖξαι ἐφώρμησαν, παραπλήσια τῇ περσικῇ καμίνῳ καὶ νῦν ἐνηργεῖτο· φλὸξ γὰρ ἐκπηδήσασα, τοὺς ἀνοσίους ἄρδην κατέφλεξεν, εἰς μηδοτιοῦν τὸν χρυσοῦ εὐριζότερον λυμηναμένη. Ἔξεισι γὰρ ὁ ἅγιος, οὐχ ὡς ἐκ πυριφλεγοῦς ὀργάνου σημεῖον καύσεως ἔχων, καὶ ταύτης ἐν αὐτῷ τριημερεύσας, ἀλλ' ὡς ἐξ ἡλίου ἥλιος ἄλλος ἀκτινοβολῶν, καὶ εὐωδίας ἀῤῥήτου τὸν ἀέρα καὶ τοὺς παρόντας ἀποπληρῶν.

14. Τί τὸ ἐντεῦθεν; προστίθεται τῷ Κυρίῳ καὶ νῦν, ἐπὶ τῷ μεγίστῳ τούτῳ θαύματι, λαὸς περιούσιος· «εἷς μόνος Θεὸς ἀληθὴς, εἷς ὁ Χριστὸς, μεγάλως βοῶντες, ὁ τοὺς δοξάζοντας αὐτὸν μεγαλύνων τοῖς θαύμασιν.» Οὔαρος δὲ, ὁ καὶ οὔριος (οὕτω γὰρ αὐτὸν καλεῖν οἰκειότερον) οὐδὲ οὕτω συνῆκεν, ἀλλ' ὥσπερ οἱ ἐκ Τροφωνίου, σκυθρωπὸς καὶ αἰσχύνης ἔμπλεως ἀναχωρῶν, μαγείᾳ τὸ τοσοῦτον θαῦμα ἐδίδου· καὶ τὸν γενναῖον τῇ φυλακῇ πέντε τὸ ἀπὸ τοῦδε ἡμέρας, ἐν αἷς λιμῷ δύο τῶν ἀνδροφόνων ἄρκτων καὶ τὸν μέγιστον λέοντα κατεργασάμενος, καὶ τὸν τρισαριστέα θηριομαχήσοντα, ἐπὶ τὸ θέατρον ἄγει. Ἀλλ' οὐκ ἠμέλει καὶ νῦν ὁ τῶν θαυμασίων Θεὸς, ἀλλ' ὥσπερ τὸ πῦρ αὐτῶν ἐχαλίνωσεν, οὕτω δὴ (καὶ) τοὺς θῆρας εἰρηνεύειν πρὸς αὐτὸν μᾶλλον, ἢ ἀγριαίνειν ἐποίησεν. Ἀπολυθέντες γὰρ ἐν τῷ σταδίῳ, τοῦ δικαίου τῷ ἰκρίῳ προσδεδεμένου, θεραπαινίδων οὐ θηρίων ἐπεδείξαντο ἔργα· προσδραμόντες γὰρ, καὶ τοῖς ποσὶν αὐτοῦ προσκυνήσαντες, πρὸς τὰς γαλεάγρας αὖθις ὑπέστρεψαν. Τί οὖν ὁ τοῦ σκότους υἱὸς, | καὶ 39*.
τῶν δαιμόνων θεραπευτής; ἆρ' ἐνενόησε θείας τοῦτο δυνάμεως εἶναι; οὐδαμῶς· «ἀλλὰ μάγος ὢν, φησὶν, ὡς τὸ πῦρ ἐπέδησεν, οὕτω δὲ καὶ τὰς ἄρκτους ἐφίμωσεν. Ἀπολυθήτω οὖν αὐτῷ καὶ

ὁ παμμεγέθης λέων, καὶ ἴδωμεν, εἰ καὶ τοῦτον ταῖς γοητείαις κατακηλήσει. » Καὶ τούτου ἀπολυθέντος, γίνεταί τι πρᾶγμα λογικῆς οὐ πόῤῥω φύσεως ὄν. Ἅλλεται μὲν ῥαγδαίως ὁ θὴρ, χαίνει δὲ εἰς τοσοῦτον, ὡς δοκεῖν ὅλος στόμα γενέσθαι· ἐπεὶ δὲ τῷ μάρτυρι πλησιάσοι, συστέλλεται μὲν ὡς ἀπὸ πυρὸς, τὴν κεφαλὴν δὲ τοῖς ἐκείνου ποσὶ προσερείσας, στενάζων τε συνεχῶς, καὶ τὸ οὐραῖον ὑποκινῶν, δακρύων ὑφίει πηγάς. Ἔγνωκε γὰρ ἀληθῶς αὐτὸν εἶναι τὸν ἐν τῷ ὄρει τὴν ἡμέραν ταύτην αὐτῷ παραγγείλαντα. Τοῦτο δέος οὔ τι μικρὸν καὶ οἶκτον τῷ δήμῳ ἐνέθηκε· δέος μὲν, ὡς μήποτε τοῦ σταδίου ὑπεκδραμὼν ὁ θὴρ, λώβην τισὶν ἐμποιήσει, οἶκτον δὲ, ὅπως καὶ θῆρες ἄγριοι τὴν ἀδικίαν ἀποστυγοῦσιν. Ὁ μέν τοι λέων οὐκ ἀνῆκε κλαίων καὶ ὀδυρόμενος, ἕως τὸ θεολόγον στόμα ὁ ἀθλοφόρος ἀνοίξας, ἐπὶ τὸ σπήλαιον ἀπαθῆ κακοῦ ἀπιέναι προσέταξε, βλάψαντά τινα μηδαμῶς. Καὶ ὁ μὲν, εὐθὺς τὰς τοῦ σταδίου θύρας διασπαράξας, ἔξεισι, καὶ πρὸς τὸ ὄρος, ὡς εἴρηται, ἐπορεύετο· οἱ θεαταὶ δὲ, καὶ λίαν καταπλαγέντες ἀπολύεσθαι τὸν εὐγενῆ νεανίαν, ὃν καὶ θῆρες ᾐδέσθησαν, ἐπὶ πολὺ ἀνεβόων.

15. Δεκίῳ δὲ τῷ δυσσεβεῖ τοῦτο οὐκ ἤρεσκεν, ἀλλ' οἱονεὶ ταῖς τοῦ θεάτρου κραυγαῖς ἐμβροντισθεὶς, καὶ τοῦ θυμοῦ ἥτ-
40. των γενόμενος, λόγχαις κατὰ στερνῶν | καὶ τῶν πλευρῶν κρουσθῆναι τὸν πολύαθλον τοῖς δορυφόροις ἐνεκελεύσατο. Καὶ τούτου γενομένου, πνεῦμα μὲν αὐτοῦ τὸ ἱερὸν, εἰς χεῖρας Θεοῦ παρατίθεται, πρώτην ἐπὶ εἰκάδα τοῦ Ἰανουαρίου μηνὸς ἄγοντος, σῶμα δὲ τὸ καθαρὸν καὶ ἀγγέλοις αὐτοῖς αἰδέσιμον, τινὲς τῶν εὐλαβῶν, μύροις καὶ σινδόσι σεμνῶς περιστείλαντες, πρὸς τὸ δυσμικώτερον τῆς πόλεως μέρος, ἔξω τειχῶν μεταξὺ τοῦ αἰγιαλοῦ τῆς λίμνης, σεπτῶς κατατίθενται. Χρόνῳ δὲ ὕστερον τῆς εἰδωλικῆς ἀχλύος ἀφανισθείσης, καὶ βασιλέων εὐσεβῶν τὰ σκῆπτρα τῆς Ῥωμαίων ἀρχῆς ἰθυνόντων, καὶ ναὸς αὐτῷ περικαλλὴς παρά του τῶν φιλομαρτύρων ἐν αὐτῷ τῷ τόπῳ ᾠ-

κοδομήθη· ὃς καὶ τῇ πόλει μέν ἐστιν οἷόν τις πρόμαχος καὶ προπύργιον, σωτὴρ δὲ τοῖς τὴν λίμνην πλέουσι, δαιμόνων φυγαδευτὴς, καὶ νοσούντων καὶ ἄλλως παθαινομένων ἀρωγὸς ἑτοιμότατος, εἰς δόξαν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

(*) ΒΙΟΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΥΠΑΤΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΓΑΓΓΡΩΝ.

1. Τῶν εἰς ἄκρον ἀρετῆς ἐληλακότων ἀνδρῶν τὸ τοὺς βίους ἀναγράπτους ποιεῖν, καὶ τούτους ὥσπερ τινὰ στήλην ἢ πρόγραμμα προτιθέναι τοῖς βουλομένοις, ὡς ἂν ἔχοι ἐνάγεσθαι πρὸς τὴν μίμησιν, ἀποδεκτὸν, ὡς οἶμαι, καὶ φίλον Θεῷ. Εἰ γὰρ ἐκεῖνοι τῶν ὅσα πέφυκε θνητῇ φύσει μακάρια κρίνειν ὑπεριδόντες, πρὸς μόνα τὰ μένοντα τὴν ἅμιλλαν ἐπεδείξαντο, πῶς οὐκ ἂν εἶεν ἄξιοι ταῖς ἐκ λόγων τιμαῖς τὴν ἀθάνατον πορίζεσθαι εὔκλειαν; Εἴ γέ τις εὑρεθείη λόγος κατ' ἀξίαν ἀποσεμνύνων αὐτοὺς, ἀλλ' εἰ καὶ τὴν ἀνωτάτω λαχόντες τιμὴν, τῆς ἐξ ἡμῶν οὐκ ἀπόνανται· ἀλλ' οὖν οὐκ ἀποκνητέον πρὸς τὴν ἐγχείρησιν, μάλιστα δὴ θεοφιλοῦς καὶ συνήθους ἀνδρὸς πρὸς ταυτηνὶ παρορμήσαντος.

(*) Μαρκ. κῶδιξ CCCXLIX. φύλλ. 238, αἰῶν. XII. Zan.

2. Καὶ δὴ προτεθείσθω τοῦ λόγου καθηγεμὼν καὶ ὑπόθεσις ὁ ἱερὸς καὶ μέγας Ὑπάτιος, ᾧ καὶ θαῤῥῶν, ὡς οἷα εἰκὸς, συναντιληψομένῳ, τοσοῦτον ἔργον ἑλέσθαι προῄρημαι. Οἱ μὲν δὴ θύραθεν νόμοι διὰ σπουδῆς τίθενται οἷόν τινα κρηπῖδα πεποιῆσθαι τοῦ λόγου, πατρίδα καὶ γένος, καὶ τούτοις ἀποσεμνύνειν
239. τὸν | εὐφημούμενον· καίτοι τί τούτῳ συνοίσει πρὸς εὐδοκίμησιν εὔφορος χώρα καὶ πίων, ἢ τοῖς ὕδασιν ὅλη κατάῤῥυτος, γένος τε λαμπρὸν καὶ περίδοξον, τά τε ἄλλα, οἷς ἀρετῆς ἄνθρωπος ἔρημος ἐναβρύνεσθαι πέφυκεν; Ἐφ' ἡμῖν δὲ ταῦτα ἀντέστραπται, οὐχ ὡς οὐκ ἔχουσι. Τίς γὰρ εὐπορήσειε λόγων τοσούτων περὶ τῆς Κιλίκων καὶ Γαλατῶν διερχόμενος γῆς, καὶ ὡς ἔχουσι κάλλους καὶ θέσεως, ἐν αἷς καὶ Παῦλος ὁ θεῖος τὸν λόγον ἐκήρυξεν, ὃν ἡ μὲν γεννήσασά τε καὶ τιθηνήσασα, ἡ δὲ τοὺς τῶν ἄθλων ἀγῶνας καὶ τρόπαια θεατρίσασα Παφλαγόσιν, εἰκότως, ὥς τι πρωτόλειον, παρεπέμψατο; ἀλλ' ὡς δεικνύειν ἐθέλουσιν ἐκ τούτου γε πλέον ἐχούσας ἐκείνας τὸ θαυμάζεσθαί τε καὶ μεγαλύνεσθαι.

3. Οὕτω μὲν ἡμῖν οἰχήσεται τὰ πατρίδος περικαλλῆ, προσκείσεται δὲ τὰ τῶν πατέρων σεμνολογήματα, οὓς τὸ τοῦ καιροῦ ἐφεστὼς, ἐπ' εὐσεβείᾳ καὶ γένει τῶν ἄλλων μᾶλλον ὑπερανεστηκότας ἐγνώριζεν. Ἐπεὶ μηδὲ πλούτῳ καὶ δόξῃ, καίτοι μηδὲ ἐν τούτοις τὰ δευτερεῖα φέρουσι, σκοπὸς προσῆν καλλωπίζεσθαι, ἀλλ' ἢ τὸ τοῦ Θεοῦ ἐξηρτῆσθαι, καὶ τῶν τούτου νόμων ἀντέχεσθαι· οἳ, καὶ ἴσοις τὸν παῖδα ἐνάγοντες, ὑπερβαλέσθαι τῇ πρὸς τὰ κρείττω ἐφιλονείκουν ἀναγωγῇ, πρὸς οὐδὲν ἕτερον ἐῶντες ἀπασχολεῖσθαι ἢ παιδείᾳ θείᾳ τε καὶ ἀνθρωπίνῃ, καὶ τοῖς ὅσα τὸν ἐντὸς ἄνθρωπον οἶδεν ἀνακτίζειν τε καὶ ἀνανεοῦν. Ὡς δὲ προκόπτων ἐν τούτοις εὐχῆς ἔργον τοῖς φύσασιν ἦν, καὶ τῇ μεθηλικιώσει συναύξουσαν εἶχε τὴν φρόνησιν, σπουδὴν ἐπεποίητο τῷ κρείττονι προσανέχειν, καὶ πρὸς μηδὲν ἕτερον μετεωρίζειν τὸν νοῦν. Πάντα γὰρ ἐμπαθῆ λογισμὸν ἀποσκευασά-

μενος, καὶ τῇ εὐαισθησίᾳ τὰ μόρια ταύτης ἀπεργασάμενος ἀ-
στασίαστα, καὶ ὥσπερ ἐκ τῆς ἰδίας ψυχῆς ἀπωσάμενος, ὅλος
γέγονεν ἑαυτοῦ· πυκνότερον | δὲ προσβάλλων τῷ ἱερῷ, κἀκεῖ- 239*.
θεν ἕλκων, ὡς ἔκ τινων σίμβλων, τὸ νοητὸν μέλι καὶ ψυχοτρό-
φον, φίλτρου πλήρεσιν ὀφθαλμοῖς εἰς αὐτὸν ἐνορᾶν ἅπαντας
παρεσκεύαζεν.

4. Ἐπεὶ δὲ τὴν ἥβην ὑπερεκβὰς καὶ εἰς ἄνδρας ἤδη γραφό-
μενος, ἐδεῖτο καὶ τῶν στυφόντων, ὅτε δὴ τῷ τῆς ἡλικίας ἀκ-
μαίῳ πέφυκε τὸ σῶμα σκιρτᾶν, καὶ σφοδρότερον ἤδη κατ' αὐ-
τῆς ἀντιστρατεύεσθαι τῆς ψυχῆς, ὥσπερ τις πῶλος δυσήνιος,
ὅταν, τὸν χαλινὸν ἐνδακών, κατὰ κρημνῶν τὸν ἐπιβάτην ὠθῇ,
θεῖόν τι μηχανᾶται καὶ τῆς οἰκείας οὐκ ἀποδέον φρενός. Οὐκ
ἐπιδίδωσιν ἑαυτὸν τῇ τρυφῇ καὶ ῥᾳστώνῃ, καὶ τῷ πρὸς δαπά-
νην ῥέοντι πλούτῳ, τῷ τῆς ψυχῆς τυράννῳ καὶ δυσμενεῖ, ἢ
τοῖς ὅσα διαχεῖσθαι καὶ διαῤῥεῖν τὰ ταύτης ἀγώγιμα εἴωθεν
ἐμποιεῖν, ἃ δὴ τολμᾷ νεότης, αὐτονόμῳ μανεῖσα ῥοπῇ· ἀλλ' ἐν
ἀκμάζοντι σώματι νοῦν ἐπαγόμενος πολιὸν, τῷ τῆς διαίτης
κεκολασμένῳ κατεμέτρησε τὴν γαστέρα πρὸς ὕπνου τε καὶ πά-
θους ἐγκράτειαν. Ἡμέρα γὰρ αὐτῷ καὶ νὺξ οὐ παρήλλαττε
σωφρονοῦντι πρὸς ἡδονὰς, καὶ τὰς ἐκ νόμων θείων ἀσκουμένῳ
μελέτας, καίτοι πολλοὺς ὁρῶντι τὴν ἀκρασίαν τιμήσαντας, καὶ
μηδὲν τῶν ὁρωμένων ἐπίπροσθεν ἄγοντας. Ἀλλ' οὐ συγγνώμην
ἡγεῖτο τὸ μετὰ πολλῶν πλημμελεῖν, ἔστι δ' ὅτε τὰ πολλὰ κα-
θειργνὺς ἀπρόϊτον ἑαυτὸν ἐν οἰκίσκῳ βραχεῖ, μόνῳ καταμόνας
ὡμίλει Θεῷ, καὶ, οἷά τις θεόπτης Μωσῆς, τὴν τῶν ἀποῤῥήτων
γνῶσιν μεμυσταγώγητο. Ἆρ' οὖν οὗτος δεήσειέ τινος τῶν ὅσοι
Θεοῦ θεράποντες τὴν τῶν ἀποῤῥήτων δήλωσιν εἰληφότες τῷ
ἐντεῦθεν διαπρέπουσι θαύματι δεύτερος ἔρχεσθαι; Πολλοῦ γε
καὶ δεῖ.

5. Ἀλλὰ γὰρ τοιοῦτός γε ὢν, καὶ τοιαῦτα τελῶν, τοὺς πολ-
λοὺς οὐκ ἐλάνθανεν. Ὅσοι | δὴ οὖν τῶν ἄλλων ἀπόκριτοι καὶ 240.

τὰ πρῶτα φέροντες, οὕτω πρὸς τὸ τοῦ ἀνδρὸς κλέος διανίστανται τὴν ψυχὴν, καὶ οὕτως ὁ πρὸς ἐκεῖνον αὐτοὺς κατεκέρασε πόθος, ὡς ἀμελητὶ τῷ ἀρχιερᾶσθαι λαχόντι τῆς αὐτῶν εὐφορείας ἐντυχόντας, Ἀθανασίῳ τῷ μακαρίτῃ, τὰ περὶ αὐτοῦ διεξέρχεσθαι· καὶ ὃς ταῦτα ἀκηκοὼς, ὑφ' ἡδονῆς ὥσπερ ἔνθους γενόμενος, οἷα τὸν τῷ ποιμνίῳ ἀντιληψόμενον εὑρηκὼς, ὡς αὐτὸν μετακαλεῖσθαι προσέταττε, καὶ παρῆν ἀπροφάσιστος. Τέως οὖν τῷ κλήρῳ καὶ ἄκων κατείλεκτο (οὐδὲ γὰρ ᾔδει, πειθήνιος ὢν, τῷ ἐγκελευομένῳ ἀντιτείνειν ἐπὶ πολὺ) καὶ νεωκόρος δὲ γενέσθαι φημίζεται τοῦ θείου νεώ· ἐπεὶ μηδὲ πρὸς τῆς αὐτοῦ μακαρίας ἦν ψυχῆς, τὸ μὴ πρότερον ὡς ὑποβάθραν τινὰ κτήσασθαι τὴν ὑπακοὴν, καὶ οὕτω δι' αὐτῆς ὡς διὰ κλίμακος ποιεῖσθαι τὴν ἄνοδον. Χρόνος οὐχὶ συχνὸς, καὶ τοῖς τοῦ πρεσβυτέρου θρόνοις ἱδρύεται, οὕτως ἐν καθέδρᾳ πρεσβυτέρων αὐτῷ τὸν Κύριον αἰνεῖν ἐξεγένετο.

6. Ἀλλ' αὐτὸς μὲν ἐν ταύτῃ τῇ τιμῇ παραγγείλας, καὶ ἐπὶ τοιούτοις προβιβασθεὶς, οὐκ ᾠήθη δεῖν ἄκαρπον ἑαυτὸν πάντῃ καταλιπεῖν, ἀλλὰ ταῖς γενικαῖς κατοχυρωθεὶς ἀρεταῖς, καὶ εἰδὼς ὅτι δευτερεῦον τοῦ λόγου τὸ ἔργον, δυνάμει καθυπερτερεῖ καὶ προτέτακται, ἃ τοὺς ἄλλους ἐδίδασκεν, αὐτὸς ἑωρᾶτο πρῶτος τελῶν, καὶ πλέον ἢ πρότερον ἐπεδίδου πρὸς τὴν τῶν καλῶν ἐπανάληψιν, ὅσῳ τότε μὲν τῆς ἑαυτοῦ καὶ μόνον, νῦν δὲ τῆς τῶν πολλῶν σωτηρίας ἐφρόντιζεν. Ἐντεῦθεν ὥσπερ τις δεινὸς ἐραστὴς ἄλλος ἄλλοθεν σώφρονι μανίᾳ χρησάμενος διανίστατο, καὶ πάντες ἐκεῖθεν ὡς ἐκ πίνακος μεταγράφοντες ἀρ-
522. χετύπου τὰς ἀρετὰς, ἐν ταῖς τῶν καρδιῶν | πλαξὶν ἐνεκάλυπτον, ὁ μὲν τὸ σῶφρον, ὁ δὲ τὸ πρᾶον, ἄλλος τὸ ταπεινὸν, ἕτερος τὸ εὐπροσήγορον καὶ εὐθὲς, οὗτος τὸ ἐγκρατὲς, ἐκεῖνος τὸ ἐν προσευχαῖς καὶ παννύχοις στάσεσιν ἀδιάλειπτον, πάντες τὸ εὐσεβὲς, ὃ καὶ μᾶλλον τῶν ἄλλων τῷ μακαρίτῃ προὐκρίνετό τε καὶ προτετίμητο· τῷ γὰρ εὐσεβείας ἀντιποιουμένῳ,

ῥᾳδίως καὶ τῶν λοιπῶν ὁ σύλλογος ἀρετῶν ἐπακολουθεῖ, ὥσπερ αἰδούμενος ταύτης τὴν πρὸς τὸ κρεῖττον συγγένειαν, ἢ καὶ συνών, ὡς οἷα κοινὸν οἰκητήριον εὐτυχεῖ τὴν τοῦ κεκτημένου ψυχήν. Ἀλλὰ τί πάθω; Ὅλῳ γάρ μοι κατακενωθέντι καὶ κατεπειγομένῳ τὰς γενικὰς εἰδικώτερον τοῦ θαυμασίου διέρχεσθαι, τὸ τοῦ ποιμνίου ἀπροστάτευτον οὐκ ἐᾷ, καὶ παραπλήσιόν τι πέπονθα, τῷ διακαῶς ἔχοντι δίψει, εἶτα ψυχροῦ τε καὶ διειδοῦς εὐπορήσαντι νάματος, καὶ γευσαμένῳ τὸ πρῶτον, μὴ ἐωμένῳ ἐμφορηθῆναι ὑπό τινος καὶ τὸ δίψος ἰάσασθαι· ὅμως τῷ κατηφιῶντι μέρει καὶ ἀπολοφυρομένῳ τὸ πλέον ἑαυτὸν ἐπιδούς, ἐπὶ τὸν τῆς προεδρίας λόγον τετράψομαι.

7. Ἄρτι τοῦ καθηγεμόνος μετὰ μυρίους ἱδρῶτας τοὺς ὑπὲρ ἀρετῆς μετατεθέντος πρὸς τὴν ἀμείνω ζωήν, καὶ πρὸς ὃν ἀνενδότως εἶχε τὴν ἄφεσιν φθάσαντος, ὡς οἷα χηρεῦον τοιούτου ποιμένος τὸ ποίμνιον, ἐστύγναζε μελανειμονοῦν. Εἰ γὰρ καὶ τὰς ἐλπίδας ἐφ' Ὑπατίῳ ἐσάλευεν, ἀλλ' ἐπ' ἀδήλῳ καὶ οὐκ ἐν βεβαίῳ, ὅμως ἐχεῖτο πᾶν ὅσον ἔκκριτον ἐπ' αὐτῷ, τὴν προστασίαν αἰτοῦν ἀναδέξασθαι. Ὁ δὲ καίτοι πᾶσιν ὑπείκειν εἰδὼς τοῖς ἐπὶ σωτηρίᾳ συντείνουσιν, ἐν τούτῳ καὶ μόνον ἀνένευε καὶ τὸ σκληρὸν ἐδείκνυ καὶ ἄτρεπτον. Καὶ πάλιν βοαὶ συμμιγεῖς τοῦ πλήθους παντός, καὶ δακρύων μεθ' ἱκετηρίας, καὶ τῶν φθασάντων δυστυχημάτων ὑπόμνησις· «ὁρᾷς | λεγόντων, ἄνθρωπε 241.
τοῦ Θεοῦ, τῷ πλείστῳ μέρει τὴν καθ' ἡμᾶς ἑλληνίζουσαν καὶ μαινομένην ἐπὶ τῇ τῶν ἀφιδρυμάτων καταστροφῇ, καὶ μάλιστα διὰ τουτονὶ τὸν περίπτυστον νεών, ὃν ἀνακείμενον πρότερον Διονύσῳ τῷ τῆς μέθης ἐφόρῳ, πολλῷ καμάτῳ καὶ μόχθοις ὁ τῆς ἀθανασίας φερώνυμος εἰς θεῖον μετεσκευάσατο, καὶ τοὺς βακχικώτερον εὐάζοντας ἐν αὐτῷ καὶ φύλλοις ἀναδουμένους κισσῶν ἀπεώσατο, καὶ ἀντὶ τῶν μισαρῶν τελετῶν καὶ τῶν δι' αἵματος θυσιῶν καὶ κνισσῶν, θείων μυστηρίων καὶ αὐτῆς τῆς Τριάδος εἰργάσατο καταγώγιον; Ἀνέξῃ οὖν ἑλληνικὴν ὀφρὺν

κατεπαίρεσθαι, τοῦ προστησομένου μὴ ὑπόντος, καὶ σατανικὴν ἀπάτην ἐπὶ πλέον αἴρειν τὴν κεφαλὴν, καὶ τοὺς ταύτῃ ὑπαγομένους τὴν εἰς ᾅδου πορεύεσθαι; Καὶ πῶς μιμήσῃ Χριστὸν, τὸν τῷ κορυφαίῳ παρεγγυῶντα τῶν μαθητῶν, μηδὲν ἄλλο τῆς τοῦ ποιμνίου προκρίνειν προστασίας; »

8. Τούτοις δὴ τοῖς περιπαθέσιν ἐπικαμφθεὶς, καὶ γὰρ οὐδὲ τοῦ προσήκοντος πόῤῥω τὰ λαλούμενα κατεφαίνετο, « καὶ προστήσομαι, φησὶ, καὶ πρὸς ἀγῶνας ἀνδρικωτέρους ἐλεύσομαι, καὶ θήσω τὴν ψυχὴν ὑπὲρ ὑμῶν, εἴ τι καὶ τοῦτο δεῖγμα φιλίας καθέστηκε. » Καὶ δὴ τοῦτον ἕκαστος ὡς εἶχε τάχους λαβόντες, τῷ προκαθημένῳ τῆς Κωνσταντίνου εἰσφέρουσι, διεξιόντες τὰς αὐτοῦ ἀρετάς· ὃς, καὶ ταύταις ἡσθεὶς, τὸ ποθούμενον δίδωσι, καὶ οὕτως ἐφ' ὑψηλῆς ὁ λύχνος ἀνάγεται σκοπιᾶς, ὡς ἂν ἔχοι καταφωτίζειν τοὺς ὡς ἐν ἀσελήνῳ νυκτὶ τῇ πλάνῃ προσκόπτοντας. Οὕτω μὲν εἰς τὸ εὔθυμον τὸ ποίμνιον μετεβάλετο, καὶ τὸ πένθιμον εἰς χάριεν μετετρέψατο, καὶ ὃν ὁ θρόνος ἐπόθει ἀπείληφεν, ἐπὶ πολὺ στυγνάζειν μὴ ἀφεθείς.

241. 9. Αὐτὸς δὲ μηδὲν ἀγενὲς προβαλλόμενος, | μηδὲ τὰς χεῖρας, τὸ δὴ λεγόμενον, ἔνδον ἀνασχόμενος ἔχειν, πρὸς τὸν ἑλληνισμὸν ἔτι βρέμοντα καὶ σφαδάζοντα καὶ κατὰ τῆς ἡμετέρας θρασυνόμενον πίστεως διανίσταται, οὐχ ὅπλοις ἀμυντηρίοις χρησάμενος, ἢ πλήθει συμμάχων τακτικοῖς ἐγγυμνασθέντι παρὰ πᾶσαν ζωὴν, ἀλλὰ δυνάμει Χριστοῦ καὶ σημείῳ σταυροῦ. Καὶ δὴ τὴν γλῶτταν κινήσας ὥσπερ νευρὰν, ἢ τείνας ὡς τόξον καὶ βέλος ἐπτερωμένον, λόγους ταχεῖς ἐπαφεὶς κατὰ τῆς καρδίας τῶν δυσσεβῶν ἐξετόξευσεν, εὐφυῶς καταστοχασάμενος, οὐχ ὥστε πλῆξαι καὶ θανατηφόρον ἰὸν ἐνιέναι, ἀλλ' ὥστε μαλάξαι τὸ σκληρὸν καὶ τὸ πικρὸν ἐγγλυκάναι καὶ ἄποτον τῆς αὐτῶν θολερᾶς καὶ ἁλμυρώδους ψυχῆς· καὶ πρὸς τοῦτο καὶ χεῖρα συνεργὸν κατεκτήσατο, δεξιώσεσι καὶ τραπέζαις τὸ νοσοῦν ἐπαφώμενος. Οὐ γὰρ ἀντιτυπίᾳ τοσοῦτον καταμαλάξειν αὐτῶν

ἐσκέψατο τὸ σκληρὸν, ὅσον εὐποιΐᾳ καὶ δεξιώσει καὶ λόγοις ἠρέμα πως φερομένοις, καὶ παρακαλοῦσι πρὸς τὴν εὐσέβειαν· μαρτυρεῖ δέ τοι καὶ ὁ παρ' αὐτοῦ δομηθεὶς οἶκος, ἀνδρῶνος τάξιν ἐπέχων, ἐν ᾧ τοὺς ἀπίστους εἰς πίστιν φιλοφρονούμενος μετεῤῥύθμιζε, καὶ ἐξ ἀγριελαίου εἰς καλλιέλαιον ἐνεκέντριζεν. Ἐπεὶ δὲ τὸν οἰκεῖον ὁ πονηρὸς ἐμέσας ἰὸν, ἀκράτῳ τινὶ κενώματι τοὺς πολλοὺς ἐνεφόρησε, καὶ τρίβοις διαφόροις διαγαγὼν, πρὸς ἓν αὐτοὺς κατάλυμα τὴν ἀπώλειαν ἤθροισεν· οὐ δι' Ἑλλήνων μόνον πολὺς ἐφύετο καθ' ἡμῶν καὶ ἀντεστρατεύετο, ἀλλὰ δὴ καὶ αἱρετικῶν, καὶ τοῦτο γνώμης εἶχεν ὁ ἐν κακίᾳ σοφὸς, ὡς εἴπερ τῷ προτέρῳ καταπαλαισθεὶς ἡττηθείη, τῷ δευτέρῳ καταπαλαίσοι καὶ τὴν νικῶσαν ἀποίσεται. Ἀλλ' ἀντιτεχνάζεται τοῦτον ὁ μέγας Ὑπάτιος, καὶ ἀπελέγχει ἐπίληπτον.

10. | Πανταχόσε γὰρ τῆς αὐτοῦ ἐφορείας εὐκτηρίους οἴκους 242. δειμάμενος, τοὺς ἀνὰ τὴν ἐκεῖσε χῶραν οἰκοῦντας ἐν τούτοις ἀθροίζεσθαι καὶ τῶν θείων ἐμπίπλασθαι μυσταγωγιῶν παρεσκεύαζε· πυκνότερον δὲ τούτους ἐπισκεπτόμενος, καὶ τοῖς προφυλακτικοῖς φαρμάκοις κατὰ τοὺς ἰατρῶν παῖδας ἀσφαλιζόμενος, τὸ νοσῶδες καὶ βλαβερὸν ἀπεκρούετο. Τῶν δὲ πολιτικῶν θορύβων τοσοῦτον ἀπείχετο, καὶ τούτοις ὥς τι κατεβδελύττετο μίασμα, ὥστε ποτε κόραις ἐν γειτόνων οἰκούσαις, καὶ ᾄσματα πορνικὰ τὰς τῶν ἀφελεστέρων ἀγρεύοντα ψυχὰς, καὶ οἰστρηλατοῦντα ᾀδούσαις καὶ κωμικώτερον διεξιούσαις, ἐνεκελεύετο σιωπᾶν. Ὡς δὲ παρ' οὐδὲν τὴν κέλευσιν θέμεναι, τοῖς αὐτοῖς ἐπεμαίνοντο, δι' εὐχῆς τοῦ προφορικοῦ ταύτας ἐζημίου λόγου, κἀκ τούτων ἐπαίδευε τοὺς λοιποὺς, μὴ τοιοῦτόν τι πράττειν κατατολμᾶν, εἰδότας, ὡς *ἤθη χρηστὰ φθείρουσιν ὁμιλίαι κακαί* (Α'. Κορ. ιε'. 33).

11. Ἀναχωρῶν δὲ πολλάκις τοῦ ἄστεος, ἐρημικωτέροις ηὐλίζετο χωρίοις, καὶ μάλιστα τοῖς ὅσα διάῤῥυτα καὶ διάβροχα γλυκέσιν ἐτύγχανον ὕδασι, καὶ πόας εὐπορίᾳ σκεπόμενα, κἂν

τούτῳ τὸν οἰκεῖον Δεσπότην μιμούμενος, ὃς οὐ μόνον τοῖς χόρτοις, ὅτε τὴν εἰς τοὺς ἄρτους ἐτέλει τερατουργίαν, κατεκλίνετο, ἀλλ' ἤδη καὶ τοῖς ὄχλοις τοῦτο παρεκελεύετο. Ἔστιν ὅτε, καὶ τραχυτέροις ἐπιβαίνων καὶ κρημνώδεσι χώροις, εὐχῇ καὶ νηστείᾳ ἐσχόλαζεν, ἀπρόσιτος ἐν πλείσταις ἡμέραις γιγνόμενος, καὶ Ἠλίᾳ καὶ Ἰωάννῃ τοῖς ἐρημικοῖς ἁμιλλώμενος. Καὶ κατίδοις αὐτοῦ μέχρι τοῦ νῦν ἐν ἀκρωρείαις καὶ φάραγξι βραχεῖς οἰκίσκους, τὸ παλαιὸν ἀποσώζοντας σχῆμα, καθέδρας καὶ
242. κλιντῆρας, τραπέζας τε καὶ ἐκτυπώματα, | ὧν τῇ ἐπαφῇ καὶ μόνῃ καὶ τῇ μεταλήψει τῆς κόνεως πάθη δυσθεράπευτα θεραπεύεται. Ἐκεῖσε τὰ πολλὰ καθειργνύμενος, καὶ θεωρίαις ὑψηλοτάταις ἀπαιωρούμενος, δελτίδιά τινα μηδὲν ἀποδέοντα συνθήκης καὶ κάλλους συνέταττεν· ἐν οἷς καὶ ὁ γραφεὶς πρὸς Γαϊνὴν λόγος ἐμφέρεται, τῶν παροιμιακῶν περιέχων αἰνιγμάτων σαφήνειαν (*), ἥτις τῶν ἄλλων ἁπάντων πλούτῳ καὶ δόξῃ καινῇ διαφέρουσα, καὶ τούτοις γαυρουμένη, καὶ τὴν κεφαλὴν ὑψοῦ κατεπαίρουσα, ταῖς τοῦ σοφοῦ ποιμένος διδασκαλίαις καὶ εἰσηγήσεσι, πάντα τὸν πλοῦτον, τὸν μὲν τοῖς πένησι, τὸν δὲ ναῶν ἐπανεγέρσει καὶ παρθενώνων καλῶς ἐξεφόρησε, τοῦ τε τύφου κατέσπασε τὸ διάκενον, καὶ τῇ προσευχῇ καὶ μελέτῃ τῶν θείων σχολάζουσα, κατ' οὐδὲν ἢ μικρὸν τοῦ διδασκάλου ἀπελιμπάνετο.

12. Τοιοῦτος μετὰ Παῦλον Ὑπάτιος τὸν μέγαν γνωρίζεται, τοιούτοις κατῆρδε τοὺς ἑπομένους τοῖς νάμασι. Σόλων μὲν Ἀθηναίοις νόμους τιθείς, καὶ Σπαρτιάταις Λυκοῦργος, ἐπραγμα-

(*) Ἐκ τῆς μαρτυρίας ταύτης πιθανολογεῖται ὅτι ὁ ἅγιος συνέταξεν ἑρμηνείαν εἰς τὰς παροιμίας τοῦ Σολομῶντος. Ἐν τοῖς γνωστοῖς ἑρμηνευταῖς τῶν ψαλμῶν τοῦ Δαυὶδ μνημονεύεται καὶ Ὑπάτιος, πιθανῶς ὁ ἡμέτερος οὗτος ἐπίσκοπος Γαγγρῶν (βλ. Fabricii Bibliotheca Graeca, VIII, 658, ἔκδ. Ἁρλεσίου).

τεύοντο τούτοις τὸ βέβαιον τέχνῃ σεσοφισμένῃ, τῇ τῆς πατρίδος φυγῇ, τοὺς πολίτας ὅρκοις ἐνδέοντες μηδὲν καινοτομήσειν ἄχρι τῆς σφῶν ἀνακομιδῆς· οὐδὲ γὰρ ᾠήθησαν ἱκανοὺς ἔσεσθαι καθ' ἑαυτοὺς, ἀξιωθῆναι παραδοχῆς. Οὗτος δὲ καθάπερ ἐκ καθέδρας θεσπίζων βασιλικῆς, καὶ πάντας ἔχων οἷά τινας ὑπηκόους σὺν ἔρωτι θείῳ, τὰ συνοίσοντα τελεῖν παρεσκεύαζεν. Ἀλλὰ γὰρ ἄλλαι πάλιν πραγμάτων ὑποθέσεις ἐφ' ἑαυτὰς τὸν λόγον ἕλκειν βιάζονται, καὶ ὥσπερ τῷ πλήθει κατανικώμενον ὀκνοῦντα προσεπιβήσεσθαι, τοῦ καιροῦ καλοῦντος, οὐκ ἐῶσι προσμένειν ἐπὶ πολύ. Ἀλλ' ἄγε δὴ μεταβῶμεν ἐφ' ἑτέραν ἑστίασιν καὶ τῆς τῶν | θαυμάτων καὶ τεραστίων ἐμφορηθέντες τραπέζης, τοῖς εἰδόσι τὰ πλεῖστα λέγειν παρήσωμεν· οὐδὲ γὰρ ἀνὰ μέρος ἅπαντα διέρχεσθαι προῃρήμεθα, ὅτι μηδὲ λόγος ἐφικέσθαι τούτων ἰσχύσειεν. 243.

13. Ἐκάλει ποτὲ τὸν μακάριον ὁδοιπορίας καιρός. Καὶ δὴ τῷ συνήθει καὶ βραχεῖ ἐπιβὰς ὑποζυγίῳ, ταύτην ἐστέλλετο (οὐδὲ γὰρ ἑτέρῳ ἐχρῆτο ζῴῳ διὰ τὸ ἀφιλότιμον)· ἐπεὶ δὲ διά τινος ἀρούρας διήρχετο, ἀπροόπτως παρατυχὸν ὀρύγματι τὸ ζῷον ἀσπάλακος, παρετράπη τὸν πόδα, καὶ τοῦ εὐθέος καὶ κατὰ φύσιν ἐστέρητο. Ὀμμάτων γὰρ μὴ ὑπόντων ἀσπάλακι, τῇ τοῦ φωτὸς στερήσει ἀφυλάκτως ζῆν ὑπὲρ γῆν οὐκ ἀνέχεται· καὶ δύο ταῦτα πραγματευόμενος, τό τε τὸν θάνατον ἐκφυγεῖν καὶ τὸ τὴν οἴκησιν ἔχειν ἀκίνδυνον καὶ δέους ἐκτὸς, σηραγγώδη τινὰ ὑπὸ γῆν μηχανᾶται ὀρύγματα καὶ πειρατὴς τῷ γεωργῷ φανεὶς οὐκ ἀδόκιμος, διαδιδράσκει τὸν θάνατον. Ὡς οὖν ἐσχέθη τῆς πρὸς τὰ πρόσω πορείας ὁ ἅγιος, καὶ πανταχόσε περιαθρήσας τῶν ὀρυγμάτων τὸ πλῆθος ἀριθμὸν ὑπερβαῖνον, ἠπείλει καὶ μὴ παρόντι τῷ ἐνεδρεύοντι, καὶ αὔθωρὸν ἠφανίζετο παγγενεί, μακρὰν καταδίκην καὶ πολυχρόνιον τὴν τοῦ ἀρχιερέως ἐνεργῆ ἀπειλὴν κληρωσάμενος. Δείκνυται μέχρι καὶ νῦν τοῖς ἐκεῖσε τὸ θαῦμα διάδηλον, καὶ εἴποτε γεωρ-

γὸς τὴν ἀλλοτρίαν οἰκῶν καὶ τὸν ἀσπάλακα κεκτημένος πολέμιον, ἐκεῖθεν βραχεῖαν κομίσαιτο γῆν καὶ τοῖς ὀρύγμασιν ἐπισπείρειε, τῇ αὐτῇ ἐνεργείᾳ τὸν ἀφανῆ πειρατὴν ἀόπλῳ ἀμύνεται. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὁ τῷ νοσήματι περιπαρεὶς τοῦ ἀσπάλακος, ἐπιπαττόμενος ἐξ αὐτοῦ τοῦ χοὸς, τὸν ἑλκώδη καὶ δυσίατον ἐκεῖνον ἰχῶρα ἀποσοβεῖ καὶ πρὸς ὑγίειαν
243. | ἐπανέρχεται, καὶ πείρᾳ μανθάνει τῆς προσευχῆς τοῦ μεγάλου τὴν δύναμιν. Ἐπιλείψει με ἡ ἡμέρα τὰ τοῦ θείου ἐκδιηγούμενον ἀρχιερέως τεράστια.

14. Ἄλλοτε γάρ ποτε τὰ πρὸς τὸν Ἅλυν διερχόμενος ὅρια (ὃν Κροῖσος εὐτυχῶς, ὡς ᾤετο, διαβὰς, λοξοῖς μαντεύμασι καὶ χρηστηρίοις, κατέλυσε τὴν οἰκείαν ἀρχὴν), πλησίον ὁδεύων τοῦ ῥείθρου ἐν ἀσελήνῳ νυκτὶ, καὶ πρόσω πορεύεσθαι προθυμούμενος, ἔμελλε τοῖς δυσβάτοις μικροῦ δεῖν χωρίοις καὶ κρημνώδεσι κινδυνεύειν. Ἄφνω γοῦν μηδὲν ὑφορωμένῳ τῷ δικαίῳ, ἀνάδοσις λαμπάδων ἐκ τοῦ ποταμίου γίνεται ῥείθρου, καὶ καταφωτίζει τὰ δυσάντη καὶ δύσβατα· καὶ οὕτω διέδρα τὸν ἐν ποσὶν ἐπικρεμάμενον κίνδυνον, καὶ νῦν ἔτι τούτου μάρτυς ὁ ποτάμιος καθέστηκε ῥοῦς, ἐτησίως τὸ θαῦμα δεικνὺς κατὰ τὴν ἡμέραν, ἐν ᾗ τότε καιροῦ ἐτετέλεστο, τοὺς γειτνιῶντας καταφωτίζων καὶ διαγράφων τὴν τὸν ἅγιον ἐκεῖθεν δεξαμένην λαμπρότητα. Ὡς ἂν δὲ μὴ τοῖς πολίταις ἄχαρι τὸ παρὰ Θεοῦ δεδωρημένον αὐτῷ κατασταίη χάρισμα, τοιοῦτό τι νεύσει κρείττονι πραγματεύεται.

15. Κατὰ τὸ τῆς πόλεως ἀνατολικώτερον ὄρος ἐστὶ πλησιάζον τῷ Ἁλμυρῷ ποταμῷ· πρὸς δὲ τὴν τούτου ὑπώρειαν ὕδωρ ἐκχεῖται καὶ διαῤῥεῖ δαψιλὲς μὲν καὶ διαυγὲς, ἄλλως δὲ ἁλμυρῶδες καὶ τῶν θαλαττίων ὑδάτων οὐκ ἔλαττον, ἔχει δὲ καὶ τῇ ἅλμῃ τὴν πικρίαν συγκεκραμένην· Παρὰ δόξαν τοίνυν τὴν πάροδον ὁ τῶν σημείων ἐργάτης ἐκεῖσε ποιούμενος, καὶ τὴν τῶν ναμάτων ἀφθονίαν ἰδὼν, καὶ ταύτην ἐν θαύματι

ποιησάμενος, ἐβούλετο καὶ γεύσει μαθεῖν τὴν ποιότητα· καὶ τὴν χεῖρα κοιλάνας, βραχὺ λαβὼν ἀπεῤῥόφησεν. Ὡς δὲ τὸ ἄποτον καὶ | πρὸς ἀρδείαν ἄχρηστον ὂν ὑπετόπασε, σταυρὸν 244.
τοῖς ὕδασι τῷ δακτύλῳ ἐπιγραψάμενος, ἰαματοφόρον τῷ ῥείθρῳ ἐχαρίζετο δύναμιν, καὶ νῦν ἔστι καθορᾶν κοινὸν ἰατρεῖον τὰ νάματα. Καὶ γὰρ μιᾷ καταδύσει πολυειδεῖς καὶ παντοῖαι παθημάτων ἐναντιότητες θεραπεύονται, καὶ πάντας ὑφ' ἑνὶ καιρῷ ἡ πικρία μεταῤῥυθμίζει καταγλυκαίνουσα· οὐ γὰρ δὴ μόνον ἀνθρώποις, ἀλλὰ καὶ κτήνεσι δείκνυσι τὴν οἰκείαν ἐνέργειαν, καὶ τὸ θαῦμα διαιωνίζει, τὸν εὐεργέτην ἀνακηρύττον καὶ δίχα φωνῆς. Τὰ μὲν οὖν ἀτεκνοῦντα πρότερον ὕδατα Ἐλισσαῖος ἰάσατο ἅλατι, καὶ πρὸς γλυκύτητα μετηγάγετο (Δ'. Βασ. β'. 21)· οὗτος δὲ πολλῶν ποτίμων ὑπόντων, κατ' οὐδὲν τῆς ἅλμης ἐφρόντισεν, ἀλλ' ἐν ἑτέρῳ μέρει τὸ στῦφον εἴασε, τὰ νόσοις ἐκλελυμένα καὶ τραύμασι σώματα συσφίγγειν καὶ διαρθροῦν· ταῦτα δὴ ταῦτα σχεδὸν ἀνὰ πᾶσαν βοώμενα τὴν ὑπ' οὐρανὸν, οὐδὲ τὸν τὰ σκῆπτρα τῆς βασιλείας ἐπειλημμένον (Κωνστάντιος οὗτος ἦν) διελάνθανε.

16. Τῷ γὰρ θησαυρῷ τῶν ἐκ πανταχόθεν τῆς οἰκουμένης συνεισρεόντων χρημάτων εἰς τὰ βασίλεια καὶ ταῖς κοιναῖς ἐξυπηρετουμένων χρείαις, μέγα τι χρῆμα θηρίου, τὸ τῆς κακίας ὄργανον, ὁ παλαιὸς τοῦ ἡμετέρου γένους ἐχθρὸς, ποθὲν ὑπεισέρχεται καὶ ὑφαιρεῖται τοῦ πλούτου τὸν βασιλεύοντα, καὶ, εἴπου τις κατετόλμησε πλησίον γενέσθαι πρὸς ἐπανάληψιν χρειώδους τινὸς, τῷ τοῦ δράκοντος ἄσθματι καὶ βλέμματι ἀπενεκροῦτο καὶ ἐξηραίνετο, καὶ ὁ τὴν βραδυτῆτα τοῦ προτέρου βουλόμενος ἐκμαθεῖν, τὰ παραπλήσια ἔπασχε· καὶ ἦν καθορᾶν τῇ τῶν χρημάτων σορῷ νεκρῶν σωρείαν ἐφάμιλλον. Ἐπὶ ξυροῦ οὖν ἀκμῆς καθειστήκει τὰ τοῦ κοινοῦ, μικραῖς ἐλπίσι | σα- 244.
λεύοντα. Βασιλεὺς δὲ, παρὰ πάντων καταβοώμενος, ἐν ἀμηχάνῳ τοῦ πρὸς τοῦτο συνοίσοντος ἦν, καὶ τί δράσειεν ἀπορῶν,

τοὺς ὁμοδόξους συνήθροιζεν, ἱκετηρίαν προσοίσοντας ἐκτενῆ (εἰ γὰρ καὶ τἆλλα ἐπιεικὴς ἦν, ἀλλὰ κουφότητι γνώμης τὴν πάτριον δόξαν καταλιπὼν, τῇ τῶν ἀρειανῶν προσετίθετο). οἳ καὶ ἐκκλησιασάμενοι, τὸν κοινῶς ἐπισκήψαντα ὄλεθρον διασκεδάσαι καὶ ἐπαμύνασθαι κατεπηγγέλλοντο δι' εὐχῆς· ἀλλ' ὅσῳ τὰ τῆς εὐχῆς ἀπετείνετο, τοσούτῳ διανίστατο τὸ θηρίον καὶ ἠγριαίνετο. Ὡς γὰρ τὸ πλῆθος τῇ θύρᾳ τοῦ ταμείου προσήγγιζε, τῷ ἐκφυσήματι καὶ ταῖς θανατηφόροις πνοαῖς, τὸ πλησιάζον ἅπαν ἀπενεκροῦτο καὶ ἄπνουν κατέπιπτεν, ὡς καὶ αὐτῶν τῶν κατεπαγγελλομένων θανατώσειν τὸν δράκοντα κινδυνεῦσαί τινας περὶ τὴν ζωήν· τοῦτο μᾶλλον τοῖς κακοδόξοις αἰσχύνης γεγένητο πρόφασις καὶ ἀθυμίας οὐ τῆς τυχούσης ἐνέπλησε.

17. Καὶ δὴ διαπορουμένοις, τοῦ Ὑπατίου διά τινος ταῖς βασιλικαῖς ἀκοαῖς ἠγγέλλετο ὄνομα. Μηδὲν οὖν μελλήσας Κωνστάντιος, ὡς αὐτὸν ἥκειν τὸν ἅγιον διά τινων ἀγγελιοφόρων πρεσβεύεται. Ὁ δὲ, μηδὲ τῷ τυχόντι κατεπαίρεσθαι καὶ καταναιδεύεσθαι μεμελετηκὼς, εἶξε τῷ ἱκετεύοντι. Ὡς δ' ἐν τοῖς βασιλείοις εἰσῄει τριχίνοις ἐσθήμασι καὶ παλαιᾷ σισύρᾳ σκεπόμενος, παρὰ τῶν ἐξυπηρετουμένων τῷ βασιλεῖ παρεωρᾶτο καὶ παρεβλέπετο, καὶ μάλιστα τῶν ἀρειανιζόντων. Καὶ στὰς τῆς βασιλείου μέσον αὐλῆς κατὰ πάντων ἐνώπιον, καὶ αὐτοῦ δὴ τοῦ τὸ διάδημα ἀναδουμένου σχεδὸν κατακούοντος, πεπαῤῥησιασμένως τὸ διάκενον τῶν ἐπὶ πλούτῳ καὶ λαμπρότητι βρενθυομένων διήλεγχε, καὶ τὸ κατωφρυῶσθαι καὶ τῶν εὐτελῶν κατεπαίρεσθαι
245. παραφορὰν ἐκάλει καὶ ἄνοιαν. | Ὡς δὲ γεγένητο πᾶσι καταφανὴς, καὶ πρὸ τῶν θαυμάτων τῇ τῶν λόγων λαμπρότητι καὶ ἀκριβείᾳ τὸ φρόνημα τῶν μέγα φυσώντων ἐπὶ πλούτῳ καὶ δόξῃ κατέστειλεν, ἱκετηρίᾳ μακρᾷ πρὸς αὐτὸν ἀνετείνετο ἐπαμῦναι τοσούτῳ λαῷ σὺν αὐτῷ βασιλεῖ κινδυνεύοντι, δι' ὃν τοσαύτην ὁδοιπορίαν ἐστείλατο. Ὁ δὲ κελεύσας μέσον τῆς πόλεως πῦρ

ἀνακαύσασθαι, ὕλῃ τρεφόμενον διαρκεῖ, ἄπεισι πρὸς τὴν θύραν τοῦ ταμιείου, καὶ ταύτην διάρας, εἴσεισι μόνος ὡς πρὸς ἀντίπαλον, τῶν ἄλλων ἁπάντων ὑπεκστάντων ἐπὶ μικρῷ, πολλῶν προσεῤῥυηκότων καὶ αὐτῷ τῷ τέγει τοῦ δώματος φόβῳ τῶν φθασάντων δεινῶν ὑφορωμένων, μή τι τῶν προτέρων ἴσον καὶ τούτῳ συμβῇ. Ὡς δὲ τοῦτον ὁ θὴρ ἐτεθέατο, περιειλεῖτό τε καὶ συνεστρέφετο, καὶ κρύπτειν τὴν κεφαλὴν τοῖς χρήμασιν ἐτεχνάζετο, ὥσπερ τοῦ ἰδίου ὀλέθρου ἐπαισθανόμενος. Ἐπεὶ δὲ τοῦτον ἐνεκελεύετο ἀπανίστασθαι καὶ πρὸς τῇ θύρᾳ ἕρπειν, τὴν ἔξοδον ὑπερτιθέμενος, τῇ ἐνούσῃ ῥάβδῳ τοῦ ἀρχιερέως ἐκόπτετο. Διανίσταται γοῦν ὄρθιος τῇ κέρκῳ ὑπερειδόμενος, καὶ συντονώτερον μαστιζόμενος, ἄκων ὑπετάγετο τῷ κελεύοντι.

18. Ὁ δὲ πολὺς ἐκεῖνος ὄχλος, διαφθορὰν τῷ ἁγίῳ τῇ βραδυτῆτι ἐπιγραφόμενος, ὡς εἶδε τοῦτον ἐκεῖθεν ἀσινῆ ἐξερχόμενον καὶ χαμάζε τὴν βακτηρίαν ὑποσύροντα, καὶ ὥσπερ κρίκον, ἐνθέντα τοῖς μυκτῆρσι τοῦ δράκοντος, τοῦτον καθέλκοντα, περιδεὴς γεγονώς, ἅπας ἐτράπετο εἰς φυγήν. Ὁ δὲ θεῖος ἀρχιερεύς, ὅτε δὴ προσήγγισε τῇ ἐξαφθείσῃ φλογί, τὸ θηρίον εἰσβαίνειν μέσον ἐκέλευε, καὶ ἀντὶ πολλῶν ἕνα καὶ μόνον εἰσπράττεσθαι θάνατον. Τὸ δὲ καίτοι πολλὰ συστρεφόμενον καὶ περιειλούμενον, καὶ οἷα καθικετεῦον τὸν ἅγιον, τὴν | φλόγα 245.
ὑπεισέρχεται καὶ τὴν φθορὰν ἐπενδύεται. Καὶ οὕτω τεφρωθέν, τὴν τῶν χρημάτων τῷ βασιλεῖ ἐπ' ἀδείας ἀπόλαυσιν δίδωσιν. Ὁ δὲ τὸν εὐεργέτην ἀμειβόμενος, τὴν μὲν αὐτοῦ (καλῶς γε ποιῶν) ἀνεστήλου εἰκόνα τῷ ταμιείῳ, ἐξελιπάρει δὲ χάριν αἰτεῖν ὁποίαν καὶ βούλοιτο. Ὁ δὲ «στῆσον, φησί, πρᾳότατε βασιλεῦ, πολλῶν δακρύων λιβάδας φερομένας ἐν τῇ καθ' ἡμᾶς μητροπόλει, τοὺς βαρυτάτους φόρους ὑποτεμών.» Καὶ ὃς ἐν τούτῳ κατένευε, καὶ γράμμασιν ὠχύρου τὸν ἅγιον, καὶ λόγος ὡς μέχρι τοῦ νῦν ἱστᾶσι στῆλαι κατὰ μέσην τὴν πόλιν ἐκ χαλκοῦ, οἷα δὴ τρόπαια τὸ κοινωφελὲς δῶρον ἀνάγραπτον ἔ-

χουσαι, καὶ μονονοὺ φωνὴν ἀφιεῖσαι, ὅτι περ ὁ κοινὸς εὐεργέτης Ὑπάτιος, μόνος τὸ τῶν πενήτων καταφερόμενον ἔστησε δάκρυον. Θαυμάσειε δ' ἄν τις τὸ μέτριον τῆς συμπαθεστάτης ἐκείνης καὶ μακαρίας ψυχῆς· οὐδὲ γάρ, ὡς ὑπὸ βασιλέως φιλοφρονούμενος, μετέωρον εἶχε τὸ φρόνημα, μᾶλλον μὲν οὖν τὰ τῆς ταπεινώσεως ηὔξανε, καὶ τῶν προτέρων ἐχόμενος, περιενόστει τὸ ποίμνιον, ἀπελαύνων τοὺς θῆρας, καὶ τῶν λογικῶν θρεμμάτων ἀποσοβῶν. Ἀλλ' οὐκ ἔμελλεν ὁ κοινὸς δυσμενὴς ἠρεμεῖν καὶ ῥᾷον φέρειν τὸν ἀναῤῥιπισθέντα παρὰ τοῦ δικαίου πόλεμον κατ' αὐτοῦ· καὶ αὐτὸν μὲν τὰ τῆς κακίας ὑποσπείρειν ζιζάνια, τὸν δὲ θεῖον Ὑπάτιον ἔκριζον ἀνασπᾶν, καὶ ὥσπερ αἰχμαλωτίζειν, οὓς ἐκεῖνος πόνῳ καὶ καμάτῳ ὑπέκλεπτε καὶ τοῖς οἰκείοις ἐνέταττε, καὶ δὴ πᾶσαν αὐτοῦ τὴν ἑλέπολιν τῶν πειρασμῶν κινεῖ κατ' αὐτοῦ καὶ τὸ τούτου ἐξᾶραι βουλεύεται ὄνομα ἀπὸ γῆς.

19. Τοὺς γὰρ τὴν Λαζανὴν οἰκοῦντας (κώμη δὲ αὕτη) οἰ-
246. κείους ἐπιγραφόμενος, ἐπεί τοι καὶ τῆς | Ναυάτου θολερᾶς πηγῆς ἐκπεπώκεσαν, ὁρῶν τὸν ἀρχιερέα τούτοις ἐμφιλοχωροῦντα καὶ πολλοὺς ἀποσπῶντα καὶ τῇ καθαρᾷ καὶ ὀρθοδόξῳ πίστει ἐνείροντα, ὑποκινεῖ τοὺς τούτων προασπιστάς, πληγαῖς μὲν καὶ διωγμοῖς ταπεινοῦν τοὺς δημοσιεύσαντας τὴν αὐτῶν φρενοβλάβειαν καὶ κολληθέντας τῷ καλῷ τῆς Ἐκκλησίας πληρώματι, αὐτὸν δὲ τὸν τὴν καλὴν αἰχμαλωσίαν αἰχμαλωτίζοντα, ἐνεδρεύειν καὶ θανατοῦν. Καὶ δὴ κατὰ συστάδην γενόμενοι καὶ τελευταίαν τὸ τοῦ λόγου ῥίψαντες ἄγκυραν, τὸν ἐμποδὼν γινόμενον, ἐκποδὼν διέγνων ποιήσασθαι· καίτοι τὸ τοῦ βίου λαμπρὸν καὶ ἰσάγγελον, τό τε τῆς πολιᾶς αἰδέσιμον, καὶ τὸ περιφανὲς καὶ γνώριμον τοῦ ἀνδρός, ἑτέρους ἂν ἴσως ἦν καταδέσαι καὶ τὸν ἀκάθεκτον καταστεῖλαι θυμόν· ἀλλ' οὐδὲν τούτων ἐπέσχε τὴν αὐτῶν ἀλόγιστον καὶ μανιώδη ὁρμήν. Ψυχὴ γὰρ ἅπαξ κατολισθήσασα δυσεκνίπτως ἔχει. πρὸς τὴν διόρθωσιν, εἰ

τύχοι μάλιστα, καὶ τοῖς τοῦ φθόνου ὀδοῦσι περιπαρεῖσα καὶ ὄλεθρον, φεῦ! ὑπομείνασα. Ἡμέρας τοίνυν εὐκαίρου λαβόμενος, ἐν ᾗ διά τινος χώρου κρημνώδους καὶ ἀμφιλαφοῦς, ὡς εἰώθει, μόνος ἔμελλε παριέναι, προκαταλαβόντες καὶ λόχοις καθίσαντες πλῆθος συμμιγὲς ἐξ ἀνδρῶν καὶ γυναίων τὴν φάλαγγα συμπληροῦν ἐνόπλως ἐνήδρευον. Δεινὸν δὲ θυμὸς ἀντιστρατεύσασθαι τῇ ψυχῇ, καὶ ὅλην ἐφ' ἑαυτὸν ἐπισπάσασθαι καὶ φρενῶν παραφορὰν κατεργάσασθαι. Ὡς οὖν ἐκείνης ἀπροόπτως ὁ γέρων ἐποιεῖτο τὴν πάροδον, κυκλόθεν τοῖς λίθοις μάλα ἀνοίκτως ἐβέβλητο, καὶ τραυματίας ὅλος ταῖς ἐκ τούτων νιφάσι καθίστατο, καὶ μικροῦ δεῖν καταχωννύμενος τοῖς φονευταῖς, κατ' ἐκεῖνον τὸν πρώταθλον, | ὢ τῆς ἀνοχῆς! ἐπηύχετο Στέφανον. Πολ- 246.
λαῖς δὲ πληγαῖς, ὥς τι τῶν ἀψύχων, τῷ παρατυχόντι τὸ σῶμα καταιγιζόμενος, ἐξ ἐκείνης τῆς λοφιᾶς ἐπὶ τὸ κάταντες εἵλκετο, μέχρι τῆς ὑπωρείας τοῦ παραῤῥέοντος ποταμοῦ πρὸς τὸ ῥεῖθρον ὠθούμενος· καὶ πάλιν ἔτι ἐμπνέων, εὐχαῖς τοὺς ἀναιροῦντας ἠμείβετο, φωνὰς ἐπαφιεὶς τῷ πρωτομάρτυρι τὰς αὐτάς. Ὡς δὲ τὴν εὔφημον ἔτι διήρθρου φωνήν, γύναιόν τι, πάντα τὸν ἰὸν τῆς μανιώδους αἱρέσεως σπασάμενον ἄκρατον, καὶ ὡς ὑπὸ μέθης παράφορον, λαβόμενον λίθου χειροπλήθους, ὡς εἶχεν ἀλκῆς ἐπαφῆκε τούτου τῆς κεφαλῆς, καὶ τῷ κροτάφῳ περιτυχόν, τὸ λειπόμενον τῆς ζωῆς προσαφεῖλε τοῦ μάρτυρος.

20. Καὶ αὐτοῦ μὲν τὸ πνεῦμα πρὸς οὐρανὸν ἀναπτάν, χοροῖς ἀγγέλων, ὧν ἔτι τῷ βίῳ περιὼν ἐζήλου τὸν βίον, ἠρίθμητο, πηγὴ δὲ αὐθωρὸν ἀπεδίδοτο, ἔνθα δὴ κατέῤῥευσαν αἱ σταγόνες τοῦ αἵματος, παθῶν παντοίων ἀφθόνως παρέχουσαι ἴασιν. Τὸ δὲ φονικὸν ἐκεῖνο καὶ μιαρὸν γύναιον τὴν δίκην οὐκ ἔλησεν, ἀλλ' ἔκφρον γενόμενον μανικῶς, καὶ σοβοῦν βακχικώτερον, τὸν λίθον ἀράμενον, ἐν ᾧ διειργάσατο τὸν μακάριον, σφοδρῶς τὰ στέρνα δι' ὅλης ἡμέρας κατέκοπτε, πλησίον τοῦ τιμίου λειψάνου ἑστώς. Λέγεται δὲ τὴν δίκην ἀγανακτήσασαν

μετελθεῖν οὐ μόνον τοὺς ὅσοι τῷ φόνῳ συνήργησαν, ἀλλὰ σχεδὸν ἅπαντας τοὺς τὴν κώμην ἐκείνην οἰκοῦντας· ὥστε κορυβαντιῶντας ἐνθουσιᾶν καὶ ὑπὸ δαιμόνων ἐλαύνεσθαι, εἰ μή τινες τῶν μήπω τούτῳ τῷ πάθει ἑαλωκότων, ἐν συναισθήσει τῶν πραττομένων γενόμενοι, δρομαίως ἀράμενοι τὸ τοῦ ἀρχιερέως καὶ μάρτυρος λείψανον, τῇ κώμῃ εἰσήλαυνον· οὗ παρουσιασαμένου, ἡ τῶν δαιμονίων πληθὺς ἀπεδίδρασκεν. Ἐν οἰκίσκῳ δὲ
247. τοῦτο | κατέκρυπτον, καὶ δι' ὅλης νυκτὸς ἀγγελικὴ περιστᾶσα χορεία ἐγέραιρεν. Ὁ δὲ τοῦ δωματίου κύριος, ὄρθρου τὴν ἡμέραν ἐγγίζειν ἤδη ἀγγέλλοντος, θεόθεν νυττόμενος, αὐτοῦ δὴ προσεπλησίασε, καὶ τῶν ξένων ἐκείνων ᾀσμάτων κατακροασάμενος, ἔτι τε καταστραφθεὶς καὶ τῷ ὑπερλάμπρῳ φωτὶ πρηνὴς εἰς γῆν, ὡς οὐκ ἂν ἤλπισε πώποτε, κατεφέρετο. Μικρὸν δὲ ἀνακτησάμενος καὶ τῶν τελουμένων αἰσθόμενος, τοῖς τὴν κώμην οἰκοῦσι τὸ πραττόμενον διεσάφει, καὶ πρὸς τὴν πόλιν γενόμενος, τὸ λείψανον κατεμήνυε, καὶ τοὺς φονέας οὐκ ἔκρυπτε, καὶ τοῖς κακοδόξοις ἀποταξάμενος, τῇ καθαρᾷ καὶ ὀρθῇ μετετάττετο, πολλῆς καταγινώσκων ἀπανθρωπίας Ναυάτου καὶ τῶν αὐτοῦ φοιτητῶν.

21. Τότε δὴ τότε τὴν κοινὴν οἱ τῆς πόλεως ἐνωτισάμενος συμφοράν, στένοντες καὶ ὀλοφυρόμενοι καὶ δάκρυσι τὰς παρειὰς καταβρέχοντες, τὸν ποιμένα συντονώτατα θέοντες ἐπεζήτουν, καταβοώμενοι πλεῖστα τῶν φονευτῶν· ὃν καὶ μεθ' ἱερολογιῶν τῇ μητροπόλει κομίσαντες, ἐκήδευον ἀσπαζόμενοι καὶ ἄξιον οἰκητήριον τὸν θεῖον αὐτῷ νεὼν παρεχόμενοι. Δι' ὅλης δὲ προπορευόμενον τῆς ὁδοῦ τὸ ἐναγὲς ἐκεῖνο καὶ ὀλέθριον γύναιον, οὐ διελίμπανε καταικίζον τῷ λίθῳ στέρνα, καθὰ καὶ τῇ προτέρᾳ, μέχρι τῆς πόλεως. Ὁ δὲ συμπαθὴς ἐκεῖνος καὶ ἀμνησίκακος οἰκτισάμενος, καὶ ἀρκοῦσαν κρίνας τὴν βάσανον, τῇ οἰκείᾳ καταπαύσει καὶ τὰς τῆς τολμηρᾶς ἀλγηδόνας κατέπαυσε καὶ τὸν ταύτην πιέζοντα δαίμονα, μακρὰν

ἀπεσόβει ἀποδιοπομπούμενος. Τί τοσοῦτον ἐργάσαιτο Περικλῆς πλυνόμενος τοῖς ὀνείδεσι, καὶ τὸν ὑβριστὴν περὶ λύχνων ἀφὰς ὀργιζόμενον ἔτι, λαμπάδι προπέμπων οἴκαδε; | εἰ γὰρ κατῃ- 247.
κίζετο τὸ σωμάτιον, εἰ πρὸς θάνατον ἔβλεπε καταφερομένας πληγὰς, πρῶτος ἂν ἠμύνατο τὸν κολάζοντα· οὗτος δὲ τοσοῦτον τοῦ πάθους ἀνώτερος ἦν, ὅτι καὶ τοῖς τολμητίαις ἐπηύχετο, καὶ τὴν πρόνοιαν ἐνδίκως τιμωρουμένην, ἠλέου, μὴ ἐπὶ πλέον θυμοῦσθαι ἢ ὀργίζεσθαι κατ' αὐτῶν. Τοῦτο τὸ γέρας τῶν μυρίων ἐκείνων καμάτων τοῦ μάρτυρος! Αὕτη τῶν μακρῶν νηστειῶν ἡ ἀνάῤῥησις! Οὕτω τῷ θρόνῳ παρέστη Θεοῦ, τῷ ἐκ τοῦ μαρτυρίου κατακενωθέντι λύθρῳ σταζόμενος, καὶ τὸ παχὺ τοῦτο νέφος, ᾧ τέως κατεκαλύπτετο, διασχὼν, ἀΰλως τοῖς ἀΰλοις διαιτᾶται συναμιλλώμενος, ὃν εἴ τις ἐθέλοι παραλαβεῖν τοῖς ἀμείνοσι, κατ' οὐδὲν εὑρήσει λειπόμενον. Τοῦ μὲν γὰρ τῷ τῶν γηΐνων ὑπεροπτικῷ μᾶλλον παρεξετάθη, τοῦ δὲ τῷ πράῳ καὶ ἐπιεικεῖ οὐκ ἔρχεται δεύτερος, ὁ σώφρων ἀντεξεταζόμενος, ἕστηκεν ἐλαττούμενος, τῷ δικαίῳ τις ἐπαιρόμενος, τούτου κατόπιν εὑρίσκεται· ἀνδρείως εἴ τις ἠγώνισται, τοῖς ἴσοις ἕξει φιλοτιμούμενος· εἰ δὲ καὶ φρονήσει λαμπρύνεται, Ὑπατίῳ πεισθήσεται τῶν πρωτείων παραχωρεῖν· καὶ ἄλλων μὲν ἑκάστου ἕν τι τῆς ἀρετῆς λαχὼν εἶδος, ἢ καὶ πλείω γνωρίζεται, τούτῳ δὲ μόνῳ πεφύλακται τὸ πᾶν ἔχειν ἀνελλιπῶς, νικῶντι μὲν ἕκαστον ἐν οἷς ἐδόκει πλεονεκτεῖν, κρατοῦντι δὲ πάντων, τῷ μόνως ἔχειν ἃ κατὰ μέρος ἐνείμαντο.

22. Καὶ σοὶ μὲν, ὦ μακάριε, τοσούτοις κάλλεσιν ἀρετῶν λαμπρύναντι τὴν ψυχὴν, καὶ τὰ γέρα πάντως ἐποφείλεται πολλαπλάσια. Ἡμεῖς δ' ὑπὸ δεσπότῃ τελοῦντες, τῷ πικρῷ τυράννῳ καὶ δυσμενεῖ νοητῷ Φαραῷ, καὶ τοῖς βαρέσιν αὐτοῦ ἐπιτάγμασιν ὑποκύπτειν ἀναγκαζόμενοι, καὶ τοσοῦτον ἐν ἑαυτοῖς ἐπισπώμενοι φορητὸν, [ἐπαμῦναι τῇ πρὸς μόνον τὸν ἐλευθεροῦν τῆς αὐτοῦ ἐπικρατείας δυνάμενον πρεσβείᾳ Θεὸν ἐξαιτοῦ-

μένσε, καὶ τοὺς ἀτάκτως κατεπεμβαίνοντας καθ' ἡμῶν λογισμούς, ὥς τινας Αἰγυπτίους, καὶ κρατήσειν ἐπαπειλοῦντας καὶ τὸ τῆς ψυχῆς φρούριον μέχρι ἐδάφους καταβαλεῖν, ὃ μήποτε πάθοιμεν, ποντῶσαι τῇ ἐνεργεῖ πρὸς τὸν ὑπὲρ οὗ τὸ αἷμα ἐξέχεας ἱκετηρίαν, τρανότερον νῦν ἀπολαύων, ὧν ἐν αἰνίγμασι καὶ σκιαῖς ἐτρύφας τὸ πρότερον. Οὕτω γὰρ καὶ μετὰ τὸ κατειληφέναι τὸ σκάμμα καὶ δέξασθαι τῶν πόνων ἐκεχειρίαν, τοὺς σωζομένους, ὡς καὶ πρώην, ὅτε δὴ τούτῳ περιεκρύπτου τῷ ὀστρακίνῳ καλύμματι, προσάξεις Θεῷ, καὶ σὺν σοὶ καταπολαῦσαι παρασκευάσεις τῶν ἀποκειμένων ὑμῖν τοῖς ἀξίοις ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

(*). ΒΙΟΣ ΚΑΙ ΘΑΥΜΑΤΑ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΔΟΜΝΙΚΗΣ.

1. Δομνίκαν τὴν τῷόντι κυριώνυμον ἢ φερώνυμον νύμφην Χριστοῦ, τὴν τῷ θείῳ ζήλῳ ῥωσθεῖσαν, καὶ τὸ θῆλυ ἀνδρείῳ φρονήματι ἀῤῥενώσασαν, τὴν κατὰ παθῶν καὶ δαιμόνων ὑπερφυῶς ἀριστεύσασαν καὶ κατ' ἀμφοῖν κατὰ κράτος ἀπενεγκαμένην τὰ νικητήρια, πῶς ἂν σιωπῇ παραπέμψαιμεν; ἢ πῶς ἂν ἀξιοχρέως ἐξισχύσαιμεν τὰ κατ' αὐτὴν καθεξῆς ἅπαντα μέγιστα πλεονεκτήματά τε καὶ τερατουργήματα διηγήσασθαι, εἰ

(*) Μαρκ. κῶδιξ XXV, φύλλ. ρϟζ'. (197), αἰῶν. XI. class. VII. Nan.

μὴ τοῦ πνεύματος ἡ χάρις, ἡ καὶ ταύτην πρὸς πᾶσαν πρᾶξιν καὶ θεωρίαν θείαν σθενώσασα, ταῖς αὐτῆς ἱκεσίαις ἐπιφοιτήσασα τῷ ἀδρανεῖ νῷ, καὶ τῷ ἀσθενεστέρῳ λόγῳ τῆς ἡμετέρας ἀμουσίας παράσχοι δύναμιν; ἣν δὴ τανῦν ἱκετικῶς ἐπικαλεσάμενοι, ἐπὶ τὸ τοῦ διηγήματος ἥδιστον, ὡς ἐν πελάγει γαληνῷ τὸ τοῦ λόγου πηδάλιον ἰθύνωμεν.

2. Αὕτη τοίνυν ἡ σεβασμιωτάτη Θεοῦ θεράπαινα Δομνίκα δίκην ἀστέρος ἡμερινοῦ λαμπρότησι πίστεως καὶ πράξεως παρθενίας τε καὶ θεωρίας ἄκρας ἀριδήλως διέλαμψεν ἐν τοῖς χρόνοις τοῦ φιλευσεβῶς βασιλεύσαντος μεγάλου Θεοδοσίου, τοῦ ἀπὸ τῆς Ἱσπανίας τὸ γένος κατάγοντος, ἐκ πόλεως μὲν βασιλίδος, λέγω δὴ τῆς πρεσβυτέρας Ῥώμης ὡρμημένη, ἐκ γονέων δὲ γεννηθεῖσα θεοσεβῶν καὶ φοβουμένων τὸν Κύριον· παρ' οἷς ἱερῶς νηπιόθεν ἀνατραφεῖσα καὶ παιδαγωγηθεῖσα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου τὰ ἱερὰ διδάσκεται γράμματα. Ἤδη γοῦν προκόψασα ἐν ἡλικίᾳ πνευματικῇ μᾶλλον ἢ σωματικῇ, σοφίας τε πάσης καὶ συνέσεως καὶ χάριτος πεπληρωμένη, ἐν νῷ τε λαβοῦσα τὸ τοῦ βίου | ἀβέβαιον καὶ ἐπιβλαβές, τὸ ρκζ'.
δὲ τῆς μελλούσης ζωῆς ἀκήρατον καὶ διαρκές, πρὸς ἐπὶ τούτοις δὲ καὶ τὴν δεσποτικὴν ἐντολὴν τελεώτερον ἐκπληροῦν προῃρημένη, ἔκρινε παρ' ἑαυτῇ κόσμον ἀπαρνήσασθαι καὶ πάντα τὰ ἐν τῷ κόσμῳ.

3. Καὶ δὴ ταῦτα λυσιτελῶς ἄγαν καὶ σωτηριωδῶς βουλευσαμένη, ἀποθεμένη τε τὴν γυναικείαν ἀσθένειαν, καὶ γνώμην ἀνδρειόφρονα ἀνελομένη, τῇ τε κατὰ διάνοιαν ψυχικῇ διαθέσει συνταξαμένη γονεῦσι καὶ συγγενέσι καὶ παντὶ τῷ θεραπευτικῷ καὶ οἰκιδίῳ, προσευχήν τε μετὰ στεναγμῶν καὶ δακρύων ἱκετήριον Κυρίῳ ἐκ βαθέων καρδίας προσαγαγοῦσα κατευθῦναι τὰ ταύτης διαβήματα πρὸς σωτηρίας ὁδὸν, καὶ τὴν ἀγαθὴν πρόθεσιν τῆς πεποιθήσεως καὶ ἐφέσεως αὐτῆς ἐκπληρῶσαι, λάθρα τῆς πατρικῆς οἰκίας ὑπεξέρχεται, καὶ καταλαμβάνει τὸν τοῦ

λιμένος ὅρμον τῆς μεγαλουπόλεως Ῥώμης. Ἔνθα κατὰ συγκυρίαν πλοῖον εὑροῦσα, πρὸς τὴν περιώνυμον Ἀλεξάνδρειαν παραχρῆμα μέλλον ἀπαίρειν, ἀπέπλευσεν ἐν αὐτῷ σὺν προθυμίᾳ πολλῇ· ῥᾷόν τε τὸν πλοῦν θεοκυβερνήτως περάσασα, καὶ τὴν Ἀλεξάνδρου φθάσασα, τῆς νηὸς ἀποβᾶσα, πάλιν ἱκετηρίοις ἐκέχρητο λιταῖς πρὸς Κύριον, καταντῆσαι δυσωποῦσα πρὸς τόπον εὔθετον καὶ ὁρμητήριον σωτηρίου καταπαύσεως.

4. Οὕτω τοίνυν ταύτης προσευχομένης, πυνθανομένης τε καὶ ζητούσης ψυχωφελὲς καταγώγιον, ὑποδείκνυται διὰ τῆς ἄνωθεν προνοίας οἴκημα, φρουρίου δίκην κατεσκευασμένον, καὶ κλείθροις κατησφαλισμένον, ἐν ᾧ κατῴκουν παρθένοι τὸν ἀριθμὸν τέσσαρες, ἑλληνίδες μὲν τὴν θρησκείαν (ἐπεκράτει γὰρ
ρϟη'. ἔτι τότε τὸ ἑλληνικὸν | σέβας), τὰ δ' ἄλλα πάντα καλὰ μετὰ τῆς προσηκούσης ἀκριβείας τηροῦσαι, ὡς ἄξιαι τῷόντι τῆς ἐπουρανίου κλήσεως καὶ παστάδος· καὶ γνοῦσα διὰ τοῦ πνεύματος, ὡς δι' αὐτῆς μέλλουσι τῆς σωτηρίας ἐπιτυχεῖν, ὑποκριναμένη καὶ αὐτὴ τοῦ αὐτῶν φρονήματος εἶναι, ἠξίωσε τοὺς τοῦ τόπου δεσπόζοντας μένειν σὺν αὐταῖς. Ἐπεὶ δὲ τοῦτο ἐπετράπη καὶ παρεχωρήθη αὐτῇ, διετέλεσε συνδιάγουσα μετ' αὐτῶν ἐπὶ χρόνον οὐκ ὀλίγον, ἐν ᾧ οὐδαμῶς διέλιπε λιτὰς καὶ παρακλήσεις πρὸς Θεὸν μετὰ δακρύων προσφέρουσα νύκτα καὶ ἡμέραν ὑπὲρ τῆς ἐπιστροφῆς καὶ σωτηρίας αὐτῶν· ἐκέχρητο δὲ καὶ νουθεσίαις συχναῖς πρὸς τὰς νεάνιδας, διδάσκουσα καὶ παραινοῦσα τὰς τοῦ Χριστοῦ παραγγελίας ἀμέμπτως τηρεῖν, καὶ πάσας τὰς ἀρετὰς ἐναργῶς κατορθοῦν. Καὶ ταῦτα σοφῶς παραγγέλλουσα καὶ ὑποτιθεμένη, προετίθει ἑαυτὴν ἔμπρακτον ὑπόδειγμα διδασκαλίας, οὐ φθεγγομένη μόνον, ἀλλὰ καὶ σιγῶσα ἀκριβὴς ὁρωμένη παραίνεσις· ἐγκρατείᾳ μέν, τὴν ἀσαρκίαν τῶν οὐρανίων νόων ἐκμιμουμένη, ἀγρυπνίᾳ δέ, τὸ τῶν φωστήρων μικροῦ δεῖν ἀκοίμητον ἐξεικονίζουσα, καὶ στάσει μὲν ὁλονύκτῳ τὸ ἀκάματον τῆς ἀσωμάτου φύσεως παραζηλοῦσα, παν-

νύχῳ δὲ δοξολογίᾳ καὶ ψαλμῳδίᾳ τὸ χερουβικὸν ἀκατάπαυτον μελῴδημα παρεμφαίνουσα, καὶ πάσας τὰς λοιπὰς θεαρέστους ἀρετάς, ὡς ἐμψύχους χαρακτῆρας ἑκάστοτε πρὸ προσώπου αὐτῶν ἐν ἀνυποκρίτῳ πίστει καὶ ἀγάπῃ προτιθεμένη, ὡς θαῦμά τι ξενάκουστον, ὡς εἰκὸς καὶ παράδοξον τὰς καρδίας αὐτῶν ἐκίνησεν.

5. Ἀκροώμεναι γὰρ κατὰ πᾶσαν νύκτα καὶ ἡμέραν τῶν μελιῤῥύτων ῥημάτων τῆς μακαρίας, | καὶ τῶν χρηστοτέρων ρλη'. παραινέσεων καὶ τῶν θεοπρεπῶν δοξολογιῶν καὶ δεήσεων τὰς ψυχὰς θεόθεν ἐλλαμφθεῖσαι, τῷ τε θείῳ πόθῳ τρωθεῖσαι, καὶ κατανυγεῖσαι ἐν φόβῳ Κυρίου σὺν εὐγνώμονι καρδιῶν διαθέσει, τὴν πειθήνιον ὑπακοὴν ἐπεδείξαντο, τῆς ἑλληνικῆς ἀπάτης τὴν πλάνην βδελυξάμεναι, καὶ τῆς ἀμωμήτου λατρείας τὴν πίστιν ποθήσασαι· ἃς ὁρῶσα ἡ μεγάλη καθηγεμὼν καὶ διδάσκαλος προκοπτούσας ὁσημέραι πρὸς θεοσέβειαν, καὶ ταῖς τῶν ἀρετῶν ἀναβάσεσι προβαινούσας ὡς ἀπὸ δόξης εἰς δόξαν καὶ ἐκ δυνάμεως εἰς δύναμιν, ἐγεγήθει τῇ ψυχῇ, καὶ ἠγαλλιᾶτο τῷ πνεύματι. Καὶ δὴ παραινέσεσι καὶ συμβουλίαις ἀγαθαῖς αὖθις χρησαμένη, πείθει ταύτας ὁλοτελῶς ἀρνήσασθαι πᾶσαν συγγενῆ συνήθειαν, καὶ τὸν σταυρὸν ἀραμένας ἐπ' ὤμων, κατὰ τὸ δεσποτικὸν πρόσταγμα, ἀκολουθεῖν προθύμως ὀπίσω Χριστοῦ. Αἱ δὲ κατὰ πάντα πειθαρχοῦσαι τῇ μακαρίτιδι, προθυμίας μετεῖχον ἄκρως καὶ προαιρέσεως ἕπεσθαι θᾶττον αὐτῇ, καὶ τὰ προσταττόμενα ποιεῖν. Ἐδεδίεσαν δὲ πρὸς τὴν ἐγχείρησιν, ἀδύνατον, φάσκουσαι, διαδρᾶναι τὴν τοῦ φρουρίου ἀκριβεστάτην φυλακὴν καὶ ἀσφάλειαν. Ταῦτα προτεινομένων αὐτῶν καὶ διαπορουμένων ἐν ἀμηχανίᾳ μεγάλῃ, ἡ θαυμασία τοῦ Θεοῦ θεράπαινα ἐν μηδενὶ μηδαμῶς διστάσασα, ἐν ἀδιακρίτῳ καρδίας διαθέσει, παραχρῆμα τὸ ὄμμα πρὸς τὸν ἐν οὐρανῷ κατοικοῦντα διάρασα, ἔστη εἰς προσευχὴν μετὰ στεναγμοῦ τε καὶ δακρύων, ἐπικαλεσαμένη τὸν μοχλοὺς σιδηροῦς ᾅδου καὶ πύλας χαλκᾶς συντρίψαντα

Χριστὸν, καὶ τοὺς ἀπ' αἰῶνος πεπεδημένους ἐν ἀνδρίᾳ ἐξαγαγόν-
ρλθ'. τα καὶ συνεγείραντα, τὰ κλεῖθρα τῶν | θυρῶν παρευθὺ διαῤῥαγῆ-
ναι παρεσκεύασε, καὶ ταύτας αὐτομάτως διανοιγῆναι πεποίηκεν.

6. Ἐξῆλθον οὖν ἐκεῖθεν ἀωρὶ τῶν νυκτῶν χαίρουσαι, καὶ μετὰ θαύματος δοξάζουσα τὸν τερατουργοῦντα Θεὸν μεγάλα θαυμάσια. Καὶ δὴ καταλαβοῦσαι τὸν καλούμενον Φάρον, εὑροῦσαί τε πλοῖον ἀποπλεῖν, παραυτίκα μέλλον πρὸς τὴν πανευδαίμονα βασίλειον μεγαλόπολιν, λέγω δὴ τὴν Κωνσταντίνου, ἀνήχθησαν ἐν αὐτῷ. Ἀποπλεύσαντος τοίνυν τοῦ πλοίου καὶ κατὰ τὸ μέσον τοῦ πελάγους ποντοποροῦντος, συνέβη ταραχὴν κλύδωνος μεγάλου διεγερθῆναι ἐν τῇ θαλάσσῃ· ὥστε τὸ πλοῖον ὑπὸ τῶν κορυφουμένων κυμάτων καλύπτεσθαι, καὶ μέλλειν αὔτανδρον ὅσον οὔπω τῷ βυθῷ παραπέμπεσθαι. Ἡ τοίνυν φιλόθεος καὶ φιλότεκνος μήτηρ ὁμοῦ καὶ διδάσκαλος Δομνίκα, ὑπὲρ τῶν ἰδίων τέκνων πάνυ φροντίζουσα καὶ ἀγωνιῶσα, μήποτε, δισταγμός τις ἀμφιβολίας καὶ διψυχίας διαλογισμὸς ἐν ταῖς καρδίαις αὐτῶν ὑπεισελθὼν, πρὸς ἀπόγνωσιν ἀνελπιστίας ἐξ ὑποβολῆς τοῦ πονηροῦ δαίμονος ταύτας ὑποκλέψῃ, προθυμοποιοῦσά τε καὶ παραθαῤῥύνουσα, θαῤῥεῖν παρηγγύα καὶ μὴ φοβεῖσθαι· « τὸν γὰρ παρόντα φοβερὸν κλύδωνα συμβεβηκέναι, ἔφασκεν αὐταῖς, πρὸς κρείττονα στηριγμὸν τῶν ψυχῶν αὐτῶν καὶ δόξαν θαυμασίων Θεοῦ. » Καὶ ἅμα ταῦτα λέγουσα, λαβοῦσα ἔλαιον ταῖς ἑαυτῆς χερσὶ, σταυροειδῶς ἐν τῇ θαλάσσῃ διέῤῥανε, κατὰ τῶν ἀγρίων κυμάτων τὸ φοβερὸν ὄνομα Χριστοῦ, τοῦ περιπατήσαντος ἐπὶ θαλαττίων νώτων, ὡς ἐπὶ ξηρᾶς, ἐπικαλεσαμένη. Καὶ παραχρῆμα ψαλμικῶς εἶπεν· « ἐσίγησεν
ἡ θάλασσα, κατεστορέσθη τὰ κύματα· ὅτε κλύδων κεκόπακε,
ρλθ'. | καὶ ἡ μεγίστη καταιγὶς ἐκείνη ἔστη εἰς αὔραν (ρς'. 29) ».
αἰσίου τε τοῦ πλοὸς εὐμοιρήσασαι καὶ ἀνέμων ἐπιτηδείων κατὰ πρύμναν πλεόντων λαχοῦσαι, δι' ὀλίγων ἡμερῶν τὴν βασιλίδα μεγαλόπολιν κατέλαβον.

7. Μήπω δὲ φθάσαντος τοῦ πλοίου προσορμίσαι τῷ λιμένι, ἀλλ' ἔτι διάστημα ἱκανὸν ἀπέχοντος, ἐπιφαίνεται κατ' ὄναρ Νεκταρίῳ, τῷ τότε τοῦ ἀρχιερατικοῦ θρόνου τῆς βασιλίδος προεδρεύοντι, ἐν σχήματι λευχειμονοῦντος νεανίσκου, καταπτὰς οὐρανόθεν ἅγιος ἄγγελος, προτρεπόμενος τὸ τάχος κατελθεῖν ἐν τῷ καλουμένῳ Ἰουλιανοῦ λιμένι, καὶ προσυπαντῆσαι Χριστοῦ τὴν ἄσπιλον ἀμνάδα Δομνίκαν, ἐν πλοίῳ παραγινομένην μετὰ τῶν ἀμώμων ἀρνίων αὐτῆς, προσλαβέσθαι τε ταύτας καὶ Χριστοῦ τῇ ἐκλεκτῇ συναριθμῆσαι ποίμνῃ, ἐκτρέφειν τε τὰς ψυχὰς αὐτῶν ἄρτῳ ῥημάτων πνευματικῶν. Αὐτίκα τοίνυν ἀναστάς, συναθροίζει μὲν τὸν ὑπ' αὐτὸν ἱερὸν κλῆρον, διηγεῖται δὲ τὰ τοῦ παραδόξου ὁράματος, καὶ σὺν αὐτοῖς κατέρχεται μετὰ λιτῆς εἰς τὸν δηλωθέντα λιμένα· ἔνθα παρευθὺ τῆς νηὸς ἀποβᾶσαν τὴν μακαρίαν εὑρών, σεβασμίως ἅμα καὶ τιμίως προσυπαντήσας, ἠσπάσατο, καὶ πρὸς τὴν ἱερὰν ἐκκλησίαν εἰσήγαγεν, ἐπηρώτησέ τε αὐτὴν τὴν αἰτίαν τῆς ἐπιδημίας καὶ ὅθεν ἀφίκετο, διηγησάμενος αὐτῇ καὶ τῆς ἀγγελικῆς ἐπιστασίας καὶ ὀπτασίας, ἧς ἑωράκει περὶ αὐτῆς, τὸ θαυμάσιον. Ἡ δὲ μακαρῖτις Δομνίκα πάντα τὰ κατ' αὐτὴν ἐπιτόμως διηγήσατο τῷ πατριάρχῃ, καὶ περὶ τῶν νεανίδων ἀνήγγειλε τὰ παρακολουθήσαντα Θεοῦ προνοίας ἔργα παράδοξα· ὅπως Ἑλληνίδες τυγχάνουσαι τῆς πλάνης ἀπέστησαν, καὶ τῇ τῆς ἀληθείας ὁδῷ καὶ πίστει προσέδραμον. Ἃς δὴ | κατηχήσας κατὰ σ'.
τὴν ἀποστολικὴν παράδοσιν, τῆς τοῦ θείου λουτροῦ ἀναγεννήσεως καὶ υἱοθεσίας ἠξίωσε, τὴν μὲν πρώτην αὐτῶν μετονομάσας Δωροθέαν, τὴν δὲ δευτέραν Εὐανθίαν, τὴν τρίτην τε Νόνναν, καὶ τὴν τετάρτην Τιμοθέαν. Ἐπὶ ταύτῃ τῇ θεοδωρήτῳ ἀναγεννήσει τῶν μακαρίων παρθένων, εὐφροσύνης μὲν ἐπλήσθη πολλῆς καὶ χαρᾶς μεγάλης πᾶσα ἡ Ἐκκλησία, ἐξαιρέτως δὲ μᾶλλον ἠγαλλιᾶτο, σκιρτῶσα καὶ γεγηθυῖα, ἡ τρισολβία μήτηρ αὐτῶν καὶ ὁδηγὸς καὶ διδάσκαλος, πεπληρωμένην

ὁρῶσα τὴν πεποίθησιν τῆς ἐπιθυμίας αὐτῆς, καὶ τὸν σπόρον τῆς πανσόφου διδαχῆς αὐτῆς προκόπτοντα καλῶς καὶ πληθυνόμενον. Διεδόθη δὲ θᾶττον ἡ φήμη τῆς λαμπρᾶς πολιτείας αὐτῆς καὶ τῶν θαυμάτων ἡ δύναμις καθ' ὅλην τὴν βασιλεύουσαν, καὶ πάντες τοὺς προσήκοντας αὐτοῖς ἀῤῥώστους, ποικίλαις ἀσθενείαις συνεχομένους, προσέφερον τιθέντες παρὰ τοὺς πόδας αὐτῆς, ἣ καὶ παραχρῆμα, προσευχομένη πρὸς Κύριον, κατάλληλον ἑκάστῳ τὴν θεραπείαν παρείχετο.

8. Ἡ γοῦν τοσαύτη λαμπρότης τῆς τῶν ποικίλων θαυμάτων ἐπιῤῥοῆς, καὶ μέχρι τῶν βασιλικῶν διέδραμεν ἀκοῶν διαλάμψασα. Τότε καὶ αὐτὸς ὁ φιλόχριστος βασιλεὺς Θεοδόσιος σὺν τῇ βασιλίδι καὶ πάσῃ τῇ συγκλήτῳ παρεγένετο πρὸς αὐτήν, καὶ πάντες τῆς παρ' αὐτῆς εὐλογίας καὶ χάριτος μετέλαβον, πλήθους τε πολλοῦ συναθροιζομένου περὶ αὐτήν, τῶν μὲν θεραπείας χρηζόντων, τῶν δὲ βλέπειν βουλομένων καὶ γλιχομένων τοὺς τῆς ἰάσεως ἀξιουμένους, καὶ τῶν ἄλλως παραγινομένων καὶ εὐλογεῖσθαι θελόντων. Ἦν ἰδεῖν στενοχωρούσ'. μενον τὸν | χῶρον, ἔνθα τὸ καταγώγιον, ἡ μεγάλη Δομνίκα πεποίητο· μάλιστα τῶν ἀπὸ πνευμάτων πονηρῶν ἐνοχλουμένων χαλεπῶς, περισσοτέρων ὀχλοποιούντων, καὶ ταῖς μεγίσταις κραυγαῖς μετὰ μεγάλης συντριβῆς ἀποδυρομένων. Μαστιγούμενα γὰρ τὰ χαλεπώτατα πνεύματα τῇ ἀοράτῳ μάστιγι τῆς ἐνεργούσης ἐν αὐτῇ θείας χάριτος, τὴν βίαν οὐ φέροντα βοῶντα μεγάλῃ τῇ φωνῇ καὶ τὴν οἰκείαν κακουργίαν ἀποκλαιόμενα, θᾶττον ἐξήρχοντο.

9. Τὴν τοσαύτην οὖν ὄχλησιν ἐπὶ πολὺ μηκέτι φέρουσα καρτερεῖν ἡ μακαρῖτις, τῆς ἡσυχίας δὲ τὸ ἥδιστον μεταδιώκουσα καὶ σύνηθες, τόπον ἐπιτήδειον πρὸς τὸ ποθούμενον ἐπιζητεῖ, πᾶσαν τὴν ἐπιθυμίαν αὐτῆς ἐναντίον Κυρίου ἀνατιθεῖσα. Καὶ δὴ θεόθεν ὑποδείκνυται ταύτῃ χῶρος ἀνακεχωρημένος ἀοίκητός τε καὶ ἔρημος, πῆ μέν, ὑπὸ τῶν

ἐπιπολαζόντων δαιμονίων πᾶσι φευκτὸς καθιστάμενος, πὴ δὲ, καὶ διὰ τοὺς ἀναιρουμένους ἐκεῖσε κακούργους καὶ καταδίκους βδελυκτὸς προδεικνύμενος, ἔνθα κατοικητήριον ἡσυχαστηρίου κατασκευασθῆναι αὐτῇ τῷ πατριάρχῃ προσελιπάρει. Ὁ δὲ ἀπηνήνατο πρὸς βραχὺ τὴν αἴτησιν ἐκπληροῦν, προβαλόμενος τὴν τοῦ τόπου ἀγριότητα καὶ χαλεπότητα πρὸς κατοίκησιν οὖσαν ἀνεπιτήδειον, μέχρις ἂν ἔμαθεν ἐκ θείας ὀμφῆς ὁρμηθῆναι τὴν μακαρίαν πρὸς τὴν τοιαύτην ἐγχείρησιν. Ἀναφέρει τοίνυν περὶ τούτου τῷ εὐσεβεῖ βασιλεῖ Θεοδοσίῳ, καὶ αὐτὸς αὐτίκα κελεύει, κατὰ τὴν αἴτησιν αὐτῆς μετὰ πάσης σπουδῆς οἰκοδομηθῆναι αὐτῇ ἐκεῖσε εὐκτήριον ἐπ' ὀνόματι τοῦ μεγάλου προφήτου Ζαχαρίου· οὗ κατὰ μίμησιν αὕτη προφητικῶς ἐμπνεομένη καὶ θεοφορουμένη, προαγορεύειν | καὶ προλέγειν τὰ σα'. ἄδηλα καὶ τὰ μέλλοντα κατηξίωται.

10. Δι' ὀλίγων οὖν ἡμερῶν τελειωθέντος τοῦ οἰκοδομήματος σὺν τῷ ἱερῷ προφητείῳ, πολυχειρίας ἐπιμελείᾳ καὶ σπουδῇ ἐπιτεταμένῃ, ἐκκεχειρίᾳ τε βασιλικῇ καὶ παροχῇ χρημάτων δαψιλεῖ, παρεκάλει πάλιν τὸν πανίερον πατριάρχην τον ἐγκαινισμὸν ἐπισπεύδουσα, καὶ ὃς αὖθις ἀναφέρει τὰ περὶ τῶν ἐγκαινίων τῷ βασιλεῖ, καὶ δίδοται συνδρομὴ κατὰ κέλευσιν αὐτοῦ γενέσθαι ταῦτα κατὰ τὴν εἰκοστὴν ἕκτην τοῦ Ἰανουαρίου μηνός. Ἡ δὲ τῷ ὄντι πνευματέμφορος Δομνίκα θεόθεν ἐλλαμφθεῖσα τὸν διαυγέστατον νοῦν, καὶ τὸ μέλλον συμβαίνειν ἤδη προεγνωκυῖα, ἐδέετο τοῦ πατριάρχου τῇ εἰκοστῇ τετάρτῃ μᾶλλον τελεσθῆναι τὴν ἐγκαινίων σύναξιν, καὶ μὴ τῇ εἰκοστῇ ἕκτῃ. Τοῦ δὲ πυνθανομένου τὴν αἰτίαν, δι' ἣν ἐπισπεύδει τὴν σύνταξιν, τὴν ὡρισμένην ἡμέραν οὐκ ἀναμένουσα, ἔφησεν ἡ ὁσία· « δειλίᾳ πολλῇ συνέχεσθαι, ὡς ἤδη προβλέπουσα τὴν μέλλουσαν κατὰ τήνδε τὴν ἡμέραν τῇ πόλει ἐπιφέρεσθαι φοβερὰν ἀπειλήν. » Ἧς τοῖς θεοπνεύστοις ῥήμασι πεισθεὶς, τὴν ἑορτὴν τῶν ἐγκαινίων καὶ τὰ καταθέσια τῶν τιμίων λειψάνων

τῇ εἰκοστῇ τετάρτῃ τοῦ ῥηθέντος μηνὸς ἐποίησεν, ἐν ᾗ καὶ τὸ ἱερατικὸν σχῆμα τῆς ἐν Χριστῷ διακονίας δίδωσιν αὐτῇ, προεστῶσαν καταστήσας αὐτὴν πασῶν τῶν προσερχομένων ψυχῶν σώζεσθαι διὰ τῆς ἐν τῇ μονῇ.

11. Μετὰ γοῦν τὰς δύο ἡμέρας ἐκείνας, εἰς ἔργον ἐξέβη τῆς μακαρίας ὁ λόγος, ὡς παρ' ἐλπίδα δυνηθῆναι σωθῆναι τὸν ἐνοικοῦντα τῇ μεγαλοπόλει λαὸν διὰ τῶν εὐπροσδέκτων πρὸς Κύ-
σα'. ριον προσευχῶν αὐτῆς. Ἦν οὖν ἰδεῖν τὴν τῆς ὁσίας | ἱερὰν μάνδραν ὡς πυρσὸν διαφανέστατον ἐν μέσῳ πελάγους, πάντας τοὺς ἐκ κλύδωνος κοσμικοῦ βουλομένους σώζεσθαι πρὸς ἑαυτὴν ἐφελκομένην, καὶ τοὺς μὲν ἐκ ναυαγίου δαιμονικῆς ἐνεργείας ἐνοχλουμένους, παραδόξως ἐκλυτρουμένην, τοὺς δὲ ἐν διαφόροις νοσήμασιν ἐμπαθείαις ταραττομένους θείοις φαρμάκοις ἠξιωμένην, εὐαγγελικῶς τε συνελόντα φάναι, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν (Ματθ. ι'.) ἐν αὐτῇ θεραπευομένην. Ὁ γοῦν ἀρχέκακος ληστὴς καὶ τῶν καλῶν ἁπάντων ἐνεδρευτὴς Σατανᾶς, ἀναιδείᾳ τῇ συνήθει χρησάμενος ληστρικαῖς ἐπιβουλαῖς ἐνεδρεύειν πειρᾶται τὴν ὑπὸ Θεοῦ φυλαττομένην τιμίαν ἀμνάδα Χριστοῦ· ἀλλὰ θαυματουργεῖταί τι κἀνταῦθα τῶν προγεγονότων θαυμάτων οὐκ ἔλαττον. Ὡς γὰρ ἀναίδην ἐπεισῆλθεν ἐν τῇ μονῇ τῶν κακούργων ἐκείνων ληστῶν ἡ συμμορία, τά τε θεῖα ταμιεῖα κατεσκόπευον, ἁρπάσαι τινὰ τῶν ἱερῶν κειμηλίων διενθυμούμενοι, ἀορασίᾳ σκοτοδινίας κεκράτηντο, καθάπερ ποτὲ οἱ ἐν Σοδόμοις (Δ' Βσ. ς.' 18), καὶ ἐπὶ Ἐλισσαίου λυττήσαντες ἀνομώτατοι (Γεν. ιβ.' 11) καὶ διέμενον ἐπὶ τοῦ τόπου κατεχόμενοι, ὥσπερ τινες πεπεδημένοι χεῖρας καὶ πόδας διατελοῦντες ἀνενέργητοι καὶ ἀκίνητοι. Ὅπερ παράδοξον ἡ ἀνδρεία Θεοῦ θεράπαινα κατιδοῦσα, δεήσεις Κυρίῳ ὑπὲρ αὐτῶν προσέφερε, κἀν τούτῳ τὸ χριστομίμητον ἦθος ἐνδεικνυμένη, καὶ οὕτως πολλὰς παραινέσεις πρὸς ἀποτροπὴν τῆς κακουργίας αὐτοῖς προσενέγκασα, παρεσκεύασεν ἀβλαβεῖς

ἐξελθεῖν. Οὐχ ἁπλῶς δὲ τούς νοσηλευομένους ποικίλαις ἀῤῥωστίαις τῆς καταλλήλου θεραπείας ἡ μακαρῖτις ἠξίου, ἀλλὰ καὶ τοὺς περιεργίαις γοητικαῖς κεκακωμένους διορατικῷ βλέμματι | κατανοοῦσα, τῆς ἐκτηκούσης λώβης ἀπήλλαττε. σβ'.

12. Καὶ γάρ ποτε γυνή τις τῶν ἐμφανεστάτων συγκλητικῶν παραγεγονυῖα πρὸς τὸ εὐλογηθῆναι παρ' αὐτῆς, ὠχρότητι προσώπου πάνυ καταπεπονημένη, καὶ τῷ παντὶ σαρκίῳ ἐκτετηκυῖα, τὴν αἰτίαν τῆς προσούσης ἀνωμαλίας καὶ ταλαιπωρίας ἐρωτηθεῖσα, ἐπειδὴ ὑποψίαν ἔλεγεν ἔχειν κατὰ τῶν οἰκειακῶν θεραπόντων αὐτῆς, ὡς φαυλότητι τρόπων πεφαρμακεῦθαι καὶ περιειργάσθαι πρός τινος αὐτῶν, διὰ προσευχῆς ἡ ὁσία τὸν τοῦτο κακουργήσαντα ἐφανέρωσε, πρόκριτον ὄντα τῶν εἰς θεραπείαν ἐπὶ τῆς οἰκίας αὐτῆς καθισταμένων· ὃν κατ' ἰδίαν λαβοῦσα, ἐλέγξασά τε σφοδρῶς καὶ ἐπιτιμήσασα παιδευτικῶς, καὶ μητρικῶς παραινέσασα, τοῦ λοιποῦ διορθώσασθαι παρεσκεύασε, τήν τε κυρίαν αὐτοῦ παρεγγύησε δεσποτικοῖς παραγγέλμασι προτρεψαμένη κακὸν ἀντὶ κακοῦ μηδαμῶς ἀποδοῦναι· εἶθ' οὕτως διαῤῥαγέντος τοῦ προσκεφαλαίου, ὅπερ εἰς ὑπουργίαν αὐτῆς ἐπεφέρετο, εὑρέθησαν ἔνδοθεν πέταλά τινα περιέργους γραμμὰς ἔχοντα, πανουργίᾳ σατανικῇ κεχαραγμένας. Ἐλευθερωθεῖσα τοίνυν τῆς τοιαύτης μάστιγος ἡ γυνή, τῷ σωτῆρι Θεῷ καὶ τῇ αὐτοῦ θεολήπτῳ θεραπαίνῃ τὴν πρέπουσαν εὐχαριστίαν ἀπέδωκε, καὶ τὸν τοῦτο κατεργασάμενον δόμασι διπλασίοις τῶν πρώτων δωρησαμένη, ἀσμένως ἐδεξιώσατο κατὰ τὴν τῆς μεγάλης προτροπὴν καὶ παραίνεσιν. Οὐκ ἐν θαύμασι δὲ μόνον καὶ προγνώσεσί τε καὶ ἰάσεσι τὸ ἐπίσημον ἔσχεν ἡ περιβόητος αὕτη τερατουργὸς, ἀλλὰ καὶ ἐν ἀποκαλύψεσιν ἐξαισίαις, | θειοτέραις τε ἐλλάμψεσι καὶ ξενοτρόποις ὀπτασίαις, τὸ σβ. μεγαλόδωρον κλέος ἀπηνέγκατο. Δηλώσει δὲ σαφέστερον περὶ τούτων τὰ ἑξῆς ῥηθησόμενα.

13. Τῆς λαμπρᾶς γὰρ καὶ φωτοφανοῦς πανηγύρεως τῶν ἀ-

γίων Θεοφανείων τελουμένης ἐν τῇ μονῇ, μετὰ τὴν συμπλήρωσιν τοῦ κανόνος καὶ τῆς θείας μυσταγωγίας, ἐξῆλθον πᾶσαι αἱ ἀδελφαὶ σὺν τῇ θαυμασίᾳ μητρὶ ἐπὶ τὸ ἀντλῆσαι τὸ συνήθως εὐλογούμενον ὕδωρ. Ἡ οὖν μακαρία ἐπάρασα τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἔστη καθικετεύουσα τὸν Κύριον μετὰ δακρύων, ὥστε τὴν χάριν τοῦ παναγίου Πνεύματος ἐπιφοιτήσασαν καθαγιάσαι τὰ ὕδατα. Μετὰ δὲ τὴν προσευχὴν, ὥσπερ ἔνθους γενομένη, ἐνεὸς ἵστατο, τὸν ἁγιασμὸν οὐρανόθεν ἀπεκδεχομένη τοῦ ὕδατος, πρὸς ἣν ἡ παρεστῶσα πληθὺς ἀποβλέπουσα, σιωπῇ πολλῇ κατείχετο, τὸ ἀποβησόμενον ἀναμένουσα. Ἡνίκα δὲ τὸ παράδοξον τῆς ὁράσεως ἡ μακαρῖτις ἐθεάσατο, ἐν ἀγγέλου μορφῇ καταφοιτήσαντα τὸν Παράκλητον, ῥάβδον ἐπιφερόμενον καὶ ἐν αὐτῇ τὰ ὕδατα ταράξαντα, παρευθὺ μετὰ χαρᾶς μεγάλης προσελθοῦσα ἤντλησε, καὶ τοῖς παρεστῶσι μετ' εὐφροσύνης τοῦτο ποιεῖν προετρέψατο, διηγησαμένη πᾶσι τὸ ἀπόῤῥητον τῆς οὐρανόθεν ἐπιφανείσης αὐτῇ θείας ἐπιφοιτήσεως.

14. Μεθ' ἡμέρας δέ τινας, χρείας τινὸς ἀπαιτούσης, ἐγένετο τὴν μεγάλην ταύτην ἐν γυναιξὶν ἄγγελον εἰσελθεῖν ἐν τῷ κειμηλιαρχείῳ. Καὶ ἐν τῷ ἀνοῖξαι τὰς θύρας, ἐν αἷς τὰ ἅγια ἀπέκειντο, ἐξῆλθεν ἐκεῖθεν φωνὴ πρὸς αὐτὴν φάσκουσα· « νῦν Θεοδόσιος ὁ βασιλεὺς τελειοῦται ἐν εἰρήνῃ. » καὶ κλαύσασα
σγ'. πικρῶς, ἐξῆλθεν ἐντεῦθεν ὀδυρομένη, | διηγήσατό τε ταῖς ὑπ' αὐτὴν παρθένοις τὴν ἐπελθοῦσαν αὐτῇ τῆς ἀποκαλύψεως φωνὴν, καὶ συνεχύθησαν ἅπασαι, λυπούμεναι (καὶ γὰρ ἦν ὁ φερώνυμος οὗτος βασιλεὺς μεγάλως συγκροτῶν τὸ μοναστήριον ἐν πάσαις ταῖς ἀναγκαίας χρείαις, σεβαζόμενός τε καὶ τιμῶν τὴν ὁσίαν, ὡς ἄγγελον Θεοῦ). Καθὼς δὲ παρὰ τῶν κατὰ καιροὺς ἱστορησάντων τὰς τῶν βεβασιλευκότων πράξεις ἔγνωμεν, λέγω δὴ τὰς πεπραγμένας ἐπὶ Ζήνωνος καὶ Βασιλίσκου κατὰ τῆς ὀρθοδόξου πίστεως καινοτομίας, δι' ἃς ἀναγκασθῆναι συμβέβηκε τοὺς ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς

οἰκοῦντας πατέρας παῤῥησιασθῆναι, καὶ πρὸς τὴν κοινὴν πάντων μητέρα, τὴν Ἐκκλησίαν, παραγενέσθαι, τὴν ἀτοπίαν τῆς βλασφημίας οὐκ ἐνεγκόντας, ὅτε καὶ τὸν μέγαν σημειοφόρον πατέρα Δανιὴλ ἐκ τοῦ στύλου κατελθεῖν παρεβιάσαντο· οὐκ ἄνδρας δὲ μόνον ἀλλὰ καὶ γυναῖκας εὐλαβείᾳ πολλῇ συζώσας, βίῳ τε πανευπρεπεῖ διαλαμπούσας καὶ θαύματι, ταὐτὸ τοῦτο ποιεῖν κατηνάγκασαν· οὕτως καὶ ἐπὶ ταύτῃ τῇ τρισολβίᾳ μητρὶ καὶ θαυματουργῷ Δομνίκᾳ συμβέβηκε.

15. Παρεγένοντο γάρ τινες καὶ πρὸς αὐτὴν, καὶ παρεβιάζοντο τοῦ ἐξελθεῖν καὶ πρὸς τὴν βασίλισσαν παραγενέσθαι, ὥστε παραινέσαι καὶ συμβουλεῦσαι αὐτῇ τὰ χρηστὰ καὶ σωτήρια. Ἡ δὲ, προγνοῦσα τῷ πνεύματι τὴν σκληρότητα τῆς ἀτεράμονος καρδίας αὐτῆς, οὐκ ἠνέσχετο ἀπελθεῖν· ἀποστεῖλαι δὲ μᾶλλον ἔδοξεν αὐτῇ τὴν δευτερεύουσαν τῆς κατ' αὐτὴν μονῆς, τοὔνομα Δωροθέαν, ὑφ' ἑτέρων ὑποκρατουμένην, διὰ τὸ συγκεκυφυῖαν εἶναι ἐξ ἀγώνων καὶ κόπων πολλῶν καὶ μὴ δύνασθαι ἀνανεῦσαι καὶ θεάσασθαι | τὰς κοσμικὰς φαντασίας. Ἥτις ἀπελθοῦσα ἐν τοῖς σγ'.
βασιλείοις, καὶ μηνύσασα τὴν παρουσίαν αὐτῆς, οὐκ ἐδέχθη παρὰ τῆς βασιλίσσης· ἀλλ' ἀποστραφεῖσα διακενῆς, ἀναχωροῦσα ἐκεῖθεν, πάντων ἀκουόντων, ὡς πρὸς αὐτὴν ἀποτεινομένη, προφητικῶς ἀπεφθέγξατο· «ὥσπερ αὐτὴ, φησὶν, ἀνόνητον τὸν κονιορτὸν καὶ κόπον τῶν ἐμῶν ποδῶν γενέσθαι παρεσκεύασας, οὕτω καὶ σὺ κρούσεις τὰς θύρας τῆς μεγάλης Ἐκκλησίας καὶ οὐκ ἀνοιγήσονταί σοι.» Καὶ τὸ ῥῆμα τοῦτο ἔργον γέγονε. Τελευτᾷ γὰρ μετ' οὐ πολὺ ἡ βασίλισσα μὴ καταξιωθεῖσα εἰσελθεῖν εἰς τὴν βασιλικὴν ἐκκλησίαν.

16. Ὅτε γοῦν ὁ καιρὸς ἤγγικε τῆς πρὸς Χριστὸν ἀναλύσεως τῆς κυριωνύμου Δομνίκας, ἐκάλεσε τὴν ῥηθεῖσαν Δωροθέαν καὶ παρέθετο αὐτῇ τὰς ἐν Χριστῷ ἀδελφὰς καὶ πάντα τὰ ἐν τῇ μονῇ, διάδοχον ταύτην ἑαυτῆς καταστήσασα. Προσηύξατο δὲ κατ' ἐνώπιον πασῶν οὕτως εἰποῦσα. «Κύριε τῶν δυνάμεων ὁ

Θεὸς ὁ μέγας, ὁ θαυμαστὸς ἐν βουλαῖς καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλῳ σου, ὁ φυλάσσων τὴν σὴν διαθήκην καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσι σε, ὁ πᾶσι τὴν ἄφεσιν καὶ ἀνακαίνισιν παρεχόμενος τοῖς ὑπὸ τῆς ἁμαρτίας παλαιωθεῖσι διὰ τοῦ μονογενοῦς παιδός σου Ἰησοῦ, ὁ σοφίζων τυφλοὺς καὶ κατεῤῥαγμένους ἀνορθῶν, ὁ δικαίους ἀγαπῶν καὶ προσηλύτους φυλάττων, ὁ ἐξαγαγὼν ἡμᾶς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ καταλάμψας τὸ φῶς τῆς σῆς ἐπιγνώσεως ἐν ταῖς καρδίαις ἡμῶν διὰ τοῦ Χριστοῦ σου, λέγοντος τοῖς ἐν δεσμοῖς ἐξέλθετε καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύφθητε· ὃς ἐπὶ τῆς γῆς ὀφθεὶς καὶ τοῖς ἀνθρώποις συναναστραφείς, τοῖς δεξαμένοις
σδ΄. αὐτὸν, ἐξουσίαν | δέδωκε τέκνα Θεοῦ γενέσθαι (Ἰωαν. α΄. 12.), διὰ λουτροῦ παλιγγενεσίας, ἀφαρπάσας ἡμᾶς τῆς καταδυναστείας τοῦ ἀντικειμένου καὶ πρὸς τὴν ἑαυτοῦ βασιλείαν καταστήσας. Σοὶ Δέσποτα τῶν ἁπάντων παρατίθημι τὴν μάνδραν ταύτην, καὶ τὰς ἐν αὐτῇ νῦν κατοικούσας ψυχάς, καὶ τὰς μετέπειτα μελλούσας κατοικεῖν. Διὰ τῶν εὐπροσδέκτων πρεσβειῶν τῆς ὑπεραμώμου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ τοῦ πανευφήμου σου προφήτου Ζαχαρίου, τήρησον αὐτὰς ἐν τῷ ὀνόματί σου, στήριξον ἐν τῇ πίστει σου, μὴ δελεασάτω αὐτὰς δέλεαρ διαβολικῆς ἀπάτης μὴ ὑποσκελισάτω αὐτὰς ἐνθύμησις πονηρὰ, ἐμβάλλουσα πρὸς παγίδα κοσμικῆς ἐπιθυμίας· ἀλλ' ἰσχὺν αὐταῖς τῇ σῇ παντοδυνάμῳ δεξιᾷ δωρούμενος, εὐδόκησον τὸν καλὸν ἀγῶνα ἠγωνισμένας, καὶ τὸν τῆς ἀσκήσεως δρόμον τελειούσας, καταπαύειν εἰς τὰς αἰωνίους σου μονὰς καὶ σκηνάς. Ἔτι σοῦ δεόμεθα, Δέσποτα φιλάνθρωπε, μὴ συγχωρήσῃς ψυχὴν διεφθαρμένην τῷ σώματι συναναμιγῆναι τῇ ἀμώμῳ ταύτῃ τῶν ἀμνάδων σου ποίμνῃ· μὴ καταφλέξοι πυρὸς ὁρμὴ τὸν οἶκόν σου τοῦτον, ὃν ἡγίασας, μὴ πνεῦμα πονηρὸν προσψαύσοι τοῖς τῆς σῆς μάνδρας ὁρίοις. Καὶ τὴν βασιλεύουσαν πόλιν, ὡς σοὶ ἀνακειμένην, ἀδιάπτωτον διαπαντὸς διατήρησον ἀπὸ σεισμοῦ

καταπτώσεως, λυτρούμενος αὐτὴν ἀπὸ λιμοῦ, λοιμοῦ, καταποντισμοῦ, πυρὸς, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου. Τὰ σκῆπτρα τῆς ἐν αὐτῇ βασιλείας κραταίωσον, ὑποτάσσων ὑπὸ τοὺς πόδας τῶν βασιλευόντων πάντα ἐχθρὸν καὶ πολέμιον· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν!»

17. | Ταῦτα προσευξαμένη καὶ συνταξαμένη πάσῃ τῇ ἀδελφότητι, τὰς μὲν ἄλλας ἀπέλυσε, τῇ δὲ Δωροθέᾳ λέγει· «παρακαλῶ σε, ἀδελφή, προσκαρτέρησον μικρὸν μετ' ἐμοῦ, ὅτι ὁ Δεσπότης χρείαν μου ἔχει.» Ἡ δὲ, νομίσασα περὶ τοῦ βασιλέως τοῦτο εἰρῆσθαι παρ' αὐτῆς, ἀπεκρίνατο· «καὶ τίς ἡ αἰτία, κυρία μῆτερ, δι' ἣν ὁ βασιλεὺς χρείαν ἔχει σου;» Ἡ δὲ μακαρία ἀντέφησεν· «ὁ Βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων καλεῖ με τέκνον εἰς τὸ ἀναλῦσαι καὶ σὺν αὐτῷ εἶναι. Παρακαλῶ σε τοίνυν, ἀδελφή, πάντα ὅσα ἐνετειλάμην σοι, φυλάξαι προθυμήθητι. Σοὶ γὰρ τετήρηται ὁ κλῆρος τῆς διακονίας ταύτης. Σοὶ καὶ τῷ μεγάλῳ προφήτῃ Ζαχαρίᾳ, σὺν Θεῷ, παρατίθημι ταύτην τὴν μάνδραν. Οὕτω σπεῦσον ποιμᾶναι αὐτὴν καὶ τὰς ἐν αὐτῇ ψυχὰς, ὡς μέλλουσα λόγον δοῦναι ὑπὲρ αὐτῶν κατενώπιον τοῦ μεγάλου βασιλέως Χριστοῦ.» Ταῦτα καὶ πλείονα τούτων παραινέσασα, καὶ τελευταῖον εἰποῦσα· «κύριε, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου» μετ' εἰρήνης ἀπέδωκε τὴν ψυχὴν τῷ Κυρίῳ. Παρευθὺ δὲ γίνεται σεισμὸς μέγας, ὥστε, φόβῳ συσχεθείσας τὰς μοναζούσας πάσας, ἐξελθεῖν ἐν τῷ περιαύλῳ, νομιζούσας τοῦτον τὸν τελευταῖον εἶναι σεισμὸν τῆς συντελείας· καὶ βλέπουσιν εἰς τὸν ἀέρα πλῆθος μοναχῶν λευχειμονούντων, καὶ γυναικῶν ἁγίων ἀγέλας, καὶ ἐν μέσῳ τούτων τὴν μακαρίαν Δομνίκαν νυμφικῷ κόσμῳ κεκοσμημένην. Ἐπληρώθη τε πᾶς ὁ αἰθὴρ εὐωδίας οὐρανίου ψαλλόντων ἐν συμφωνίᾳ μυστικῇ καὶ λεγόντων· εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος

(Ψαλ.ριβ'. 6)· καί, τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.
σε'. Καὶ ἠκούσθη | φωνὴ αὖθις ὡς ἐκ τοῦ οὐρανοῦ λέγουσα· οὕτως
εὐλογηθήσεται πᾶς ὁ ὅσιος ἐν καιρῷ εὐθέτῳ. Ἐ-
κάλυψε δὲ τοὺς ὀφθαλμοὺς τοῦ τιμίου σκήνους τῆς μακαρίας
ἡ φερώνυμος Δωροθέα ἡ καὶ διάδοχος αὐτῆς γεγεννημένη, τόν
τε πρέποντα δικαίοις ἐπιτάφιον ὕμνον καὶ τελευταῖον σὺν ἀ-
σπασμῷ θρῆνον εὐλαβῶς τελέσασα σὺν τῇ ἀδελφότητι πάσῃ,
σεβασμίως κηδεύσασα, κατέθετο ταύτην ἐντίμως ἐν τῇ προ-
κατασκευασθείσῃ παρ' αὐτῆς τῆς ἀοιδίμου μητρὸς σορῷ, ἐν ᾗ
καὶ μέχρι τῆς σήμερον, θαυματουργίαι πολλῶν ἰάσεων καὶ ἐ-
πισκιάσεων ὀπτασίαι γίνονται, ἀκαθάρτων τε πνευμάτων φυγα-
δεῖαι καὶ πολλῶν παθημάτων θεραπεῖαι.

18. Μετὰ γὰρ χρόνον ἱκανὸν τῆς κοιμήσεως τῆς μακαρίας
συνέβη γενέσθαι πλησίον τῆς μονῆς αὐτῆς ἐμπρησμὸν μέγιστον·
ὥστε μέλλειν ὅσον οὔπω τὸ πῦρ ἐπιλαμβάνεσθαι καὶ αὐτῆς
τῆς κόγχης τοῦ εὐκτηρίου. Μετὰ πολλῆς οὖν σπουδῆς καὶ
πολυχειρίας λαοῦ, παραγενομένου τοῦ τῆς πόλεως ἐπάρχου,
Εἰρηναίου τοὔνομα, ἐπὶ τῷ διακοπὴν τοῦ πυρὸς ποιεῖσθαι καὶ
σῶσαι τὸ μοναστήριον. Καὶ κατέναντι τῆς κόγχης σταθέντος,
ὡς ἐν ἐκστάσει τε γεγονότος ἐπὶ μικρᾶς ὥρας διαστήματι, τοῦ
μὲν πυρὸς ἡ ἀπειλὴ παραυτίκα ἐπέπαυτο, αὐτὸς δὲ τὸ πα-
ράδοξον πᾶσι διηγεῖτο τοῦ ὁράματος. «Ἔλεγε γὰρ κατιδεῖν
μετὰ τοῦ προφήτου Ζαχαρίου γυναῖκά τινα παραστᾶσαν, φο-
ροῦσαν κολόβιον κατέναντι τοῦ εὐκτηρίου καὶ ἀμφοτέραις ταῖς
χερσὶν ἀποσοβοῦντας τὴν ὁρμὴν τοῦ πυρός.» Ἐν τούτῳ οὖν ἔ-
γνωσαν πάντες σαφῶς ὅτι καὶ μετὰ θάνατον, ὡς ὄντως ἐν Θεῷ
σϛ'. ζῶσα, πρεσβεύει καὶ βοηθεῖ, πρόνοιαν ποιουμένη | τοῦ οἴκου
αὐτῆς. Ἐν ᾧ μετὰ χρόνον τινὰ μνήμης αὐτῆς διαιωνιζούσης,
λαμπρῶς ἐπιτελουμένης, συνηθροίσθη πλῆθος ἀνδρῶν τε καὶ γυ-
ναικῶν πολὺ οὐ τῶν μιγάδων μόνον καὶ ἀσήμων, ἀλλὰ μὴν
καὶ τῶν ἐν τέλει τῆς συγκλήτου βουλῆς ἐπιδόξων, καὶ τῶν

ἐπιδοξοτέρων ἀσκητῶν καὶ ἱεροπρεπῶν λογάδων· ἐν οἷς συμβέβηκέ τινα γυναῖκα, τοῦ περατικοῦ μέρους οὖσαν, εὑρεθῆναι πνεῦμα κρυπτὸν καὶ ἀκάθαρτον ἐφ' ἱκανοὺς χρόνους ἔχουσαν, φανερῶς μὲν μὴ διελέγχον ἢ κατάρχον αὐτήν, κρυφίως δὲ διατῆκον καὶ καταδαπανοῦν πάνυ πικρῶς.

19 Τῆς οὖν θείας λειτουργίας τελουμένης, ἔτι τῶν ἁγίων Εὐαγγελίων ἀναγινωσκομένων, παραχρῆμα μαστιζόμενον ὑπὸ θείας δυνάμεως τὸ ἐνοικοῦν πονηρὸν δαιμόνιον, ἤρξατο ῥήσσειν καὶ συγκόπτειν καὶ διελέγχειν τὸ γύναιον, ὅπερ προσκαρτερήσαν τῷ ζωηρῷ λειψάνῳ τῆς μακαρίας, ἐφ' ἱκανὰς ἡμέρας, τελείας τῆς ἐλευθερίας τοῦ τυραννοῦντος ἐπέτυχε δαιμονίου. Ὅτε γοῦν ἐξεταζόμενον ἐδίδου τὰς ἀποκρίσεις ἔλεγε προφανῶς πάντων ἀκουόντων· « ὢ τῆς ἀπὸ σοῦ βίας Δομνίκα δούλη Χριστοῦ! τί με πρὸ καιροῦ δεινῶς βασανίζεις; τί με καίεις, ὡς ἀπὸ πυρός; ἰδοὺ λοιπὸν ἐξέρχομαι· οὐκ ἔτι γὰρ φέρω τὴν τιμωρίαν. Ποῖά με δίκτυα ἐνθάδε ἐθήρευσαν; ἢ ποῖον δέλεαρ ἠγκίστρευσέ με καὶ ἔπεισεν εἰς τοῦτο τὸ γύναιον ἐπεισελθεῖν, ἵνα δι' αὐτοῦ ἐμπέσω εἰς τὰς σὰς χεῖρας; Ὄμνυμι τὴν δύναμιν τὴν μεγάλην καὶ τὴν ἐξουσίαν, ἣν κατὰ τοῦ γένους ἡμῶν ἔλαβες, εἰ προῄδειν οὕτω με μέλλειν βασανίζεσθαι ὑπὸ σοῦ, εἰς πῦρ ἢ εἰς ὕδωρ, ἢ εἰς βόρβορον ἐμβαλὼν, | ἀπέκτεινα ἂν αὐτόν. Ἀλ- σς'.
λ' οἴμοι! πῶς προελήφθην ὁ τάλας ἐγώ, καὶ νῦν ἰδού, τῇ κελεύσει τῆς δοθείσης σοι ἐξουσίας ὑπείκων, καὶ ἄκων ἐξέρχομαι ἐξ αὐτῆς, μόνον παραχώρησόν μοι συντρίψαι αὐτήν, ἢ ξηρᾶναι, ἢ παρὰ μέλος τι ποιῆσαι. » Καὶ ταύτας τὰς ἐλεεινὰς φωνὰς ἀποδυρόμενον ἀπεκρίνατο τὸ δαιμόνιον, καὶ ἀντετίθει πρὸς τὴν ὁσίαν, ὥσπερ τινος ἄρχοντος φοβεροῦ πᾶσι δοκεῖν προκαθέζεσθαι, τὰς ἐξετάσεις μετὰ πολλῆς αὐστηρίας ποιοῦντος. Καὶ δὴ μεθ' ὅρκων φρικτῶν ἀποταξάμενον τὸ πονηρότατον ἐκεῖνο πνεῦμα, κατά τε τῆς κορυφῆς τοῦ Θεοῦ καὶ τοῦ θρόνου αὐτοῦ καὶ τοῦ ὑψηλοῦ βραχίονος τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, Ἰησοῦ Χρι-

στοῦ, τοῦ Σωτῆρος ἡμῶν, δι' οὗ βασανίζεσθαι προῦπτον ἀνωμολόγει παρά τε τῆς δυνάμεως τῆς διδομένης τῇ μακαρίᾳ Δομνίκᾳ καὶ Ζαχαρίᾳ τῷ θαυματουργῷ προφήτῃ, οὕτως ἐξῆλθεν ἀπ' αὐτῆς, τηρῆσαν αὐτὴν ἀσινῆ καὶ ὁλόκληρον, μηδέποτε πειραθὲν προσεγγίσαι αὐτῇ πάντα τὸν τῆς ζωῆς χρόνον. Ταῖς εὐπροσδέκτοις οὖν πρεσβείαις τοῦ μεγάλου προφήτου Ζαχαρίου, καὶ ταύτης τῆς μεγάλης θαυματουργοῦ μητρὸς ἡμῶν Δομνίκας, εὕροιμεν ἔλεος παρὰ τῷ δικαίῳ κριτῇ καὶ παμβασιλεῖ Χριστῷ ἐν ἡμέρᾳ κρίσεως, τὸν παρόντα βίον ἐν χαρᾷ, πίστει, ἐλπίδι καὶ ἀγάπῃ, ἀνευθύνως καὶ ἀκαταγνώστως ὑπεξερχόμενοι καὶ τῆς ἀκηράτου καταξιούμενοι ζωῆς καὶ διαμονῆς ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

(*) ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΕΝΔΟΞΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΩΝ ΜΗΝΑ ΒΙΚΤΩΡΟΣ ΚΑΙ ΒΙΚΕΝΤΙΟΥ.

1. Τρίφωτος ἡμῖν ἰδοὺ ἐπέλαμψε περιώνυμος ἄρτι ἑορτὴ τριῶν τρισαριστέων ἀνδρῶν μεγαθύμων, ἰσαρίθμῳ τριάδος θείας ποσότητι καὶ πίστει τετιμημένων, μεγίστας ἄγαν ἀνδραγαθίας, καθάπερ τινας τηλαυγῆς ἀκτῖνας προβαλλομένη, καὶ τὰ τοῦ κόσμου πάντα πέρατα λαμπροφανῶς καταστράπτουσα. Μηνᾶς

(*) Μαρκ. κῶδιξ CCCXLIX. φύλλ. 144, αἰῶν. XII. Zan.

γὰρ ὁ παγγέραστος ἀγωνιστὴς τῆς εὐσεβείας σὺν Βίκτωρι τῷ τρισολβίῳ καὶ Βικεντίῳ τῷ περιβοήτῳ, διαπρυσίῳ πάντας πρὸς τὴν οἰκείαν ἑστίαν συγκαλοῦσι σήμερον κηρύγματι, πανδαισίαν ἀδάπανον προτιθέμενοι τοῖς οἰκείοις ὑπὲρ Χριστοῦ κινδύνους καὶ διωγμούς, τάς τε πολυειδεῖς βασάνων στρεβλώσεις καὶ τὸν βίαιον θάνατον· δι' ὧν ἡδύνουσι μὲν ψυχὰς τῶν ἡδέως τὰς ἀκοὰς πρὸς ἀκρόασιν διανοιγόντων, εὐφραίνουσι δὲ καρδίας τῶν ἐν πίστει διηγουμένων ἀδιστάκτῳ τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἀθλοφορικῆς αὐτῶν τροποφορίας καὶ ἀναῤῥήσεως.

2. Διαπύρῳ τοιγαροῦν πόθῳ καὶ σπουδῇ διεγηγερμένῃ συνδράμωμεν ἅπαντες ἕκαστος τιμῆσαι τοὺς συγκαλέσαντας σπεύδοντες· μὴ τοῦτο δὲ μόνον σκοπῶμεν ἁπλῶς, ὥστε ψιλῷ λόγῳ
| μόνῳ μακαρίσαι τοὺς μάρτυρας καὶ θαυμάσαι τοὺς ἀθλητὰς 144.
τῆς μεγάλης παῤῥησίας καὶ καρτερίας, ἀλλὰ καὶ ζηλῶσαι τὴν τούτων προαίρεσιν, ὡς δυνατὸν, διανοώμεθα· ὡς ἂν μὴ ἄκαρπος ἡμῖν ὁ τοῦ λόγου καταβάλοιτο σπόρος τῆς ἐξ ἔργων ἐπικαρπίας ἀπολειπόμενος, ἀλλὰ χρεὼν ἂν εἴη κατὰ τάξιν ἐντάξαι τοὺς ἑκάστου τούτων ἀγῶνας καὶ τὰ παλαίσματα, τῷ παρόντι διηγήματι, ὡς ἂν τῇ λεπτομερεῖ τῶν ἄθλων διηγήσει, μειζόνως μὲν αὐτοὶ παρὰ πάντων ἐκθειάζοιντο καὶ θαυμάζοιντο, τῶν δὲ φιλεόρτων ἐπὶ πλέον ὁ θίασος ἐπευφραίνοιτο, δοξάζοιτο δὲ καὶ μεγαλύνοιτο Χριστὸς ὁ μέγας ἀγωνοθέτης τρανότερον, ὁ πάντοτε καὶ διὰ πάντων ἐνδοξαζόμενος ἐν τοῖς ἁγίοις αὐτοῦ. Οὐκ ἄπο δὲ σκοποῦ οἶμαι καὶ τοῦτο νῦν μετρίως πως ὑμᾶς προσυπομνῆσαι πρὸς τὴν παροῦσαν ὑπόθεσιν, ὡς εἰκὸς, οὐκ ὀλίγον συμβαλλόμενον· ἵνα γένηται τοῖς μὲν εἰδόσιν ἀνάμνησις, τοῖς ἀγνοοῦσι δὲ μάθησις, καὶ ἀμφοτέροις οὐ τῆς τυχούσης ὠφελείας ἀφήγησις.

3. Ἰστέον, γὰρ ὡσεὶ καὶ μίαν καὶ τὴν αὐτὴν κοινὴν ἑορτὴν τῶν τριῶν τούτων μαρτύρων ἐν ἡμέρᾳ μιᾷ πανηγυρίζειν ἄνωθεν ἐκ πατέρων παρειλήφαμεν· ἀλλ' οὖν οὐκ εἰς μίαν πόλιν,

ἢ χώραν ὁμοθυμαδὸν, ὡς ἄν τις εἴποι, τὸν δρόμον τῆς μαρτυρίας δείκνυνται διανύσαντες, οὔτε μὴν κατὰ τὸν αὐτὸν ἕνα καιρὸν ὑφ' ἑνὶ διώκτῃ τῆς πίστεως τοὺς ὑπὲρ Χριστοῦ κινδύνους ὑποστάντες εὑρίσκονται, ἀλλὰ κατὰ διαφόρους μὲν καιροὺς καὶ τόπους· ἐπὶ βασιλέων δὲ καὶ ἡγεμόνων οὐ τῶν αὐτῶν, ἀλλὰ ἄλλων ἀλλαχοῦ τυραννούντων ἀνδρείῳ φρονήματι τοὺς ἀντιπάλους κατηγωνίσαντο. Κατ' αὐτὴν μέντοι τὴν ἑνδεκάτην ἡμέραν τοῦ καλουμένου Νοεμβρίου μηνὸς (οὕτω τῆς κυκλοφορικῆς τῶν χρόνων παραδρομῆς συναντησάσης, τὴν ὑπὲρ εὐσε-
145. βείας τελείωσιν ἔλαχον), καθ' ἣν καὶ τὴν ἱερὰν | αὐτῶν μνημοσύνην κοινὴν ἐπιτελεῖν παρειλήφαμεν.

4. Ὁ μέντοι μεγαλόφρων Μηνᾶς, Αἰγύπτιος ἦν τὸ γένος, εὐγενῶν δὲ γονέων γεγένηται βλαστὸς εὐγενέστερος, ἐπιεικὴς τὸν τρόπον, πρᾶος τὸ ἦθος, πίστεως ἔμπλεως, ζήλου τε θείου πνέων ἐκ νεαρᾶς ἡλικίας, καὶ πλήρης εὐωδίας τῶν χαρισμάτων τοῦ παντουργοῦ πνεύματος. Οὗτος ἐπὶ τῆς τυραννικῆς ἐπικρατείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, στρατιωτικοῖς καταλόγοις ἐναρίθμιος γεγονὼς ἀριθμοῦ τινος, λεγομένου τῶν ῥουτιλλιακῶν, ταξίαρχον ἔχοντος Φιρμιλιανόν τινα τοὔνομα, ἀπανίσταται τῆς πατρίδος Αἰγύπτου πρὸς τὰ τῆς ἑῴας μέρη, τῶν κρατούντων οὕτω παρακελευσαμένων, ἔνθα παραφυλάττειν ἐτάχθησαν τὴν τῶν Κοτυαέων μητρόπολιν, διακειμένην ἐν ὁρίοις Φρυγίας τῆς οὕτω καλουμένης Σαλουταρίας· ἧς τὸ κατ' ἐκεῖνο καιροῦ τὴν ἡγεμονίαν ἀνὴρ ἀναδέδεκτο, τοὔνομα λεγόμενος Ἀργυρίσκος, Πύῤῥος ἑλληνικῆς αὐστηρίας καὶ πλάνης πεπληρωμένος, ὃς ἀνάγραπτα τὰ παράνομα διατάγματα τῶν δυσμενῶν αὐτοκρατόρων προτίθησι δημοσίᾳ περιέχοντα τάδε· « Διοκλητιανὸς καὶ Μαξιμιανὸς, ἀήττητοι βασιλεῖς τοῖς τὰ ἡμέτερα φρονοῦσι πᾶσι χαίρειν. Μεγάλης εὐεργεσίας καὶ βαθείας γαλήνης παρὰ τῶν μεγάλων θεῶν τετυχηκότες, τὴν κεχρεωστημένην αὐτοῖς εὔνοιαν ἀπονέμειν πᾶσι

τρόποις ὀφείλομεν. Ἀναγκαῖον οὖν τὸ νῦν ἡγησάμεθα πάντας ὑμᾶς εἰσηγήσασθαι διὰ τῆς παρούσης γραφῆς, ὥστε πᾶσαν ἐπιμέλειαν καὶ θεραπείαν περὶ αὐτούς τε καὶ τοὺς τούτων οἴκους ἐπιδείξασθαι. Διὸ κελεύομεν τοῖς ἁπανταχοῦ πᾶσιν ἄρχουσί τε καὶ ἀρχομένοις, ἡγεμόσι τε καὶ τοῖς ἐπ᾽ ἐξουσιῶν, ἅμα τῷ μαθεῖν τὰς ἡμετέρας ταύτας διατάξεις, μηδὲν ἀμελὲς περὶ τοὺς ἡμετέρους εὐεργέτας ἐνδείξασθαι, ἀλλὰ πάσῃ σπουδῇ καὶ στοργῇ τὴν | προσήκουσαν αὐτοῖς τιμὴν καὶ λατρείαν πάνδημον 145.
προθύμως προσφέρειν, τοῦτο εἰδόσιν· ὡς, εἴ τις ἀντειπεῖν τολμήσειεν πρὸς τὰ ἡμῖν δοκοῦντα, τὸν ἀπαραίτητον ὑποστήσεται διὰ ποικίλων κολαστηρίων θάνατον.»

5. Τούτων δὴ τῶν παρανόμων θεσπισμάτων ἀναφανδὸν δημοσίᾳ προτιθεμένων, τῶν τε κηρύκων κραυγῇ διαπρυσίῳ πάντας πρὸς τὴν μιαρὰν θυσίαν συγκαλουμένων ἀπαντᾶν, καὶ πάντων βιαίως ἐπὶ τοὺς εἰδωλικοὺς ναοὺς ἑλκομένων, καὶ τελεῖν ἀναγκαζομένων τὰ μυσαρὰ τῶν δαιμόνων μυστήρια, οὐκ ἐνεγκὼν καθορᾶν τὴν τοσαύτην ταραχὴν καὶ σύγχυσιν ὁ μακαριώτατος Μηνᾶς, κατ᾽ ἐνέργειαν τοῦ πονηροῦ γεγενημένην, καταλιπὼν τὴν ἑαυτοῦ στρατείαν, ἀνεχώρησε, λάθρα διαδρὰς, εἰς τ ό π ο υ ς ἐ ρ ή μ ο υ ς κ α ὶ ἀ β ά τ ο υ ς διατρίβειν μᾶλλον ἑλόμενος ἐν κακουχίᾳ πολλῇ, ἢ ο ἰ κ ε ῖ ν ἐ ν σ κ η ν ώ μ α σ ι ν ἁ μ α ρ τ ω λ ῶ ν (Ψλ. πβ. πγ'.), λ α τ ρ ε υ ό ν τ ω ν τ ῇ κ τ ί σ ε ι π α ρ ὰ τ ὸ ν κ τ ί σ α ν τ α, ἐν οἷς θεοφιλῶς ὡς ἐμφιλοχωρῶν μετὰ τοῦ Δαυῒδ ψάλλων οὐκ ἐνέλιπεν· Ἰ δ ο ὺ ἐ μ ά κ ρ υ ν α φ υ γ α δ ε ύ ω ν κ α ὶ η ὐ λ ί σ θ η ν ἐ ν τ ῇ ἐ ρ ή μ ῳ (νδ'. 7)· καὶ τὰ τούτοις ἑπόμενα.

6. Μετὰ δὲ χρόνον ἱκανὸν τῆς ἐν ἐρήμῳ διατριβῆς θεόθεν γεγενημένης αὐτῷ τινος ἐλλάμψεως αὐθόρμητος παραγίνεται πρὸς τὴν πόλιν, καθ᾽ ἣν ἡμέραν γενέθλια τῶν κρατούντων λαμπρὰ παρὰ παντὸς τοῦ πλήθους ἐπετελεῖτο. Συνηθροισμένων δὲ πάντων ἐν τῷ θεάτρῳ καὶ τοῦ δικαστοῦ προκαθημένου πρὸς τῇ θεωρίᾳ τῶν ἀγωνιζομένων, καὶ τὸν ἀγῶνα διατιθέντος, ὑ-

πεισῆλθεν ἀθρόον ἐν μέσῳ τοῦ πλήθους παντὸς μετὰ παῤῥησίας πολλῆς κράζων καὶ λέγων τὸ προφητικὸν ἐκεῖνο λόγιον· «εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι (Ησ. ξε'.).» Σιγῆς δὲ μεγάλης γεγενημένης ἐν τῷ καταπλήττεσθαι πάντας ἐπὶ τοσαύτῃ τοῦ ἀνδρὸς παῤῥησίᾳ, παρηλλαγμένον καὶ τὸ σχῆμα καὶ τὸ χρῶμα μάλιστα ἔχοντος, ὡς ἐξα-
146. σκήσεως | ἄκρας καὶ πλείστης κακοπαθείας, ὁ ἡγεμὼν πρὸς ἑαυτὸν ἀγαγὼν τὸν ἅγιον ἐπυνθάνετο· τί[ς] εἴη καὶ πόθεν ἀφῖκται. Ὁ δὲ μεγάλῃ τῇ φωνῇ ἀπεκρίνατο λέγων· «ἐγὼ δοῦλός εἰμι τοῦ Δεσπότου μου καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ βασιλεύοντος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.» Ὁ δὲ ἡγεμὼν τὸ ἀκατάπληκτον τόλμημα τῆς τούτου παῤῥησίας ἐπὶ πλέον καταπλαγεὶς περιεργότερόν πως τὰ κατ' αὐτὸν ἀνεπυνθάνετο, ζητῶν ἀναμαθεῖν, εἰ ἄρα τις τῶν ἐγχωρίων τυγχάνει, ἢ ἐξ ἀλλοδαπῆς πατρίδος ἧκεν, ὃς τολμηρῶς οὕτω καὶ ἀναιδῶς εἰσπηδήσας ἐπέδωκεν ἑαυτὸν, ὥστε παρεμποδίσαι τελεσθῆναι τὸ τῶν αὐτοκρατόρων γενέθλιον. Πρὸς ὃν ἀτενίσαντές τινες τῶν τῆς τάξεως, τό τε εἶδος αὐτοῦ καταμαθόντες καὶ ἀναγνωρίσαντες, λέγουσι τῷ ἡγεμόνι· «τοῦτον ἡμεῖς, ὦ κράτιστε ἡγεμὼν, ἐπιστάμεθα πρὸ χρόνων πέντε στρατευόμενον ἐν τῷ νουμέρῳ τῶν ῥουτιλλιακῶν καλουμένων ταξεωτῶν, τῶν ὄντων ὑπὸ Φιρμιλλιανὸν τὸν τριβοῦνον.» Πρὸς ὃν φησιν ὁ ἡγεμών· «λέγε μοι σὺ, στρατιώτης εἶ, καθὼς ἀναφέρει περὶ σοῦ ἡ τάξις;» Ὁ ἅγιος Μηνᾶς ἀποκρίνεται· «στρατιώτης μὲν ἤμην, ματαιότητι τῇ τοῦ κοσμοκράτορος κακῶς στρατευόμενος, ἀλλ' ἐπειδὴ εἶδον ἀναιδῶς τὸν Δεσπότην ὑπὸ δούλων κακῶν ἀθετούμενον, δαίμονας δὲ τιμωμένους ἀπατεῶνας, ἠρνησάμην στρατείαν τὴν πρόσκαιρον, καὶ τὴν ἀκήρατον ᾑρετισάμην ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἐνδιαιτᾶσθαι μᾶλλον ἑλόμενος.» Ὁ ἡγεμὼν λέγει· «ποίας προφάσεως παρεμπεσούσης, τῆς προσούσης σοι στρατείας ἀπέστης;» Ὁ ἅγιος

Μηνᾶς λέγει· «ἤδη προεῖπον, καὶ νῦν λέγω, ὅτι χριστιανὸς ὢν καὶ μὴ βουλόμενος μετασχεῖν τῆς ὑμετέρας μιαρᾶς εἰδωλολατρείας, τοῦτο πρᾶξαι διενοήθην.»

7. Ἀπασχολούμενος τοίνυν ὁ τῆς πλάνης ἡγεμὼν περὶ τὴν γενεθλιακὴν ἅμιλλαν τῶν τῆς ἀσεβείας αὐτοκρατόρων, τότε μὲν ἐπαύσατο τοῦ ἐπερωτᾶν αὐτὸν, ὃν ἐν | ἀσφαλεστάτῃ φρουρᾷ τηρεῖσθαι παραπέμψας, τῇ ἑξῆς προκαθίσας ἐπὶ βήματος, ἔμπροσθεν αὐτοῦ παρίστησι, καί φησιν· «λέγε μοι, τρισάθλιε, ποῖός σε πονηρὸς δαίμων ἐξαπατήσας ἀνέπεισεν ἐπεισελθεῖν τῇ χθὲς ἡμέρᾳ μέσον τοῦ θεάτρου καὶ παρεμποδίσαι τῇ δημοσίᾳ τελετῇ τῶν βασιλικῶν γενεθλίων, τολμήσαντα μάλιστα καὶ χριστιανὸν σεαυτὸν ἀνομολογῆσαι; Σαφήνισον οὖν ἡμῖν συντόμως ποίας πατρίδος καὶ ποίου τυγχάνεις γένους, καὶ ποῦ διέτριβες μέχρι τῆς δεῦρο, ἀφ' ἧς ἡμέρας τὸ τάγμα τῆς εὐτάκτως σοι συναχθείσης στρατείας κατέλιπες;» Ὁ ἅγιος Μηνᾶς ἠμείβετο· «πατρίδος μὲν, ὦ ἡγεμὼν, ἐγὼ τῆς τῶν Αἰγυπτίων ὥρμημαι χώρας, γένους δὲ προῆγμαι οὐ τῶν ἀγενῶν τινος καὶ ἀνωνύμων, ἀλλὰ καὶ λίαν ἐπισήμων, κἂν ἐμοὶ μηδὲν τοῦτο συντελεῖ πρὸς τὰ μείζω καὶ τελεώτερα, στρατείας τε καὶ τιμῆς κοσμικῆς, οὐ τῆς τυχούσης ἔλαχον, ἣν ἠρνησάμην ἑκὼν, ἑλόμενος μᾶλλον βασιλεῖ στρατεύεσθαι τῷ ἐπουρανίῳ, ἢ συναπόλλυσθαι τοῖς ἀσεβῶς σπουδάζουσιν ἀρέσκειν τοῖς προσκαίροις βασιλεῦσιν.» Ὁ ἡγεμὼν ἀποκρίνεται· «ποῦ δὲ διέτριβες μέχρι τῆς δεῦρο, καὶ τί διαπραττόμενος διετέλεις, τοσοῦτον χρόνον ἀποκρυπτόμενος;» Ὁ ἅγιος Μηνᾶς ἀνταποκρίνεται· «διὰ τὴν τοῦ ἐμοῦ Χριστοῦ καὶ Θεοῦ ἀγάπην ᾑρετισάμην μᾶλλον ἐν ἐρημίαις μετὰ θηρίων ἀγρίων τὴν διατριβὴν ἔχειν καὶ καθαρῶς λατρεύειν αὐτῷ, ἢ μεθ' ὑμῶν συναναστρέφεσθαι καὶ συναπόλλυσθαι τῶν μὴ τὸν ὄντως εἰδότων Θεόν· ἔνθα μετὰ τοῦ μελῳδοῦ Δαυῒδ ψάλλων προσηυχόμην διὰ παντός· μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ

ἀνδρῶν αἱμάτων τὴν ζωήν μου (κβ'. 9). » Πρὸς ὃν ὁ ἡγεμὼν λέγει· « εἰ καὶ τὰ μάλιστα στρατιώτην λειποταξίου γραφῆς ἄξιον ὄντα σε τοῖς δόγμασί τε τῶν κρατούντων ἀντι-
147. ταττόμενον καὶ χριστιανὸν σεαυτὸν ἀνομολογοῦντα | συγγνώμης οὐκ ἔξεστι τυχεῖν, ὅμως διὰ τὸ φύσει φιλάνθρωπον τοῦ δικαστηρίου, δυνατὸν ἔσται σοι μεταμελουμένῳ ἐλέους λαχεῖν. Νῦν οὖν ἀνακάλεσαι τὴν σεαυτοῦ ἧτταν, καὶ προσελθὼν θῦσον προθύμως τοῖς θεοῖς, ὅπως περισσοτέρας τιμῆς, ἧς πρώην ἔλαχες, νῦν μᾶλλον ἀξιωθήσῃ, τὴν οἰκείαν στρατείαν αὖθις ἀπολαμβάνων. » Πρὸς ὃν ὁ μάρτυς ἀντέφησεν· « ἐμοὶ τιμῆς καὶ δόξης ἁπάσης προτιμοτέρα καθέστηκεν ἡ πρὸς Χριστὸν τὸν ἀληθῆ Θεὸν καὶ Βασιλέα πίστις καὶ πεποίθησις, παρ' οὗ τὴν εὐμένειαν καὶ συμπάθειαν τῆς θείας χρηστότητος ἐπιζητῶ, καὶ τούτῳ μόνῳ διὰ πολλῆς σπουδῆς τίθημι εὐαρεστῆσαι. Μὴ τοίνυν ἀπατῶ προσδοκῶν μετατρέψαι τὸν ἐμὸν σκοπὸν τῆς ἀμετατρέπτου ταύτης ἐνστάσεως· οὔτε γὰρ ἀπειλαῖς ἐκφοβήσεις, οὔτε μὴν ὑποσχέσεσι δελεάσεις, οὔτ' αὖ κολακείαις χαυνώσεις, οὔτε ποικίλαις κολάσεσι κατακάμψαι δυνήσῃ πεισθῆναί με τῇ ἀσεβείᾳ σου. Τὸ λοιπὸν ποίει ὃ θέλεις. »

8. Τότε προστάττει τῆς πονηρίας ὁ ἡγεμὼν, ταθέντα τὸν ἀθλητὴν, ἐκ τεσσάρων τύπτεσθαι βουνεύροις ἀπεσκληκόσιν, ἐπιλέγοντας αὐτῷ· « στρατιώτης τυγχάνων πείθου τοῖς προστάγμασι τῶν βασιλέων. » Ὁ δὲ μαστιζόμενος ἀντημείβετο· « ἐμοὶ σπουδὴ πολλὴ πρόσεστι παντὶ τρόπῳ πειθαρχεῖν τοῖς προστάγμασι τοῦ μεγάλου Βασιλέως Χριστοῦ. » Ἐπὶ πολύ τε τούτου τυπτομένου σφοδρότερον, καὶ τῶν αἱμάτων κρουνηδὸν ἀποῤῥεόντων πρὸς γῆν, Πηγάσιός τις τοὔνομα, πρίγκιψ τὴν ἀξίαν, παρεστὼς πλησίον, πονηρὰν συμβουλὴν προσῆγε τῷ ἁγίῳ λέγων· « φεῖσαι σεαυτοῦ καὶ θῦσον τοῖς θεοῖς, ἄνθρωπε, πρὸ τοῦ τὰς σάρκας σου τέλεον ταῖς μάστιξι καταξανθῆναι. » Πρὸς ὃν ὁ μάρτυς, αὐστηροτέρᾳ φωνῇ χρησάμενος, ἀνεκραύγασεν· « ὦ

πονηρὲ σύμβουλε καὶ πάσης ῥᾳδιουργίας πεπληρωμένε, τοῦ δι-
καστοῦ τυραννοῦντος καὶ καταναγκάζοντος παρανομεῖν οὐκ ἀ-
νέχομαι, καὶ σοῦ μέλλω | ὑπακούειν; Ἀπόστηθι τοίνυν ἀπ' ἐ- 147.
μοῦ πάσης ἀνομίας ἐργάτα· ἔχων γὰρ ἐγὼ Θεὸν βοηθὸν τὸν
δυνάμενον καὶ τὰς βασάνους ὑμῶν ταύτας ἀπράκτους ποιῆσαι,
καὶ ὑμᾶς αὐτοὺς ἀπωλείᾳ παντελεῖ παραδοῦναι, οὐδένα λό-
γον ποιοῦμαι τῶν παρ' ὑμῶν μοι προσαγομένων κακῶν, δι' ὧν
σπουδάζετε μάτην τῆς ἀληθοῦς λατρείας ἀποστῆναί με, καὶ
πρὸς τὴν τῶν δαιμόνων θρησκείαν αὐτομολῆσαι. »

9. Τούτοις τοῖς πεπαῤῥησιασμένοις ῥήμασι χόλου πλησθεὶς
πλειόνος ὁ τῆς μανίας ἡγεμὼν πρὸς τοὺς ὑπηρέτας ἀπεφθέγ-
γετο· « προσφερέσθωσαν αὐτῷ πικρότεραι τὸ τάχος βάσανοι
πρὸς τὴν σκληροκαρδίαν αὐτοῦ. » Καὶ κελεύει παραχρῆμα κρε-
μασθέντα τοῦτον ἐπὶ ξύλου σιδηροῖς ὄνυξι ξέεσθαι. Ξεομένῳ
τοίνυν τὰς σάρκας ἀπηνῶς ὁ τῆς ἀναλγησίας ἡγεμὼν ἐπεφώ-
νει· « ἐσωφρονίσθης, Μηνᾶ, καὶ νῦν αἰκιζόμενος, ἢ οὐδέπου
ᾔσθου τῶν βασάνων; » Ὁ ἅγιος Μηνᾶς εἶπεν· « οἴει μάτην,
ἀνόητε, διὰ τῆς μικρᾶς ταύτης βασάνου περιγενέσθαι τοῦ ἐν
ἐμοὶ σώφρονος λογισμοῦ, ἀγνοῶν ὅτι οἱ στρατιῶται τοῦ μεγάλου
Βασιλέως Χριστοῦ παρεστήκασι πλησίον μου, συνεπαμύνοντες,
καὶ γενναιότερόν με πρὸς πᾶσαν στρέβλωσιν τὴν παρὰ σοῦ
προσαγομένην διατηροῦντες; » Ὁ ἡγεμὼν λέγει τοῖς ὑπηρέ-
ταις· « ἅψασθε τῶν μελῶν αὐτοῦ εὐτονώτερον, » λέγοντες αὐ-
τῷ· « βασιλέα ἔχων, ἕτερον βασιλέα μὴ ὁμολόγει. » Ὁ ἅγιος
Μηνᾶς ἀπεκρίνατο· « αὐτὸς φιμώθητι καὶ παῦσαι βλασφημῶν
κατὰ τῆς μεγαλωσύνης τοῦ παντοκράτορος Θεοῦ, τοῦ δόντος
ἐξουσίαν τοῖς φθαρτοῖς βασιλεῦσιν, οἷς ἀνοήτως προσάπτεις τὴν
τιμὴν τοῦ ἔχοντος ἐξουσίαν πάσης πνοῆς. » Πρὸν ὃν ὁ ἀσύ-
νετος ἡγεμὼν ἔφη· « τίς ἐστιν ἐκεῖνος, ὃν λέγεις τὴν τιμὴν
διδόντα τοῖς βασιλεῦσι καὶ δυνάμενον παντὸς τοῦ κόσμου κα-
τεξουσιάζειν; » Ὁ ἅγιος μάρτυς ἀπεκρίνατο· « ὁ Κύριός μου

148. Ἰησοῦς Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ | ζῶντος, ὅς ἐστι δημιουργὸς ἁπάντων ὁρατῶν καὶ ἀοράτων· ᾧ καὶ ὑποτέτακται πάντα τὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς καὶ τὰ ἐν τοῖς καταχθονίοις. Εἰ οὖν θεάσασθαι θέλεις τοῦτον τὸν ἐμὸν Δεσπότην καὶ Βασιλέα, πίστευσον εἰς αὐτὸν, καὶ ὄψει τὴν δόξαν αὐτοῦ.» Ὁ ἡγεμὼν λέγει· «οὐκ οἶδας, Μηνᾶ, ὅτι περ οἱ βασιλεῖς, μεγάλως ὀργιζόμενοι διὰ τὸ τοῦ Χριστοῦ ὄνομα, ἐκέλευσαν τοὺς ἐπικεκλημένους τοῦτο πάντας κολάζεσθαι; καὶ πῶς αὐτὸν ἐπιμένεις τῇ τοιαύτῃ ὁμολογίᾳ;» Ὁ ἅγιος ἀμείβεται Μηνᾶς· «εἰς μάτην οἱ σοὶ βασιλεῖς ὀργίζονται· τί τοῦτο πρὸς ἐμέ; Ἐγὼ γὰρ τὸν ἐμὸν ἐπιγινώσκω Χριστὸν Θεὸν καὶ Βασιλέα, περὶ οὗ γέγραπται σαφῶς· ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί (Ψαλ. κη'. 1)· οὗ τὴν ὁμολογίαν εὔχομαι μέχρι τέλους ἄτρεπτον διατηρῆσαι. Μαθητὴς γὰρ καὶ μιμητής εἰμι τοῦ εἰπόντος· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις; ἢ στενοχωρία; ἢ λιμός; ἢ διωγμός; ἢ κίνδυνος; ἢ μάχαιρα (Ῥωμ. η'. 35); Γνῶθι τοίνυν ὅτι οὐδὲν δύναται τῶν ἐναντίων περιγενέσθαι τινὰ τῶν ἐλπιζόντων ἐπὶ τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα.» Ἐπὶ ταύταις ταῖς θαυμασταῖς ἀποκρίσεσι τὴν ἔμφυτον μανίαν ἀνάψας ὁ μεμηνὼς ἡγεμὼν, κελεύει τὰς καταξανθείσας σάρκας τοῦ μάρτυρος ὀξάλμῃ προσεπιῤῥαίνεσθαι, καὶ τριχίνοις ῥάκεσιν εὐτόνως ἐπανατρίβεσθαι.

10. Θεασάμενος δὲ τὸ καρτερόψυχον ὁ τύραννος τῆς τούτου πολλῆς ὑπομονῆς, ὡς ἐν ἐκπλήξει γενόμενος, φησὶ πρὸς αὐτόν· «οὕτως ἔκρινας, ἄθλιε, καθάπερ ἐν ἀλλοτρίῳ σώματι τὰς τιμωρίας ἀναλγήτως ὑποφέρειν, καθάπαξ πρὸς θάνατον ἐκδοὺς ἑαυτόν;» Ὁ ἅγιος Μηνᾶς εἶπε· «τοῦτο νῦν ἀληθὲς εἴρηκας, καίτοι τῆς ἀληθείας ἀλλότριος τυγχάνων· οὐ γὰρ ᾐσθόμην τῶν βασάνων, τῆς ἄνωθεν βοηθείας τὰς ἀλγηδόνας τῶν ὀδυνῶν διασκεδαζούσης ἀπ' ἐμοῦ. Πᾶσι γὰρ Χριστὸς τοῖς πάσχουσιν ὑπὲρ αὐτοῦ βοήθειαν ἐξ ὕψους ἐπιπέμπει καὶ συνερ-

γεῖ πρὸς πᾶν ἀγαθόν·» | Ἐφ' οἷς φιλονεικότερον διατιθέμενος ὁ 148.
βιαιότατος τύραννος, λαμπάδας πυρὸς προστάττει τοῖς ὑπηρέταις προσάψαι καὶ κατακαῦσαι πᾶν τὸ σῶμα τοῦ μάρτυρος, «ὅπως, φησί, κἂν οὕτω δυνηθῶμεν καταμαλάξαι τὸ σκληρὸν καὶ ἀπηνὲς αὐτοῦ φρόνημα.» Ἐφ' ἱκανὴν οὖν ὥραν ταῖς φλόγαις (sic) τῶν λαμπάδων ἐγκαρτεροῦντος αὐτοῦ καὶ μηδὲν δοκοῦντος πάσχειν, εἰς ἔκστασιν μείζονα τὸν ἄδικον ἤγαγε δικαστὴν, ὥστε θαμβητικῶς εἰπεῖν πρὸς αὐτόν· «οὐδὲ τῆς τοῦ πυρὸς αἰσθάνῃ, πανάθλιε, καύσεως;» Καὶ ὁ μάρτυς ἔφη· «ὁ τὸν τοῦ Χριστοῦ ζέοντα πόθον ὡς πῦρ καιόμενον ἔνδον ἐν τῇ καρδίᾳ περιφέρων, τοῦ προσκαίρου τούτου πυρὸς αἴσθησιν οὐδεμίαν λήψεταί ποτε· καὶ γὰρ ἀψευδής ἐστιν ὁ εἰπών, ὅτι· κἂν διὰ πυρὸς διέλθῃς, φλὸξ οὐ κατακαύσει σε (Ἡσ. μγ'. 2). Καὶ πάλιν παραινῶν, ὥστε μὴ φοβηθῆναι ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· ἀλλ' ἐκεῖνον μόνον φοβεῖσθαι μᾶλλον, τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ (Ματθ. ι'. 28).» Τούτου τὴν σοφωτάτην ἀπόκρισιν καταπλαγεὶς ὁ τῆς ἀλογίας ἡγεμών, λέγει πρὸς αὐτόν· «στρατιώτης ὢν καὶ περὶ πολέμους καὶ μάχας ἐσχολακώς, πόθεν τὰς τοσαύτας τῶν χριστιανῶν Γραφὰς ἐπίστασαι;» Πρὸς ὃν ὁ θεόπνευστος Μηνᾶς σοφώτερον ἀνταμείβεται· «οὐκ ἐξ ἡμετέρας τοῦτο σοφίας ἢ φρονήσεως τὸ ἐφεύρεμα, ἀλλ' ἐξ αὐτοῦ τοῦ διδάσκοντος ἄνθρωπον γνῶσιν, ὃς ἐν Εὐαγγελίοις ἁγίοις παραγγέλλει λέγων· ὅταν ἀγάγωσιν ὑμᾶς ἐπὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἕνεκεν τοῦ ὀνόματός μου μὴ προμελετᾶτε πῶς, ἢ τί ἀπολογήσεσθε· δώσω γὰρ ὑμῖν ἐγὼ τότε στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν (Λκ. ιβ'. 11).» Ὁ δὲ ἡγεμὼν ἀπεκρίνατο· «προῄδει οὖν ὁ Χριστὸς ὑμῶν ὅτι μέλλετε ταῦτα πά-

149. σχειν;» Καὶ ὁ μάρτυς φησί· «ναὶ | ἀληθῶς ὁ Θεὸς προῄδει
ταῦτα μέλλοντα γίνεσθαι. Μόνος γὰρ αὐτός ἐστιν ὁ τὰ πάντα γινώσκων πρὶν γενέσεως αὐτῶν, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων καὶ πάσας τὰς τῶν διανοιῶν ἐνθυμήσεις· ὃς διὰ τοῦτο δέδωκεν ἡμῖν ταύτας τὰς ἐντολὰς καὶ τὰς ἐπαγγελίας, ὅπως τῇ συνεργείᾳ τῆς αὐτοῦ δυνάμεως τεθαῤῥηκότες, ἀνεξάρνητον διατηρῶμεν μέχρι τέλους τὴν εἰς αὐτὸν ὁμολογίαν.»

11. Μὴ δυνάμενος οὖν πρὸς ταῦτα ὁ ἡγεμὼν ἀντιλέγειν, λέγει πρὸς τὸν μάρτυρα· «τὰς περιττὰς ταύτας ἐρωτήσεις καὶ ἀποκρίσεις παραλιπὼν, πρόσελθε προθύμως καὶ θῦσον τοῖς θεοῖς, ὅπως καὶ τὴν προτέραν σου στρατείαν ἀπολάβῃς, καὶ τῶν πικρῶν τιμωριῶν ἀπαλλαγῇς, καὶ τὸν πρὸς ταύταις ἀπαραίτητον ἐκφεύξῃ θάνατον.» Ὁ ἅγιος Μηνᾶς ἀπεκρίνατο· «ἤδη προεῖπόν σοι πολλάκις, καὶ νῦν πάλιν λέγω, καὶ λέγων οὐ παύσομαί ποτε, ὅτι περ στρατιώτης εἰμὶ ἐγὼ, στρατευόμενος τῷ ἐπουρανίῳ Βασιλεῖ Χριστῷ· ὃ τοίνυν βούλει κατ' ἐμοῦ ποιεῖν, ποίει συντομώτερον· τοῦ γὰρ σώματός μου μόνου τὴν ἐξουσίαν νῦν ἔλαβες αὐτὸς, τῆς δὲ ψυχῆς μου μόνος ὁ ἐμὸς Δεσπότης καὶ τοῦ παντὸς ποιητὴς ἐξουσιάζει Χριστός.» Καὶ ὁ ἡγεμὼν φησι πρὸς αὐτόν· «βούλει, Μηνᾶ, διορίαν δοθῆναί σοι παρ' ἐμοῦ μέχρι δύο ἢ τριῶν ἡμερῶν, ὅπως, σκεψάμενος τὸ συνοῖσον, θύσῃς καὶ ἀπαλλαγῇς τῆς μανίας ταύτης;» Καὶ ὁ μάρτυς ἀπεκρίνατο· «ἐγὼ πολλάκις ἐσκεψάμην περὶ τῶν προκειμένων προτάσεων, καὶ τοῦτο πρὸ πάντων τῶν ἄλλων ὡς ἐξαίρετον ἐξελεξάμην, ὥστε μηδέποτε τῆς πίστεως ἀποστῆναι τοῦ Δεσπότου μου καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Λόγισαι τοιγαροῦν καλῶς, ὡς αἱ παρὰ σοῦ διδόμεναί μοι τρεῖς τῆς διασκέψεως ἡμέραι, ἤδη παρ' ἐμοὶ παρεληλύθασι, κἀγὼ χριστιανὸν ἐμαυτὸν τρανῶς ἀνομολογῶ, μὴ ἀνεχόμενός ποτε θυσίαν προσ-
149. αγαγεῖν ἀκαθάρτοις δαίμοσιν· | πείσθητι τοίνυν ὡς οὐδὲν ἄλλο
δυνήσῃ παρ' ἐμοῦ ἀκοῦσαι πλέον ἢ καινότερον, ὧν αὐτὸς μάτην

προσεδόκησας, κεναῖς ἐλπίσιν ἐξαπατώμενος.» Ταύταις ταῖς ἀνδρικαῖς ἀποκρίσεσι τὸ φύσει θυμούμενον ἀνάψας σφοδρότερον ὁ τῆς ἀσεβείας δικαστής, τριβόλους ὀξεῖς ἐκ σιδήρου πεποιημένας, προστάττει διασκορπισθῆναι πρὸς τοὔδαφος· εἶθ' οὕτω δεθέντα τὸν ἀθλητὴν χεῖρας καὶ πόδας συρμῷ βιαίῳ τεινόμενον ἕλκεσθαι κατὰ γῆν ἐπάνω αὐτῶν. Καὶ τούτου θᾶττον ἢ λόγος γεγενημένου, συρόμενος ὁ μακάριος ἠμείβετο μάρτυς Μηνᾶς μεγάλα βοῶν· «κἂν πλειόνα τούτων καὶ χείρονα βασανιστήρια κατ' ἐμοῦ προσεπινοήσῃς, ἀσεβέστατε, οὐκ ἄν μου κάμψαι τὸν εὐσεβῆ λογισμὸν ἰσχύσειάς ποτε συγκαταθέσθαι τῇ ἀσεβείᾳ σου, ὥστε ποιῆσαι τὸ θέλημα τοῦ πατρός σου τοῦ Σατανᾶ, καὶ προσκυνῆσαι δαίμοσιν ἀκαθάρτοις.» Ὁ δὲ τύπτειν αὐτὸν κατὰ τοῦ σπονδύλου πλουμβάτοις τοῖς ὑπηρέταις προσέταττεν, ὅπως μὴ τοὺς θεούς, φησί, δαίμονας βλασφημῶν ἀποκαλῇ. Ὁ δὲ μάρτυς τυπτόμενος μᾶλλον γεγωνότερον κατακερτομῶν ἐκωμῴδει τὴν τῶν εἰδωλικῶν σεβασμάτων ἀσέβειαν. Ὁ δὲ μανικὸς ἡγεμὼν καὶ κατὰ τῶν σιαγόνων τύπτεσθαι τοῦτον ἐκέλευε λέγων· «ἐπιμένοντος αὐτοῦ τῇ κατὰ τῶν θεῶν βλασφημίᾳ, καὶ ὑμεῖς, φησίν, ἐπιμείνατε σφοδρότερον καταικίζοντες αὐτόν.»

12. Τιμωρουμένου οὖν ἐπὶ πολὺ τοῦ μάρτυρος καὶ γενναίως ταῖς βασάνοις ἐγκαρτεροῦντος, Ἡλιόδωρός τις τοὔνομα, τῶν παρεστώτων ταξεωτῶν εἷς, πρὸς τὸν ἡγεμόνα λέγει· «οὐκ οἶδας, ὦ κράτιστε ἡγεμόνων, ὅτι περ τὸ τῶν χριστιανῶν γένος ἀπονενοημένον ἐστί, καὶ βασανιζόμενον μᾶλλον φιλονεικότερον γίνεται ταῖς τιμωρίαις ἐγκαρτεροῦν; Ἡδὺς γὰρ αὐτοῖς τοὐναντίον ὁ θάνατος ὑπὲρ τὴν ζωὴν ἀναφαίνεται. Ἀπόφηνε τοίνυν κατ' αὐτοῦ τάχιον, καὶ μηκέτι κόπους σεαυτῷ παρέχειν προσθείης· ἀλλ' ὡς | λειποτάκτην στρατιώτην, ἤτοι φυγάδα κατὰ 150.
τὴν σκληροκαρδίαν αὐτοῦ κόλασον αὐτὸν καταδικάσας συντόμῳ θανάτῳ.» Ὁ δὲ δύστροπος δικαστὴς ἔτι πειρώμενος τὸν

ἀήττητον ἀθλητὴν δελεάζειν καὶ λόγων κολακείαις ὑπεκκλέπτειν οἰόμενος, φησίν· « ἀνάσχου μου τῆς συμβουλίας, Μηνᾶ, καὶ τοῖς θεοῖς θυσίαν προσάγαγε, κἀγώ σε μετὰ μεγίστης τιμῆς ἐξαποστελῶ πρὸς τὴν προτέραν σου τῆς στρατείας ἀξίαν, γράμμασιν ὀχυροῖς τὸ ἀμέριμνόν σοι καὶ ἀκίνδυνον περιποιούμενος. » Πρὸς ὃν ὁ μεγαλόφρων Μηνᾶς θαῤῥαλεώτερον ἀπεκρίνατο· « ἡ τιμή σου αὕτη σὺν σοὶ ἥκοι εἰς ἀπώλειαν, καὶ τῷ καθυποβάλλοντί σοι τοιαῦτα κατὰ τοῦ δούλου τοῦ Θεοῦ· ἐγὼ γὰρ σπουδάζω τῆς ἐν οὐρανοῖς στρατείας καὶ τιμῆς μέτοχος γενέσθαι, καθὼς γέγραπται, ὅτι τὸ πολίτευμα ἡμῶν ἐν οὐρανοῖς ὑπάρχει (Φιλιπ. γ΄. 19). Διὸ καὶ καταφρονοῦμεν πάντων τῶν ἐνταῦθα προσκαίρων καλῶν ὡς παρερχομένων, τῶν δὲ μελλόντων ἀγαθῶν ὡς ἀκηράτων ἀντεχόμεθα, ἃ προξενεῖν οἶδεν ἡμῖν ἡ πρὸς Χριστὸν ἀνεξάρνητος ὁμολογία καὶ πίστις, φωτὸς ἀνεσπέρου καὶ ζωῆς ἀθανάτου κληρονόμους ἡμᾶς δι' αἰῶνος ἀποκαθιστῶσα. »

13. Καταμαθὼν οὖν ὁ θεομάχος ἡγεμὼν τὸ ἀμετάθετον τῆς ἀκλινοῦς ὁμολογίας καὶ ἀμετατρέπτου τοῦ μάρτυρος ἐνστάσεως, μεταστῆναι μὲν τοῦτον ἐκέλευσε, συμβούλιον δὲ λαβὼν παρὰ τῶν ὁμοφρόνων αὐτοῦ, τὴν κατ' αὐτοῦ θανατηφόρον ψῆφον ἐξήνεγκεν, ἀποφηνάμενος οὕτω· « Μηνᾶν τὸν ἀκαθοσίωτον στρατιώτην, τῆς τῶν χριστιανῶν θρησκείας ὄντα διάπυρον ἐραστὴν, μὴ βουληθέντα τοῖς τῶν αὐτοκρατόρων προστάγμασιν ὑπεῖξαι καὶ θῦσαι τοῖς θεοῖς, τοῦτον κελεύει τὸ καθαρὸν δικαστήριον, τῇ διὰ ξίφους κεφαλικῇ τιμωρίᾳ ὑπαχθῆναι, καὶ τὸ τούτου σῶμα πυρὶ παραδοθῆναι, πρὸς περισσοτέραν καταπτόη-
150. σιν | τῶν τολμώντων χριστιανοὺς ἑαυτοὺς ἀποκαλεῖν. »

14. Λαβὼν οὖν τὴν τοιαύτην ἀπόφασιν ὁ μακαριώτατος μάρτυς Μηνᾶς, ἀπήγετο πρὸς τὸν τῆς ἀναιρέσεως τόπον σὺν προθυμίᾳ πολλῇ πορευόμενος, φαιδρῷ τῷ προσώπῳ καὶ θαῤῥαλέῳ τῷ φρονήματι, καθάπερ εἰς πανδαισίαν, ἀλλ' οὐκ εἰς κό-

λασιν καλούμενος· παντός τε τοῦ πλήθους τῆς πόλεως συνδεδραμηκότος ἐπὶ τὴν θεωρίαν τῆς τελειώσεως αὐτοῦ, καὶ πολλῶν ὡς εἰκὸς ἀνιωμένων καὶ στυγναζόντων ἐπὶ τῇ κατ' αὐτοῦ ἀδικωτάτῃ δίκῃ, αὐτὸς ὥσπερ ἐγκαλλωπιζόμενος μᾶλλον καὶ τερπνῶς ἐγκοσμούμενος τῷ σεμνοπρεπεῖ τρόπῳ καὶ ἀσκητικῷ περιβολαίῳ, πρὸς τὸν ὑπὲρ Χριστοῦ θάνατον ἠπείγετο πρόθυμος, ἐφ' ᾧ σφόδρα γαυριῶν καὶ γαννύμενος ἠγάλλετο, πᾶσί τε προσομιλῶν τοῖς παρατυχοῦσι γνωστοῖς, ἐν ἀταράχῳ ψυχῆς καταστήματι, πάντας παρετίθετο δι' εὐχῆς τῷ Θεῷ ὡς μηδενὸς αὐτῷ προσόντος τῶν λυπηρῶν τῷ λογισμῷ διακείμενος, μηδὲν ἕτερον ἐννοῶν, ἀλλ' ἢ τὸν οὐρανὸν καὶ τὰ ἐν οὐρανοῖς ἀποκείμενα ἀγαθὰ φανταζόμενος, πρὸς οὐδὲν δὲ τῶν ἐπὶ γῆς ἡδέων ἐπιστρεφόμενος ὅλως, ἢ τῶν λυπεῖν δοκούντων διαπονούμενος· χάριν δὲ μᾶλλον μεγάλην ὁμολογῶν τῷ Σωτῆρι Χριστῷ ἐφ' οἷς κατηξίωσεν αὐτὸν τηλικούτων ἀγαθῶν εὐμοιρῆσαι, τὰς χεῖρας ἄρας εἰς οὐρανὸν, τὰς εὐχαριστηρίους προσῆγε δοξολογίας· «εὐλογητὸς ὁ Θεὸς, λέγων, ὃς οὐκ ἔδωκεν εἰς θήραν τοῖς ὀδοῦσι τῶν ζητούντων τὴν ψυχήν μου καταπιεῖν, ἀλλ' ἐρύσατό με ἐκ χειρὸς ἐχθρῶν μου καὶ ἐκ τῶν καταδιωκόντων με. Ἀλλὰ καὶ νῦν, Δέσποτα, παράστηθί μοι βοηθὸς καὶ ἀντιλήπτωρ διατηρῶν μέχρι τέλους ἀνεπιβούλευτον τὴν ψυχήν μου πάσης ἐνέδρας καὶ μηχανῆς τοῦ δολίου ἐχθροῦ, ὅπως, ἀπρόσκοπον τὴν κατ' αὐτοῦ νίκην ἀράμενος, καταξιωθῶ μετὰ παῤῥησίας παραστῆναι | τῷ θρόνῳ τῆς σῆς μεγαλωσύνης ἐν οὐρανοῖς. Πᾶσι δὲ 151
τοῖς μνημονεύειν μέλλουσι τὴν ἡμέραν τῆς ἐμῆς μαρτυρίας καὶ τελειώσεως, πάντα τὰ πρὸς τὸ συμφέρον αἰτήματα παράσχου, συγχώρησιν τῶν ἡμαρτημένων αὐτοῖς ὡς μόνος ἀναμάρτητος δωρούμενος καὶ σωτηρίαν αἰώνιον. Αὐτὸς γὰρ εἶ Θεὸς τοῦ ἐλέους καὶ τῆς παρακλήσεως, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἐλθεῖν ἀληθείας, καὶ σοὶ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν!»

15. Μετὰ γοῦν τὸ προσεύξασθαι ταύτην τὴν προσευχὴν κλίνας τὸ γόνυ καὶ τὸν τίμιον ἐκτείνας τράχηλον, ἀπετμήθη τὴν κεφαλὴν κατὰ τὴν ἑνδεκάτην ἡμέραν τοῦ καλουμένου Νοεμβρίου μηνός. Οἱ δὲ τῆς σφαγῆς αὐτουργοὶ τῶν τυράννων αἱμοχαρεῖς δήμιοι παραχρῆμα· πυρὰν ἀνάψαντες κατὰ τὴν τοῦ ἡγεμόνος ἀπόφασιν ἐν αὐτῇ τὸ σῶμα τοῦ μάρτυρος ἐνέβαλον, ὅπερ οἱ παρατυχόντες χριστιανοὶ κατ' οἰκονομίαν Θεοῦ ἐκ τοῦ πυρὸς ἁρπάσαι δυνηθέντες, μετὰ πλήθους ἀρωμάτων ἐντίμως ἐκήδευσαν, καὶ πρὸς τὴν πατρίδα τοῦ μάρτυρος ἀνεκόμισαν, καθὼς αὐτὸς αὐτοῖς πρὸ τῆς τελειώσεως ἀξιώσας ἐπέσκηψεν. Ἐν τούτοις οὖν τὸ μαρτύριον ἐτελειώθη τοῦ τῆς εὐσεβείας ἀθλητοῦ καὶ μάρτυρος Μηνᾶ.

16. Καιρὸς δὲ ἤδη λοιπὸν ἥκει καὶ τὰ κατὰ τὸν τρισόλβιον μάρτυρα Βίκτωρα διηγήσασθαι. Οὗτος ἐπὶ τῆς βασιλείας Ἀντωνίνου, τοῦ τὰ τῆς ῥωμαϊκῆς ἀρχῆς ἀσεβῶς ἐπειλημμένου σκῆπτρα, στρατιώτης τυγχάνων ἐξ αὐτῆς Ἰταλίας πρὸς τὰ τῆς ἀνατολῆς ἐξαποστέλλεται μέρη κατὰ τὴν Δαμασκηνῶν πόλιν· ἔνθα διατρίβων διαβάλλεται Σεβαστιανῷ τινι τὴν τοῦ δουκὸς περίβλεπτον ἐξουσίαν λαχόντι κατὰ τοὺς τότε καιρούς. Διαβάλλεται δὲ ὡς τὰ τῶν χριστιανῶν φρονῶν, καὶ τὰ τῶν Ἑλλήνων μυθώδη μυκτηρίζων μυστήρια. Τοῦτον διὰ στρατιωτῶν
151. ὁ δοὺξ τῷ δικαστικῷ παραστησάμενος βήματι | ὧδέ πως εἶπε· «πρόσταγμα διὰ γραμμάτων κατεπέμφθη βασιλικῶν παρακελευόμενον πάντας καταναγκάζειν τοὺς λεγομένους χριστιανοὺς ἀπαραιτήτως θύειν τοῖς θεοῖς· διὰ τοῦτο παραινοῦμεν παρεγγυώμενοι τὴν σὴν λογιότητα τοῦ μετὰ πάσης προθυμίας ὑπεῖξαι τῷ δόγματι τῶν κρατούντων, μήπως ἀπαναινόμενος τοῦτο ποιεῖν, οὐ μόνον τὴν προσοῦσάν σοι στρατείαν καὶ τιμὴν ἀπολέσῃς, ἀλλὰ καὶ εἰς αὐτὴν τὴν ζωὴν κινδυνεύσῃς.» Πρὸς ὃν ὁ μακάριος ἀπεκρίνατο Βίκτωρ· «ἐγὼ στρατευόμενος Χριστῷ τῷ μεγάλῳ καὶ αἰωνίῳ Βασιλεῖ, προσκαίρου βασιλέως παρανό-

μοις προστάξεσι πειθαρχεῖν οὐκ ἀνέξομαί ποτε· καὶ γὰρ ἡ τούτου μὲν βασιλεία, ἐπίκηρος οὖσα καὶ παρερχομένη, πρὸς ἀπώλειαν παντελῆ τοὺς ὑπηκόους συνελαύνει, ἡ δὲ τοῦ παμβασιλέως Χριστοῦ δεσποτεία, τὸ κράτος ἀδιάδοχον ἔχουσα, ζωὴν αἰώνιον τοῖς πειθομένοις προξενεῖ.» Ὁ δοὺξ εἶπε· «τοῦ ἡμετέρου βασιλέως στρατιώτης τέως τανῦν τυγχάνων, ὑπόκυπτε τοῖς προστάγμασιν αὐτοῦ καὶ τοῖς θεοῖς θυσίαν προσάγαγε.» Ὁ ἅγιος Βίκτωρ ἀπεκρίνατο· «ἐγὼ καὶ πρὸ τούτου, ὅτε τῷ δοκεῖν ταύτην τὴν πρόσκαιρον ἐστρατευόμην στρατείαν, Χριστῷ τῷ πάντων Βασιλεῖ καὶ Θεῷ λεληθότως ἐλάτρευον, πολλῷ μᾶλλον δὲ νῦν, ὁπόταν φανεράν μου τὴν πρὸς αὐτὸν ὁμολογίαν εὐδόκησε γενέσθαι, βεβαιοτέραν ὀφείλω φυλάξαι τὴν αὐτοῦ καθαρὰν λατρείαν καὶ προσκύνησιν. Ποίει τοίνυν κατ' ἐμοῦ ὅσα περ ἂν βούλῃ, τὴν ἐξουσίαν ἔχων τοῦ ἐμοῦ σώματος· τῆς γὰρ ἐμῆς ψυχῆς μόνος ἐξουσιάζει Χριστὸς, ὁ δυνάμενος καὶ ψυχὴν καὶ σῶμα τῶν μὴ φοβουμένων αὐτὸν ἀπολέσαι ἐν γεέννῃ.»

17. Ὁ δοὺξ εἶπεν· «ὁρῶ σε, Βίκτωρ, ἐν ταῖς ἀποκρίσεσι πολλῆς συνέσεως καὶ σοφίας πεπληρωμένον καὶ φείδομαί σου τῆς λογιότητος· μὴ οὖν ἐπὶ πλέον ἐπιμένων τῇ ἀπειθείᾳ τὴν ἡμετέραν ἡμερότητα εἰς ἀγριότητα μετατρέψῃς.» Ὁ ἅγιος Βίκτωρ εἶπεν· «ὦ δικαστὰ, ἡ ἐμὴ σοφία αὕτη οὐκ ἔστι τῆς ἐμῆς φρονήσεως ἐφεύρεμα, ἀλλ' ἐκ τῆς ἄνωθεν θείας προνοίας καὶ | τῆς ἐνυποστάτου σοφίας, ἥτις ἐστὶν ὁ Χριστὸς, ἡμῖν χο- 152.
ρηγεῖται.» Ὁ δοὺξ ἔφη· «ῥῦσαι σεαυτὸν, Βίκτωρ, ἀπὸ πολλῶν βασάνων καὶ θλίψεων καὶ θῦσον τοῖς θεοῖς.» Ὁ ἅγιος Βίκτωρ εἶπεν· «ὑπὲρ τοῦ μὴ θῦσαι δαιμονίοις ἡδέως δέχομαι παθεῖν πᾶσαν βάσανον· καὶ τότε μᾶλλον ἐπὶ πλέον δισχυρίζεσθαι μέλλω σταθερῶς ἀνταγωνίζεσθαι, ἐπὰν καταξιωθήσομαι ὑπὲρ τῆς εἰς Χριστὸν ὁμολογίας καὶ δόξης ἀτιμασθῆναι.» Ὁ δοὺξ ἔφη· «μήτοί γε τῶν λεγομένων παρὰ χριστιανοῖς ἱερέων τοῦ καταλόγου τυγχάνεις, οὕτω συνετῶς καὶ σοφῶς τὰς ἀποκρί-

σεις ποιούμενος;» Ὁ μάρτυς ἀπεκρίνατο· «ταύτης τῆς δωρεᾶς ἐγὼ μὲν οὐκ εἰμὶ ἄξιος, ἡ δὲ τοῦ Χριστοῦ μου χάρις ἤγαγέ με συνετίσασα πρὸς ταῦτα τὰ ῥήματα· αὕτη γάρ ἐστιν ἡ πᾶσι παρέχουσα τοῖς εὐθέσι τῇ καρδίᾳ σοφίας χῦμα καὶ μετοχὴν παντὸς ἀγαθοῦ δωρήματος ἐκ τῶν ἀσύλων θησαυρῶν τοῦ πλούτου αὐτῆς. Ὥσπερ γὰρ γεωργὸς ἔμπειρος, καλλιεργῶν ἐπιμελῶς τὴν ἑαυτοῦ γῆν, πρὸς πλείονα καρποφορίαν εὐτρεπίζει, οὕτω καὶ ἡ τοῦ Θεοῦ πολυποίκιλος σοφία τοὺς ἑτοιμάζοντας ἑαυτοὺς ἀξίους πρὸς τὴν ταύτης ὑποδοχὴν ἐνδυναμοῖ καὶ σοφίζει, καὶ παρασκευάζει καρποφορεῖν ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατόν.» Ὁ δοὺξ εἶπεν· «ὡς οἶμαι προέκρινας, ὦ Βίκτωρ, τὸν θάνατον ἑλέσθαι μᾶλλον ἢ τὴν ζωήν.» Ὁ ἅγιος Βίκτωρ εἶπεν· «ὁ θάνατος οὗτος, ὦ δικαστά, διὰ τὴν εἰς Χριστὸν τὸν ἀληθῆ Θεὸν ἐλπίδα ζωῆς αἰωνίου πρόξενος γίνεται τοῖς μέχρι τέλους στεῤῥῶς ὑπομένουσι τὰς προσκαίρους ταύτας βασάνους.» Ὁ δοὺξ ἔφη· «καὶ ὅλως ταύτης ἐγκρατὴς γνώμης ἐγένου;» Ὁ ἅγιος Βίκτωρ εἶπεν· «ἐκ παντός.»

18. Τότε ὁ μιαρὸς δοὺξ ἐκέλευσε τὰς ἁρμονίας τῶν δακτύλων αὐτοῦ ἐξάρθρους γενέσθαι, μέχρις ἂν τὰ ὀστᾶ καὶ αὐτῆς τῆς δορᾶς ὑπεξέλθωσιν. Τούτου δὲ θᾶττον ἢ λόγος γεγενημένου, ὁ καρτερόψυχος μάρτυς εὐχαρίστως ὑπέφερε τὰς ἀλγηδόνας, ὡς ἤδη κατηξιωμένος ἀπάρξασθαι τῶν ὑπὲρ Χριστοῦ κολάσεων. Ὁ δὲ δύστροπος δοὺξ προσέταξεν αὐτῷ δοθῆ-
152*. ναι φαγεῖν. Τοῦ δὲ | μεγαλόφρονος μάρτυρος ἀποσεισαμένου τὴν τροφὴν ὡς ἀπόβλητον καὶ μεμιασμένην, ἐπηρώτα λέγων ὁ δούξ· «διατί οὐκ ἐσθίεις, ὦ Βίκτωρ;» Πρὸς ὃν ὁ ἅγιος ἀπεκρίνατο· «ἐγὼ τὸν οὐράνιον ἄρτον, τὴν πνευματικὴν τροφὴν ἔχων ἐν τῇ καρδίᾳ διὰ παντὸς, οὐ μὴ πεινάσω εἰς τὸν αἰῶνα.» Ἐπὶ τούτοις τοῖς θεοπνεύστοις ῥήμασι τοῦ μάρτυρος ὁ δεινότατος δοὺξ ὑπερζέσας τῷ θυμῷ, καθείργνυσι τοῦτον ἔνδον καμίνου

σφοδρῶς ἐκκαυθείσης ἐφ' ἡμέραις τρισίν. Εἶθ' οὕτω νομίσας ἀνηλῶσθαι τὸν ἀθλητὴν τῷ πυρὶ, τὴν κάμινον ἀνοιγῆναι προστάττει, καὶ τὰ ὑπελελειμμένα λείψανα τῶν ὀστῶν σὺν τῇ τέφρᾳ τῷ παρακειμένῳ ῥιφῆναι ποταμῷ. Ὡς οὖν ἀνοίξαντες εὗρον αὐτὸν ἑστῶτα μέσον τῆς καμίνου σεσωσμένον ὅλον ἀλώβητον καὶ ἀπήμαντον, τὸν σεσωκότα δοξάζοντα Κύριον, ὡς μηδὲ τριχὸς αὐτοῦ τὸ πῦρ λυμηνάμενον, ἐκπλήξεως, ὡς εἰκὸς, πολλῆς μετὰ θαύματος ἐπλήσθησαν. Ὁ δὲ δυσμενέστατος δοὺξ ἰδίαν αἰσχύνην ἡγησάμενος τὴν παράδοξον τοῦ μάρτυρος σωτηρίαν, ἀναμαχέσασθαι τὴν οἰκείαν ἧτταν διενοήθη, ὡς ᾤετο.

19. Προσκαλεσάμενος οὖν φαρμακόν τινα γόητα ἐπὶ γοητείᾳ βεβοημένον, προσέταξεν ἀναιρετικὸν φάρμακον μετὰ κρεῶν μεμιγμένον ἐπιδοῦναι τῷ μάρτυρι φαγεῖν. Ὅπερ ὁ ἅγιος μετὰ χεῖρας λαβὼν ἔφη· «εἰ καὶ τὰ μάλιστα κρεῶν οὐκ ἔξεστί μοι μεταλαβεῖν, ὅμως ἵνα γνῶσι πάντες τὴν δύναμιν τοῦ ἐν ἐμοὶ μένοντος Χριστοῦ, ἰδοὺ ταῦτα ἐσθίω. Γέγραπται γὰρ εἴτε ἐσθίετε, εἴτε πίνετε, πάντα, εἰς δόξαν Θεοῦ ποιεῖτε (α'. Κρ. ι'. 31).» Ταῦτα εἰπὼν καὶ Θεῷ προσευξάμενος, ἐνώπιον πάντων ἔφαγεν. Ὡς δὲ φαγὼν τὸ φάρμακον εἰς κόρον, οὐδὲν ἔπαθε δεινὸν, ὁ τὰ φάρμακα κατασκευάσας μάγος καταισχυνθεὶς, ἕτερα πάλιν προσήνεγκε χαλεπώτερα τῶν προτέρων, εἰπὼν πρὸς αὐτόν· «καὶ νῦν δέξαι ταῦτα καὶ φάγε· καὶ ἐὰν αὖθις ἐσθίων οὐδὲν πείσῃ κακὸν, καταλιμπάνω μου παρευθὺ τὴν
| μαγικὴν περιεργίαν, καὶ προσέρχομαι τῷ Χριστῷ, ᾧ σὺ λα- 153.
τρεύεις.» Λαβόντος οὖν τὸ δεύτερον τοῦ μάρτυρος καὶ φαγόντος τὸ φάρμακον, μηδὲν δὲ πεπονθότος ἀνιαρὸν, ἀνεβόησεν ὁ μάγος μετὰ φωνῆς ἰσχυρᾶς καὶ εἶπεν· «ἐνίκησεν ἡ δύναμις τοῦ Χριστοῦ πάσας τὰς γοητικὰς μαγγανείας· καὶ νῦν ἰδοὺ τὴν ἐμὴν ψυχὴν, πεπαλαιωμένην ἐν πολλοῖς κακοῖς, ἀνακαινίζει σήμερον καὶ διασώζει τῇ οἰκείᾳ χρηστότητι καὶ φιλανθρωπίᾳ.» Μεταβαλλόμενος τοίνυν ἐξ ἐσχάτης κακίας πρὸς ἀ-

κραν ἀρετὴν, καὶ τὴν καλὴν ἀλλοίωσιν ἀλλοιωθεὶς ὁ ἄνθρωπος, τὰς μὲν μαγικὰς βίβλους ἁπάσας, ἃς εἶχε, παραχρῆμα κατέκαυσεν ἐν πυρὶ, πᾶσι δὲ τοῖς ὑπάρχουσιν αὐτοῦ σὺν παντὶ τῷ κόσμῳ ἀποταξάμενος γέγονε χριστιανός.

20. Τούτων οὕτω γενομένων, ἀσύνετος ὢν ὁ τῆς δολιότητος δοὺξ, οὐκ ἠβουλήθη συνιέναι, ἀλλ' ἀναιδεῖ χρησάμενος τρόπῳ, πειρᾶται πάλιν πρὸς ἄρνησιν ἐκκαλεῖσθαι τὸν ἀήττητον ἀθλητήν. Καί φησι· «θῦσον τοῖς θεοῖς, ὦ Βίκτωρ, ὅπως συνετὸς ἀνὴρ ἀναφανῇς, καὶ τιμῆς μείζονος ἀξιωθῇς.» Ὁ δὲ μετὰ φρονήσεως πολλῆς ἀπεκρίνατο· «ἐγὼ πάντοτε καὶ διὰ πάντων συνετός εἰμι, τὴν ὄντως σύνεσιν ἔχων καὶ τὸν ἀληθῆ Θεὸν ἐπιγινώσκων, τῆς δὲ μελλούσης δόξης τυχεῖν ἐφιέμενος, τιμῆς ἑτέρας οὐκ ἐπιδέομαι.» Ὁ δοὺξ εἶπε· «τοῦτο οὐκ ἔστι σύνεσις, ἀλλὰ μωρία τὸ μὴ βούλεσθαι θεοῖς θύειν.» Ὁ ἅγιος Βίκτωρ ἀπεκρίνατο· «τὰ τοῦ κόσμου μωρὰ ὁ Θεὸς ἐξελέξατο, ἵνα καταισχύνῃ τοὺς σοφούς (α'. Κρ. α'. 27).» Ἔφη πρὸς αὐτὸν ὁ δοὺξ· «καὶ ποῦ τοῦτο γέγραπται;» Καὶ ὁ μάρτυς εἶπε. «Παῦλος ὁ μέγας ἀπόστολος ἡμᾶς τοῦτο ἐδίδαξεν.» Ὁ δοὺξ ἔφη· «οὐκοῦν Θεὸς ὑμῶν ἐστιν ὁ Παῦλος;» Καὶ ὁ μάρτυς· «ἄπαγε τῆς ἀτοπίας! Παῦλος Θεὸς οὐκ ἔστιν, ἀλλὰ Θεοῦ ἀπόστολος καὶ σοφὸς ἀρχιτέκτων. Ἐπὶ γὰρ τῷ τεθέντι θεμελίῳ, ὅς ἐστι Χριστὸς, ᾠκοδόμησε τὴν Ἐκκλησίαν, καὶ τῆς διδαχῆς αὐτοῦ ἅπασαν ἐπλήρωσε τὴν οἰκουμέ-
153. νην· πλήρης γὰρ γεγονὼς σοφίας καὶ | χάριτος παρὰ Θεῷ καὶ ἀνθρώποις πᾶν τὸ πλήρωμα τῶν Γραφῶν εἶχεν ἐν γνώσει πολλῇ, καὶ πᾶσιν ἔδειξεν ὁδὸν εὐεπίβατον τοῖς σώζεσθαι βουλομένοις.» Ὁ δοὺξ εἶπε· «παῦσαι, Βίκτωρ, τῆς μωρολογίας σου ταύτης τῆς μηδέν σε ὠφελούσης καὶ προσελθὼν θῦσον τοῖς θεοῖς.» Ὁ μάρτυς ἀπεκρίνατο· «οὐκ εἰμὶ μωρὸς, ὦ δικαστὰ, καθὼς αὐτὸς κακῶς ὑπολαμβάνεις, ἀλλὰ καὶ πάνυ φρόνιμος, μὴ βουλόμενος ἀρνήσασθαι τὸν ζῶντα Θεόν· μωροὶ δὲ καὶ πα-

ράφρονες ὑμεῖς ἐστε καὶ πάντες οἱ πειθαρχοῦντες τοῖς παρανόμοις ὑμῶν προστάγμασιν, ὡς τῇ κτίσει λατρεύοντες παρὰ τὸν κτίσαντα, καὶ ψευδωνύμοις θεοῖς τοῖς δαιμονίοις θύοντες. Ὁ γὰρ πατὴρ ὑμῶν ὁ Σατανᾶς, ψεύστης ὢν ἀπ' ἀρχῆς, ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ἀλλ' ἠπάτησεν ὑμᾶς πεπηρωμένας ἔχοντας τὰς κόρας τῆς καρδίας, ὥστε μὴ δύνασθαι διαβλέψαι πρὸς τὸ φῶς τῆς εὐσεβείας καὶ κατανοῆσαι τὴν τῆς ἀληθοῦς θεοσεβείας ἐπίγνωσιν.»

21. Τούτοις τοῖς πεπαῤῥησιασμένοις ῥήμασι τοῦ μάρτυρος ὀργῆς καὶ μήνιδος ἀσχέτου πληρωθεὶς ὁ τῆς μανίας δικαστής, ἐκνευρίζεσθαι τοῦτον προστάττει καθ' ὅλου τοῦ συνδέσμου τῶν νεύρων τοῦ σώματος. Καὶ ταύτην τὴν ἀνύποιστον ποινὴν ἀπανθρώπῳ πονηρίας θηριωδίᾳ ὑποστὰς ὁ τληπαθέστατος ἀθλητής, πρὸς τὸν τύραννον ἔλεγε· «μηδαμῶς αἴσθησιν τῶν ἀλγηδόνων δεδέχθαι διὰ τὴν τοῦ Θεοῦ χάριν παρεχομένην αὐτῷ δύναμιν καὶ τὰς ὀδύνας διασκεδάζουσαν. Καθάπερ γάρ, φησίν, ἐκ ποδὸς ἐμπαγέντα τις ἐκσπάσας σκόλοπα, συνεξέλκει καὶ πᾶσαν τὴν ὑποῦσαν ἐν αὐτῷ ἀλγηδόνα, καὶ ἀνάπαυσιν ἐμπαρέχει τῷ σώματι, οὕτω κἀμοὶ δοκεῖ συμβεβηκέναι· τῶν γὰρ νεύρων μου πάντων ἀποσπασθέντων, πάνυ ἀνεπαυσάμην, πάσης ὀδύνης ἀμέτοχος χάριτι Χριστοῦ τοῦ Κυρίου μου διατελῶν.» Ἐπὶ πλέον οὖν ὀργῆς ἀπλέτου πλησθεὶς ἐπὶ ταύταις ταῖς ἀποκρίσεσιν ὁ τῆς μήνιδος διάπυρος ἐραστής, ἔλαιον προστάττει, σφοδρῶς | 154.
ἐκπυρωθέν, ἐπιχεθῆναι κατὰ τῶν κρυφίων μορίων τοῦ μάρτυρος. Οὗπερ θᾶττον ἢ λόγος γεγενημένου, ὁ γενναιότατος ἔλεγε μάρτυς· «οὕτω λογίζεσθαι τὸ κατὰ τῶν μελῶν αὐτοῦ παφλάζον προσεπιχεθὲν ἔλαιον, καθάπερ ὕδωρ ψυχρὸν ἐπιδοθὲν ἀνθρώπῳ, ἀπὸ καύσωνος διψῶντι πολλοῦ, καὶ πιόντι καὶ ἀναψύξαντι.» Ἐπὶ τούτοις τοῖς πανσόφοις λόγοις ὀργιλώτερον ἔτι διατεθεὶς ὁ μηδέποτε παυσάμενος δοὺξ τῆς ἐμφύτου ὀργῆς, ἰκρίῳ τοῦτον ἀναρτηθῆναι προσέταττε καὶ λαμπάσι πυρὸς κα-

ταφλέγεσθαι καθόλου τοῦ σώματος. Ὁ δὲ καρτερόψυχος μάρτυς σφοδρῶς φλογιζόμενος, ὡς ἄλλου πάσχοντος, ἀνωδύνως διέκειτο τῇ χάριτι τῆς ἄνωθεν ἀντιλήψεως ἐπὶ πλέον δυναμούμενος.

22. Ὁ δὲ δεινὸς δοὺξ χαλεπῶς διεπρίετο, μανικώτερον κινούμενος κατ' αὐτοῦ, μὴ φέρων ὁρᾶν τὴν ἀνένδοτον αὐτοῦ πρὸς πᾶσαν πεῖραν κολαστηρίων ὑπομονὴν, καὶ κελεύει κονίαν μετ' ὄξους δριμυτάτου μεμιγμένην κατὰ τῶν βραχιόνων καὶ τοῦ λάρυγγος αὐτοῦ ἐμβληθῆναι. Καὶ ταύτην τὴν βιαίαν βάσανον ὁ καρτερικὸς ἀδάμας ὑποστὰς πρὸς τὸν τυράννον ἀπεφθέγγετο· «γλυκυτέραν ὑπὲρ μέλι καὶ κηρίον λογίζεσθαι διὰ Χριστὸν τὴν προσενεχθεῖσαν αὐτῷ μετὰ κονίας δριμύτητα.» Τότε δὴ μηκέτι στέγων φέρειν τὴν τοσαύτην παῤῥησίαν τοῦ μάρτυρος ὁ παμμίαρος δοὺξ, ἐκκεντηθῆναι τοὺς ὀφθαλμοὺς αὐτοῦ προσέταξεν. Ὑπενεγκὼν δὲ καὶ ταύτην τὴν ἀνύποιστον ποινὴν γενναίως ὁ μεγαλόψυχος ἀθλητὴς, ἔφησε πρὸς τὸν τύραννον· «εἰ καὶ τὴν ἐν ἐμοὶ σωματικὴν ἐπήρωσας ὅρασιν, πεπηρωμένος ὅλος ὢν αὐτὸς τὰ τῆς ψυχῆς αἰσθητήρια, ἀλλ' οὖν λαμπρότερον παρεσκεύασας ὁρᾶν τοὺς τῆς διανοίας μου ὀφθαλμοὺς τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς ἀληθείας ἐπίγνωσιν.» Πρὸς ὃν ὁ δοὺξ ἀπεκρίνατο· «ἀναγκάζεις με, Βίκτωρ,
154. διὰ τῶν ἀπονενοημένων σου ῥημάτων πλείονας καὶ μείζους | ἐπαγαγεῖν σοι κολάσεις.» Καὶ ὁ μάρτυς ἔφη· «ἔχων τὸν ἐνισχύοντά με Χριστὸν καὶ τὴν ὑπομονήν μοι παρέχοντα, οὐ φοβηθήσομαι τὰς ἐπαγομένας παρὰ σοῦ βασάνους, κἂν ὦσι φοβεραὶ σφόδρα. Μὴ οὖν λόγοις μόνον ἀπειλῶν ἐκφοβεῖν με νόμιζε φειδόμενός μου, ἀλλ' ἔργοις δεῖξον πᾶσαν ἐπίθεσιν ποινῶν παντοίων, ἐπαγομένην κατ' ἐμοῦ· ἕτοιμος γάρ εἰμι πάντα πόνον καὶ πᾶσαν κάκωσιν ὑποστῆναι ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ.»

23. Ὁ δὲ δυσμενέστατος δοὺξ, σφόδρα δυσχεραίνων ἐπὶ ταύ-

τῃ τῇ καρτερόφρονι τοῦ ἀνδρὸς ἐνστάσει, προστάττει τοῖς ὑπηρέταις κρεμάσαι τοῦτον κατὰ κεφαλῆς, οὕτω τε καταλιπεῖν κρεμάμενον ἡμερῶν μέχρι τριῶν. Μετὰ γοῦν τὴν τρίτην ἡμέτην νομίσαντες αὐτὸν εὑρίσκειν ἤδη τεθνηκότα, παραγεγονότες οἱ στρατιῶται καὶ ζῶντα τεθεαμένοι, παραχρῆμα πάντες ἀπετυφλώθησαν· ἐφ' οἷς σπλαγχνισθεὶς ὁ χριστομίμητος μάρτυς προσηύξατο πρὸς Κύριον, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν αὖθις αὐτοῖς ἐχαρίσατο. Ὁ δὲ δύστροπος καὶ μανιώδης δικαστὴς, τὰ τοιαῦτα παράδοξα διδαχθεὶς, οὐδ' οὕτω δεδύνητο συνιδεῖν τὴν δύναμιν τῶν μεγάλων θαυμάτων τοῦ Θεοῦ, ἀλλ' εἰς ἄκρον ἐληλακὼς κακίας κολοφῶνα, κελεύσει μιαιφόνῳ, τὴν δορὰν ἀφαιρεῖται τοῦ καρτερικοῦ σώματος τοῦ μάρτυρος. Πρὸς ὃν ὁ μεγαλόψυχος ἀθλητὴς φερεπόνως ταῖς ποιναῖς ἐγκαρτερῶν ἀνεκραύγαζεν· «ἰδοὺ καὶ τὴν δορὰν, ὦ δικαστὰ, τῆς ἀδικίας τοῦ ἐμοῦ σώματος μιαιφονίας ὠμότητι ἀφῄρησαι, τὴν δὲ τῆς ἐμῆς διανοίας διάθεσιν, ἣν ἔχω πρὸς τὸν ἐμὸν Δεσπότην Χριστὸν, οὐδαμῶς ἀφελέσθαι δυνήσῃ.»

24. Τούτων οὕτω γενομένων, γυνή τις στρατιώτου τινὸς τῆς αὐτῆς παρεμβολῆς, τοὔνομα Στεφανὶς, ὡς ἐτῶν οὖν ἑκκαίδεκα, παρεστῶσά που πλησίον καὶ ταῦτα βλέπουσα, φωνῇ μεγάλῃ πρὸς τὸν ἅγιον ἐκραύγαζε λέγουσα· «μακάριος εἶ, Βίκτωρ, ὡς ἀληθῶς, καὶ μεγάλα σου τὰ ἔργα καὶ οἱ ἀγῶνες ἀξιοθαύμαστοι. | Ἰδοὺ γὰρ προσεδέχθη σου ἡ θυσία ὑπὲρ τὴν θυσίαν τοῦ 155.
Ἄβελ· ὅτι προσήνεγκας σεαυτὸν τῷ Θεῷ θῦμα θεόθυτον ἐν εὐθύτητι καρδίας, καὶ ὁ Θεὸς ἤδη προσεδέξατό σε ὑπὲρ Ἐνὼχ τὸν δίκαιον διαφυγόντα γεῦσιν θανάτου. Καὶ γὰρ αὐτὸς μειζόνως διέλαμψας τὸν τῆς ἀρνήσεως θάνατον διὰ πολλῶν ποινῶν ἐκπεφευγώς. Ἐδικαιώθης ὑπὲρ τὸν Νῶε, πεπληρωμένος ὑπάρχων πολλῶν ἀγαθῶν, τελειότερος ἀναφανεὶς καὶ δικαιότερος ἐν τῇ καθ' ἡμᾶς γενεᾷ διὰ τῆς σῆς ἀμετατρέπτου ἐνστάσεως. Ὑπὲρ τὸν Ἀβραὰμ ἐπίστευσας τῷ Θεῷ. Ὑπὲρ τὸν Ἰσαὰκ προ-

σεδέχθης αὐθαίρετον θυσίαν σεαυτὸν Θεῷ προσενεγκών. Ὑπὲρ τὸν Ἰακὼβ διωγμοὺς χαλεπωτέρους ἐκαρτέρησας τὸν ὑπὸ τοῦ Ἡσαῦ καὶ Λάβαν διωχθέντα. Ὑπὲρ Ἰωσὴφ τὸν σώφρονα ἐσοφίσθης, μείζονα μυστήρια μυηθεὶς τὰ ἀπὸ τῶν αἰώνων ἀποκεκρυμμένα. Ἐπειράσθης ὡς Ἰὼβ καὶ ποικίλως ἐδοκιμάσθης διὰ βασάνων ποικίλων, ὡς ἐκεῖνος τὸν κοινὸν τοῦ γένους ἀντίπαλον γενναιότητι γνώμης καταγωνισάμενος. Ἐζήλωσας τὸν μέγιστον τῶν προφητῶν Ἡσαΐαν, ὃς ἐν ξυλίνῳ πρίονι μέσον ὑπὸ Μανασῆ διχοτομεῖται. Γέγονας θυσία Θεῷ εἰς ὀσμὴν εὐωδίας, ὡς Ἐλεάζαρ ὁ ἱερεὺς ἐν τῇ ἀθλήσει αὐτοῦ. Ὡς ἄλλος Δανιὴλ ἐπιθυμιῶν ἀνὴρ (ι'. 11.) ἀνηγορεύθης κατὰ λεόντων ὁρωμένων καὶ ἀοράτων γενναίως ἀνδραγαθήσας. Ὡς οἱ τρισάριθμοι παῖδες, πυρᾶς ἐπέδησας δύναμιν. Ὡς ἀνδρειότατος Δαυΐδ κατηγωνίσω Γολιὰθ τὸν νοητὸν ἀλάστορα καὶ πάντων τῶν ἀπ' αἰῶνος ἁγίων ἐζήλωσας τὴν πολιτείαν καὶ καρτερίαν· οἷς καὶ τὸν στέφανον ἐφάμιλλον τῆς τροπαιοφόρου ἀθλήσεως ἀξιονίκως ἀναδήσῃ. Ἰδοὺ γὰρ δύο στεφάνους, ὡς ἀπ' οὐρανοῦ καταγομένους, ὁρῶ, τὸν μὲν μείζονα σοὶ φερόμενον διὰ χειρῶν ἀγγέλων, ἐμοὶ δὲ τὸν ἐλάττονα πεμπόμενον· εἰ γὰρ καὶ σκεῦος ἀσθενὲς καὶ σαθρὸν εἶναι δοκῶ διὰ τὴν τῆς φύσεως εὐτέλειαν, ἀλλ' ὅμως
155. | κἀγὼ διὰ σπουδῆς πολλῆς ἐθέμην νῦν ἀγωνίσασθαι, ὅπως τῆς τῶν οὐρανῶν βασιλείας συγκληρονόμος γένωμαι μετὰ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων τῷ Θεῷ ἁγίων.»

25. Τούτων τῶν ἐνθέων ῥημάτων ἀκουτισθεὶς ὁ πλήρης πνέων ἀπειλῆς καὶ φόνου κατὰ τῶν χριστιανῶν δόλιος δοὺξ, προστάττει μετὰ θυμοῦ πολλοῦ παραστῆναι τὴν ἁγίαν. Τὴν δὲ προσαχθεῖσαν ἔμπροσθεν αὐτοῦ ἐπηρώτα. «Τί σοί ἐστιν ὄνομα;» Ἡ δέ, χριστιανή, ἀπεκρίνατο. Ὁ δοὺξ αὖθις ἀνεπυνθάνετο παρ' αὐτῆς λέγων· «πόσος ἐστὶν ὁ μέχρι νῦν τῆς ζωῆς σου χρόνος;» ἡ «δέ, δεκαπέντε, ἔφησεν, ἔτη καὶ μῆνας ὀκτώ.» Πρὸς ἣν πάλιν εἶπεν ὁ δούξ· «ἀνδρὶ δὲ πρὸ πόσου

καιροῦ συνεζεύχθης·» πρὸς ὃν ἡ μάρτυς «πρὸ ἑνὸς, ἀπεκρίνατο, χρόνου, μηνῶν τεσσάρων.» Καὶ ὁ δοὺξ δελεάζοντι λόγῳ μετὰ πανουργίας ἀνθυπέφερεν· «διὰ τί συντόμως οὕτω τὸν ἡδὺν κόσμον καὶ τὸν ἡδύτερον ἄνδρα καταλιπεῖν ἔσπευσας, πρὶν ἐν ἀπολαύσει τούτων γενέσθαι;» Πρὸς ὃν ἡ ἁγία πάνυ σοφῶς ἀντημείβετο· «ἐπειδὴ τὴν πρόσκαιρον ὡς παρερχομένην ἠρνησάμην ματαιότητα καὶ κοσμικὴν προσπάθειαν, ᾑρετισάμην μᾶλλον μετὰ πεποιθήσεως ἀγαθῆς ὑπαντῆσαι τῷ προσδοκωμένῳ Κυρίῳ μου Ἰησοῦ Χριστοῦ τῷ ἐπουρανίῳ τῆς δόξης νυμφίῳ. Πᾶς γὰρ ἐπίγειος νυμφίος πρόσκαιρός ἐστι καὶ θνητὸς, αὐτὸς δὲ μόνος ὑπάρχει ἀθάνατος καὶ αἰώνιος, αἱ παρ' αὐτοῦ δὲ δωρεαὶ ἀκήρατοι καὶ ἀνεκδιήγητοι.» Ὁ δοὺξ εἶπε· «παυσαμένη ταύτης τῆς ἀνωφελοῦς φλυαρίας, προσελθοῦσα θῦσον τοῖς θεοῖς, ὅπως μὴ χαλεπαῖς τιμωρίαις καὶ πικραῖς βασάνοις καθυποβληθεῖσα, κακῶς τοῦ ζῆν ἀπαλλαγῇς.» Ἡ μάρτυς ἀπεκρίνατο· «ἐγὼ Στεφανὶς φερωνύμως, οἶμαι, προσαγορεύομαι, καὶ διὰ τοῦτο τὸν ἀποκείμενόν μοι στέφανον ἀπεκδεχομένη κομίσασθαι παρὰ τοῦ ἀληθοῦς ἀθλοθέτου μου Ἰησοῦ Χριστοῦ, ψευδωνύμοις θύειν θεοῖς οὐδαμῶς πείθομαι. Εἴ τι τοίνυν βούλει ποιεῖν κατ' ἐμοῦ, πρᾶττε συντομώτερον, ἐν | μηδενὶ μηδὲν διαναβαλλό- 156.
μενος.» Ταύτην τὴν πεπαῤῥησιασμένην ἀπόκρισιν τῆς ἀνδρειόφρονος ἀθλοφόρου μὴ δυνηθεὶς ἐνεγκεῖν ὁ ἀγριόθυμος δοὺξ, τὸν ἔμφυτον τῆς ὀργίλου καρδίας θυμὸν ἄκρατον ὅλος μανικώτερον νῦν μᾶλλον ὁ δόλιος ἐξηρεύξατο. Καὶ σκοπεῖτε τῆς σκολιότητος αὐτοῦ τὴν ὑπερβάλλουσαν κακουργίαν. Δύο γὰρ δένδρα βίᾳ κατακαμφθέντα φοινίκων παρασκευάσας, προσδεθῆναι ταῖς ἀμφοτέρων κορυφαῖς τὴν φερώνυμον στεφανηφόρον καὶ ἀθλοφόρων προσέταξεν, καὶ αὖθις ἀθρόον ἀπολυθῆναι. Ἥτις τούτῳ τῷ ξενοτρόπῳ τῆς χαλεπῆς ἐφευρέσεως μηχανήματι θᾶττον διαμερισθεῖσα τὸ σῶμα, ὡς καθαρὰ περιστερὰ καὶ ἀμίαντος τρυγὼν πρὸς οὐράνιον ὕψος ἐξεπετάσθη, Χριστῷ τε τῷ

καθαρωτάτῳ νυμφίῳ συναφθεῖσα, ἐν τῷ ἀφθάρτῳ νυμφῶνι τῆς ἀκηράτου κατοικίας κατέπαυσεν.

26. Ἐν τούτοις τοῖς λαμπροῖς ἀνδραγαθήμασιν αἰσχύνης ἀφάτου πληρωθεὶς ὁ τῆς αἰσχύνης θρησκευτὴς δολιότροπος δοὺξ, ὡς ὑπὸ θηλείας ἀσθενοῦς φύσεως κατ' ἄκρας ἡττηθεὶς, ἀπελπίσας ἤδη τὰ κατὰ τὸν ἀνδρειόφρονα μάρτυρα τοῦ Χριστοῦ Βίκτωρα, καὶ συνιδὼν ὁ ἀσυνείδητος, ὡς ἀνηνύτοις πράγμασιν ἐπιχειρεῖ, τὴν κατ' αὐτοῦ θᾶττον διὰ κεφαλικῆς τιμωρίας ψῆφον ἐξήνεγκεν. Καὶ ταύτης τῆς ἀποφάσεως ὁ μακάριος ἀκηκοὼς μάρτυς, τῷ Θεῷ μὲν μετὰ πάσης περιχαρείας τὴν προσήκουσαν εὐχαριστίαν προσήνεγκεν, ἐφ' οἷς ἔμελλε τελειούμενος, τῆς ἐπιθυμουμένης ἐφέσεως ἐπιτυχεῖν. Τοῖς δὲ παρατυχοῦσιν κυεστιοναρίοις ἐπὶ τῷ τόπῳ κατὰ τὴν ὥραν τῆς ἀναιρέσεως αὐτοῦ τὰ μέλλοντα προφητικῷ κηρύγματι φανερῶς προδιεσάφησε, φήσας αὐτοῖς· «ὡς μεθ' ἡμέρας ἑπτὰ τελευτήσουσιν οἱ ῥήτορες ὑμῶν, καὶ ὑμεῖς αὐτοὶ τελευτήσετε μεθ' ἡμέρας δύο καὶ δέκα, ὁ δὲ δόλιος δοὺξ διαρπαγήσεται ὑπὸ τῶν ἐναντίων μεθ' ἡμέρας εἰκοσιτέσσαρας. Μετὰ δὲ χρόνων τριῶν
156. παρολκὴν | ἐλεύσονται οἱ προσήκοντές μοι συγγενεῖς ἐκ τῆς ἐμῆς πατρίδος τὸ ἐμὸν ἆραι σῶμα μεθ' ἑαυτῶν· ἔχω γὰρ καὶ τὴν σορὸν τῆς καταθέσεως τοῦ λειψάνου μου ἔκπαλαι οὖσαν ἑτοίμην. Μὴ οὖν εἰς ἀλλοτρίαν τεθῶ, παρακαλῶ· μηδέ τις τῶν ὧδε κατοικούντων κωλύσῃ τοῦ τὸ λείψανόν μου ἐπαρθῆναι καὶ πρὸς τὴν ἐμὴν ἀποκομισθῆναι πατρίδα.» Τοιαῦτα καὶ πλείονα τοῖς παροῦσιν ἐπισκήψας, προσευξάμενός τε τὰ κοινῇ τῷ κόσμῳ συμφέροντα, καὶ κλίνας τὸ γόνυ, ὑπὸ τοῦ σπεκουλάτορος ἐκρούσθη τῷ ξίφει, καὶ εὐθέως ἐξῆλθε γάλα μεθ' αἵματος μεμιγμένον, ὥστε πάντας τοὺς ὁρῶντας θαυμάσαι καὶ δοξάσαι τὸν τῶν θαυμάτων Θεόν. Πολλοὶ γοῦν τῶν Ἑλλήνων οἱ τὰ παράδοξα ταῦτα θεώμενοι καὶ τὴν ὑπερβάλλουσαν καρτερίαν τοῦ ἀνδρὸς κατανενοηκότες μεταβαλλόμενοι τῷ τοῦ

χριστιανισμοῦ σωτηρίῳ λιμένι προσέδραμον. Οἱ δὲ πιστοὶ πάντα τὰ ὑπὸ τοῦ μάρτυρος προῤῥηθέντα κατιδόντες ἐν τοῖς καιροῖς αὐτῶν πεπληρωμένα, ἐπὶ πλέον πρὸς τὴν πίστιν ἐστερεώθησαν. Ἐτελειώθη δὲ ὁ καρτερικώτατος ἀθλητὴς τοῦ Χριστοῦ Βίκτωρ σὺν τῇ γενναιοτάτῃ Στεφανίδι κατ' αὐτὴν τὴν ἑνδεκάτην τοῦ Νοεμβρίου μηνὸς ἡμέραν, τυραννοῦντος Ἀντωνίνου τῆς βασιλείας καὶ Σεβαστιανοῦ παρανόμως ἡγεμονεύοντος.

27. Τί δὲ ὁ Βικέντιος, ὁ φερώνυμος νικητὴς τῆς εὐσεβείας, ὅπερ ἡ σημασία δηλοῖ τοῦ ὀνόματος; Τοῦτον γὰρ τρίτον μετὰ τοὺς ἄλλους μάρτυρας κατὰ τάξιν ἡ τῆς διηγήσεως ἀκολουθία προβάλλεται, τῆς συνήθους ἐπικλήσεως παρὰ παντὸς στόματος οὕτως ᾀδομένης· μετὰ γὰρ Μηνᾶν Βίκτωρ, καὶ μετὰ Βίκτωρα Βικέντιος συναριθμούμενος πιστῶς συνανυμνεῖται καὶ συμμακαρίζεται. Φέρε δὴ καὶ νῦν ἡμεῖς τῇ κατὰ λόγον ἐπεξηγήσει τῆς κοινῆς συνηθείας συνεφεπόμενοι, ἀκολούθως τοῖς προῤῥηθεῖσι τῶν ἀθλητῶν τοῖν δυοῖν ἀνδραγαθήμασι καὶ | τὰ τοῦδε τοῦ 157.
τρισαριστέως συνάψωμεν ἀγωνίσματα.

28. Οὗτος τοιγαροῦν ὁ καρτερικώτατος ἐν ἀθλοφόροις Βικέντιος ἐν τῇ κατὰ τὴν Ἰσπανίαν χώραν ἐπαρχίᾳ γέννημα, θρέμμα καὶ θῦμα γεγονὼς εὐσεβές, ἐκ νεαρᾶς ἡλικίας εἰς ἄνδρα προέκοψε τέλειον τοῦ πληρώματος τοῦ Χριστοῦ. Διὸ καὶ τῆς τῶν ἱερῶν Λευϊτῶν διακονίας ἐπαξίως κατηξίωται, κεκληρωμένος ὢν κατὰ τὴν ἐκεῖσε συγκεκροτημένην καθολικὴν Ἐκκλησίαν ὑπὸ τὸν τηνικαῦτα τελῶν ἁγιώτατον ἐπίσκοπον τῆς χώρας ἐκείνης ἐπίδοξον ἄνδρα, Οὐαλλέριον τοὔνομα· καθ' ἣν ἐπαρχίαν ἐπιδεδήμηκεν ἄρτι τότε, παρὰ τῶν τὰς ἡνίας τῆς βασιλείας Ῥωμαίων ἀσεβῶς κρατούντων καταπεμφθεὶς ἡγεμὼν ἰταμώτατος καὶ ἀπηνέστατος, ὃς Δατιανὸς ἐπεκέκλητο, ἑλληνικῆς πλάνης καὶ μέθης μεμεττωμένος, καὶ τῆς κατὰ χριστιανῶν μανίας δαιμονιώδει λύττῃ βεβακχευμένος. Οὗτος τοὺς προεστῶτας τῶν ἐκκλησιῶν ἐπισκόπους καὶ τοὺς ὑπ' αὐτοὺς

κληρικοὺς πρὸ τῶν ἄλλων πιστῶν ἐν ὑπερβαλλούσῃ πικρίας ὠμότητι διώκειν ἐπετήδευσεν, οἰόμενος ἐκ τοῦδε τοῦ τρόπου τοὺς λοιποὺς πάντας δεδίττεσθαι δειλίᾳ κραδαινομένους, καὶ ὑποσπόνδους τῇ ἰδίᾳ δυσσεβείᾳ καθιστάνειν.

29. Τούτων οὕτως ἐχόντων, ἀτρέμας σὺν πολλῇ τῇ ῥύμῃ τῆς προθυμίας κατέδραμεν ἐπὶ τοὺς ἀηττήτους ἀγῶνας οὗτος ὁ γενναιότατος ἀγωνιστὴς Βικέντιος, ἅμα τῷ ῥηθέντι θεσπεσίῳ ἐπισκόπῳ· πίστει γὰρ ἀῤῥαγεῖ τὸν νοῦν ἐρηρεισμένοι, μάλα μακαρίους ἑαυτοὺς ἠπίσταντο γενήσεσθαι ἐν αὐτῷ τῷ προκειμένῳ ἀγῶνι, εἴπερ ἀξίαις ἀνδραγαθίαις τὸν ὑπὲρ τῆς οἰκείας καθιερώσεως ἀναδήσεσθαι δυνήσονται στέφανον. Ἀλλὰ γὰρ ὁ δεινὸς ῥᾳδιοῦργος καὶ τὴν γνώμην πολύμορφος Δατιανὸς, οἰόμενος τῇ ἐξ ὁδοιπορίας ὕβρει τε καὶ συντριβῇ μᾶλλον τούτους ἑαυτῷ
157. ῥᾷστα πεισθήσεσθαι, | οὓς ἑώρα, τιμωρίαις μὴ οἷός τε ὢν παραστήσεσθαι, εἰς τὴν πόλιν Βαλεντίαν, μίαν οὖσαν τῆς αὐτῆς ἐπαρχίας, προσέταξε σὺν πολλῇ τῇ ὕβρει τοὺς ἁγίους ἐλαυνομένους παραστῆναι· οὓς παραχρῆμα καθειρχθῆναι ἐν ὀχυρώματί τινι δυσώδει τε καὶ ζοφερῷ τῆς φυλακῆς παρεσκεύασε μετὰ μεγίστης τιμωρίας ποικιλοτρόπως αὐτοῖς ἐπαγομένης· λέγω δὴ τῆς ἐκ λιμοῦ ἐνδείας, τῷ ἐκ σιδηρῶν ἁλύσεων βάρει κατά τε τοῦ αὐχένος καὶ τῶν χειρῶν, καὶ ταῖς κατὰ παντὸς τοῦ σώματος θανατηφόροις ἐπιφερομέναις αἰκίαις. Ἀλλὰ καὶ οὕτως καθάπερ νιφετῶν ἀλλεπαλλήλων ἐπιχεομένων αὐτοῖς τῶν ἀλγεινῶν, ὡς κουφότατα πάντα τῇ τῶν μελλόντων ἐλπίδι καρτερικῶς ὑπέφερον οἱ ἅγιοι. Ὁπηνίκα δὲ διεγνώκει τούτους ὁ κακόφρων ἐκεῖνος ἀποκεκμηκέναι, σφόδρα τῷ ῥοίζῳ τοῦ ζυγοῦ τῆς ὕβρεως βεβαρημένους, δεδιὼς μὴ τῇ προκαταλήψει τοῦ αὐτῶν θανάτου ζημίαν ὑπενέγκοιτο τῆς οἰκείας χαλεπότητος, ἀναιμωτὶ καὶ δίχα κατατομῆς μελῶν τῶν ἁγίων τοῦ ζῆν ἀπαλλαττομένων, ἐκέλευσεν ἄρτι τότε τῆς φυλακῆς αὐτοὺς προάγεσθαι, οἰόμενος τῷ χρονίῳ ἀποκλεισμῷ τοῦ φωτὸς, τῆς τε

κοινῆς τῶν ἀνθρώπων ἀναστροφῆς, καὶ τῆς ἄλλης πολυσχεδοῦς κακοπαθείας, μήτε μὴν ἐν σώματι μήτε ἐν ψυχαῖς δύναμίν τινα λοιπὸν αὐτοῖς ὑπολελεῖφθαι. Τεθνήξεσθαι γὰρ αὐτοὺς πρὸ τῶν τιμωριῶν οὐκ ἠβούλετο· ἐπειδὴ διεγνώκει μήτε μετὰ βασάνων τούτους καταγωνίσασθαι.

30. Ὡς δὲ παρέστησαν πρὸ τοῦ βήματος οἱ ἅγιοι, τῆς εἱρκτῆς μετακληθέντες, εὐσταθέστεροι τὸ σῶμα καὶ τὰς δυνάμεις ῥωμαλεώτεροι, τήν τε ἰδέαν φαιδροτέραν, ἧς πάλαι ὑπῆρχον κεκτημένοι, ἀπηνεώθη καταπλήξας ἑαυτὸν ὁ τύραννος, τῇ τε μανίᾳ τυφλώττων ἐξίστατο τοὺς ὑπὸ Θεοῦ φρουρουμένους τῆς ῥώσεως ἐκπληττόμενος, καὶ μὴ φέρων τὴν μετ' αἰσχύνης ἧτταν κατὰ κράτος νικώμενος· «τί δήποτε τούτους δαψιλεστέρᾳ τροφῇ λιπάνας | ἐπὶ τοσοῦτον ἀνεκτήσω;» πρὸς τὸν φύλακα ἔφασκεν· 158.
ἅμα δὲ καὶ δρακοντείᾳ φωνῇ ἐπισυρίζων μετέφερε τὸν λόγον ἐπὶ τὸν ἁγιώτατον ἐπίσκοπον καί φησι· «τί λέγεις σύ, ὦ Βαλλέριε, ὁ τῷ ὀνόματι καὶ τῇ θρησκείᾳ τοῖς κρατοῦσιν ἀνταίρων;» Ὤετο γὰρ ὁ παμπόνηρος ὅτι περ εἰ τὴν κεφαλήν, φημὶ δὴ τὸν ἐπίσκοπον, ὑποτεμέσθαι δυνηθείη, τῶν λοιπῶν μελῶν οἱονεὶ τοῦ κλήρου καὶ τοῦ λαοῦ εὐχερεστέραν τὴν καταστροφὴν ἐργάσεται. Ἀλλ' ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος φιλανθρωπότατος Κύριος, καὶ τὴν τούτων ὑπέροφρυν ὁρμὴν πρὸς γῆν κατασπῶν ἐξ ὕψους μετεώρου, ταπεινοὺς δὲ χαμαὶ κειμένους ἀνυψῶν παραδόξως, ἠβουλήθη τὸν ἀλάστορα τὴν τῆς ἀλαζονείας ἧτταν ἀπενέγκασθαι ὑπό τινι μικροτέρῳ τῶν τοῦ κλήρου παρὰ τὸν ἐπίσκοπον, ὅπως ἂν αἴσθηται καὶ γνῷ τὴν οἰκείαν ἀσθένειαν καὶ λογίσηται τί ἂν δέοι πράττειν κατὰ τοῦ ἀρχιερέως, ὁπόταν ὑπὸ Λευΐτου νικηθεὶς ἀνατραπείη, κατὰ πολὺ τοῦ ἐπισκόπου ἀποδέοντος καὶ τάξει καὶ ἀξίᾳ· καὶ γὰρ ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐμφορούμενος, ὡς ἤδη τοῦ στεφάνου τῆς νίκης περιδεδραγμένος ὁ τρισόλβιος μάρτυς Βικέντιος, ἡσύχως πως ποιουμένου τοῦ ἐπισκόπου τὴν ἀπόκρισιν, φησὶ πρὸς

αὐτόν· «τί δῆτα οὕτως ὑποτρύζεις, ὦ πάτερ, καὶ ὡς οἱ δεδιότες ἠρέμα ὑποψιθυρίζεις κατὰ τοῦ κυνός; βόησον ἐν ἰσχύϊ μεγάλῃ τὴν ὁμολογίαν, ὅπως τῇ ἐξ αὐθεντίας φωνῇ σου τυπτηθεὶς, συντριβείη πανσθενῶς ἡ κατὰ τῶν Χριστοῦ μυστηρίων ἁγίων καθυλακτοῦσα λύσσα. Οὗτος ἐκεῖνος, ὦ πάτερ, ἐστὶν ὁ ἰοβόλος ὄφις, ὁ κατὰ τῆς τιμῆς τοῦ πρωτοπλάστου τῆς καὶ πρὸς πάντας ἀνθρώπους διαδραμούσης τῷ φθόνῳ κατατακείς. Ἐπειδὴ γὰρ μὴ ταύτης καταξιωθεὶς ἀπολαῦσαι, ἀνθρωποκτονεῖν ἀκορέστως ἐμαίνετο, καὶ κατ' αὐτῶν μάλιστα τὸν φθόνον, ὃν ὁ φιλάνθρωπος Θεὸς ἀπηγόρευσε, κατεσκεύαζεν, ἑτοίμως καὶ
158. αὐτὸς ὑποπίπτειν ἐπεθύμει τῷ θανάτῳ, εἴ γε τῆς | ζωῆς ἀφέλοιτο, οὓς ἠβούλετο, τήν τε γεῦσιν, ἣν ἑτέροις ὁ κακοποιὸς ἐπεμηχανήσατο, πρῶτος αὐτὸς ταύτης μετασχὼν, τῶν δεινῶν παραπέλαυσεν. Οὗτός ἐστιν ὁ τῶν κακῶν ἀρχηγὸς, ὃν πολλάκις τῶν ἀνθρωπίνων ἀπηλάσαμεν σωμάτων, ὡς οἶσθα, διὰ τῆς θείας ἐπικλήσεως. Τοιγαροῦν εἰ πέποιθεν ὅλως ἰσχύειν, πρός με τὰ τῆς μάχης αὐτοῦ κινείτω μηχανήματα· θεάσεται γάρ με πλέον δύνασθαι μᾶλλον στρεβλούμενον, ἤ περ ἑαυτὸν στρέβλας ἐπινοοῦντα. Καὶ ἐν ὅσῳ τιμωρεῖν οἴεται, βαρύτατα τιμωρηθήσεται, τοὔνεκα κἀγὼ καὶ πρὸ τῆς πάλης τῇ τῆς νίκης χαρᾷ περιλάμπομαι· πάσχων γὰρ ἐγὼ τὰ μάλιστα ἐκδικηθήσομαι.»

31. Πρὸς τούτοις οὖν ἀνήπτετο θυμῷ διαβολικῷ τὸ τῆς ὀργῆς ὄργανον δηλαδὴ Δατιανὸς, ὁρῶν ἑαυτὸν σφόδρα καταφρονούμενον. Καί φησι πρὸς τοὺς πονηρίας ὑπηρέτας· «ἀπαγάγετε μεταστήσαντες ἐντεῦθεν τὸν ἐπίσκοπον, ἐκεῖνον δὲ τὸν ἐφ' ὕβρει τοῦ δικαστηρίου καὶ τῶν αὐτοκρατόρων ἐληλυθότα, προσαγάγετε ὧδε, καὶ τῇ αὐτοῦ καρτεροψυχίᾳ ἀναλόγως τὰ στρεβλωτήρια προσενέγκατε.» Καὶ ταῦτα λέγων μείζους προσεπενόει κολάσεις καὶ τιμωρίας πικροτέρας κατὰ τοῦ γενναίου μάρτυρος· καὶ πάλιν ἐπιλογιζόμενος ἔλεγεν· «ὅτι περ εἰ καί τινα καινότερα τιμωρητικὰ καὶ πικρὰ ὄργανα ἐφευρὼν αὐτῷ

προσενέγκω, πάντων καταφρονήσει.» Ταῦτα γὰρ ἤδει προμεμελετῆσθαι παρ' αὐτῷ, ὥστε παντοίων κολαστηρίων ποινὴν ὑπενεγκεῖν, ἕνεκεν τῆς δόξης τοῦ Θεοῦ. Καθ' ἑαυτοῦ τοιγαροῦν ἐπενόει τὸ πλῆθος τῶν στρεβλῶν μηχανημάτων ὁ τοῦ διαβόλου ὑπηρέτης, ἅπερ γὰρ ἠπείλει κατὰ τοῦ δικαίου ἐπιφέρειν ἐπώδυνα στρεβλωτήρια, πάσχειν μᾶλλον ἔμελλεν αὐτὸς ὡς οὐκ ἠβούλετο. Ἀλλὰ τί φησιν ὁ παράνομος ἡγεμών; «ἀναρτήσαντες τοῦτον τὸν δύστηνον ἐπὶ τοῦ ξύλου, μεληδὸν κατατέμνετε, καὶ πᾶν τὸ σῶμα αὐτοῦ διαῤῥήξατε κατατείνοντες, | ὅπως πρὸ τῶν ἄλλων κο- 159.
λάσεων τοῖς τῶν μελῶν οἰκείοις σπαραγμοῖς θᾶττον ἀναιρεθείη.»

32. Ἐπὶ πολλοῖς οὖν ὥραις ξεομένῳ τῷ μάρτυρι καὶ γενναίως ἐγκαρτεροῦντι, φησὶν ὁ Δατιανός· «τί λέγεις, ὦ Βικέντιε; ἐν ποίοις καθορᾷς τὸ σεαυτοῦ τριςάθλιον σῶμα;» Πρὸς ὃν ὁ μάρτυς ὑπομειδιῶν εἶπε· «τοῦτό ἐστιν ὡς ἀληθῶς, ὅπερ πρὸ πολλοῦ ηὐξάμην παθεῖν, οὐδείς μοι σοῦ ποθεινότερον, εὖ ἴσθι, οὔτε μὴν κατὰ ψυχήν ποτε γεγένητό τις εὐεργετικώτερος. Εἰ γὰρ καὶ ἐπαχθῶς ταῦτα πράσσεις, ἀλλ' οὖν καὶ μὴ βουλόμενος, τὰ ἐμοὶ ἐπιθυμητὰ καὶ λίαν φίλα προξενεῖς, δι' ὧν ἤδη τῶν οὐρανίων γερῶν ἐφαπτόμενος, τῶν ἐπιγείων πάντων ἡδέων τὸ τερπνὸν διαπτύω. Τοιγαροῦν αὐτὸς τῆς σῆς ὠμότητος μὴ παύσῃ· ἐπαύξεις γάρ μοι μειζόνως τὰ τῆς νίκης, εἴπερ διὰ πλείονων νικήσω σε κολαστηρίων. Ἐπεγείρου οὖν μᾶλλον καὶ ταῖς κακομηχάνοις στρέβλαις τοῦ μιαροῦ πατρός σου Σατᾶν ἀναβακχεύου, μήπως ἐνδοὺς, σμικρύνῃς μου τὰ τῆς δόξης, καὶ ζημίαν προστρίψῃς τοῖς ἐμοῖς τῶν πόνων ἐπαίνοις. Ἕτοιμος ἐγώ εἰμι πάντα πόνον ὑπομένειν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου μου καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ· δι' ὧν δὲ ἐπαπειλῶν λογίζῃ με τιμωρεῖσθαι, ἐν τούτοις αὐτὸς πικρότερον τιμωρηθήσῃ.»

33. Καὶ πρὸς ταῦτα κράζειν ἤρξατο κατὰ τῶν ἑαυτοῦ μεμηνὼς ὑπηρετῶν ὁ Δατιανός· τῷ τε θυμῷ ὑπερζέσας, καὶ βακχευθεὶς δαιμονιώδει λύττης πνεύματι, ῥάβδοις καὶ ῥοπάλοις

τοὺς δημίους ἐμάστιζεν ὡς ἅτε δὴ ῥᾳθυμήσαντας καὶ φειδομένους τοῦ μάρτυρος, πλέον δὲ κατ' αὐτῶν ἢ κατὰ τοῦ ἁγίου ἐχαλέπαινε, πρὸ τοῦ δικαίου τοὺς οἰκείους αἰκιζόμενος. Ὁ δὲ τῆς εὐσεβείας ἀγωνιστὴς ἀϊδιότητι τῇ ἐκ Θεοῦ δυναμούμενος, ἀνώδυνος καὶ ἀνεπαίσθητος τῶν ὀδυνώντων διέμενεν. Τότε δὴ καὶ κρεμάμενος ἔτι ἐπὶ τοῦ ξύλου πρὸς τὸν ἀλάστορα ἔλεγε·
159. «τί λέγεις, ὦ Δατιανὲ, δύστηνε; ἰδοὺ παρὰ τῶν τιμωριῶν ἀπέχω τὴν ἐκδίκησιν· ἐπειδὴ κατὰ τῶν σεαυτοῦ ὑπηρετῶν, αὐτός μοι πέφηνας ἔκδικος.» Τούτοις βάλλων τοῖς ῥήμασιν ὡς βέλεσι τὸν βέβηλον, πλέον αὐτὸν ἐκόλαζεν. Ἀκούων γὰρ ταῦτα, μείζονι καὶ λυσσωδεστέρᾳ κραυγῇ κράζειν ἀπήρξατο, τοῖς ὀδοῦσιν ἐπιβρύχων ἐκτόπως, καὶ ἑαυτὸν ὁ ταλαίπωρος προσπαράττων τοῦ μάρτυρος. Καὶ γὰρ τοῦ ξέειν ἀποκαμόντες οἱ δήμιοι, ἐπεπήγεισαν, ὥσπερ ἄψυχοι, αἵ τε χεῖρες αὐτῶν περὶ τὰς πλευρὰς τοῦ δικαίου νεκραὶ ἀπεκρέμαντο, τά τε πρόσωπα ὠχριακότες, κρουνηδὸν τοὺς ἱδρῶτας κατὰ παντὸς ἀπέσταζον τοῦ σώματος, καὶ τὰ μέλη λυόμενοι κατεβέβληντο. Ἦν δὲ βλέπειν ἐκείνους μᾶλλον τετιμωρῆσθαι ταῖς βασάνοις, καὶ νενεκρῶσθαι τῷ τρόμῳ, νεκρὸν δὲ καὶ αὐτὸν ὅλον Δατιανὸν καθάπερ τινὶ δέει κεκρατημένον, τὸ πρόσωπον ὠχριῶντα, τοὺς ὀφθαλμοὺς ἀμβλυώττοντα, καὶ ὥσπερ τὴν ἐπὶ θανάτῳ ἀπαγόμενον ἀκίνητον ὄντα καὶ ἀνενέργητον. Ὁ δ' αὐτὸς καὶ πάλιν ἀτακτῶν μανιωδῶς κατὰ τῶν δημίων ἐκραύγαζε· «τί πράττετε, λέγων, διατελοῦντες ἀνενέργητοι; οὐ δὲ γὰρ ἐπιγινώσκω νῦν τὰς ὑμετέρας χεῖρας ἀνδροφόνους. Οἶδα ὑμᾶς πολλάκις νικήσαντας ἀπόνοιαν ἀνδροκτόνων λῃστῶν καὶ πατροκτόνων τῇ καρτερίᾳ καὶ τῇ τῶν χειρῶν ῥωμαλαιότητι, φαρμακῶν τε καὶ γοήτων καὶ τῶν ἄλλως ἀκολασταινόντων ἀθέσμως τὰ ἐνδόσθια διεσπάσατε· καὶ ἁπλῶς ὅστις οὕτω δυσάλωτος, ὡς ᾤετο, ὑμῖν ἐκπελάσας, οὐκ ἔστιν ὅτι μὴ τῇ τοῦ θανάτου καθομολογίᾳ ῥᾷστα οὐχ ὑπέπεσεν, ὦ στεῤῥοί μου στρατιῶται· τοῦτον δὲ νῦν, ἀτά-

κτως ἐνυβρίζοντα κατὰ τῶν αὐτοκρατόρων καὶ νόμους ἐκφαυλίζοντα καὶ θεοὺς ἀθετοῦντα, κωλῦσαι οὐ κατισχύσατε;»

34. Πρὸς ταῦτα πάλιν φαιδρῷ τῷ προσώπῳ ὑπομειδιάσας ὁ πολύαθλος Βικέντιος, εἶπεν· «ἐπὶ τούτοις νῦν ἰδοὺ πληροῦται τὸ τῆς θείας Γραφῆς λόγιον· ὅτι βλέποντες οὐ μὴ ἴδωσι, καὶ ἀκούοντες οὐ μὴ | συνιῶσιν (Μτθ. ιγ'. 13)· ὦ πάν- 160.
των ἀπανθρώπων ὠμότατε τύραννε, Χριστὸν τὸν τῶν ἁπάντων ποιητὴν καὶ Σωτῆρα ἐγὼ μαρτύρομαι, καὶ ἀναγκάζεις με τοῦτον ἀρνήσασθαι Θεὸν ἀληθινὸν, ὅν περ ὁμολογῶ τυγχάνειν; Τηνικαῦτα γὰρ μᾶλλον ἐχρῆν σε τιμωρήσασθαί με, εἴ περ διαψευδόμενος, θεοὺς ἔλεγον εἶναι τοὺς ἀψύχους ἀνδριάντας τῶν δαιμόνων, οὓς οἱ βασιλεῖς τῆς γῆς πλανώμενοι σέβονται· ἀλλὰ γὰρ ἐπὶ πλέον ἐπίμεινον, ἐπινοοῦ κατ' ἐμοῦ κολαστήρια τῇ ὁμολογίᾳ τῆς ἀληθείας ἐμμένοντος, εἰ ἄρα κἂν οὕτως ἐπιγνῶναι δυνηθείης τὴν τῶν χριστιανῶν δοκιμωτάτην εὐσέβειαν, μικρὸν ὅσον ἴσως ὑπολωφήσαντος τοῦ ἐν σοὶ κατοικοῦντος ἀκαθάρτου πνεύματος.»

35. Ταῦτα τοῦ ἁγίου λέγοντος, μανιωδέστερος ὁ ἡγεμὼν ἐπιγελώμενος μᾶλλον καθίστατο, τό τε στῆθος ἐπασθμαίνων καὶ τὸν αὐχένα οἰδαίνων, καὶ πᾶσαν ἁπλῶς τὴν ὄψιν μεταλλαττόμενος, μόνην τὴν τῶν ὀφθαλμῶν βολὴν καιομένην πεφυρμένῳ καὶ θολοποιῷ τῷ βλέμματι σώζων ἐπεπήγει, καταῤῥέον ὁρῶν τὸ αἷμα τοῦ μάρτυρος μὴ μόνον τῶν πλευρῶν, ἀλλὰ γὰρ ἤδη καὶ πάντων τῶν τοῦ σώματος μελῶν, καὶ τῶν ἐγκάτων διεῤῥηγμένων τῇ τῶν χαλεπῶν στρεβλωτηρίων ἀνάγκῃ· πάσας τε τὰς ἁρμονίας τῶν ἄρθρων διεσπαραγμένας βλέπων, ἐν οὐδενὶ λοιπὸν εἶχε ῥᾳθυμίας καταγινώσκειν τῶν δημίων, ὑπερεξεπλήττετο δὲ τὸ μεγαλόψυχον κατανοῶν τῆς καρτερίας τοῦ ἀγωνιστοῦ· ὅμως ἐν τούτῳ, καίτοι πικρῶς καὶ ἀπηνὴς ὑπάρχων, προφανῶς ἀπηλέγχετο καταισχυνόμενος, ἑτέρῳ δὲ τρόπῳ πονηρίας ὁ πολυμήχανος προσήει τῷ μάρτυρι, οἰό-

μενος οἴκτῳ μᾶλλον ὑποσῦραι τοῦ γενναίου τὸ φρόνημα, πρὸς ὃν
ἐλεεινολογεῖν προσποιούμενος, « ἐλέησον σεαυτὸν, ἔλεγεν, ὦ Βι-
κέντιε, καὶ μὴ ὡς ἄνθος ἐαρινὸν καταμαράνῃς τὴν ἀκμάζουσάν
σου νεότητα· μὴ τὸ μακρόβιόν σου τῆς ζωῆς θᾶττον ἐκκόψῃς,
*160. φεῖσαι σεαυτοῦ ταῖς ἀνηκέστοις αἰκίαις οὕτω | κακῶς κατασπα-
ραττόμενος. Γενοῦ λοιπὸν σεαυτοῦ· καὶ κἂν γοῦν ὀψέποτε τὰ
λοιπὰ τῶν βασάνων ἐπίπονα κερδῆσαι θέλησον. »

36. Ὁ δὲ θαυμάσιος ἄνθρωπος τῷ ἁγίῳ πνεύματι τὸν δόλον προαισθόμενος, τοιούτοις τοῖς λόγοις ἐχρήσατο πρὸς αὐτόν· « μὴ διὰ τὰς τιμωρίας, ἃς ἐπιφέρεις μοι χαλεπαίνειν με νόμιζε· ἐν τούτῳ δὲ μᾶλλον ἐπὶ πλέον φοβεῖς με δεδιττόμενον, ὁπηνίκα προσποιῇ κατ' ἐμοῦ προσφέρων ἐλεημοσύνης ῥήματα. Ἐγγυμναζέσθω τοίνυν κατὰ τῆς ἐμῆς σαρκὸς πᾶν τιμωρητικὸν ὄργανον καὶ κραταιούσθω κατ' ἐμοῦ παντοία σου κόλασις· καὶ εἴ τι δέ σου ταῖς τερατοποιοῖς καὶ κακομηχάνοις δυνάμεσι ἐφευρίσκειν πέποιθας κακὸν, διὰ τῆς ὠμοτάτης σου πικρίας προκόμισον κατὰ τοῦ δούλου τοῦ Θεοῦ. Δοκίμαζε ποικιλοτρόπως τὴν ἰσχὺν ἡμῶν τῶν χριστιανῶν δι' αἰκισμῶν καὶ κολάσεων, σιδήρου λέγω καὶ πυρὸς καὶ τῶν λοιπῶν ποινῶν κατατέμνων καὶ κατεμπιπρῶν ἀφειδῶς· οὕτω γὰρ διὰ πάντων τὴν ἧτταν ἀπενέγκῃ καταισχυνόμενος. » Διαπριόμενος δὲ τούτοις τοῖς λόγοις ὁ Δατιανὸς, ἐπεμβαίνοντος αὐτῷ τοῦ ἀγωνιστοῦ, καὶ μηκέτι φέρων τὸ ὄνειδος, λέγει πρὸς τὴν τάξιν· « μεταγέσθω ἐντεῦθεν ἐπὶ τὴν κατὰ νόμον ἐξέτασιν, δοκιμαζέσθωσάν τε κατ' αὐτοῦ πᾶσαι αἱ τῶν ἀπηγορευμένων πράξεων τιμωρίαι, πατροκτόνων τε καὶ ἀνδροφόνων καὶ λοιπῶν καταδίκων πᾶν κολαστικὸν κινείσθω μηχάνημα. Εἰ γὰρ καὶ ὁ λογισμὸς ἐγκαρτερεῖν ἐπὶ πολὺ τοῖς δεινοῖς δυνήσεται, ἀλλὰ κἂν γοῦν τὰ μέλη ταῖς βασάνοις ἐξαναλούσθω· ἐν ὅσῳ γὰρ οὗτος ἐν ζῶσι περίεστιν, ἐμὲ τῆς νίκης ἀδύνατον ἐπιτεύξεσθαι. » Ὁ δὲ γενναῖος ἀθλητὴς τὸν ἀντίπαλον τοιούτοις ἐπεβοᾶτο τοῖς ῥή-

μασιν· «ὦ τῆς ἐμῆς μακαριότητος! ὦ τῆς ἀληθοῦς εὐφροσύνης! πᾶσαι γὰρ αἱ παρὰ σοῦ μοι προσφερόμεναι διαβολαὶ καὶ ἀπειλαὶ, πληρέστατοι τυγχάνουσιν ἔπαινοι.»

37. Ὁ δὲ Δατιανὸς ὑπερζέσας τῷ | θυμῷ τῆς μανίας, εὐ- 161.
θέως προστάττει σταυρὸν καταπαγῆναι, κἀκεῖ αὐτὸν προσηλωθέντα, κατὰ πᾶν μέλος αἰκίζεσθαι. Καὶ δὴ τὰ προσταττόμενα θᾶττον ἐπετέλουν οἱ τοῦ διαβόλου ὑπηρέται, καὶ παγέντος τοῦ σταυροῦ ἀνήρτησαν ἐν τούτῳ τὸν ἀήττητον ἀθλητὴν, πάλιν δὲ σὺν πολλῷ τῷ τάχει κατήνεγκαν αὐτόν. Ὡς δὲ τῶν δεσμῶν ἀπολυθεὶς, ἔστη ἐπὶ τοῦ ἐδάφους ὁ ἅγιος συνεργίᾳ τοῦ ἁγίου Πνεύματος, ἐκτινάξας ἑαυτὸν τῶν δημίων καὶ προπηδήσας δρομαίως, ὥρμησεν ἐπὶ τὸν σταυρὸν, βουλόμενος καταπλῆξαι τὸν ἐχθρόν. Εἶθ' οὕτω κατὰ τῶν δημίων ἐπιμέμφεται, ῥᾳθύμως δῆθεν ἐπεγειρομένων καὶ ἐπιτεινόντων αὐτῷ τὰ δεινὰ, καί φησιν· «ἵνα τί, ὦ οὗτοι, ἀδρανεῖς καὶ ἀνίσχυροι διάκονοι κακῶν ὄντες ἐπὶ τὰ κολαστήρια ἕλκειν με κατοκνεῖτε; ἐκτελεῖτε συντόμως τὴν ὠμότητα τοῦ ἄρχοντος ὑμῶν, ὅπως γέλως ὡς ἐφ' ἅπασιν ἤδη καὶ νῦν ταχέως ἀναδειχθήσεται· τούτοις γὰρ λίαν ἀναιρεῖ χαλεπαίνοντα τὸν ἀλάστορα τοῖς παρ' αὐτοῦ μέλεσιν ἰσχυρῶς αὐτὸν κατασφάττων ὁ ἐμὸς Δεσπότης Χριστὸς, δι' ὃν καὶ μειζόνως κατ' ἐμοῦ ταῖς αἰκίαις ἐκκαίεται, ἐπεγείρων τὰ κολαστήρια.»

38. Καὶ γὰρ ἅμα ταῦτα λέγων, εὐθέως ἐστρεβλοῦτο καὶ διαφόρως ταῖς μάστιξι κατεξαίνετο, καὶ τοῖς ὄνυξι ἐπιμόνως κατῃκίζετο, καὶ πρὸς τούτοις ἅπασιν ἔτι τὰς πλευρὰς κατεκαίετο, ἀλλεπαλλήλως τῶν φλογῶν προσαρασσομένων, καὶ τῶν μελῶν αὐτοῦ κατατεινομένων, ἔξαρθρος ὅλος ἐγεγόνει ὁ ἅγιος· ἐντεῦθεν σιδηρᾶς ῥάβδους ἐπὶ πολὺ πυρώσαντες οἱ τοῦ πυρὸς κληρονόμοι, καιομένας ἐνέβαλον ἐπὶ τὰ στέρνα τοῦ μάρτυρος, ἕως οὗ σχεδὸν ἐτάκη μεταξὺ σιδήρου καὶ πυρὸς ἐκφλογούμενος. Ἦτε γὰρ τοῦ σώματος ἐπιφάνεια πᾶσα σὺν τῷ δέρματι

τῇ φλογὶ διεφθείρετο, τραύματά τε τραυμάτων ἀναφυόμενα ἐφαίνετο, καὶ ἐπὶ τοὺς αἰκισμοὺς αἰκισμοὶ ἐπεγείροντο· ἄλλοι
161. τε κατὰ τοῦ ἐκκαίοντος πυρὸς ἐπέβαλλον. | Καὶ τῇ τῆς φλογώσεως ἀνάγκῃ κατὰ μικρὸν διατηκομένων τῶν μελῶν, σαρκῶν τε λοιπὸν μὴ ὑπολελειμμένων, κατ' αὐτῶν τῶν ἐντοσθίων τὰ βέλη τῶν αἰκισμῶν ἐφικνεῖτο, καὶ πάλιν κατ' αὐτῶν τῶν ἑλκῶν τοῦ μαρτυρικοῦ σαρκίου τὰς τιμωρίας ἐπέφερον, ἐπειδὴ τοῦ σώματος μέρος οὐδὲ τὸ τυχὸν ὑγιὲς περιελέλειπτο· καὶ ὅμως ὁ αὐτοκράτωρ λογισμὸς ἐγκαρτερῶν τοῖς ἀλγεινοῖς καρτερικώτερος εἰκότως ἀπεδείκνυτο, ὠχυρωμένος μάλιστα τῇ παναλκεστάτῃ ῥοπῇ τοῦ Θεοῦ. Τῇ πολλῇ δὲ παρατάσει τῆς τιμωρίας ἐμβροντηθεὶς ὁ Δατιανὸς διετέλει καραδοκῶν καταπλήττειν τῇ ἐπιῤῥοίᾳ τῶν κολάσεων, κἀκ τούτου τὴν ἐναντίαν ὁμολογίαν περιμένων τοῦ μάρτυρος, καὶ ὡς ἀληθῶς περὶ τοῦ θανάτου αὐτοῦ ἐταλαντεύετο, τί δέοι πρᾶξαι. Ἐν τοσούτῳ δὲ τῆς τάξεως, ὡς εἰκὸς, ὑπερεκπληττομένης, ἀπηγγέλη αὐτῷ, λεγόντων τῶν ἐπὶ τῶν τιμωριῶν τεταγμένων, « τοὺς μὲν δημίους ἀποκεκμηκέναι καθάπερ ἐπὶ ἐσχάτης ἀναπνοῆς, τὸν ἀθλητὴν δὲ τὸν πολυσχεδῆ τῆς κολάσεως ὑπερνενικέναι ἀγῶνα. »

39. Τότε δὴ διαμαρτὼν τῆς ἐλπίδος καὶ σκότος αἰσχύνης ἀμφιασάμενος, « φεῦ, ἔφη, νενικήμεθα! ἀλλ' εἰ καὶ ταῖς ὑπολοίποις βασάνοις μὴ κάμνοι τὸν λογισμὸν, ἀλλ' ἐγκαρτερῶν διατελοίη, τοῦ σώματος αὐτῷ ἐκτακέντος, ἡ ψυχὴ κἂν γοῦν ἀδιόρθωτος ἐπιμένουσα τιμωρείσθω. Τοιγαροῦν ἀναζητήσατε τόπον πανταχόθεν ζοφώδη, κἀκεῖ τοῦτον ἐναποῤῥίψατε, ὅπως τῇ διαιωνίῳ νυκτὶ κολάζοιτο ἐν αὐτῷ· ὑποστρώσατε δὲ καὶ τὸ ἔδαφος ἔνθα μέλλει ἐῤῥίφθαι, ὀστράκῳ κατεαγότι ἐκ τῶν ἑκατέρων μερῶν, ἀκιδωτὰς ἔχοντι καὶ ὀξεῖς τὰς γωνίας, ὅπως ἂν πικρῶς ὑπονύττηται τῇ μεταστροφῇ τῶν πλευρῶν, καὶ μηδενὶ μέρει ἐξ ἀναλήψεως μελῶν δοκοίη ἄνεσιν λαμβάνειν, ἀλλ' ἵνα

κατατρυχομένῳ τῷ παντὶ σώματι ἄπαυστα τὰ τῆς τιμωρίας
| ἀνανεούμενα μὴ ἐλλείποι. Πρὸς τούτοις ἐκτείνοντες αὐτὸν 162.
διασπάσατε πᾶν μέλος τοῦ σώματος, ὅπως ποικιλοτρόπῳ ποινῇ
στρεβλούμενος, βιαίως ἐκπνεύσῃ. Κἀκεῖ, κατακλείσαντες αὐτὸν
ἐν τῷ σκότει, καταλίπετε μονώτατον, ὡς μηδὲ πρόνοιάν τινα
φωτὸς τοῖς ὄμμασιν ἐπιδέχεσθαι, ἀλλὰ πᾶσαν αὐτῷ παραμυ-
θίαν καθάπαξ ἀποκεκλεῖσθαι, θύραις τε καὶ μοχλοῖς πανταχό-
θεν ἔστω κατησφαλισμένος. Τοῦτο δὲ διὰ φροντίδος ὑμῖν ἤτω
μόνον, ἵνα, ἐὰν ἀποπνεύσῃ, τὸ τάχος ἡμῖν ἀπαγγείλητε. »

40. Γενομένων δὲ τούτων κατὰ τοῦτο δὴ τὸ ἀθέμιτον
πρόσταγμα τοῦ δυσσεβοῦς, οὕτω τε καθειρχθέντος εὐθέως τοῦ
μάρτυρος, νυκτὸς καταλαβούσης, ἡνίκα βαθεῖ ὕπνῳ κατεσχέ-
θησαν οἱ φύλακες, ὅπερ ὁ δύστηνος Δατιανὸς κατ' αὐτοῦ πρὸς
τιμωρίαν ἐπέταξε, τοῦτο μετατρέπεται παρὰ Κυρίου εἰς ὑπερ-
βάλλουσαν ἑορτῆς θυμηδίαν. Φοβερὰ γάρ τις καὶ ὑπέρλαμπρος
ἀγγελικὴ παρεγένετο κατάστασις, θεραπεύουσα τὰ τραύματα,
καὶ τῶν ποινῶν ἀνακτωμένη τὸν ἀθλητήν, ἥ τε νὺξ ἀφεγγὴς
καὶ διαιωνίζουσα Δατιανοῦ τοῦ καταράτου, φωτὶ ξένῳ καὶ πα-
ραδόξῳ κατελαμπρύνετο. Ἐξαίφνης οὖν οἱ φύλακες ἐξανίσταντο
φόβῳ πολλῷ τεθορυβημένας τὰς φρένας φέροντες, τῆς φυλακῆς
γὰρ ἐκπεφευγέναι τὸν μάρτυρα ὑπετόπαζον· οἷς ἐπὶ πολὺ τα-
ραττομένοις ἐπεφώνει λέγων ὁ ἅγιος· « μὴ ταράττεσθε δεδοι-
κότες, ὦ στρατιῶται, μηδ' ὡς φυγάδα με γεγονέναι τῶν ἀγώ-
νων ἀγωνιάσητε. Ἐγὼ γὰρ τοὺς ἐμοὶ παρὰ Χριστοῦ χρεω-
στουμένους στεφάνους οὐκ ἀθετῶ· εἰ δὲ δυνατοί ἐστε κατα-
νοεῖν, διὰ τάχους εἰσδραμόντες, τὴν παράδοξον παραμυθίαν τοῦ
δούλου τοῦ Θεοῦ θεάσασθε· ἔνθα γὰρ καταλελοίπατε σκότον
ζοφωδέστατον, ἐκπλάγητε φῶς ὁρῶντες ὑπερκόσμιον. » Τούτοις
τοῖς ῥήμασι κεχρημένος ὁ ἀθλητὴς προὔτρεπε τοὺς ὑπηρέτας
πορευθῆναι | πρὸς Δατιανὸν καὶ ἀπαγγεῖλαι τὴν ὑπερένδοξον 162.
τερατουργίαν τὴν ἐπ' αὐτῷ γεγενημένην. Ὡς δ' ἀπελθόντες οἱ

φύλακες, πάντα τὰ ἐπὶ τῆς φυλακῆς παράδοξα τῷ Δατιανῷ ἀνεγνώρισαν, ὅλος ἀχανὴς ἐγεγόνει, καταπεπληγμένος, ὡς ἡττημένος ἤδη καὶ ᾐσχυμμένος· ὅμως ὑπούλως πως καὶ δολίως μεταβαλλόμενος, ἠπιώτερος προσφέρεται, καὶ φησίν· « τί δὴ περαιτέρω πειράζοντες προσπαλαίομεν λοιπὸν, προφανῶς ἡττημένοι τῆς τοῦ ἀνδρὸς ἀνδραγαθίας; Φερέσθω τοιγαροῦν ἐπὶ κλίνης ἐστρωμένης στρωμναῖς ἁπαλαῖς· οὐ γὰρ βούλομαι τοῦτον τοῖς δεινοῖς ἐπαποθανεῖν, μήπως ἐν τούτῳ δόξῃ μεγαλόδοξος ἀναδειχθήσεσθαι. Ἄνδρες δὲ κομιζέτωσαν αὐτὸν ἐπὶ τῆς κλίνης ἀγαλλόμενοι, οἱ τὰ τῶν ποδῶν αὐτοῦ ἴχνη καὶ πᾶν τὸ σῶμα διεσπαργμένον καταφιλοῦντες, τότε ἀποῤῥέον αἷμα τῆς οἰκείας εἰς ἀνάληψιν ἀπομασσόμενοι ῥώσεως· τοιούτων χρήσασθαι δέον ἀνδρῶν δορυφορίαις τὸν τοῦ Χριστοῦ δοκιμώτατον μάρτυρα Βικέντιον, ὃς ἄξιος καὶ παρὰ τῶν ἐχθρῶν θεραπεύεσθαι, μήτι γε παρὰ τῶν ὁμοφύλων καὶ χριστιανῶν. »

41. Ταῦτα δὲ ποιεῖν καὶ λέγειν ὁ δόλιος Δατιανὸς ἠναγκάζετο πολλῇ τῇ ἀμηχανίᾳ συνεχόμενος, πὴ μὲν ὁμολογῶν ἑαυτοῦ τὸ ἀδρανὲς καὶ ἀνίσχυρον, πὴ δὲ καὶ ἄκων μεγαλύνων τὸ καρτερικώτατον σθένος τοῦ γενναιοτάτου ἀθλητοῦ. Ἐν ὅσῳ τε τοιαῦτα σκεπτόμενος δολίως ἐφθέγγετο, ὁ ἀθετῶν βουλὰς ἀρχόντων πανάγαθος Θεὸς, θελήσας τελείως τὴν ἧτταν ἀπενέγκασθαι τὸν ἀλάστορα τύραννον, τὴν νικηφόρον ψυχὴν τοῦ γενναιοτάτου μάρτυρος Βικεντίου μετὰ δόξης πολλῆς προσελάβετο, μεταστήσας τοῦ προσκαίρου σκηνώματος εἰς τὴν ἐπουράνιον κατοικίαν· ὅπερ νομίζω, μᾶλλον δὲ πέπεισμαι καλῶς οἰκονομίᾳ κρείττονι συμβεβηκέναι, καὶ μὴ ἁπλῶς προτελευτῆ-
163. σαι τὸν μάρτυρα τῆς δῆθεν | εὐτρεπιζομένης αὐτῷ θεραπείας, μᾶλλον δὲ δολερᾶς ἐπιβουλῆς τοῦ δολιόφρονος Δατιανοῦ. Ἔμελλε γὰρ τούτου γιγνομένου λέγειν, ὡς τῇ τῆς ἐκείνου σπουδῆς προνοίᾳ καὶ ἐμμελείᾳ περισεσῶσθαι τὸν ἀθλητήν.

42. Ὡς οὖν ἀπηγγέλη τῷ δυσμενεῖ Δατιανῷ ἡ τοῦ στεφα-

νίτου τελείωσις, ξένην αὖθις μανίαν ἄρχεται μαίνεσθαι, καὶ λέγειν· «εἰ μὴ γὰρ ἠδυνήθην ζῶντος περιγενέσθαι, κἂν γοῦν ἀποθανόντα τιμωρήσομαι. Οὐκ ἔστι πνεῦμα λοιπὸν τὸ ἀντιμαχόμενόν μοι· ἀνθρώπῳ νεκρῷ οὐδεμία μάχη, κατὰ μελῶν ἀψύχων λοιπὸν ὁπλίσομαι. Ῥιπτέσθω τοιγαροῦν κατὰ τοῦ πεδίου τὸ νεκρὸν σῶμα, μηδεμιᾷ τινι σκέπῃ παρακαλυπτόμενον, ὅπως εὔληπτον εἴη πρὸς βορὰν θηρίοις πᾶσι καὶ πετεινοῖς· ὅπερ δυνατὸν κατὰ τεθνεῶτος γενέσθαι, τοῦτο τέως ποιείσθω· ἄταφος προκείσθω, καὶ τῆς νενομισμένης ὁσίας ἄμοιρος.» Ἔκειτο δὴ τῷ δοκεῖν πρὸς ἀτιμίαν ἔκθετον καὶ ἄταφον τὸ πολύτιμον τοῦ πολυάθλου μάρτυρος λείψανον κατὰ τὸ ἀθέμιτον τοῦ τυράννου πρόσταγμα, οὐκ ἐφεδρεύοντός τινος ἢ παραφυλάσσοντος, ἢ δημίου τυχὸν χρήμασι διαφθαρέντος, ἢ καὶ φίλων τινῶν τῶν τοῦ κακόφρονος, οὔτε μὴν χριστιανῶν τινος, ἢ φύσεως οἴκτῳ, ἢ τοῦ εὐσεβοῦς χάριν ἔρωτος ἐξαιτήσασθαι δυνηθέντος καὶ συγκομίσαι πρὸς ταφήν, ἵν' ἔχοι μάρτυρα πρέσβυν ἐξαίρετον εἰς εὐκταίαν ἀντίληψιν.

43. Διατί δὲ τυχὸν ἐκωλύθη τινῶν ἐπ' αὐτῷ παρεῖναι παρὰ φυλακῇ καὶ θεραπείᾳ θνητῶν; ὅπως ἀγγελικῇ καὶ θείᾳ δορυφορίᾳ κεχρῆσθαι νομισθείη πρὸς παραφύλαξιν τὸ μαρτυρικὸν σῶμα τοῦ μάρτυρος. Ὅμως μέντοι παρὰ Θεοῦ πέμπεται τό τε κόραξ καλούμενον ὄρνεον, τὸ ἐν πετεινοῖς ἀργότατον καὶ ὀκνηρότατον, ὅπερ ἐκ τοῦ σύνεγγυς παρακαθεζόμενον τὴν σαρκοφάγον φύσιν, ὥσπερ ἐπιλαθόμενον, τῷ ζοφώδει εἴδει καὶ τῷ μελανῷ τοῦ χρώματος, τὴν κηδείαν τοῦ λειψάνου καὶ φυλακὴν | ἐπεποίητο. Καὶ ὥσπερ ἐσθῆτα μέλαιναν τὴν οἰκείαν ἀμ- 163.
φιασάμενον χροιάν, τὸ πένθος ἐπεδείκνυτο, τὰ δὲ ἐπιφοιτῶντα σαρκοβόρα ὄρνεα, μέγιστα ὄντα, τοῖς πτεροῖς ἐπιτρέχον ῥᾷστα ἀπεδίωκεν. Ἐπελθόντα δὲ καὶ λύκον αἱμοβόρον τῷ σώματι, τῇ αἰφνιδίῳ ἐπιδρομῇ θᾶττον ἐξεδίωξεν. Ὁ δὲ λύκος ἐπικάμψας τὸν αὐχένα, καὶ οὐ τὴν ὁρμὴν τοῦ κόρακος, ἀλλὰ τὴν

πρόσοψιν τοῦ κειμένου καταπλαγεὶς, συνεστάλη καὶ ᾤχετο. Πιστεύω δὲ ὅτι ἀγγελικῆς ἐφεδρείας αἰσθόμενος πρόνοιαν ἀπεπάγη τῷ δέει. Τοιοῦτον ἡμῖν ἡ Παλαιὰ διὰ τῆς ἱστορίας θαῦμα παρίστησιν, ἡνίκα τὸν Θεσβίτην Ἡλίαν ἐν ἐρήμῳ διατρίβοντα διὰ τῆς τοῦ ὁμοίου πετεινοῦ διακονίας τὴν τροφὴν ὁ Θεὸς παραδόξως ἐπεχορήγει (γ'. Βσ. ιζ'. 6), νῦν δὲ παραδοξότερον ἔργον ἐκτελῶν φαίνεται.

44. Τῷ γὰρ αὐτῷ προστάγματι τὰς προσηκούσας θεραπείας θαμβητικῶς ἐξετέλει τῷ μαρτυρικῷ σώματι, πρὸς ὅπερ ὑπερβαλλόντως καταπληττόμενος ὁ δείλαιος Δατιανὸς, καὶ διαπορούμενος, « φεῦ! ἔφασκεν, οὔτε νεκροῦ τούτου γεγονότος περιγενέσθαι δύναμαι! ἐκ δὲ τοῦ ἐναντίου τῇ ἐμῇ χαλεπότητι μᾶλλον ἐπιδοξότερος ἀποδείκνυται. Ἐπεὶ οὖν οὐ δυνατὸν κατὰ γῆν ἀναλωθῆναι τὸ τούτου σῶμα, τῷ πελάγει λοιπὸν ὑποβρύχιον παραπεμπέσθω· τὸ τῆς νίκης αὐτοῦ μεγαλοπρεπὲς, κἂν ἡ θάλασσα συγκαλυψάτω, ὅπως ἑκάστης ἡμέρας μὴ πάντων ὑπ' ὄψιν γέλως γίνωμαι. Ἐμβληθήτω τοιγαροῦν ἐν ῥουκούλῳ (ἤτοι δοχείῳ τινὶ ἐπιμήκει καὶ στενῷ πλεκτῷ σπυριδωτῷ), λίθοι δὲ βαρύτατοι συνδεθήτωσαν αὐτῷ ἐσπαργανωμένῳ· ὅν περ ἐν ἀκατίῳ λαβόντες οἱ ναυτικοὶ, ὁπηνίκα σταδίους ὅτι πλείστους ἐληλακότες τύχωσι πρὸς τὸ τῆς θαλάσσης πέλαγος, ἐκριψάτωσαν κατὰ τῶν κυμάτων τῷ βυθῷ παραπεμπόμενον, ὅπως ἰχθύων παρανάλωμα γένηται, εἴπου τι τῶν σαρκῶν αὐτοῦ
164. μέλος ἀσπάρακτον ὑπολέλειπται. » Ὡς | δὲ συμβληθὲν τὸ λείψανον τοῦ ἀθλητοῦ κατηγγίσθη εἰς τὸν λεγόμενον ῥούκουλον, αὐτὸς αὐτὸ Δατιανὸς δι' ἑαυτοῦ ῥαφαῖς ἀρραγεστάταις κατησφαλίσατο, ὡς δοκεῖν πεφοβῆσθαι μήπου δραπετεύσῃ τὸ τοιοῦτο λείψανον καὶ κενὸν καταλείψῃ τὸν ῥούκουλον. Ἐπὶ τούτοις παρελθών τις ἀνὴρ μιαρὸς τὴν ψυχὴν καὶ τὴν γνώμην λοιμὸς, Εὐμόρφιος τοὔνομα, καθυπέσχετο τῷ τυράννῳ δι' οἰκείων ναυτῶν ἐκτελέσαι τὸ αὐτοῦ καταθύμιον. Οἳ, καὶ παραλαβόν-

τες τὸ πολύτιμον λείψανον, ἐνέβαλον ἐν ἀκατίῳ, καὶ ἐπὶ τοσοῦτον τοῖς διαστήμασιν ἤλασαν κατὰ τὸ πέλαγος, ὥστε τοὺς αἰγιαλοὺς σὺν τοῖς ὄρεσι τῆς τῶν ὀφθαλμῶν βολῆς ἀποκρύψαι· κἀκεῖ βυθίσαντες αὐτὸ πρὸς Δατιανὸν ἐπανήεσαν φαιδροὶ τοῖς προσώποις, χαρᾶς ἐπικομιζόμενοι δῆθεν εὐαγγέλια καὶ ναυτικῶς παιανίζοντες, ὡς ἤδη δι' αὐτῶν ἀνάρπαστον γεγονότα τὸν Βικέντιον.

45. Ἀλλὰ γὰρ οὐκ ἠμέλλησεν ἡ θεία πρόνοια τοῦ συνήθους καὶ νῦν ἐπιδείξασθαι θαυμάσια, τιμῶσα κἀν τούτῳ τὸν οἰκεῖον θεράποντα. Πρὶν ἢ γὰρ ἐπανελθεῖν ἐπὶ τὴν ξηρὰν τοὺς καταποντιστὰς τοῦ μαρτυρικοῦ λειψάνου, προέλαβε τὸ αὐτὸ λείψανον καὶ εὑρέθη ἐπὶ τὸν αἰγιαλὸν προκείμενον· ὅπερ πρὸ τῶν ὀφθαλμῶν ὁρῶντες, καὶ τὴν ὀφειλομένην τιμὴν τῆς ταφῆς ἐξαιτούμενον, ἐξέστησαν, καὶ φόβῳ πολλῷ περιληφθέντες, ἀφέντες αὐτὸ θᾶττον ἀπῆλθον. Ἀνδρὶ δέ τινι καθ' ὕπνους ἐμφανισθεὶς προσυπέμνησεν ὁ μάρτυς, προτρεπόμενος ἀνακομίσασθαι τὸ λείψανον αὐτοῦ, φανερώσας αὐτῷ καὶ αὐτὸν τὸν τόπον, ὅπου ἔκειτο. Ἀλλ' ἐπειδὴ ὁ τοιοῦτος φόβῳ τοῦ ἄρχοντος ἀργότερός τε καὶ ἄχρηστος περὶ τὴν ἔρευναν τοῦ λειψάνου γεγένητο, ἐπί τινα πάλιν χήραν ἔρχεται προβεβηκυῖαν τοῖς ἔτεσι καὶ ἁγιότητι συντεθραμμένην· ἣν ὡσαύτως ὑπομνήσας δι' ὀνείρατος, δίδωσι σημεῖον καὶ ταύτῃ, δηλῶν ἔνθα ὑπὸ τῇ ψάμμῳ τὸ σῶμα ἔκειτο τεθαμμένον, τῇ ἐπαμήσει | καὶ ἐπιχύσει 164.
τοῦ πράου καὶ γαληνοῦ κύματος.

46. Ἐτάφη μέντοι πρῶτον ὁ γενναῖος ἀγωνιστὴς τοῦ Χριστοῦ Βικέντιος ἐν τῷ αἰγιαλῷ καλυφθεὶς ὑπὸ τῆς ψάμμου, οὐ μὴν ἀλλὰ καὶ ἡ προλεχθεῖσα πρεσβῦτις ἐκείνη καὶ χριστιανικωτάτη χήρα, περιερχομένη τοὺς αἰγιαλοὺς ἀναζητοῦσά τε τὰ ἀποκαλυφθέντα ταύτῃ σημεῖα, καὶ τὸ ζητούμενον εὑροῦσα, εἰς οἶκον ἐπάξιον κατέθετο τὸ σεβάσμιον λείψανον τοῦ μάρτυρος. Αὖθις δὲ σὺν πολυτελεῖ ταφῇ σεπτῶς ἀνετέθη τῷ Θεῷ

ἐν τῷ θείῳ θυσιαστηρίῳ τοῦ οἰκοδομηθέντος ναοῦ ἐπὶ τῷ σεπτῷ ὀνόματι αὐτοῦ. Τελεῖται δὲ ἡ πολυύμνητος μνήμη τοῦ πολυάθλου ἱερομάρτυρος Βικεντίου κατὰ τὴν ἑνδεκάτην ἡμέραν τοῦ Νοεμβρίου μηνὸς, καθ' ἣν καὶ τῆς ἀθλήσεως τὸν ἀοίδιμον ἐτέλεσεν, ἐν ᾗ συμπανηγυρίζειν παρειλήφαμεν, καὶ τὴν λαμπρὰν ἑορτὴν τῶν μεγάλων μαρτύρων Μηνᾶ καὶ Βίκτωρος καὶ τῆς τούτου συναθλοφόρου Στεφανίδος τῆς φερωνύμως στεφανηφόρου· ὧν ταῖς εὐπροσδέκτοις πρεσβείαις ῥυσθήειμεν πάσης ὀργῆς, πάσης περιστάσεως, πάσης κακώσεως, καὶ τῆς μελλούσης αἰωνιζούσης κολάσεως, Δέσποτα Πάτερ παντοκράτορ καὶ Θεὲ, Δέσποτα Υἱὲ Λόγε καὶ Θεὲ, Δέσποτα Παράκλητε καὶ Θεὲ, μία θεότης, μία βασιλεία καὶ μία δύναμις· ὅτι σοὶ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΜΗΝΑ.

(Ἐκ τοῦ αὐτοῦ κώδικος φύλλ. 141.)

1. Προειρηκότος ἑτέρου. Φιλοῦντός ἐστι τὰ τοῦ προλαβόντος ἐγκλήματα, καὶ τὴν παρ' ἡμῶν ζητοῦντος διάθεσιν· τῆς γὰρ παρὰ τῶν μισούντων κολακείας, τὰ παρὰ τῶν φιλούντων ἐγκλήματα κρείττονα· «ἀξιοπιστότερα γάρ φησι τραύματα φίλων, ἢ ἑκούσια φιλήματα ἐχθρῶν (Χρυσ. εἰς Εὐτρ.)» Ὁ μὲν γὰρ μισῶν, κρύπτει πολλάκις φιλήμασι τὸν τῆς πονηρίας ἰὸν, ὁ φιλῶν δὲ, πεπαρρησιασμένος ἐλέγχων, γνησίαν ἀπαιτεῖ τὴν διάθεσιν· οὐ μὴν οὐδὲ τοῖς ἐγκεκλημένοις τὰ τῶν ἐγκλημάτων ἀναπολόγητα. Ἔστι γὰρ καὶ τῶν συνήθων καλῶν προτιμῆσαι τὰ ξένα. Ἀλλὰ ταῦτα μὲν περὶ τῶν τοῦ προλαβόντος ῥημάτων, ἴσως τισὶ

τῶν παρόντων οὐ καλῶς αὐτῷ προειρῆσθαι δοκούντων· (ἐγὼ δὲ τὴν ὑπόθεσιν τῆς ἐνεστώσης πανηγύρεως βλέπων), ἐξ ἔθνους γὰρ ἡμῖν Αἰγυπτίων ὁ σήμερον κηρυττόμενος θησαυρὸς, τὴν προφητικὴν ἐκείνην φωνὴν ἀναλαμβάνω εἰς ἔννοιαν· εὐλογητὸς ὁ Θεὸς ὁ ποιῶν πάντα καὶ μετασκευάζων (Ἀμ. ε΄. 8). Οὐ γὰρ ἄν ποτε τὰ σφοδρὰ πρὸς παράταξιν ἔθνη πρὸς εἰρήνης ἐπιθυμίαν ἀφίκοιτο, μή τινος αὐτοὺς ἰσχύος ἐκπληξάσης ἀμάχου, δι' ἣν τὸ φιλοπόλεμον ῥίψαντες, ὑποταγὴν ἀντηγάπησαν. Πόλεμός τις τοῖς τοῦ κόσμου γένεσι πρὸς τὸν Θεὸν συνειστήκει, καὶ πάντες κοινῇ τὸν τῶν ὅλων συνηθέτουν Δεσπότην, καρπούμενοι μὲν τῶν ἀγαθῶν τῶν παρ' αὐτοῦ τὴν ἀπόλαυσιν, εἰς δαίμονας δὲ τὴν εἰς αὐτὸν εὐχαριστίαν ἐκχέοντες· καὶ ἵνα μὴ τὴν τοῦ βίου παντὸς ἡ γλῶσσα περιιοῦσα δυσσέβειαν, καὶ τὰ τοῦ κόσμου παντὸς διηγουμένη κακὰ, πολυλογίας πλησμονὴν εἰσαγάγῃ, τὸ παρὸν σκοπήσωμεν τρόπαιον, ἐξ οἵας τῷ Χριστῷ κατωρθώθη πατρίδος.

2. Οὐκοῦν ἐξ Αἰγύπτου ὁ σήμερον τῷ Χριστῷ προσφερόμενος | στέφανος· οἵα δὲ πρὸς τὸ θεῖον τὸ πρότερον Αἴγυπτος, καὶ 142.
πηλίκην ἔχουσα πρὸς εὐσέβειαν ἔχθραν, μὴ ταῖς τῶν ἀποστόλων διδασκώμεθα βίβλοις (ταύτας γὰρ ἴσως ἄν τις ὑποπτεύσειεν ἄπιστος), ἀλλὰ ταῖς κρατουμέναις παρὰ τοῖς ἐχθροῖς τῶν ἀποστόλων γραφαῖς, ἐν αἷς, τούτων μὲν ὁ Θεὸς τὴν Αἴγυπτον ἔγκειται, ἡ δὲ φιλονεικοτέρα ταῖς πληγαῖς ἐγίνετο. Μετεπλάττετο γὰρ Νεῖλος τῇ ῥάβδῳ τυπτόμενος, ὁ δὲ τῶν Αἰγυπτίων αὐχὴν ἀνυπότακτος. Ἐπεστράτευον βάτραχοι, τῷ κτίστῃ συμπράττοντες, Αἴγυπτος δὲ τὴν γνώμην οὐκ ἠλλοιοῦτο· κατετόξευον σκνίπες τοῖς δόγμασιν ὥσπερ βέλεσι, τοῦ δὲ τῶν Αἰγυπτίων οὐ καθικνοῦντο σκληροῦ. Ἐπόρθουν ἀκρίδες στρατοπέδου πικρότερον, ἡ δὲ τῆς ἀσεβείας οὐκ ἀνηλοῦτο φορά· πυρώδει κατηντλοῦντο χαλάζῃ, ἡ δὲ τῆς θεομαχίας φλεγμονὴ μεμενήκει. Τὰς τῶν τέκνων ἀπαρχὰς ἐθερίζοντο, καὶ τὸν τύ-

πτοντα Θεὸν προσκυνεῖν ἀπηξίουν. Αἰδοῦμαι μακρολογεῖν τὰ τῆς Αἰγύπτου κακὰ, τῶν τῆς Αἰγύπτου σήμερον ἀγαθῶν ἀπολαύων. Αἰσχύνομαι τὴν παλαιὰν ἐκείνην Αἰγυπτίοις ὀνειδίζειν δυσσέβειαν ἀφ' ὧν σήμερον μύροις δικαιοσύνης τρυφῶ· μύρα γὰρ τοῦ μάρτυρος ὀνομάζω τὰ πάθη τῷ τῶν εἰδώλων ἀντιπνεύσαντα τρόμῳ, τὴν τῶν βωμῶν δυσοσμίαν τῇ τῆς θεογνωσίας εὐωδίᾳ νενικηκότα. Μάτην εἰς αὐτὸν μαστίζων ἀνηλίσκετο πλῆθος· τῆς γὰρ τῶν πληγῶν ὀδύνης ὁ τῆς ἀρνήσεως αὐτῷ παρῆν ὀδυνηρότερος φόβος. Εἰς κενὸν ἡ τῶν δημίων ἐταράττετο ζάλη· μεταξὺ γὰρ τῆς ζάλης παρεισιὼν ὁ Χριστὸς, τοῖς τοῦ μάρτυρος λογισμοῖς ἐπεφθέγγετο· θαρσεῖτε ἐγώ εἰμι μὴ φοβεῖσθε (Ματθ. ιδ'. 27). Ψυχρὸς αὐτῷ πάλιν ἀνθράκων εὐτρεπισμός· ποταμὸς γὰρ ἔνδοθεν τῆς εἰς Χριστὸν ἀγάπης ἀνέβλυζεν. Ὅταν γὰρ ἔρως Θεοῦ τὴν ψυχὴν καταλάβῃ,
142. οὐδὲν αὐτῇ τῶν ἐπὶ | γῆς οὐ φοβερῶν, οὐ τερπνῶν ἐν φροντίσιν, οὐδὲν αὐτὴν τῆς θείας ἀποσπᾷ θεωρίας. Ἂν πλοῦτον τῇ τοιαύτῃ ψυχῇ δυσσεβὴς προσαγάγῃ, τῆς ἐκεῖθεν αὐτὴν ἀποσπῶν θεωρίας, κεκράξεται πρὸς αὐτὸν τὰ τοῦ Πέτρου· «τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν (Πξ. η'. 20).» Ἂν πειρασμὸς ἀσεβεῖν ἐκβιάζηται, βοηθήσεται καὶ πρὸς τοῦτον τὰ τοῦ Παύλου· «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ (Ῥωμ. η'. 35);»

3. Τοῦτον ὁ μακάριος Παῦλος ἠράσθη τοῦ θείου κάλλους τὸν ἔρωτα, καὶ παρὰ πάντων ἀποσπασθῆναι τῆς εἰς αὐτὸν θεωρίας ἐκβιαζόμενος, νενίκηκεν ἅπαντας. Καὶ ὅρα τοῦ πόθου παρὰ Παύλου τὴν ὑπερβολήν· ζῶ, φησίν, οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστὸς (Γαλ. β'. 20). Εἰσῆλθεν ὁ ποθούμενος, καὶ γέγονεν ἀντὶ ψυχῆς τῷ ποθοῦντι. Διὰ τοῦτο πρὸς ἅπαντας τοὺς πολεμοῦντας ἐκήρυττε· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; πρέπουσα ταῖς τῶν εὐγνωμόνων ψυχαῖς ἀχώριστος εἰς Χριστὸν ἡ διάθεσις· ὃν ἡ τῆς

θεότητος ἀξία οὐκ ἐποίησε φύσιν ἐπαισχυνθῆναι τὴν παθητὴν, τὴν θνητὴν, τὴν ἀνθρωπίνοις ὑποκειμένην πολέμοις· τοῦτο γοῦν ἀρτίως ὑμνολογῶν ἀνεβόα· «τοῦτο γάρ φησι φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ (Φλ. β'. 5)· οὕτω φησὶν οἱ μεγάλοι, τὰ τῶν μικρῶν οἰκειοῦσθε, ὡς ὁ Δεσπότης Χριστὸς τὰ ἡμέτερα. Τοῦτο γάρ φησι φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών.» Καλῶς τὸ ἐκένωσεν· ἐπειδὴ γὰρ ἔθος τῇ θείᾳ Γραφῇ τὴν κένωσιν ἐπὶ τοῦ μηδενὸς φαινομένου τιθέναι. Τίθησι τὴν λέξιν ὁ μακάριος Παῦλος, ὥστε παραστῆσαι τῆς φιλανθρωπίας τῆς θείας τὸ ὑπερβάλλον. Ὡς ὅταν ὁ αὐτὸς πάλιν λέγει Παῦλος· κεκένωται ἡ πίστις, κατήργηται ἡ ἐπαγγελία (Ῥωμ. δ'. 14). Κεκένωται ἡ πίστις ἀντὶ τοῦ οὐδὲν οὖσα ἐδείχθη. Εἶτα πάλιν ἑτέρωθι· «κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ | δὲ 143.
καὶ ἡ πίστις ὑμῶν (α'. Κρ. ιε'. 14). Ἀντὶ τοῦ οὐδὲν ἡ πίστις οὖσα ἐδείχθη· οὕτω καὶ νῦν ἑαυτὸν ἐκένωσεν, οὐδὲν ὄντα φησὶ κατὰ τὸ φαινόμενον ἔδειξεν. Ἐπειδὴ κατὰ τὸ κεκρυμμένον τῶν πάντων καθειστήκει Δεσπότης. Πρέπουσα τοίνυν τῇ τοιαύτῃ φιλανθρωπίᾳ γνησία περὶ αὐτὸν ἡ διάθεσις, ἣν καὶ ἡμεῖς ἀναλάβωμεν, ὅπως ἂν σχοίημεν καὶ ἡμεῖς τὰ τοῦ Παύλου σὺν παῤῥησίᾳ βοᾶν· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

(*) ΜΕΤΑΦΡΑΣΙΣ ΤΗΣ ΑΘΛΗΣΕΩΣ, ΗΤΟΙ ΟΜΟΛΟΓΙΑΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΟΡΕΣΤΟΥ, ΜΑΡΤΥΡΗΣΑΝΤΟΣ ΕΝ ΤΥΑΝΟΙΣ ΤΗΣ ΚΑΠΠΑΔΟΚΩΝ ΕΠΑΡΧΙΑΣ.

1. Διοκλητιανὸς ὁ παράνομος, τὴν βασίλειον ἐξουσίαν τυραννικῶς διαρπάσας, τυραννικώτερον τὸν τρόπον καὶ κατὰ πάντων μὲν τῶν ὑπηκόων ἐκέκτητο, ἐξαιρέτως δὲ τῇ κατὰ χριστιανῶν ἀποτομίᾳ μανικώτερον χρησάμενος, τὸν κατ' αὐτῶν βαρύτατον καὶ χαλεπώτατον διωγμὸν ἐδογμάτισεν, κατὰ πᾶσαν ἐξαποστείλας ἐπαρχίαν καὶ πόλιν ἡγεμόνας καὶ δικαστάς, οὓς ἂν ἐδοκίμασεν ἀπηνεστέρους τῶν ἄλλων ὄντας, καὶ τοὺς πολλοὺς ὠμότητι ὑπερβάλλοντας, πρὸς τὴν οἰκείαν ἀρέσκειαν καὶ κακότροπον βούλησιν σύνδρομον ἔχοντας τὴν σπουδὴν καὶ διέγερσιν, ἐξ ὧν καὶ Μάξιμος ἦν, τὸ ἐξαίρετον ἐν πάσῃ πονηρίᾳ καὶ ῥᾳδιουργίᾳ ἀπενεγκάμενος ὄνομα. Οὗτος τὴν ἡγεμονίαν πάσης τῆς Κιλικίας καὶ Καππαδοκίας παραλαβών, καὶ τὴν ἐξουσίαν λαβὼν κατὰ παντὸς τοῦ τῶν χριστιανῶν γένους, ἐξῆλθεν, καθάπερ τις θὴρ ἀνήμερος, μετὰ πολλῆς ἀπειλῆς ὠρυόμενος καὶ ζητῶν, τίνα καταπίει τῶν εἰς Χριστὸν τὸν ἀληθῆ Θεὸν πεπιστευκότων.

2. Καταλαβόντι τοιγαροῦν αὐτῷ τὴν τῶν Τυανέων μητρόπολιν, καταμηνύεται παρὰ τῶν ὑπασπιστῶν τῆς ἀσεβείας τὰ περὶ τῆς πολιτείας τοῦ μακαριωτάτου θεράποντος Χριστοῦ Ὀρέστου, λεγόντων τῶν ἐνδιαβαλόντων· «ὅτι πέρ ἐστί τις ἐνταῦθα νεανίσκος, τοὔνομα μὲν Ὀρέστης, τὴν θρησκείαν δὲ χρι-

(*) Μαρκ. κῶδιξ 349. φύλλ. 125, αἰῶν. XII. Zan.

στιανὸς καὶ τὴν ἐπιστήμην ἰατρὸς, ὅστις οὐ παύεται καθ' ἑκά-
στην ἡμέραν | ἀναπείθων πάντας τοὺς ἐν τῇ πόλει, μὴ τοῖς 125.
θεοῖς θυσίαν προσφέρειν, ἀλλ' ἕνα μόνον εἰδέναι Θεὸν τὸν λεγόμενον Χριστὸν, κἀκείνῳ πιστεύειν καὶ προσκυνεῖν. Ταύτην γὰρ εἶχε τὴν θρησκείαν πατροπαράδοτον, ὑπὸ τῶν οἰκείων γονέων κατηχηθεὶς καὶ διδαχθεὶς τὰ τῶν χριστιανῶν μυστήρια, ἅπερ παραλαβὼν, ὡς βέβαια τυγχάνοντα καὶ ἀναντίῤῥητα, οὐκ αὐτὸς μόνον ἀσφαλῶς παραφυλάττει, ἀλλὰ καὶ πάντας ἐπιμελῶς ἐκδιδάσκει τὰ αὐτὰ φρονεῖν τε καὶ ποιεῖν.» Ὡς οὖν κατήκοος γέγονε τούτων ὁ Μάξιμος, ἀποστείλας παρευθὺ στρατιώτας μετὰ πολλῆς τῆς ταχυτῆτος, τὸν ἅγιον παρέστησε πρὸ τοῦ βήματος καί φησι πρὸς αὐτόν· «τί σοί ἐστιν ὄνομα; τί δὲ ἐπιτήδευμα; ὁποῖόν τε τὸ γένος καὶ τὸ σέβας; καὶ ὁποίας ὥρμησαι πατρίδος καὶ τύχης; συντόμως ἀπάγγειλον· οὐ γὰρ μικρῶς κεκινήμεθα κατὰ σοῦ, τὰ περὶ σοῦ ἀκούσαντες. Μετὰ πάσης οὖν παῤῥησίας πάντα τὰ κατὰ σὲ σαφήνισον ἡμῖν.» Ὁ ἅγιος Ὀρέστης εἶπεν· «ἡ ἐμὴ παῤῥησία καὶ ἐλπὶς καὶ τὰ ἄλλα πάντα τὰ κατ' ἐμὲ, ἅπερ αὐτὸς ἐπερωτᾷς, Χριστός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· ἀντὶ πάντων γάρ μοι μόνος αὐτός ἐστι καὶ πατρὶς, καὶ τύχη, καὶ σέβας, καὶ ὄνομα. Ἐν αὐτῷ οὖν παῤῥησιαζόμενος, ἀνεπαισχύντως σὺν ἀληθείᾳ πάσῃ παρέστηκά σοι σήμερον τὴν καλὴν ὁμολογίαν ἀναγγέλων· ὅτι χριστιανὸς ἀληθινὸς καὶ ἤμην ἀπὸ προγόνων καὶ μέχρι τοῦ παρόντος εἰμὶ, καὶ ἕως αἰῶνος ἔσομαι.»

3. Ὁ ἡγεμὼν ἀπεκρίνατο· «ἐπειδὴ προπετείᾳ περιττῇ παῤῥησιασάμενος, προέφθασας ἑαυτὸν ἀποκαλέσαι χριστιανὸν, καὶ Χριστὸν ὁμολογῆσαι μόνον Θεὸν, ἐκ προοιμίων ἤδη τοῖς καταδικάζουσι νόμοις τοὺς ἀπειθεῖς ὑπεύθυνος γέγονας. Ἀνασφήλας οὖν ἐκ τῆς προσπεσούσης σοι ἀπειθείας καὶ τὸ συνοῖσον ἀναλογισάμενος, πειθήνιον ἀνελέσθαι θέλησον φρόνημα καὶ σέβας ὀφειλόμενον ἀπονεῖμαι τοῖς ἀθανάτοις θεοῖς· μήπως, ἐπιμένων

126. ἐπὶ πλέον | τῇ ματαίᾳ πεισμονῇ ταύτῃ, διὰ πολυτρόπων κολαστηρίων κακηγκάκως τοῦ ζῆν ἀπαλλαγῆς.» Ὁ ἅγιος Ὀρέστης εἶπεν· «ἐμοὶ καύχημα μέγα καὶ κλεὸς περίδοξον πέφυκεν ἡ παῤῥησία αὕτη τῆς ἐν Χριστῷ καλῆς ὁμολογίας, ἣν σοὶ προπέτειαν ἀναιδῶς ἀπεκάλεσας· τῶν δὲ παρὰ σοῦ προσαγορευομένων θεῶν ἡ θυσία ὡς μίασμα καὶ βδέλυγμά μοι λογίζεται. Θύειν γὰρ ἐγὼ ἐκ νεαρᾶς ἡλικίας μεμάθηκα Θεῷ τῷ ζῶντι θυσίαν καθαρὰν, τὴν λογικὴν λατρείαν, ἐν πνεύματι συντετριμμένῳ καὶ τεταπεινωμένῃ καρδίᾳ· κιβδήλοις δὲ θεοῖς καὶ κωφοῖς ξοάνοις, ὑπὸ χειρῶν ἀνθρώπων κατασκευασθεῖσιν, οὐκ ἀνέξομαί ποτε θυσίαν προσενεγκεῖν ἢ προσκύνησιν ἀπονεῖμαι, περὶ ὧν ἐν ἡμετέραις ἱεραῖς Γραφαῖς γέγραπται· θεοὶ οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἀπὸ προσώπου πάσης τῆς γῆς (Ἱερ. ι'. 10).»

4. Ὁ ἡγεμὼν εἶπεν· «ὁρῶ σε τῇ μὲν ἡλικίᾳ κεκοσμημένον, τῇ δὲ τῆς ὥρας εὐπρεπείᾳ κεκαλλωπισμένον, λόγοις τε φρονήσεως σεσοφισμένον ἐν συνέσει καὶ τῇ τῆς ἰατρικῆς ἐμπειρίας ἐπιστήμῃ κατηρτισμένον, καὶ διὰ ταῦτα φείδομαί σου, κηδόμενος ὥσπερ ἰδίου τέκνου. Ὀφείλεις οὖν καὶ αὐτὸς εὐσυνέτῳ τάξει καὶ ἀκολουθίᾳ χρώμενος, πρὸς τὰ ἐπερωτώμενα ποιεῖσθαι καὶ τὴν ἀπόκρισιν, καὶ ὡς πατρὶ τέκνον τὴν προσήκουσαν αἰδῶ μοι προσνέμειν. Φράσον οὖν ἡμῖν τὴν τοῦ σοῦ ὀνόματος προσηγορίαν, τήν τε τοῦ ἐπιτηδεύματος μέθοδον, καὶ τὴν τῶν σῶν γεννητόρων θρησκείαν.» Ὁ ἅγιος Ὀρέστης εἶπεν· «ἐγὼ μὲν ἤδη δι' ὀλίγων ῥημάτων, ὦ δικαστὰ, τὴν ἀναγκαίαν πᾶσαν ἀπόκρισιν ἐποιησάμην πρὸς σέ. Ἐπειδὴ δὲ μαθεῖν ἐπιζητεῖς ἔτι σαφέστερον, τίς μὲν ἡ ἐμὴ προσηγορία καὶ ἐπιστήμη, τίς δὲ τῶν ἐμῶν γεννητόρων ἡ φρόνησις καὶ θρησκεία, καὶ περὶ τούτων αὖθις ἀπολογήσομαι· ὡς ἐκεῖνοι μὲν ἐκ προγόνων χριστιανοὶ τυγχάνοντες καὶ τὰ χριστιανῶν ὀρθῶς
126. φρονοῦντες, χριστιανικῷ | τρόπῳ καὶ βίῳ κἀμὲ παιδοτριβήσαν-

τες παιδόθεν, Ὀρέστην προσωνόμασαν, ἀρεστὸν ὡς ἄν τις εἴπῃ παρωνύμως τιθέμενοι· ὡς ἂν διὰ μὲν τῆς Θεόθεν δοθείσης μοι θεραπευτικῆς ἐπιστήμης, ἀῤῥωστίαν πᾶσαν ἐξ ἀνθρώπων ἀρῶ, διὰ δὲ τῆς ἐπιχορηγουμένης μοι χάριτι θείᾳ συνέσεως, ἀρέσαι σπουδάσω Θεῷ ζῶντι καὶ ἀληθινῷ, ἀνεξάρνητον τὴν ὁμολογίαν τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ μέχρι τέλους διατηρήσας. Ὅπερ οὖν βούλει ποιεῖν κατ' ἐμοῦ τάχιον ποίησον. Ἐγὼ γὰρ δοῦλός εἰμι τοῦ Δεσπότου μου Ἰησοῦ Χριστοῦ, καὶ αὐτὸν μόνον ἐπίσταμαι Θεὸν ἀληθινὸν, καὶ τὸν ὑπὲρ αὐτοῦ θάνατον πάσης ζωῆς καὶ τρυφῆς καὶ ἡδονῆς ἡδύτερον ἀποδέχομαι.»

5. Μάξιμος ἡγεμὼν εἶπεν· «ἀπονενοημένε καὶ πάντων ἀνθρώπων ἀθλιώτατε, πῶς οὕτω προπετῶς ἀποφθέγγῃ, φρεναπατῶν σεαυτὸν ἐν τῷ κηρύττειν Θεὸν τὸν Χριστὸν, ὃν Ἰουδαίων παῖδες, ὡς κακοῦργον, σταυρῷ κατεδίκασαν;» Ὁ ἅγιος Ὀρέστης εἶπεν· «εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ καὶ τὴν δύναμιν τοῦ σταυρωθέντος Χριστοῦ, κατέλειπες ἂν τὴν πολύθεον πλάνην καὶ σαθρὰν θρησκείαν τῶν εἰδώλων, καὶ αὐτὸν μόνον προσεκύνεις, τὸν ὄντως ὄντα Θεὸν ἐκ Θεοῦ ἀληθινοῦ, ἀόρατον ἐξ ἀοράτου, καὶ ἀΐδιον ἐξ ἀϊδίου, ὃς, τῇ ἰδίᾳ ἀγαθότητι καὶ φιλανθρωπίᾳ χρώμενος, τὴν ἡμετέραν φύσιν ἀφράστῳ τρόπῳ τῇ ἑαυτοῦ θεότητι ἥνωσεν, τῆς ἀπατηλῆς πλάνης ἐλευθερώσας τοῦ διαβόλου.» Ὁ ἡγεμὼν εἶπεν· «ὁρᾷς εἰς ὅσον ἀλαζονείας ἤλασας θράσος, ὥστε τολμῆσαι καταγοητεύειν τὰς ἐμὰς ἀκοὰς πολυπλόκοις ἀπάτης ἀποφθέγμασιν, τοῦ καταλιπεῖν με τοὺς ἀθανάτους θεοὺς καὶ προσελθεῖν τῷ ἐσταυρωμένῳ; ἀλλ' οὐκ ἐπιτεύξῃ τῆς δολιότητος ταύτης· οὐ γὰρ εὐριπίστῳ τινὶ καὶ κούφῳ πρὸς ἐξαπάτην ἐνέτυχες. Χαίρειν οὖν εἰπὼν πάσαις σου ταύταις ταῖς περιττολογίαις, θῦσον προσελθὼν τοῖς ἀθανάτοις θεοῖς, ὅπως, τὸ πρόσταγμα τῶν κρατούντων πληρώσας, τιμῆς μεγάλης ἀξιωθήσῃ, συγκάθεδρος | δεξιὸς ἐπὶ τῆς 127.
ἡμετέρας ἡγεμονίας γινόμενος.» Ὁ ἅγιος Ὀρέστης εἶπεν· «ἐ-

γώ, δικαστά, πολλάκις εἶπον, ἤδη καὶ νῦν λέγω, καὶ λέγων οὐδέποτε παύσομαι, ὅτι περ τὸν ἐμὸν εὐεργέτην καὶ Δεσπότην ἐπιγινώσκω Χριστὸν μόνον ἀληθῆ Θεὸν, καὶ αὐτῷ μόνῳ προσκυνῶ καὶ λατρεύω· δαιμονίοις δὲ καὶ ἰνδάλμασιν εἰδωλικοῖς μή μοι γένοιτό ποτε τοσοῦτον μανῆναι, ὥστε λατρείαν προσενεγκεῖν ἢ προσκύνησιν.»

6. Ὁ δὲ πεπλανημένος ἡγεμὼν, τοῖς παρεστῶσι τῆς ἀσεβείας ὑπηρέταις προσέταξεν, εἰπών· «προσαγάγετέ μοι τοῦτον ἐν τῷ ναῷ τῶν θεῶν, πορευομένῳ, ὅπως, ἰδὼν τὰ ἐν αὐτῷ κάλλη καὶ τὴν λαμπρότητα, μετὰ τῆς πρεπούσης προθυμίας προσελθὼν, θυσίαν προσενέγκῃ.» Ἦν δὲ ἅπας ὁ εἰδωλικὸς δόμος ἐκεῖνος ἰνδαλμάτων πολλῶν πεπληρωμένος χρυσῷ τε καὶ ἀργύρῳ περικεκοσμημένος. Ἔνθα τοῦ μάρτυρος εἰσενεχθέντος, λέγει πρὸς αὐτὸν ὁ ἡγεμών· «θῦσον τοῖς μεγίστοις θεοῖς, Ὀρέστα, τοῖς τὴν οἰκουμένην κυβερνῶσιν.» Ὁ ἅγιος Ὀρέστης εἶπεν· «πεπλάνησαι, ὦ ἡγεμὼν, εἰς ἀδόκιμον νοῦν ἐμπεσὼν, ὥστε μὴ δύνασθαι κατανοεῖν τὸ συμφέρον, καὶ διακρίνειν τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος. Οὗτοι γὰρ ὡς ὁρᾷς, οὓς θεοὺς καλεῖν οὐκ αἰσχύνῃ ἀνδριάντας ἀψύχους πρὸς ἐξαπάτην τῶν ἀνοήτων ἀνθρώπων, χερσὶ τεχνιτῶν κατεσκευασμένους, χαλκὸς μὲν καὶ ἄργυρος καὶ σίδηρός ἐστι τὸ βλεπόμενον, τὸ δὲ νοούμενον, δαίμονες ἀλάστορες οἱ δι' αὐτῶν λατρευόμενοι· οἷς ὀφθαλμοὶ μὲν καὶ στόμα, χεῖρές τε καὶ πόδες μετὰ τῶν ἄλλων αἰσθητηρίων περίκεινται, οὐδεμία δὲ πρόσεστι τούτοις ἐνέργεια. Πῶς γὰρ ἐξ ἀψύχων ὑλῶν συγκειμένοις, τοῖς μηδέποτε δεδεγμένοις δύναμιν αἰσθήσεως ζωτικῆς; πῶς δὲ καὶ κυβερνήτας οἰκουμένης ἀφρόνως ἀσεβῶν ἐπιγράφῃ τοῖς μὴ μόνον ἑταίροις, ἀλλ' οὐδὲ ἑαυτοῖς ἐκεχειρίαν τινὰ παρασχεῖν ἐξισχύοντας, ἀλλὰ τοὐναντίον τῆς ὑμετέρας μᾶλλον ἐπικουρίας δεομένοις;»

127. 7. Πρὸς ταῦτα διαπορούμενος ἀντειπεῖν | ὁ ἡγεμὼν λέγει

τῷ μάρτυρι· «τὰς μὲν περιττὰς ταύτας ἀντιθέσεις καὶ συζητήσεις ἐπὶ τοῦ παρόντος καταλιπόντες, ἄλλοις παραχωρήσωμεν, ἡμεῖς δὲ τῶν προσκειμένων ἀναγκαίων ὡς ἀπαραιτήτων ἔργων ἐχώμεθα. Δύο τοιγαροῦν ἐν ταὐτῷ προτεινομένων σοι σήμερον, τιμῆς καὶ ἀτιμίας, δωρεῶν καὶ κολαστηρίων, καὶ τὸ τελευταῖον τούτων, ζωῆς καὶ θανάτου, ὡς νουνεχὴς καὶ φρόνιμος τὰ χαριέστερα καὶ γλυκύτερα μᾶλλον τῶν λυπηρῶν καὶ πικραινόντων προτιμῆσαι βουλήθητι· καὶ προσελθὼν προθύμως θῦσον τοῖς θεοῖς, μήπως, ἀπαναινόμενος τοῦτο πρᾶξαι, πρόξενος σεαυτῷ γενήσῃ πολυτρόπων στρεβλωτηρίων καὶ βασανιστηρίων ἀνυποίστων, τῶν εἰς βίαιον θάνατον παραπεμπόντων.» Ὁ ἅγιος Ὀρέστης ἀπεκρίνατο· «ἔοικας, ὦ ἡγεμών, ὥσπερ ἄνανδρόν τινα καὶ δειλὸν καταπονεῖν με τούτοις τοῖς ῥήμασι· μὴ τοίνυν μελλήσῃς ἐπὶ πλεῖον ἀναβαλλόμενος, ἀλλὰ τὸ παριστάμενον τῷ σκοπῷ τῆς ματαίας βουλῆς σου πρᾶττε συντομώτερον, ὅπως γνῷς διὰ τῆς πείρας αὐτῆς τὴν δύναμιν τοῦ ἐνδυναμοῦντός με Δεσπότου μου Ἰησοῦ Χριστοῦ.»

8. Τότε δὴ θυμοῦ πολλοῦ πλησθεὶς ὁ ἡγεμὼν, ῥοπάλοις τύπτεσθαι τὸν μάρτυρα προσέταξεν ἀπηνῶς, τῶν δημίων ἐπιβοώντων· «μὴ μώραινε βλασφημῶν κατὰ τῶν ἀθανάτων θεῶν, ἀλλὰ πειθάρχει τοῖς προστάγμασι τῶν αὐτοκρατόρων.» Ἀνηλεῶς δὲ ῥαβδιζόμενος ὁ καρτερικὸς ἀδάμας ἐπὶ πολὺ, τὸ ὄμμα διάρας πρὸς οὐρανὸν, τὴν ἐκεῖθεν βοήθειαν μεγάλαις ἐπεκαλεῖτο κραυγαῖς, αἷς ὁ παράνομος ἡγεμὼν, ἐπὶ πλέον μαινόμενος, σφοδρότερον προσέταττε τοῦτον ῥαβδίζεσθαι, κατά τε τοῦ νώτου καὶ τῆς κοιλίας καὶ παντὸς τοῦ σώματος, ἐν παραλλαγῇ πλειόνων κεντυριώνων ῥοπάλοις ἁδροῖς χρωμένων, μέχρις ἂν τῇ ἀλλεπαλλήλῳ τῶν ῥάβδων πυκνότητι καὶ καταφορᾷ, τὰ σπλάγχνα αὐτοῦ | διαῤῥαγέντα, πρὸς γῆν διεσκορπίζε- 128.
το. Καὶ ἦν ἰδεῖν τὸν καρτερόψυχον ἐκεῖνον ἀδάμαντα τῆς ὑπομονῆς, καθάπερ ἄψυχον ἀνδριάντα, τὰς ἀνηκέστους αἰκίας

ἐκείνας ὑπέχοντα, καὶ ὥσπερ ἐν ἀλλοτρίῳ σώματι τὴν τιμωρίαν ὑπομένοντα.

9. Μετὰ δὲ ταύτην τὴν μιαιφονίας ἀνάπλεων κόλασιν, ἀνεθῆναι τὸν ἀθλητὴν μικρὸν προστάξας ὁ μιαρὸς δικαστὴς, ἐπειρᾶτο πάλιν δολίοις λόγοις πρὸς ἄρνησιν ὁ ἀνόητος τὸν ἐχέφρονα προτρεπόμενος. Ὁ δὲ πολὺς ἐν συνέσει καὶ σοφὸς ἐν φρονήσει, τῇ παραινέσει τοῦ παροιμιαστοῦ πειθόμενος, μὴ ἀποκρίνασθαι ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ παρεγγυῶντος (Παρμ. κϛ'. 4), οὐδεμίαν ἀπόκρισιν δέδωκε τῷ τυράννῳ· ὅς, τῷ ἐμφύτῳ θυμῷ μανικώτερον ἀναφλεγείς, ἐκέλευσεν ὀβελίσκοις πεπυρακτωμένοις τὸν νῶτον αὐτοῦ καταφλεχθῆναι, καὶ ὄξει δριμυτάτῳ, σὺν ἅλατι κεκραμένῳ, τὰς καταφλεχθείσας σάρκας ἐπιῤῥαίνεσθαι, τριχίνοις τε ῥάκεσι τὰς πληγὰς εὐτόνως ἀνατρίβεσθαι. Ἐν ταύταις οὖν ταῖς πολυωδύνοις βασάνοις γενναίως ὁ γεννάδας ἐγκαρτερῶν, ἦρε πρὸς οὐρανὸν τὰ ὄμματα καὶ προσηύξατο πρὸς Κύριον οὕτως εἰπών. « Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ τὴν σὴν δυναστείαν δείξας κατὰ τῶν ἀπειθησάντων τοῖς σοῖς προστάγμασι, καὶ τῶν μὲν Σοδομιτῶν τὰς πόλεις καταναλώσας πυρί, τῶν δὲ ἀγνωμόνων Ἰουδαίων τὰ κῶλα καταστρώσας ἐν τῇ ἐρήμῳ, ὁ τὴν σὴν κραταιὰν βοήθειαν ἐξαποστείλας ἐξ ὕψους ἁγίου σου, καὶ σώσας τοὺς σοὺς θεράποντας ἐξ ἀναγκῶν καὶ κινδύνων, πυρός τε καὶ θηρίων ἀνημέρων· αὐτὸς καὶ νῦν Δέσποτα πρόσχες εἰς τὴν ἀντίληψιν τοῦ δούλου σου, καὶ « ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν· καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν (πε'. 16)· καὶ ἀπολέσθωσαν, καὶ γνώτωσαν ὅτι σὺ Κύριος μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν (Ψαλ. πβ'. 17). »

128. Μετὰ δὲ ταύτην τὴν προσευχὴν ἐνεφύσησεν εἰς τὰ | πρόσωπα τῶν ἀκαθάρτων εἰδώλων, καὶ παραχρῆμα, πεσόντα, συνετρίβησαν, ὡσεὶ κονιορτὸς γενόμενα, κατὰ τὸ γεγραμμένον· ὃν ἐκρίπτει ἄνεμος ἀπὸ προσώπου τῆς γῆς (Ψαλμ. α'. 4).

10. Καὶ τούτου τοῦ μεγίστου θαύματος γεγενημένου λέγει ὁ ἅγιος πρὸς τὸν ἀσύνετον ἡγεμόνα· «ποῦ ἐστὶν ἡ δύναμις τῶν θεῶν σου, δικαστά; βλέπεις πῶς οὐκ ἠδυνήθησαν βοηθῆσαι αὐτοῖς, ἀλλ' ἀθρόον ἄρδην ἐξηφανίσθησαν ἅπαντες;» Ὁ δέ, τὸ ἀναιδὲς πρόσωπον ὑπὸ προφανοῦς αἰσχύνης ὅλος ἠλλοιωμένον ἐμφαίνων, ὡσεὶ κωφὸς οὐκ ἀκούων διέμεινεν ἀχανής. Οὐ τοῦτο γὰρ μόνον γέγονε τὸ ξένον (καὶ) τεράστιον ἐπὶ τῇ τῶν ἀγαλμάτων συντριβῇ, ἀλλὰ καὶ ἕτερον παραδοξότερον ἐπισυμβέβηκεν. Ἅμα γὰρ τῷ ἐξελθεῖν τὸν ἀθλητὴν ἐκ τοῦ εἰδωλικοῦ σηκοῦ ἐκείνου, παραχρῆμα καταῤῥαγὲν ἅπαν τὸ οἴκημα, κατεπόθη καὶ γέγονεν εἰς ἐρήμωσιν ἐξάπινα. Ὁ δὲ παράνομος ἡγεμὼν μὴ βουληθεὶς καταπλαγῆναι τὸ μέγεθος τῆς θείας δυνάμεως, ἀλλὰ τὴν ἐπὶ τὰ χείρω ἀλλοίωσιν ἀλλοιωθείς, λύττῃ χαλεπωτέρᾳ κατὰ τοῦ μάρτυρος ἐξεμαίνετο· τὸν καιρὸν δὲ τῆς τιμωρίας πρὸς τὸ μέλλον ταμιευσάμενος, προσέταξε τέως ἐν ἀσφαλεστέρᾳ φρουρᾷ παραφυλάττεσθαι τοῦτον, τροφῆς καὶ ποτοῦ παντελῶς παρορώμενον ἄγευστον. Ἐφ' ὅλαις οὖν ἡμέραις ἑπτὰ φρουρούμενος ἄσιτος, ἐν ἀγαλλιάσει καρδίας διετέλει, δεήσεσιν ἀδιαλείπτοις καὶ προσευχαῖς προσκαρτερῶν, πίστει τε μόνῃ ζῶν καὶ ταῖς χρησταῖς ἐλπίσι τρεφόμενος κατὰ τὸ γεγραμμένον· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται (Ῥωμ. α'. 17)· καὶ πάλιν· οὐκ ἐπ' ἄρτῳ μόνον ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι διὰ στόματος ἐκπορευομένῳ Θεοῦ. (Ματθ. δ'. 4). Διὰ πάσης μέντοι νυκτὸς καὶ ἡμέρας οὐκ ἐνέλειπε τῷ τῶν ὅλων Σωτῆρι τὴν συνήθη δοξολογίαν προσάγων Χριστῷ· εὐχαριστῶν μὲν ὑπὲρ ὧν ἤδη διετηρήθη, θείῳ σθένει δυναμωθείς, ἀνάλωτος ταῖς ἐπινοίαις πάσας τῶν τυραννούντων ἐχθρῶν, ἐξαιτούμενος | δὲ καὶ τὴν μέχρι τέλους 129.
ὑπομονὴν καὶ καρτερίαν ἀνένδοτον.

11. Ὃν τῇ ὀγδόῃ ἡμέρᾳ προκαθίσας ἐπὶ τοῦ βήματος ὁ τῆς ἀσεβείας ἡγεμών, καὶ παραστησάμενος ἔμπροσθεν αὐτοῦ,

καταπληκτικῇ κραυγῇ χρησάμενος, φησὶ πρὸς αὐτόν· «ἀνόσιε πάντων ἀνθρώπων καὶ θεῶν ἐχθρὲ δυσμενέστατε, πῶς ἐτόλμησας κατ' αὐτῶν ἐξερεύξασθαι ῥήματα τοιαῦτα βλάσφημα τῇ προτεραίᾳ, ἐπὶ τοῦ ναοῦ προκαθημένης τῆς ἐμῆς ἐξουσίας; ἢ πάντως εἰς ἀπόνοιαν ἐπήρθης ἀκάθεκτον, βλέπων τὴν ἡμετέραν εὐμένειαν ἐπιεικῶς πρὸς σὲ διατεθειμένην; Εἰ τοίνυν βούλει τὸ μέγα τοῦτο τόλμημα παρ' ἡμῶν συγχωρηθῆναί σοι, ὑπήκοος γενέσθαι θέλησον τοῖς βασιλικοῖς προστάγμασι, καὶ τοῖς θεοῖς θυσίαν προσάγαγε· ἐπεὶ, ἐὰν μὴ τοῦτο πρᾶξαι βουληθείης, χαλεπωτέρας τῶν προτέρων τιμωρίας ὑποστήσει, κακηγκάκως βιαίῳ θανάτῳ τῆς ζωῆς ἀποστερούμενος.» Ὁ ἅγιος Ὀρέστης εἶπε· «μὴ ταῖς ποικίλαις ἀπειλαῖς καταπονεῖν με νόμιζε, δυσμενέστατε τύραννε, ἀλλὰ τὰ χαλεπά σου βασανιστήρια θᾶττον προσάγαγε, καὶ πάντα τὰ τῆς μανίας σου βέλη κίνησον κατ' ἐμοῦ· πρὸς ἅπερ ἅπαντα ἀντικαταστῆναι στεῤῥῶς ἕτοιμός εἰμι, ἔχων ἀεὶ μετ' ἐμοῦ τὸν ἐνισχύοντά με Χριστόν.

12. Τούτοις τοῖς πεπαῤῥησιασμένοις ῥήμασι τὸν ἔμφυτον θυμὸν ἀναφλέξας ἀσχέτως ὁ μανικὸς δικαστὴς, ἐκέλευσε τοῖς ὑπηρέταις ἥλους σιδηροῦς εὐμήκεις ἐνεχθῆναι, καὶ τούτους ἐμπαγῆναι κατά τε τῶν πλευρῶν καὶ τῶν ποδῶν τοῦ μάρτυρος. Καὶ τούτου θᾶττον ἢ λόγος γεγενημένου, ἦν ἰδεῖν τοὺς πόδας αὐτοῦ, ὡσεὶ κρηπῖδας στρατιωτικὰς πεπερονημένας πάντοθεν, ἐξ ὧν ῥύακες μὲν ποταμηδὸν ἀπέῤῥεον αἵματος, ὀδύναι δὲ δριμεῖαι, μέχρι καρδίας αὐτῆς δικνούμεναι, τὸ καρτερικὸν σαρκίον συνέθλιβον· ἐν οἷς ἀριδήλως ἐδείκνυτο πᾶσι, καὶ τὸ μεγαλόψυχον τοῦ καρτερόφρονος μάρτυρος, καὶ τὸ τῆς ἄνωθεν
129. προνοίας μεγαλοδύναμον. | Ἐν οἷς ἀπαγορεύσας ὁ τῆς κακίας εὑρετὴς τῆς οἰκείας προσδοκίας, καὶ μανικώτερον, ἢ μᾶλλον θηριωδέστερον εἰπεῖν, διατεθεὶς, εἰς ἐπίνοιαν πικροτέρας τιμωρίας ἐκτρέπεται. Καὶ σκοπεῖτε τῆς ὠμότητος τὴν ὑπερβολὴν ὅση καὶ τῆς βασάνου τὸ εἶδος, ὡς καὶ μόνον ἀκούομεν φρίκης ἐμ-

πλεων. Ἵππου γὰρ ποσὶν ἀγρίου ὁ τὴν γνώμην καὶ θηρίου ἀ-
γριώτερος, ἀλύσεσι σιδηραῖς συνδήσας ἐκ τῶν χειρῶν τὸν μάρ-
τυρα, μετὰ σφοδροτάτης ταχυτῆτος ἐλαύνεσθαι τὸ ζῷον, μά-
στιξι τυπτόμενον ὑπὸ στρατιωτῶν παρακελεύεται. Ἐπὶ μήκι-
στον ἀφεστηκὸς τόπου διάστημα, σταδίους σχεδόν που ρπ', ἀ-
πὸ πόλεως Τυανέων μέχρι χώρου τινὸς, ἐπιχωρίως καλουμένου
Βάτου, ἔνθα συρμῷ βιαιοτάτῳ τῷ τοῦ ἀγριωτάτου ἵππου δρόμῳ
παρουσιάσας, εἰς χεῖρας θεοῦ ζῶντος παρατίθησι τὸ πνεῦμα.

13. Ὁ δὲ δύστροπος καὶ μανιώδης Μάξιμος, μηδὲ μετὰ τὴν
τελευτὴν τῆς ἀτόπου λύττης λήξας τῆς κατὰ τοῦ γενναιοτά-
του μάρτυρος Ὀρέστου, προστάττει ῥιφῆναι τὸ πολύαθλον λεί-
ψανον αὐτοῦ ἐν τῷ βυθῷ Φίβου (sic) τοῦ παραῤῥέοντος ποτα-
μοῦ καταντικρὺ τοῦ ὄρους, ὅπερ ὑπὸ τῶν παρατυχόντων πι-
στῶν ἐθεάθη προφανῶς χερσὶν ἀνδρὸς λαμπροφοροῦντος ἀνακο-
μιζόμενον ἐντίμως ἐκ τῶν ποταμίων ῥευμάτων, καὶ κατατιθέ-
μενον ἐν τῷ παρακειμένῳ ὄρει, τῇ τῶν Τυανέων μητροπόλει,
ἐν ᾧ τόπῳ παμπληθεῖς ἰάσεις ἐπιτελοῦνται μέχρι τῆς σήμερον
ἡμέρας, οὐ μὴν ἀλλὰ καὶ μέχρι τῆς συντελείας τοῦ αἰῶνος οὐ-
δέποτε τελούμεναι λήξουσιν. Ἀψευδὴς γὰρ ὄντως ἐστὶν ὁ εἰ-
πών· ὅτι τοὺς δοξάζοντάς με δοξάσω, οὓς ἀληθῶς δο-
ξάζει καὶ μεγαλύνει Χριστὸς ἡ ἀλήθεια. Ἐνταῦθα μὲν ἀμυ-
δρότερον, εἰ καὶ μεγάλοις σημείοις τούτους λαμπρύνει καὶ τέ-
ρασιν, ἐκεῖθέν τε λαμπρότερόν τε καὶ ὑψηλότερον ἀναδείξειεν,
ὡς φαεινοὺς | φωστῆρας ὑπὲρ τὸν ἥλιον λάμποντας, μεθ' ὧν 130.
καὶ ἡμεῖς ἀξιωθείημεν μετασχεῖν τῆς θείας ἐλλάμψεως, λιταῖς
αὐτῶν εὐπροσδέκτοις συγκροτούμενοι, καὶ συμπαθείας τῶν ἐ-
πταισμένων καταξιούμενοι, ἐν Χριστῷ Ἰησοῦ, τῷ θέλοντι πάν-
τας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἐλθεῖν ἀληθείας·
ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων. Ἀμήν!

(*) ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΜΑΝΤΟΣ.

1. Μάμας ὁ μέγας οὗτος τοῦ Χριστοῦ μάρτυς καὶ περιβόητος, πατρίδα μὲν ἔσχε Παφλαγονίαν, ἐπιφανὴς δὲ ἦν αὐτήν τε τὴν εὐσέβειαν καὶ τὸ γένος· πατὴρ μὲν γὰρ αὐτῷ Θεόδοτος, Ῥουφίνα δὲ μήτηρ, πιστοὶ μὲν τὸ σέβας, λαμπροὶ δὲ τὸ γένος ἀμφότεροι, πατρικίων πεφυκότες πατέρων καὶ οὐκ εἰς παῖδας μόνον, ἀλλὰ καὶ τοὺς ἐκ τοῦ γένους πάντας διασωσάμενοι τὴν εὐγένειαν. Οὗτοι θερμοὶ τὸν εἰς Χριστὸν ὄντες ἔρωτα, καὶ μηδὲ κατέχειν ἔνδον τὸν πόθον δυνάμενοι, ἀλλὰ καὶ παῤῥησιαζόμενοι τὴν εὐσέβειαν, καὶ πολλοὺς πρὸς αὐτὴν ἀνιστῶντες ἢ μᾶλλον διεγείροντες ἐκ τοῦ λάκκου τῆς ἀσεβείας, διαβάλλονται Ἀλεξάνδρῳ, τοπαρχοῦντι τότε τῆς πόλεως Γαγγρῶν, ἐντεταλμένον αὐτῷ παρὰ τοῦ κρατοῦντος, τὰ μὲν τῶν παρ' αὐτοῖς θεῶν αὔξειν τε σπουδῇ πάσῃ καὶ ἐπὶ μέγα αἴρειν, τοὺς
35. δὲ εὑρισκομένους χριστιανοὺς τιμωρίαις | πικραῖς περιβάλλειν· εἰ δὲ ἐπιμένοιεν τοῖς προτέροις, καὶ αὐτῷ θανάτῳ παραδιδόναι.

2. Ἀλέξανδρος τοίνυν τὸν Θεόδοτον τῷ ἑαυτοῦ παραστησάμενος βήματι, θύειν τοῖς εἰδώλοις ἠνάγκαζεν· ἀλλ' ὁ μὲν οὐδὲ τὸ οὖς παρεῖχε τοῖς λεγομένοις, ὁ δὲ κολάζειν ἕτοιμος ὢν, ὑπὸ τοῦ τῶν πατέρων εἴργετο ἀξιώματος (οὐ γὰρ ἐφεῖτο πατρικίων παῖδας ὑβρίζειν, εἰ μὴ βασιλεὺς ἐπιτρέψειεν). Ἀμέλει καὶ πρὸς Καισάρειαν αὐτὸν τῆς Καππαδοκίας παρὰ τὸν

(*) Μαρκ. κῶδιξ CCCCCLXXXVI, φύλλ. 35. αἰῶν. XI. Zan.

ἡγεμόνα Φαῦστον ἐκπέμπει. Ὁ δὲ, ὅσῳ διάπυρος τὴν ἀσέβειαν, τοσούτῳ πολὺς τὴν ὠμότητα ὢν, δεξάμενος τὸν Θεόδοτον εὐθὺς ἐμβάλλει τῇ φυλακῇ. Ἡ τούτου δὲ σύζυγος ἐγγαστρίῳ βαρουμένη φόρτῳ, ὅμως τῷ ἀνδρὶ ἠκολούθει, καὶ εἰσιόντι τὸ δεσμωτήριον τῷ Θεοδότῳ, καὶ αὐτὴ συνεισῄει· ἐν ᾧ δὲ παρ' ἀλλήλοις διῆγον, ὁ Θεόδοτος καὶ τὴν ἀσθένειαν τῆς σαρκὸς ἐπιστάμενος, καὶ τὴν ὠμότητα τοῦ τυράννου μὴ ἀγνοῶν, καταφυγεῖν ἔγνω πρὸς τὸν Θεὸν, ᾧ καὶ θανεῖν μᾶλλον μετὰ τῆς γυναικὸς ηὔχετο, ἢ ἀνάξιόν τι τῆς γνώμης παθεῖν, τῷ σφοδρῷ τῶν κολάσεων ἀντέχειν μὴ δυναμένους. Ἐδέετο οὖν τοῦ Θεοῦ « Κύριε, λέγων, ὁ Θεὸς τῶν δυνάμεων, ὁ τοῦ ἀγαπητοῦ σου
| υἱοῦ πατὴρ, εὐλογῶ καὶ δοξάζω σε ὅτι καὶ δεσμωτήριον οἰ- 36.
κεῖν διὰ τὸ σὸν κατακέκριμαι ὄνομα· πλὴν, ἀλλὰ δέομαί σου, Κύριε, δέξαι τὴν ψυχὴν ἐν τοῖς δεσμοῖς τούτοις ὁ τὴν ἀσθένειάν μου γινώσκων, μήποτε καυχήσηται ὁ ἐχθρὸς ἐπ' ἐμοί. »

3. Ταῦτα οὖν ηὔχετο· καὶ ὁ πλάσας καταμόνας τὰς καρδίας ἡμῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα ἡμῶν, τὴν γνώμην πρὸ τῶν ἔργων ἀποδεξάμενος, ταχὺ πέρας ἐπιτίθησι τῇ δεήσει καὶ τὸν θάνατον αὐτῷ παρὰ πόδας ἐπάγει. Ἀλλ' ὁ μὲν Θεόδοτος τὴν τελευταίαν ἐξεδήμησεν ἐκδημίαν, μικρὸν ἐν τῇ φυλακῇ τὸ σῶμα καταλιπὼν, ἡ σύζυγος δὲ αὐτοῦ Ῥουφίνα τὴν ἐκ τοῦ δεσμωτηρίου μὴ φέρουσα κακοπάθειαν, ἀλλ' ἀώρως τεκοῦσα καὶ αὐτὴ παραχρῆμα υἱὸν, οἷα τῆς πολλῆς ἐκείνης ταλαιπωρίας παρὰ φύσιν τὸν τόκον ἐργασαμένης, πάθεσι τὴν ψυχὴν πολλοῖς ἐμερίζετο. Ἐλύπει δεινῶς αὐτὴν ἡ τοῦ ἀνδρὸς τελευτὴ, σφοδροτάταις περὶ τοῦ παιδὸς φροντίσιν ἐπάλαιε, καὶ ἡ τοῦ ἡγεμόνος ὠμότης δεδοικέναι περὶ τῶν ἐσχάτων αὐτὴν καὶ τρέμειν ἐποίει· καὶ ὅμως οὐδενὸς τούτων ἡττᾶτο, ἀλλὰ τῷ μὲν Θεῷ τὸ βρέ-
φος προσανατίθησιν· | αὕτη δὲ τῷ λειψάνῳ παρακαθίσασα τοῦ 36.
ἀνδρὸς, καὶ τοῦτο μὲν ἐλεεινῶς ὀδυρομένη τῆς ἐρημίας, τοῦτο δὲ μηδὲ θανόντος ἀπολειφθῆναι τοῦ συζύγου ἀνεχομένη, ἐν

δάκρυσι ταῦτα καὶ στεναγμοῖς πρὸς τὸν Θεὸν διελέγετο· « ὁ πλάσας τὸν ἄνθρωπον καὶ τῆς αὐτοῦ πλευρᾶς τὴν γυναῖκα δημιουργήσας, εὐδόκησον κἀμὲ τὴν αὐτὴν ὁδὸν τῷ ἀνδρὶ πορευθῆναι, καὶ τῶν ἐπικήρων τούτων καὶ ῥεόντων ἀπαλλαγεῖσαν, πρὸς τὰς παρὰ σοὶ σκηνὰς τὰς μόνας ἀφθάρτους καὶ διηνεκεῖς μεταβῆναι. » Ταῦτα τῷ Θεῷ ἡ Ῥουφίνα προσηύξατο. Καὶ τῆς δεήσεως εὐθέως ἐπιτυχοῦσα, καθάπερ ἀκολουθοῦσαν καὶ αὐτὴν ταῖς εὐχαῖς συμπροέπεμψε τὴν ψυχήν. Τὴν μακαρίαν οὖν ἐκείνην πρὸς τὸν Θεὸν πορείαν καὶ αὐτῆς οἰχομένης, μόνον ἐν τῇ φυλακῇ τὸ παιδίον μεταξὺ τῶν πατρικῶν λειψάνων ἔκειτο ζῶν.

4. Θεία δέ τις αὐτίκα ὄψις ἐν προσχήματι νεανίσκου ἐπιφαίνεταί τινι γυναικὶ τῶν γένει καὶ περιουσίᾳ λαμπρῶν, καὶ οὐδὲν ἧττον θερμῶν εἰς εὐσέβειαν (Ἀμμία δὲ ἐκαλεῖτο), καὶ ταύτῃ κελεύει αἰτῆσαι μὲν παρὰ τοῦ ἡγεμόνος τὰ σώματα τῶν ἐν τῷ δεσμωτηρίῳ κεκοιμημένων ἁγίων, ἀνελέσθαι δὲ καὶ
37. τὸ | μεταξὺ τούτων κείμενον βρέφος, καὶ υἱοθετῆσαι τοῦτο ἑαυτῇ καὶ ἐν ἐπιμελείᾳ ἔχειν πολλῇ. Ἡ δὲ (ἄπαις τε γὰρ ἦν παίδων γνησίων καὶ ἀνδρὸς ἔρημος) ὡς ὁ ὄνειρος αὐτῇ ἐπέσκηψε, τῷ ἡγεμόνι ταχὺ προσελθοῦσα, ῥᾳδίως αὐτὸν ἐπινεύοντα πρὸς τὴν αἴτησιν εἶχεν (εὐπειθῆ γὰρ καὶ αὐτὸν ἡ θεία χάρις ἐποίει), καὶ τῇ Ἀμμίᾳ συνδιεπράττετο τὰ κεκελευσμένα. Διὸ καὶ τὰ σώματα τῶν ἁγίων καὶ τὸ βρέφος κομισαμένη, τὰ μὲν λαμπρῶς τε ἅμα καὶ φιλοτίμως παρὰ τῷ οἰκείῳ θάπτει κήπῳ, τὸ δὲ βρέφος εἰς υἱὸν ἑαυτῇ ἀνατρέφει, καὶ ὥσπερ αὐτὴ γεννησαμένη, οὕτως αὐτὸ ἔτρεφε καὶ ἐπαίδευε, μᾶλλον δὲ καὶ μητρὸς διέκειτο κηδεμονικώτερον. Ἐνιαυτὸς δὲ τῇ υἱοθεσίᾳ ἠνύετο, καὶ ὁ παῖς ὅσῳ μᾶλλον ηὔξανε, τοσούτῳ προϊόντι τῷ χρόνῳ συναυξανόμενον εἶχεν ἀεὶ καὶ τὸ περὶ αὐτὸν τῆς Ἀμμίας φίλτρον· ὥσπερ γάρ τινα τῶν οἰκείων ὠδίνων καρπὸν τοῦτον ἑώρα, καὶ γηροκόμον καλὸν ἕξειν ἐνόμιζε. Δευτέρου τοίνυν ὁ παῖς ἥπτετο χρόνου, καὶ τὴν Ἀμμίαν

ἁπαλῇ γλώττῃ μάμμα προσαγορεύει (τοῦτο δὲ τῇ Ῥωμαίων διαλέκτῳ τὴν μητέρα δηλοῖ), καὶ γίνεται τὸ πρῶτον ψέλλι-
σμα τῷ παιδὶ κύριον ὄνομα, | καὶ Μάμας ἐκαλεῖτο πᾶσι καὶ 37.
τὸ λοιπὸν ἐγνωρίζετο. Ἔτος δὲ πέμπτον ἄρτι γεγονότα, γραμμάτων διδασκάλοις συνίστησιν αὐτὸν ἡ Ἀμμία· τὸν δὲ δριμύς τις ἔρως πρὸς μαθήσεις ἐκίνει, πολλῷ τε τῶν ὁμηλίκων ἐκράτει εἰς παιδείαν, καὶ ἡ ψυχὴ αὐτῷ πᾶσα περὶ λόγους ἐπτόητο.

5. Αὐρηλιανοῦ δὲ ἤδη τὸ Ῥωμαίων ἐγεγένητο σκῆπτρον, καὶ δαίμοσιν ἅπαντας θύειν ἐκεῖνος οὐκ ἄνδρας μόνον καὶ γυναῖκας, ἀλλὰ καὶ παῖδας ἠνάγκαζε καὶ μάλιστα δὴ τῶν παίδων αὐτῷ ἔμελλεν· εὐκόλως γὰρ αὐτοὺς ὑποκλέπτειν διὰ τὸ τῆς φύσεως ἁπαλὸν ὁ δεινὸς ᾤετο, καὶ ταχέως πείθειν μεταμαθεῖν τὴν ἀσέβειαν. Ἀλλ' οἱ μὲν ἄλλοι παῖδες ὡς ἀληθῶς τῷ θελήματι τοῦ αὐτοκράτορος εἶκον· ὅσοι δὲ πρὸς τὰ διδασκαλεῖα τῷ Μάμαντι συνεφοίτων, τὴν πολιὰν σύνεσιν καὶ αὐτοὶ τοῦ παιδὸς ἐμιμοῦντο, καὶ οὐδὲ ἀκοῦσαι τῶν λόγων ἠνείχοντο. Ἐδιδάσκοντο γὰρ ἑκάστης ἡμέρας ὑπὸ τῆς ποθεινῆς ἐκείνης θέας τοῦ καλοῦ Μάμαντος, μόνον ἀψευδῆ Θεὸν τὸν τοῦ παντὸς ἐπιγινώσκειν δημιουργὸν, καὶ αὐτῷ τὴν ἀπὸ τῶν ψυχῶν λογικὴν προσφέρειν θυσίαν, τοὺς δὲ παρὰ τοῖς ἀσεβέσι
καὶ τιμωμένους | καὶ λεγομένους θεοὺς λήρους τε μακροὺς εἶναι 38.
νομίζειν, καὶ πολλῆς αἰσχύνης καὶ γέλωτος γέμοντας. Διάδοχος δὲ Φαύστου ἐν Καισαρείᾳ Δημόκριτος ἀναδειχθεὶς, ἀνὴρ σφοδρῷ τε τὴν ἀσέβειαν πνέων καὶ θερμῷ ζήλῳ ταύτης περικαιόμενος, ἡνίκα τῆς Καισαρείας ἐπέβη, εὐθὺς τὰ κατὰ τὸν χρηστὸν αὐτῷ καταλέγουσι Μάμαντα· ὡς οὐ μόνον οὐδὲ αὐτὸς σέβοιτο τοὺς θεοὺς, ἀλλὰ καὶ τοὺς ἡλικιώτας αὐτοῦ καὶ συμφοιτητὰς πρὸς τὴν οἰκείαν πλάνην πάντας ἐπάγοιτο. Μάμας δὲ πέμπτον ἤδη τῆς ἡλικίας καὶ δέκατον ἔτος ἦγε, καὶ τὴν καλὴν Ματρώναν θανάτῳ ζημιωθεὶς (τοῦτο γὰρ ἦν ἐπίθετον τῇ Ἀμμίᾳ) διάδοχος τῆς οὐσίας αὐτῆς καὶ κληρονόμος κατέστη.

6. Δημόκριτος τοίνυν τοιαῦτα περὶ τοῦ Μάμαντος ἀκούσας
γενόμενα, ἐξεθηριοῦτο εὐθὺς πρὸς τὸν παῖδα, καὶ τῷ οἰκείῳ
παραστησάμενος βήματι, πρῶτα μὲν, εἰ χριστιανὸς τυγχάνοι·
εἶτα, εἰ οὗτος ἐκεῖνος εἴη ὁ μήτε αὐτὸς θύων θεοῖς καὶ τοὺς
συμφοιτητὰς μὴ πείθεσθαι τῷ αὐτοκράτορι ἀναπείθων διεπυν-
θάνετο. Ὁ δὲ πρεσβυτέρῳ τῆς ἡλικίας χρησάμενος παραστήμα-
38. τι ψυχῆς, καὶ μήτε | διαταραχθεὶς, μήτε ὅλως θυμωθεὶς « ἐγὼ,
φησὶ, πολλὰ καὶ τῆς ὑμετέρας καταγινώσκω πολιᾶς, ὅτι οὕτω
παχεῖαν τῆς ἀπάτης περίκεισθε τὴν ἀχλὺν, ὡς μηδὲ διαβλέ-
πειν δύνασθαι πρὸς τὰς τῆς ἀληθείας αὐγὰς, ἀλλὰ τὸν ἀληθῆ
καὶ ζῶντα καταλιπόντες Θεὸν, δαίμοσιν ἀψύχοις καὶ κωφοῖς
προσετίθητε· ὡς ἔγωγε οὔτε ἂν αὐτὸς τοῦ ἐμοῦ Χριστοῦ ἀ-
ποσταίην καὶ πάντας, οὓς ἂν δυναίμην, αὐτῷ παραστήσομαι. »
Κατεπλάγη τὴν τοῦ παιδὸς ὁ Δημόκριτος παῤῥησίαν καὶ τὸ
ἐθελοντὶ παραστήσασθαι τοῦτον ἀπ' αὐτῆς ὡς εἰπεῖν γραμμῆς
ἀπογνοὺς, ὁμοῦ τε ἠπείλει τῷ μειρακίῳ, καὶ τοῖς περιεστῶσι
παρὰ τὸν τοῦ Σαράπιδος βωμὸν ἄγειν τὸν παῖδα ἐκέλευσεν,
ὡς θῦσαι ἄκοντα τῷ θεῷ. Ὁ δὲ μηδὲν ὑπὸ τῶν ἀπειλῶν θῆλυ
μηδὲ ἀγενὲς παθὼν, « ἀλλ' οὐκ ἔξεστί σοι τιμωρεῖσθαι, φησὶν,
οὐδὲ ἀπειλεῖν τῷ οὕτως ὑπὸ μητρὶ μεγίστῃ καὶ περιφανεστάτῃ
τραφέντι καὶ πολὺν διαδεξαμένῳ κλῆρον καὶ πλοῦτον βαθὺν
παρ' αὐτῆς (τὸ τῆς Ἀμμίας προσθεὶς ὄνομα). »
7. Δημόκριτος δὲ τούτων ἀκούσας, καὶ ὑπὸ τῶν περιεστώ-
των ἀκριβῶς τὰ κατὰ τὴν μακαρίαν Ματρώναν καὶ τὸν θεῖον
39. Μάμαντα διδαχθεὶς, καὶ γνοὺς | ὡς οὐ πρότερον κολάζειν αὐ-
τὸν προσῆκεν, εἰ μὴ ὁ βασιλεὺς ἐφῇ, πρὸς Αὐρηλιανὸν ἐν Αἰ-
γαῖς ὑπὸ σιδηρῷ δεσμῷ τοῦτον ἐκπέμπει, τὰ κατ' αὐτὸν
πάντα ὡς ἔχοι γράμμασι τῷ βασιλεῖ σημήνας. Ὁ δὲ τὰ γράμ-
ματα κομισάμενος, καὶ ταῦτα διεξελθὼν πάνυ ποικίλως τὸν
παῖδα ὑπέρχεται, καὶ κατὰ πρόσωπον τὸ μειράκιον ἀγαγὼν,
νῦν μὲν ἠπείλει καὶ φοβερὸν αὐτῷ καὶ μέγα ἐπέσειε, νῦν δὲ

ὑποσχέσεσιν ἐδεξιοῦτο, καὶ δώρων ἐμιμνήσκετο καὶ τιμῶν·
« Καὶ εἴ γε τῷ μεγάλῳ προσελθὼν, ἔλεγε, Σαραπίωνι θύσῃ,
ὦ καλὲ παῖ, ἔσῃ μεθ' ἡμῶν ἐν τῷ παλατίῳ· καὶ πρῶτα μὲν
τραφήσῃ βασιλικῶς, ἔπειτα δε θαυμάσονταί σε πολλοὶ καὶ ἐπαι-
νέσονται, καὶ ζηλωτὸς γενήσῃ τοῦ λοιποῦ καὶ ἐπίφθονος. »

8. Τοῦτο δὲ Αὐρηλιανὸς ἐποίει· καὶ δύο ταῦτα ὁμοῦ ἀπει-
λάς τε καὶ ὑποσχέσεις προέτεινεν, ὅπως ἢ καταπλήξῃ ταῖς
ἀπειλαῖς καὶ εἰς δειλίαν τὴν ἐσχάτην τὸν παῖδα ἐμβάλῃ, ἢ
κατακλάσῃ ταῖς ὑποσχέσεσι τὸ στεῤῥὸν αὐτοῦ τῆς ἐνστάσεως,
καὶ τὸ ὅλον ἐκμαλάξῃ καὶ γοητεύσῃ καὶ ὑπαγάγῃ πρὸς τὴν
ἀσέβειαν. Ταῦτα δὲ ἄρα τοῦ μειρακίου μᾶλλον ἠκόνα τὴν προ-
θυμίαν, καὶ « μή | μοι γένοιτο, βασιλεῦ, ἀπεκρίνατο, τὰ παρ' ὑ- 39.
μῶν ταυτὶ ξόανα, μηδὲ λόγου τινὸς μηδὲ τιμῆς ἀξιῶσαι, κω-
φά τε ὄντα καὶ ἄψυχα καὶ πολλὴν ὑμῶν παχύτητα καὶ ἀναι-
σθησίαν κατηγοροῦντα, ὅτι τοιαῦτα σεβασθῆναι τὴν ἀρχὴν καὶ
ὅλως τιμῆσαι ἠνέσχεσθε. Παῦσαι τοίνυν καὶ ἀπειλῶν ὡς δοκεῖ
σοι τὰ φοβερὰ καὶ τὰ μέγιστα ὑπισχνούμενος, κολάζων μὲν
γὰρ εὖ ποιήσεις, εὐεργετῶν δὲ ζημιώσεις τὰ καιριώτατα, ὡς
ἐμοί γε τιμῆς ἁπάσης καὶ κέρδους, τὸ διὰ Χριστὸν ἀποθανεῖν
ποθεινότερον. » Πρὸς ταῦτα σφοδρότερον πνεύσας Αὐρηλια-
νὸς κατὰ τοῦ παιδος ῥάβδοις τὸ σῶμα κελεύει μαστίζεσθαι.
Ἐξαίνετο μὲν δὴ τῷ πολιῷ τὴν σύνεσιν μειρακίῳ τὸ ἁπαλὸν
σῶμα καὶ ἄρτι τὸ καλὸν ἀνθοῦν, τὸ δὲ ὥσπερ ὄναρ πάσχον
οὕτω διέκειτο. Καὶ ὁ βασιλεὺς ἐπειδὴ πολὺς ἦν καὶ παρ' αὐ-
τὸν τὸν τῆς βασάνου καιρὸν τὸν παῖδα θωπεύων, καὶ πάντα
τρόπον καταμαλάξαι πειρώμενος· « θύειν γὰρ, ἔλεγεν, εἰπὲ κἂν
μόνοις τοῖς χείλεσι, καὶ πάσης εὐθὺς τιμωρίας ἀπολυθήσῃ. »
« Οὐκ ἐγὼ, φησὶν ὁ Μάμας, ὦ βασιλεῦ, τὸν μόνον καὶ ἀλη-
θινὸν ἐμοὶ Βασιλέα Χριστὸν οὔτε χείλεσιν, οὔτε καρδίᾳ | ἀρνη- 40.
σαίμην, κἂν εἰ βαρύτερα πολλῷ καὶ τῶν παρόντων ἐπινοήσῃ·
ἀλλὰ καὶ αὐτῷ σοι πολλὴν ἔχω χάριν, ὅτι διὰ τουτωνὶ τῶν

βασάνων πλέον τῷ ποθουμένῳ προσοικειοῖς καὶ τοῖς δημίοις εὔχομαι τὰς χεῖρας μὴ καλεῖν μόνον, αἵ μοι μεγάλων ἤδη τῶν ἀγαθῶν, ὡς ὁρῶ, πρόξενοι γίνονται, ἀλλὰ καὶ μᾶλλον ἐπιῤῥωσθῆναι. »

9. Αὐρηλιανὸς οὖν ἐπειδὴ οὕτω μικρὰ τῶν πληγῶν φροντίζοντα τὸν παῖδα ἑώρα, κελεύει, ὅλον γυμνωθέντα τὸ σῶμα, λαμπάσι πυρὸς καταφλέγεσθαι, ὅπως, κατὰ βραχὺ τῶν σαρκῶν διατηκομένων, χρονιώτερόν τε τῇ βασάνῳ ἐνδιατρίψῃ καὶ δριμυτέρας αἴσθηται τῆς ὀδύνης· καὶ τὸ μὲν εἰς ἔργον ἐχώρει, καὶ τῷ μαρτυρικῷ σώματι προσήγοντο αἱ λαμπάδες, ἀλλὰ καὶ τὸ πῦρ ᾐδεῖτο τὸν ἀθλητὴν, καὶ κατὰ τῶν στρατιωτῶν μᾶλλον ἔπνει σφοδρότερον. Οὐκοῦν ὁ μὲν μάρτυς ἀναλγητὶ πρὸς τὰς λαμπάδας εἶχεν, αἱ δὲ τὴν τοῦ διώκτου μᾶλλον ψυχὴν ἐπυρπόλουν· ὅσον γὰρ οὐδὲ βραχὺ τοῦ μάρτυρος ἥπτοντο, τοσοῦτον αὐτῷ μείζονα τὴν τῆς μανίας φλόγα ἐποίουν· εἶτα προσ-
40. τάττει λίθοις τὸν μάρτυρα τύπτεσθαι, ὁ δὲ | ὥσπερ ῥόδοις βαλλόμενος οὕτω διέκειτο καὶ ταῖς ἐλπίσι τοῦ μέλλοντος ἔχαιρε. Διαπονούμενος τοίνυν Αὐρηλιανὸς πάντοθεν, καὶ οὐδὲν ὅτι καὶ κολάσεως εἶδος ἐπινοῆσαι δυνάμενος, ὅπερ ἂν τῆς τοῦ Μάμαντος καρδίας καθίκοιτο, σφαῖραν μολυβδίνην ἐκδεθῆναι τοῦ τραχήλου προστάττει, καὶ οὕτως εἰς μέσον τὸ τῆς θαλάττης ἀχθέντα πέλαγος κατὰ τοῦ βυθοῦ ῥιφῆναι τὸν μάρτυρα· καὶ τὸ μὲν πρόσταγμα ἔργον ἐγίνετο. Ἀλλ' οὐδ' ἐνταῦθά σου, Μάμα, ὁ Θεὸς ἐπελάθετο, ἀλλὰ τοῖς ἀγγέλοις αὐτοῦ ἐντέλλεται περὶ σοῦ τοῦ διαφυλάξαι σε (Ψαλ. ϟ'. 11), καὶ ἄγγελος εὐθέως ἐν ἀνθρωπίνῃ τῇ μορφῇ, κύκλῳ παρεμβαλὼν, εἰς δέος μὲν τοὺς ἄγοντας αὐτὸν στρατιώτας ἐμβάλλει, καὶ φυγάδας ποιεῖ, τῷ μάρτυρι δὲ παρὰ τὸ ἐν Καισαρείᾳ ὄρος ἐλθεῖν ἐπισκήπτει κἀκεῖσε διάγειν.

10. Γενόμενος τοίνυν ἐν τῷ ὄρει καὶ τεσσαράκοντα ὅλας ἡμέρας ἄσιτος διαμείνας, ἄλλος οὗτος γίνεται Μωϋσῆς, καὶ δια-

θήκην καινὴν ἐγχειρίζεται, οὐ τότε πρῶτον ἀρχὴν λαμβάνουσαν, ἀλλὰ διαδιδομένην ἤδη τοῖς πέρασι· καὶ τὸ ἐνδέον τηνικαῦτα τῷ Μωϋσῇ, τοῦτο νῦν ἀναπληροῦται τῷ μάρτυρι. Μωϋσῆς | μὲν γὰρ ἐξ οὐρανοῦ τὰς πλάκας ἐδέξατο, τῷ δὲ φωνὴ 41.
μὲν καὶ ῥάβδος ἄνωθεν ἥκει. Δεξάμενος δὲ τὴν ῥάβδον, καὶ ὡς ἡ φωνὴ παρεδήλου τὴν γῆν ταύτῃ διατεμών, καθάπερ δὴ Μωϋσῆς τὴν θάλασσαν πρότερον, λαμβάνει τὸ Εὐαγγέλιον, ἄρτι τῶν τῆς γῆς λαγόνων ἀναδοθέν. Τί δεῖ μετὰ ταῦτα λέγειν; οὐκ ἔτι Μωϋσῆς ὁ μάρτυς ἡμῖν, ἀλλὰ Παῦλος ἕτερος γίνεται κηρύττων τὸ Εὐαγγέλιον, ναόν δέ τινα δειμάμενος ἐν ᾧ προσεύχεσθαι εἰώθει. Ἐπειδὴ καὶ ταῖς χερσὶν ἔδει τοῦτον ἐργάζεσθαι κατὰ Παῦλον, ἄγει παρ᾽ ἑαυτῷ θείᾳ δυνάμει τὰ ἄγρια πάντα τῶν ζῴων καὶ τὸ γάλα τῶν θηλειῶν ἀμέλγων (ὁπόσαι δηλονότι βρώσιμον ἀνθρώποις τοῦτο παρέχονται), τυρὸν ἐποίει· καὶ τούτου βραχὺ μὲν ὑπελείπετο ἑαυτῷ καὶ ἀπεταμιεύετο, τὸ λοιπὸν δὲ, εἰς τὴν Καισάρειαν καταβαίνων, διεδίδου τοῖς δεομένοις.

11. Ἀλέξανδρος δέ τις ἕτερος, οὐχ ὃν ὁ προλαβὼν ἐγνώρισε λόγος, ἡγεμὼν τηνικαῦτα Καππαδοκίας ἀναδειχθείς, ἀνὴρ ὠμός τε εἴπερ τις καὶ ἄλλος, καὶ μηδενὸς τά γε εἰς ἀσέβειαν ἡττᾶσθαι φιλονεικῶν, ἐπειδὴ τὸν Μάμαντα πολὺν ἦγεν ἡ φήμη, τὰ κατ᾽ αὐτὸν ἀναμαθὼν πάντα, τῶν ἱππέων τινὰς κατὰ ζήτησιν τοῦ | ἀνδρὸς ἐκπέμπει, ὥστε τοῦτον εὑρόντας, εἰς αὐτὸν 41.
ἀγαγεῖν. Προεγνωκὼς τοίνυν τὴν ἐκείνων ἔφοδον ὁ μάρτυς, εἰς συνάντησιν αὐτῶν ἀφικνεῖται· οἱ δὲ ἐπειδὴ συνῆλθον εἰς ταὐτὸ ἀλλήλοις, οὔπω εἰδότες ὡς οὗτος ἐκεῖνος ὑπάρχει, διεπυνθάνετο αὐτοῦ, ὅπου νῦν ἄρα καὶ ἐν τίνι ὁ Μάμας εἴη. Ὁ δὲ τέως μὲν ὑμῖν, ἔφη, διαναπαύσασθαι προσήκει, καὶ τῶν ἵππων, ὦ φίλοι, ἀποβάντες ἐπὶ δεῖπνον τραπώμεθα, μετὰ ταῦτα δὲ τὸν Μάμαντα ἐγὼ ὑμῖν ὑποδείξω. Οὗτοι μὲν οὖν αὐτῷ ἐπιξενωθέντες, τυροῦ τε καὶ ἄρτου ἡδέως ἥπτοντο (τούτοις γὰρ αὐτοὺς

ὁ καλὸς ἑστιάτωρ ἐδεξιοῦτο). Ἐν τούτῳ δὲ προσέρχονται συνή-
θως τῷ μάρτυρι αἱ θήλειαι τῶν ζῴων, ὥστε τὸ οἰκεῖον ἑκά-
στη ἀμελχθῆναι γάλα, καὶ ἰδόντας τοὺς ἱππεῖς ἔκπληξις εἶχε
καὶ δέος, καὶ τὸ δεῖπνον ἀπολιπόντες ἐπὶ τὸν μάρτυρα κα-
ταφεύγουσιν. Ὁ δὲ ἀναλαβὼν αὐτοὺς τῆς δειλίας καὶ ἀνδρείως
ἔχειν καὶ τεθαῤῥηκότως παρεγγυήσας, εἶτα καὶ τῶν φροντί-
δων τὰς ἐκείνων βουλόμενος ἀπολῦσαι ψυχάς, αὐτόν, ἔφη, τὸν
ζητούμενον εἶναι Μάμαντα, αὐτὸν ἀληθῶς ἐκεῖνον, καὶ μὴ πε-
ραιτέρω ζητεῖν. Ἀποπέμπει τοίνυν αὐτοὺς ἐπαγγειλάμενος
42. | ταχὺ καὶ αὐτὸς παρεῖναι· εἶτα τῶν ἱππέων εὐθὺς ἀναχωρη-
σάντων (ἐπίστευον γὰρ ἀνδρὶ τοιούτῳ καὶ οὐδὲν ἐπ' αὐτῷ ψεῦ-
δος οὐδὲ τὸ τυχὸν ὑπώπτευον), ἕνα τῶν ἐν τῷ ὄρει λεόντων
ὁ μάρτυς νεύματι πρὸς ἑαυτὸν καλέσας, κελεύει τοῦτον, ἐπει-
δὰν αὐτὸς εἰσέλθῃ, τὸ στάδιον δρόμῳ καὶ αὐτὸν ἐπικαταλα-
βεῖν, Ἑλλήνων τε παῖδας καὶ Ἰουδαίων ὅσοι τὸ τοῦ μονογε-
νοῦς ὄνομα πονηρᾷ γλώττῃ διασύρουσι καὶ κακῶς λέγουσι,
τούτους αἴσχιστα διαφθεῖραι.

12. Ταῦτα ἐντειλάμενος τῷ θηρίῳ, ἀπαίρει τοῦ ὄρους καὶ
τοῖς ἱππεῦσι παρὰ τὴν τῆς πόλεως πύλην ἐφίσταται τὴν αὐ-
τοῦ παρουσίαν ἐκδεχομένοις· οἳ καὶ παραλαβόντες αὐτὸν ἄγουσι
πρὸς τὸν Ἀλέξανδρον. Ὁ δὲ αὐτίκα «σὺ εἶ διαβόητος ἐπὶ
μαγείᾳ Μάμας, φησί;» Καὶ ὁ μάρτυς μετὰ συνέσεως «ἐγώ,
φησίν, ὁ τοῦ Χριστοῦ δοῦλος, τοῦ σώζοντος μὲν τοὺς πιστεύον-
τας εἰς αὐτὸν καὶ τὸ αὐτοῦ θέλημα ποιοῦντας, μάγους δὲ καὶ
ἐπαοιδοὺς καὶ εἰδωλολάτρας πυρὶ αἰωνίῳ παραδιδόντος. Ἀλλὰ
τίς ἡ χρεία καὶ ὅτου ἕνεκα μετεστείλω με;» «Ὅτι μηδὲ συνο-
ρᾶν ἔχω, φησίν, ὁ ἡγεμών τισι ταῖς μαγγανείαις καὶ ὁποίαις
42. χρώμενος τὰ τὴν ἀλκὴν ἄμαχα καὶ ἀτίθασσα |.γοητεύεις τῶν
ζῴων, ὡς συνδιαιτᾶσθαί τε καὶ παρ' αὐτοῖς ἐνδιατρίβειν, μο-
νονουχὶ δὲ καὶ ὡς λογικοῖς ἐγκελεύεσθαι.» Ὑπολαβὼν δὲ ὁ
μάρτυς «ὁ γὰρ τῷ ἐμῷ, ἔφη, δουλεύων Θεῷ, τῷ μόνῳ ζῶντι

Θεῷ καὶ ἀληθινῷ, οὐδὲ διατριβῶν, οὐδὲ μικρᾶς ποτε συνουσίας εἰδωλολάτραις καὶ φαρμακοῖς κοινωνῆσαι ἀνάσχοιτο ἄν, ὥστε τῆς ὑμετέρας συναυλίας αἱρετέα μᾶλλον ἐμοὶ ἡ μετὰ τῶν ἀλόγων διατριβή· τὰ μὲν γὰρ οὐ ταῖς ἡμετέραις, ὡς αὐτὸς οἴει, γοητεύεται μαγγανείαις, καὶ παρὰ τοῦτο οἰκείως ἐμοὶ διατίθεται, οὐδὲ γὰρ ὅ,τι ποτε τὸ τῆς μαγγανείας ὄνομα βούλεται, οὐδὲ τοῦτό γε οἶδα· ἀλλ' εἰ καὶ φρενῶν εἰσὶ καὶ λογικῆς αἰσθήσεως ἔρημα, ὅμως οὐδὲ καὶ αὐτὰ τὸν ἐμὸν δεδίσσεσθαι Δεσπότην καὶ διὰ τιμῆς τοὺς αὐτοῦ θεράποντας ἄγειν. Ὑμεῖς δὲ πολλῷ πάντως ἐστὲ καὶ αὐτῶν ἀλογώτεροι, ὅτι κἀκεῖνα τοῖς πρὸς τὸν κοινὸν Δεσπότην τιμῆς, ὑπόδειγμα ἔχοντες οὐδὲ οὕτω συνίετε.»

13. Ὁ ἡγεμὼν τοίνυν, ἐπεὶ μηδὲ ἀντιλέγειν εἶχε πρὸς ταῦτα, βιάζεσθαι φανερῶς ἐπεχείρει. «Τί δὲ καὶ εἰς τοῦτο μωρίας ἦλθες καὶ τόλμης, ἔλεγεν, ὡς κατεξαναστῆναι μὲν βασιλικῶν διατάξεων, ἀνέδην δὲ καὶ εἰς ἡμᾶς αὐτοὺς ἐξυβρίζειν; ἀλλὰ | 43.
βάσανοί σε πάντως καὶ ἄκοντα τὸ δέον διδάξειαν»· καὶ αὐτίκα κελεύει κρεμασθέντα τοῦτον σφοδρῶς καταξαίνεσθαι. Ὁ δὲ καὶ πικρῶς οὕτω ξεόμενος ὡς μηδηντιναοῦν αἴσθησιν ὀδύνης λαμβάνων, οὕτω διέκειτο· οὐ γὰρ θῆλυ πρὸς τοὺς δημίους εἶδεν, οὐκ ἐν τῇ βασάνῳ μαλακὸν ἐπεδείξατο, οὐ ταπεινόν τι καὶ ἀγενὲς ἐφθέγξατο, ἀλλ' ἅπας ἦν εὐθὺ τοῦ οὐρανοῦ ἀτενίζων καὶ παράκλησιν ἄνωθεν ἐκδεχόμενος. Καὶ τοῦ ἡγεμόνος τὸ δριμὺ τῶν ὀδυνῶν ἐπιτείνοντος, καὶ σφοδρῶς ἐγκειμένου, ὥστε εὐτονώτερον τὸν μάρτυρα ξέεσθαι, φωνή τις ἄνωθεν ἐνεχθεῖσα θεία, κουφίζει μὲν αὐτῷ τὸ πολὺ τῆς ὀδύνης, ἐπιῤῥωνύει δὲ τὸ κάμνον, καὶ βασάνων ἁπασῶν κρείττονα τίθησι· ταύτης πολλοὶ τῶν πιστῶν ἀκούσαντες, ἀσφαλέστερον τῇ εὐσεβείᾳ ἐπεστηρίζοντο. Ἀλέξανδρος δέ, ὡς τὸν γενναῖον μάρτυρα ἑώρα τοὺς ξαντηρίους ἐκείνους ὄνυχας παρ' οὐδὲν λογιζόμενον, αὐτὸς ὑπὸ τῆς μανίας μᾶλλον ἠμύσσετο τὴν καρδίαν· καὶ κατάγει μὲν

αὐτὸν ἐκεῖθεν, κάμινον δὲ πυρὸς ὑπανάπτει, ὡς κατ' αὐτῆς βληθῆναι τὸν ἀθλητήν.

14. Ἀνεκαίετο μὲν οὖν ἡ κάμινος ἤδη. Ὁ ἡγεμὼν δὲ, ἐ-
43. πειδὴ περὶ ἕτερα τέως ἠσχόλητο, | δέον ᾠήθη βραχὺ τῇ φυ-
λακῇ δοῦναι τὸν μάρτυρα. Ἔθελγε γάρ τις αὐτὸν ἐλπὶς, ὡς εἴ
γε καιρὸς αὐτῷ δοθείη ἐν ἑαυτῷ γενέσθαι καὶ ἀκριβέστερον
διασκέψασθαι, τῇ τε πείρᾳ τῶν προλαβόντων δεινῶν καὶ τὸ τῆς
μελλούσης καμίνου φόβῳ μαλακώτερος ἴσως πρὸς τὰς δευτέρας
ἐρωτήσεις ἀπαντήσει καὶ τῆς προτέρας οὐκ ὀλίγα μεταβαλεῖ
γνώμης. Δέχεται μὲν οὖν τὸν γεννάδαν τὸ δεσμωτήριον. Ὁ δὲ
προκατεχομένους εἰς τεσσαράκοντα χριστιανοὺς ἐν τούτῳ εὑρὼν
τῶν δεσμῶν τε αὐτοὺς ἀπολύει, καὶ τὰς κλεῖς τοῦ δεσμωτη-
ρίου καὶ τοὺς μοχλοὺς εὐχῇ μόνῃ διασαλεύσας, καὶ ὅλας αὐ-
τοῖς τὰς πύλας ἀναπετάσας, τούτοις μὲν ἀπονητὶ δίδωσιν ἐξελ-
θεῖν, ὁ δὲ μόνος ἐν τῇ φυλακῇ ὑπολείπεται, ἀγγελικῇ πα-
ρουσίᾳ πρὸς τοὺς μέλλοντας ἀγῶνας στομούμενος.

15. Ἐν τοσούτῳ τοίνυν ἡ κάμινός τε ἐκέκαυτο ἤδη, καὶ ὁ
ἡγεμὼν τῶν ἄλλων ἀμελήσας φροντίδων, τὸν μάρτυρα πάλιν
τῷ οἰκείῳ παρίστησι βήματι καί φησι· «πάντως κἂν νῦν ἡ
τοσαύτη περὶ τὰ ἀναγκαιότατα ἡμῶν ἀσχολία καὶ ὁ πρὸς ἐ-
κεῖνα περισπασμὸς, παρέσχον σοι μεταβουλεύσασθαί τι λυσιτε-
44. λὲς ἑαυτῷ· εἰ δὲ μὴ, | ἀλλ' ὁρᾷς τὴν κάμινον εἰς ὅσον ἐπῆρ-
ται; ὅμως οὐδὲν ἐρῶ ἕως ἂν ἡ ἀλόγιστός σε αὕτη ἔνστασις
πολλὰ σεαυτοῦ καταστενάξαι παρασκευάσῃ.» Καὶ ὁ γεννάδας
«καὶ πρότερον ἤδη σοι φανερὰν, ὦ ἡγεμὼν, τὴν ἐμαυτοῦ γνώ-
μην παρεστησάμην· τί καὶ πάλιν περὶ τῶν αὐτῶν πράγματα
σαυτῷ παρέχεις; ἀρξάμενος, πέρας ἐπιτίθει· μὴ μέλλε πρὸς τὰ
ἠπειλημένα.»

16. Ὁ δὲ εὐθὺς κατὰ τῆς καμίνου ἀφίησι τοῦτον. Ἀλλ' ὁ τοῖς ἐν Ἀσσυρίᾳ παισὶ τὴν κάμινόν ποτε δροσίσας Θεὸς, οὗτος κἀνταῦθα παρῆν, τοῦ πυρὸς ἀφαιρούμενος τὴν ἐνέργειαν, καὶ

ὁ μάρτυς ὥσπερ ἐν πολυανθεῖ λειμῶνι καὶ καταδρόσῳ, οὕτω τῇ φλογί ἀνεστρέφετο· ἀμέλει, καὶ διατριβὴν παρ' ὅλον καιρὸν τὸν τῆς καμίνου τοὺς πρὸς τὸ θεῖον ὕμνους πεποίητο. Εἰς τρεῖς μὲν οὖν ἡμέρας ἡ κάμινος αὐτὸν εἶχεν, εἶτα τῆς φλογὸς ἀπομαρανθείσης καὶ εἰς τέφραν τῶν ἀνθράκων διαλυθέντων, κελεύει τοῖς δημίοις ὁ ἡγεμὼν ἐξενεγκεῖν ἐκεῖθεν εἴ τι τῶν μαρτυρικῶν ὀστέων ὑπελείπετο. Οἱ δὲ πρὸς τῇ καμίνῳ γενόμενοι, ἀκούουσι τῆς ἐκείνου φωνῆς τρανότατα τὸ θεῖον εὐφημούσης· καὶ ὡς εἶχον εὐθὺς ἀναστρέψαντες τὸ ὑπερφυὲς ἐκεῖνο | τοῦ 44.
πράγματος ἀπαγγέλλουσι τῷ ἡγεμόνι. Ὁ δέ, μὰ τὸν μέγαν, φησί, Σαραπίωνα καὶ τοὺς ἄλλους θεοὺς ἅπαντας, γοητεία σαφής τοῦτό ἐστι, καὶ πολλὰ ἕτερα τῆς ἀληθείας κατεφλυάρει. Τοσαύτη θεοβλάβεια καὶ διαφθορὰ τῶν φρενῶν εἶχεν αὐτόν! Τὸ πλῆθος τοίνυν ὅσοι μικρὸν διαβλέψαι πρὸς τὴν ἀλήθειαν ἴσχυον, μηδὲ ἴχνος ἐφ' ἑαυτοῦ πυρὸς μηδ' αἰθάλην τινὰ φέροντα τὸν ἀθλητὴν θεασάμενοι, τὸν ἐκείνου ὕμνουν Θεὸν καὶ αὐτῷ μόνῳ τὸ θαῦμα ἐπέγραφον.

17. Ὁ μέντοι κατὰ πάντα ἀνόητος ἡγεμών, ἐπειδὴ ἀπὸ τῆς καμίνου καὶ πάλιν ὁ μάρτυς ὑγιὴς καὶ σῶος τῷ ἐκείνου βήματι παρέστη, μηδὲ τριχὸς αὐτῷ τοῦ πυρὸς ἁψαμένου, μακρὸν αὐτοῦ κατέχεε λῆρον, μαγικὴν αὐτῷ περιάπτων, καὶ φαρμακὸν καὶ δαιμονιώδη καὶ τὰ τοιαῦτα καλῶν. Ὁ δὲ οὐδὲ ἀποκρίσεως αὐτὸν ἠξίου. Καὶ ὁ μὲν ἐπὶ τὸ στάδιον αὐτὸν κατῆγε, δεῖπνον, ὡς ᾤετο, θηρσὶ ποιησόμενος, ὁ δὲ μειδιῶν ἠκολούθει· καὶ πάρδαλις μὲν κατὰ τοῦ μάρτυρος καὶ ἀνδροφόνος ἄρκτος ἠφίεντο. Ἀλλ' ἡ μὲν εὐλαβῶς αὐτῷ προσεκύνει, καὶ 45.
τῶν τούτου ποδῶν προεκαλινδεῖτο, εἶπες ἂν αὐτὴν | ἰδὼν τὰ ἐκείνου ἴχνη θερμῶς περιπτύσσεσθαι· ἡ δὲ πάρδαλις κοῦφόν τι καὶ ἥμερον ἀλύπως ἐφαλλομένη, ἀπέμασσέ τε αὐτοῦ τοὺς ἱδρῶτας τῇ γλώττῃ, καὶ περιεσπόγγιζε καὶ κατέψα· ὡσανεὶ λισσομένη τε αὐτὸν καὶ βαρέως ἐφ' οἷς ἐκεῖνος ἔπασχε φέρουσα.

Καὶ τὰ μὲν ὑπὸ τοῦ ἡγεμόνος ἀφεθέντα θηρία οὕτω τὸν ἐμὸν, ὡς ὁρᾶτε, διέθηκε στεφανίτην· ἀλλ' οὐχ ὁ παρ' ἐκείνου λαβὼν τὸ σύνθημα λέων οὕτως, ὃν δὴ κατὰ τῶν ἀσεβῶν αὐτὸς ὥπλισεν, ὡς προλαβὼν ὁ λόγος ἐδήλωσεν, ἀλλ' ἐκ τοῦ ὄρους βρύχων τε τοὺς ὀδόντας καὶ θυμοῦ πνέων σπουδῇ κάτεισι· καὶ τὸ θέατρον διαταράξας, καὶ εἰς μέρη διατεμὼν, πολλοὺς αὐτῶν ὀδοῦσι καὶ ὄνυξι διεσπάσατο· ἔνθεν τοι καὶ μυρίος τῶν ἀπίστων ὄχλος τὴν περὶ τὸν μάρτυρα δύναμιν θείαν συνιέντες τὸν αὐτοῦ Θεὸν ἐμεγάλυνον. Ταῦτα καὶ λίθους ὄντα μαλάξαι ἱκανὰ, τὸν ἡγεμόνα μᾶλλον σκληρότερον διετίθει, καὶ λέοντα πάλιν αὐτῷ ἐπαφίησιν· ὁ δὲ ὅσον ὁ προλαβὼν ἠγρίανε κατὰ τοῦ δυσσεβοῦς θεάτρου, καὶ πικροτέραν αὐτοῖς θανάτου εἰργάσατο τὴν ζωὴν, τοσοῦτον ἥμερος οὗτος καὶ χειροήθης προσῆλθε τῷ
45. μάρτυρι, παράκλησις ὑπὸ | τοῦ ἡγεμόνος αὐτῷ προσαχθῆναι δοκῶν τοῖς πολλοῖς, ἀλλ' οὐ κόλασις.

18. Ἀπογνοὺς τοίνυν πάντοθεν ὁ ἀναιδὴς ἡγεμὼν ἐκεῖνος, προτρέπεταί τινα τῶν ὑπ' αὐτὸν κατὰ χεῖρα γενναῖον, σιδηρᾶν κατὰ τῶν ἐκείνου σπλάγχνων τρίαιναν διελάσαι. Καὶ ὁ μὲν ἀμφοτέραις κατὰ τοῦ μάρτυρος ταύτην ὠθεῖ, ὁ δὲ συνυποῤῥέοντα τῷ αἵματι διαβαστάζει τὰ ἔγκατα, ὡς καὶ γυναῖκά τινα τῶν φιλομαρτύρων τὴν ταχίστην προσδραμοῦσαν ἐν κρατῆρι σταγόνα τοῦ αἵματος ὑποδέξασθαι· καὶ διὰ μέσου φαιδρὸς ἔρχεται τοῦ θεάτρου (πολλὴν γὰρ αὐτῷ τὴν ἀπὸ τῶν δημίων ἄδειαν παρεῖχε τὸ προσδοκώμενον ταχὺ τέλος) καὶ περιχαρὴς τῆς πόλεως ἔξεισιν ἐγκαλλωπιζόμενος τῷ φορτίῳ, ἥδιστα τὴν ἔνδον τῆς φύσεως διάπλασιν ἐπὶ τῶν χειρῶν περιφέρων· ὅτι τῷ πλάσαντι θυσία προσηνέχθη καὶ ἀπεδόθη εὐγνωμόνως τῷ δεδωκότι. Δύο τοίνυν στάδια προελθὼν, ἐπειδὴ ἅλις αὐτὸν ἔχειν τῶν πόνων τῷ ἀγωνοθέτῃ Χριστῷ ἐδόκει, ἐπί τινος ὑποκατακλίνεται σπηλαίου, καὶ πρὸς τοὺς ἐκεῖθεν ὁρᾷ στεφάνους καὶ φωνὴ ἄνωθεν ἥκει, καλοῦσα τὸν ἀθλητὴν ἐπὶ τὰς ἀϊδίους ἐ-

κείνας σκηνὰς καὶ τὰ ἔπαθλα, ἐπὶ τὴν ἐκεῖθεν λαμπρότητα καὶ τρυφὴν, αἳ τοῦτον ἐκδέχονται, καὶ εἰς ἃς εὐθὺς διαβαίνει, δευτέρα τοῦ Σεπτεμβρίου μηνός· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(*) ΜΑΡΤΥΡΙΟΥ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΒΑΡΛΑΑΜ.

1. Πολλῶν συναρπαζομένων χριστιανῶν καὶ ταῖς τιμωρίαις
παραδιδομένων ὑπὸ τῶν ἀθέων Ἑλλήνων καὶ τυράννων, τῶν
τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν πολεμησάντων, συνέβη κρατηθῆναι
καὶ τὸν μακάριον Βαρλαὰμ καὶ ἀποτεθῆναι ἐν φυλακῇ,
ἐν πόλει Ἀντιοχείᾳ ὑπὸ τοῦ τηνικαῦτα τὴν ἡγεμονίαν
αὐτῆς ἐμπιστευθέντος δεινοῦ καὶ ἀπηνοῦς ὑπάρχοντος, ὅστις
προκαθίσας δημοσίᾳ ἐπὶ τοῦ ὄχλου ἔφη πρὸς τὴν τάξιν· «κάλει
τὸν ἀλιτήριον.» Καὶ εἰσαχθέντος αὐτοῦ, ὁ ἄρχων εἶπε·
«τί τὸ ὄνομά σου;» Ὁ δὲ ἅγιος ἀπεκρίνατο· «τὸ μὲν τέλειον
ὄνομά μου χριστιανός εἰμι καὶ κέκλημαι, τὸ δὲ τῆς προσωνυμίας
Βαρλαάμ.» Ὁ ἄρχων εἶπε· «καλῶς ἐκλήθης Βαρλαάμ·
αὐτὸ γὰρ τὸ ὄνομα δύναται | ἡμᾶς πιστώσασθαι, ὅτι 293.
τὸ ὄνομα καὶ τὸ τῆς ἡλικίας γῆρας εἰς πολλήν σε φέρει ἀφροσύνην.»
Βαρλαὰμ εἶπεν· «ἐγὼ καὶ τὸ ὄνομα καὶ τὴν πολι-

(*) Μαρκ κῶδιξ CCCXLIX, φύλλ. 292, αἰῶν. XII. Nan.

τείαν καλλίστην ἔχω, ὁμολογῶν Θεὸν, ἐκ Θεοῦ γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, καὶ σαρκωθέντα ἐπ' ἐσχάτων τῶν ἡμερῶν.» Ὁ δικαστὴς ἔφη· «ἄφρον, μὴ γὰρ περὶ τούτου ἠρωτήθης; δοκεῖς μοι προπετὴς εἶναι, καὶ ταῦτα γέρων ὤν.» Βαρλαὰμ εἶπε. «μὴ χολᾷς ἑκών· ποθῶν γὰρ τὸν Χριστὸν, μὴ λαβὼν κέλευσιν παρὰ σοῦ ἀπεκρινάμην σοι.» Ὁ δικαστὴς εἶπεν· «ἐγὼ μετὰ πάσης ἀκριβείας καὶ ἀληθείας θέλω σε ἐρωτῆσαι. Οἱ γὰρ ὄχλοι οἱ παρεστῶτες κἀμοῦ τὴν μετ' ἀληθείας ἐπερώτησιν θέλουσιν ἀκοῦσαι, καὶ σοῦ τὴν ἔνστασιν θεάσασθαι· πάντες πάρεσμεν ἀκοῦσαί σου ὡς παλαιοῦ· ὅτι δὴ ἡ ὑμετέρα θρησκεία ἐπίθεσίς ἐστιν, πάντες ἴσμεν. Δεῖ οὖν σε κατὰ πεῦσιν ἀποκρίνασθαι, καὶ μηδὲν προπετὲς φθέγγεσθαι· ἢ γίνωσκε ὅτι, εἰ ἐκτὸς τῆς ἐπερωτήσεως ἀποκριθεὶς, κακὸν τοῦ βίου τὸ τέλος ἕξεις.»

2. Βαρλαὰμ εἶπεν· «ἐγὼ εὔχομαι καὶ σὲ μετ' ἀληθείας ἐρωτᾶν, κἀμὲ μετὰ πάσης ἀκριβείας ἀποκρίνασθαί σοι. Θέλω γὰρ τοὺς παρόντας ὄχλους, μάλιστα τοὺς χριστιανοὺς, θεατάς μου γενέσθαι· ἴσασι γὰρ ὅτι πρὸ τῆς ἐναντίας ὁδοῦ ὁ χριστιανισμὸς κατηγγέλθη, ἐρωτᾶν δέ σε θέλω μετ' ἀκριβείας τοῦ ἡμετέρου νόμου τὸ δίκαιον, κριτὴν δὲ τούτων θέλω εἶναι τὸν τοῦ Χριστοῦ Πατέρα. Πρῶτον οὖν ἐστιν ἀλήθεια ἡ εἰς αὐτὸν ὁμολογία· εἶτα βίος καθαρὸς ἐπιείκεια, πραότης, ἀγάπη, χρηστότης, ἀγαθοεργία, δικαιοσύνη, μακροθυμία· ὃ μισεῖς ἑτέρῳ μὴ ποιήσῃς.» Ὁ δικαστὴς εἶπε «μὰ τοὺς Θεούς! πάντες
293. ἴσμεν τοῦτο· ὅτι ἡ ἀλήθεια καὶ ὁ ὀρθὸς βίος ὁ τρόπος [ἐστὶ τῆς ἐλευθερίας. Οὐ τοῦτο δέ σε ἐπερώτησα, ἀλλὰ τίνα προσποιῇ προσκυνεῖν;» Βαρλαὰμ εἶπεν· «ἐγὼ Πατέρα προσκυνῶ καὶ τὸν Υἱὸν αὐτοῦ τὸν ἐξ αὐτοῦ γεννηθέντα, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα.» Ὁ δικαστὴς εἶπεν· «οὐκ εἶπον ὅτι ἡ ἡλικία σου εἰς λῆρον ἐτράπη καὶ φρεναπατᾷ σε; Οὐ δοκοῦσίν σοι καὶ οἱ θεοὶ κτίσματα τοῦ παντοκράτορος εἶναι;» Βαρλαὰμ

εἶπε· «μὰ τὸν Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ! αἰσχύνομαι ἀνανεῦσαι καὶ προσέχειν σοι, εἰρηκότι τὰ κτίσματα τῶν ἀνθρώπων εἶναι τοῦ Θεοῦ, καὶ ταῦτα θεοὺς ὀνομάζοντι· ἐγὼ γὰρ οὐ μὴ πεισθῶ κτίσμασι καὶ ποιήμασιν ἀνθρώπων λατρεῦσαι ἢ προσκυνῆσαι, ἀλλὰ πάντοτε ὁμολογήσω τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν ἐκ τοῦ Πατρὸς πρὸ τῶν αἰώνων γεννηθέντα.»

3. Ὁ ἄρχων εἶπεν· «οἱ ἀήττητοι βασιλεῖς ἐκέλευσαν τοὺς μὴ προσκυνοῦντας τοῖς θεοῖς, καὶ μὴ ἐξακολουθοῦντας τῷ προστάγματι αὐτῶν, ζωοκαύστους γενέσθαι.» Βαρλαὰμ εἶπεν· «ἕτοιμός εἰμι παρασχεῖν σοι τὸ σῶμά μου, ἵνα, ὃ βούλει, ποιήσῃς· ἐγὼ γὰρ καὶ δι' ὀλίγων καὶ διὰ πολλῶν πεῖσαί σε θέλω, ὅτι οὐ προσκυνῶ κτίσμασιν, οὐδὲ ποιήμασιν.» Ὁ δικαστὴς εἶπε·» μενούσης σοι τῆς τιμωρίας, τέως ἐπὶ τὸ προκείμενον ἔλθωμεν διὰ τὸν παρεστῶτα ὄχλον. Λέγε τοίνυν· πῶς ὁ Πατὴρ Υἱὸν ἔσχε, καὶ πότε;» Βαρλαὰμ εἶπεν· «οὐχ οἷόν τε τὸν πρὸ τῶν αἰώνων ὄντα χρόνῳ ὑποπίπτειν· λέγει γάρ· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε (Ψλ. ρθ'. 4), καὶ πῶς περὶ Θεοῦ ἐρωτᾷς, καὶ πῶς, καὶ πότε;» Ὁ δικαστὴς εἶπεν· «ἐγὼ ἀκούσας παρὰ σοῦ ὅτι ὁ Θεὸς ἔσχεν Υἱὸν, ἐπερώτησά σε πῶς ἂν εἴη τοῦτο· ἐγὼ γὰρ θεοὺς προσκυνῶ, ὡς καὶ οἱ δεσπόται μου οἱ βασιλεῖς ἐκέλευσαν.» Βαρλαὰμ εἶπε· «καὶ ἀνωτέρω σοι καὶ νῦν τὸ αὐτὸ λέγειν οὐ παραιτοῦμαι, ὅτι τὸν Υἱὸν τοῦ Θεοῦ | προσκυνῶ, τὸν ἀχρόνως γεννηθέντα, 294.
κτίσμασι δὲ καὶ ποιήμασιν οὐ λατρεύω, οὐδ' ἂν τὰ σύμπαντά μου σπλάγχνα τέμῃς.»

4. Ὁ δικαστὴς εἶπεν· «οὐκ ἔτι σου ἀνέχομαι τῆς μωρίας καὶ φλυαρίας, ἀλλ' αἰκιζόμενόν σε ποιῶ τὸ πρόσταγμα τοῦ βασιλέως ποιῆσαι. Νομίζων γὰρ διὰ τῶν λόγων μεταπεῖσαί σου τὸν λογισμὸν, καὶ φειδόμενός σου τοῦ γήρως, μακροθύμως ἐπερωτῶ σε· σὺ δὲ παρέμεινας τῇ μωρίᾳ σου, καὶ δοκεῖς μοι λῆρος εἶναι.» Βαρλαὰμ εἶπε· «μὴ χόλα· τοῦ γὰρ σώματος

ἔχεις ἐξουσίαν, τῆς δὲ ψυχῆς ὁ Θεός. Ὅθεν πεπίστευκα, ἐμ-
μένων τῇ ὁμολογίᾳ ταύτῃ, καὶ μὴ πιστεύων εἰς κτίσματα καὶ
ποιήματα, ἄχραντος διαμεῖναι εἰς αἰῶνα αἰῶνος.» Ὁ δικαστὴς
εἶπε· «νομίζεις ὅτι συντόμως σε ἀναιρῶ; κατὰ μικρόν σε βα-
σανίσω εἰς ἐπίδειξιν πάντων· ἵνα ἴδωμεν εἰ βοηθεῖ σοι ὁ Υἱός
τοῦ Θεοῦ σου, ὃν σὺ λέγεις.» Βαρλαὰμ εἶπε· «καὶ ἐβοήθησε
καὶ βοηθεῖ· καὶ οὐ συγχωρεῖ μοι καταλιπεῖν αὐτὸν καὶ λατρεύειν
κτίσμασι καὶ ποιήμασιν.» Ὁ δικαστὴς εἶπε· «χρήσομαί σοι
βασάνοις, ἃς οὐ προσδοκᾷς κατὰ τὴν ἀφροσύνην σου, ἵνα κἂν
διὰ τῶν βασάνων ὑπακούσῃς τῶν προσταγμάτων τῶν βασιλέων
καὶ θύσῃς τοῖς αἰωνίοις Θεοῖς.» Βαρλαὰμ εἶπεν· «εἰ μὴ χο-
λᾷς ἄρχων, λέγω· πλήν, κἂν θυμωθῇς, ἐγὼ τὴν ἀλήθειαν οὐ
κρύπτω. Ἀληθῶς οἱ προσκυνοῦντες τοῖς ποιήμασι μωραίνου-
σιν· οἱ γὰρ ταῦτα ποιοῦντες, ἄδηλον καὶ σύντομον τὸ τέλος
ἕξουσι· πῶς τὰ τούτων ποιήματα αἰώνιά ἐστιν;» Ὁ δικαστὴς
εἶπε· «χρήσασθε αὐτῷ ὠμοῖς δέρμασιν, ἵνα ὁ συμπεριφερόμε-
νος αὐτῷ δαίμων πεισθῇ ὑπακοῦσαι.» Βαρλαὰμ εἶπε· «καὶ
ἤδη σοι εἶπον, ὅτι ἐγὼ ἕνα Θεὸν σέβομαι καὶ προσκυνῶ· ὅ-
294*. θεν οὐ φοβοῦμαί | σου τὰς ἀπειλάς. Ἔχων δὲ πρὸ ὀφθαλμῶν
τὸν φόβον τοῦ Θεοῦ διαμένω ἄσπιλος· οὐ μόνον δὲ ἐγώ, ἀλ-
λὰ καὶ πάντες οἱ τῷ κανόνι τούτῳ ἐξακολουθοῦντες.»

5. Ὁ δικαστὴς εἶπε· «πειραθήτω τῆς δι' ὀνύχων βασάνου.» Βαρλαὰμ εἶπε· «μὰ τὸν Υἱὸν τοῦ Θεοῦ! οὐκ αἰσθάνομαι τῶν βασάνων, πρὸ ὀφθαλμῶν ἔχων τὸν Θεόν μου· ὑπὲρ δὲ τὰς βασάνους τὴν ἀφροσύνην ὑμῶν ὀδυνῶμαι, ὅτι τὰ ποιήματα τῶν ἀνθρώπων θεοὺς ὀνομάζετε. Διὸ συντόμως εὔχομαι τοῦ παρόντος βίου ἀπαλλαγῆναι, ἐμμένων τῇ ὁμολογίᾳ τοῦ Θεοῦ, καὶ μὴ ἀκούειν σου τοιαῦτα λέγοντος.» Ὁ δικαστὴς εἶπε· «τί λέγεις, Βαρλαάμ; πείσθητί μοι καὶ θῦσον· αἰδοῦμαι γάρ σου τὴν πολιάν, καὶ φειδόμενός σου, θέλω ἀρκεσθῆναί σε αἷς ὑπεδέξω βασάνοις.» Βαρλαὰμ εἶπε· «ἐγὼ τῶν βασάνων οὐκ

αἰσθάνομαι· ὅθεν ἑτοίμως ἔχω παρασχεῖν σοι τὸ σῶμά μου. Καὶ ἄλλας οὖν, εἴπερ ἔχεις τούτων σφοδροτέρας, πρόσαξαί μοι· πεῖσαί σε γὰρ ἐξ αὐτῶν τῶν πραγμάτων βούλομαι, ὅτι τῷ Θεῷ πιστεύω καὶ οὐ θύω δαίμοσιν, ἄχραντος διαμένων· καὶ γὰρ ὁ πόθος τοῦ Χριστοῦ, οὐ συγχωρεῖ μοι καταλιπεῖν αὐτόν. Καὶ εἰ μὴ ἐχόλας, ἀλλὰ ἠνείχου μακροθύμως, ἔλεγόν σοι ῥήματα ὀλίγα τῆς ἡμετέρας εὐσεβείας.» Ὁ ἄρχων εἶπεν· «εἶπον. Τί δὲ ἔχεις εἰπεῖν; τίς τῶν σοφῶν οὐκ οἶδεν ὅτι τὰ ῥήματα ὑμῶν γραώδη καὶ μυθώδη ἐστίν; ἐπιθέσει γὰρ ἐξακολουθεῖτε· πλὴν εἶπον μὴ χριστιανόν με δύνῃ ποιῆσαι;»

6. Βαρλαὰμ εἶπεν· «εὔχομαι τῷ Θεῷ μου μὴ μόνον χριστιανὸν σὲ γενέσθαι, ἀλλὰ καὶ πάντας τοὺς λέγοντας κτίσματα καὶ ποιήματα εἶναι θεούς, ἐναλλαγῆναι καὶ ὁμολογῆσαι τὸν Υἱὸν τοῦ Θεοῦ ἀληθῶς ἐξ αὐτοῦ τοῦ Πατρὸς γεγενημένον. Λέγω δέ σοι | τὰ γεγραμμένα· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς 295.
ἀγάπης τοῦ Χριστοῦ; θλίψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λοιμός; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα (Ῥωμ. η'. 35); Ὅθεν οὐ δύναμαι χωρισθῆναι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, καὶ θῦσαι δαίμοσιν, ἢ πιστεῦσαι κτίσμασι καὶ ποιήμασιν.» Ὁ ἄρχων ἔφη· «πολλά σου ἠνεσχόμην, νομίσας σέ τι λέγειν· ὑμεῖς γὰρ ἀπὸ ἀμαθίας τοιαῦτα φθέγγεσθε. Ἅψασθε αὐτοῦ εὐτόνως καὶ εἴπατε αὐτῷ· «ἴδωμεν, εἰ βοηθεῖ σοι Θεός σου καὶ ἡ πίστις σου.» Βαρλαὰμ εἶπε· «καὶ ἐβοήθησε καὶ βοηθεῖ μοι, οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἐμμένουσι τῇ ὁμολογίᾳ ταύτῃ. Καὶ γὰρ καὶ ἐνταῦθα ἀποδοχῆς εἰσιν ἄξιοι, καὶ ἐν τῷ μέλλοντι αἰῶνι βασιλείαν οὐρανῶν κληρονομήσουσιν.» Ὁ ἄρχων εἶπε· «βληθήτω εἰς δεσμωτήριον, ἵνα εὐκαιρήσας εὐτόνως αὐτὸν βασανίσω.» Βαρλαὰμ εἶπε· «καὶ νῦν καὶ πάλαι αὐτός ἐστιν ὁ Θεὸς ὁ βοηθήσας μοι, καὶ ὅτε θέλεις, ἕτοιμός εἰμι. Οὐ γὰρ συγχωρεῖ μοι ὁ Ἰησοῦς καταλιπεῖν με αὐτόν.»

7. Καὶ μεθ' ἡμέρας προκαθίσας ὁ ἄρχων ἐπὶ τοῦ βήματος ἐ-
κέλευσεν αὐτὸν ἀχθῆναι ἀπὸ τῆς φυλακῆς, καὶ ἀπεκρίθη λέ-
γων· «ἔπεισας σεαυτὸν λοιπὸν ἀπαλλαγῆναι τῶν μετὰ ταῦ-
τα βασάνων;» Βαρλαὰμ εἶπεν· «ἤδη πλειστάκις ἤκουσας
παρ' ἐμοῦ, ὅτι οὐ παραφρονῶ, οὐ θύω δαίμοσιν, οὐκ ἀρνοῦμαι
τὸν Θεόν μου καὶ προσκυνῶ κτίσμασι καὶ ποιήμασι· καὶ νῦν
παραιτοῦμαι ταῦτά σοι λέγειν. Ὅθεν, ὃ βούλει, ποίει.» Ὁ
ἄρχων ἔφη· «κρεμάσατε αὐτὸν, καὶ χρήσασθε αὐτῷ ὠμοῖς δέρ-
μασιν, ἵνα ὁ συμπεριφερόμενος αὐτῷ δαίμων ἐξέλθῃ ἀπ' αὐ-
τοῦ.» Βαρλαὰμ εἶπε· «δαίμονα οὐκ ἔχω, οὐδὲ αἰσθάνομαί
σου τῶν βασάνων.» Ὁ ἄρχων εἶπεν· «ἐγὼ ἀπέκαμον καὶ οἱ
295. κελευόμενοι βασανίζειν σε ἐκοπίασαν, | καὶ οὐ πείθῃ; ὀρθώσατε
αὐτὸν μετὰ τοῦ ξύλου εἰς τὸ ξύλον.» Βαρλαὰμ εἶπε· «μὰ
τὸν Υἱὸν τοῦ Θεοῦ! οὐκ ᾐσθόμην, ὧν νομίζεις βασάνων, τοῦ
Θεοῦ μου ἐπικουφίζοντός με.» Ὁ ἄρχων ἔφη· «τί λέγεις;
θῦσον καὶ ἀπαλλάγηθι.» Βαρλαὰμ εἶπεν· «οὐκ οἶδας τί ἐστιν
ὁ πόθος τοῦ Χριστοῦ·» Ὁ ἄρχων ἔφη· «πείσθητί μοι· ἀπὸ
γὰρ τοῦ κρέμασθαί σε, καὶ αἱ κλεῖδες τοῦ σώματός σου πα-
ρήλλαξαν, καὶ αἱ περὶ τὸ σῶμά σου ἁρμονίαι διελύθησαν. Ὅ-
θεν φειδόμενός σου λοιπὸν ἐλεῶ σου τὸ γῆρας καὶ παραινῶ σε
θῦσαι καὶ ἀπαλλαγῆναι.» Βαρλαὰμ εἶπε· «μὰ τὸν ἐν οὐρα-
νοῖς τὴν κατοικίαν ἔχοντα, καὶ ἐπὶ γῆς τοῖς ἀθληταῖς αὐτοῦ
βοηθοῦντα! οὐκ ᾐσθόμην σου τῶν βασάνων· ὅθεν οὐ θύω κτι-
σμασιν.»

8. Ὁ ἄρχων ἔφη· «ὑπτιάσατε αὐτοῦ τὴν χεῖρα, καὶ κάτωθεν βωμὸν ὑπόθετε καιόμενον, καὶ λιβανωτὸν ἐπίθετε ἐπὶ τὴν χεῖρα αὐτοῦ. Καὶ κελεύω ἀτρεμῆ τὴν χεῖρα αὐτοῦ ἔχειν, ἢ κενῶσαι τὰ ἐπὶ τῆς χειρὸς εἰς τὸν βωμόν.» Ὁ δὲ γενναῖος στρατιώτης τοῦ Χριστοῦ Βαρλαὰμ εἱστήκει ἀνορθώσας τὴν χεῖρα, καὶ μετεωρίζων εἰς τὸν βωμὸν, εἰς οὐρανοὺς δὲ τοὺς ὀφθαλμοὺς ἀτενίσας, εἶπε· «Σοὶ τῷ Πατρὶ καὶ τῷ Χριστῷ μου

προδίδω μου τὸ σῶμα. Ἵλεως γενοῦ τῷ λαῷ τῷ διεσκορπισμένῳ τούτῳ· καθάρσιον ποίησον τὸ αἷμά μου ὑπὲρ αὐτῶν·» καὶ τῷ βωμῷ οὐκ ἐνέβαλε τὸν λίβανον. Ὑποκαιομένου δὲ τοῦ πυρὸς, ἡ χεὶρ ἐκοιλαίνετο. Εἰργάζετο δὲ ὁ ἄνθραξ τὴν σάρκα, καὶ συνεσπάσθη τὰ νεῦρα, καὶ ἐτρυπήθη ἐκ τοῦ ἑτέρου μέρους ἡ χείρ, καὶ παρέμενε τῷ πόθῳ τοῦ Χριστοῦ ὁ ἀθλητὴς τοῦ Θεοῦ, καὶ οὕτως ἀπέδωκε τὸ πνεῦμα αὐτοῦ. Ἐμαρτύρησε δὲ ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ Βαρλαὰμ | μηνὶ Νοεμβρίῳ ιϛ', βα- 296.
σιλεύοντος καθ' ἡμᾶς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

(*) ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΠΟΡΦΥΡΙΟΥ, ΤΟΥ ΕΝ ΚΑΙΣΑΡΕΙΑι ΤΗΣ ΚΑΠΠΑΔΟΚΩΝ ΜΑΡΤΥΡΗΣΑΝΤΟΣ.

1. Αὐρηλιανὸς βασιλεύσας Ῥωμαίων, διωγμὸν κατὰ χριστιανῶν ἐκίνησεν. Ἦν δέ τις ἐν τοῖς χρόνοις ἐκείνοις ἀνὴρ, Πορφύριος τῷ ὀνόματι, Ἐφέσιος τῷ γένει, μῖμος τῷ ἐπιτηδεύματι, ἐν τοῖς θυμελικοῖς θεάτροις ἀνατραφείς. Τοῦτον ἰδὼν Ἀλέξανδρός τις, κόμης Καισαρέων, εὐφυῶς ὑποκρινόμενον, καὶ τερφθεὶς ἐπ' αὐτῷ, μετῴκισεν αὐτὸν ἀπὸ τῆς Ἀσίας εἰς τὴν Καππαδοκίαν. Θεάτρου δὲ ἐν τῇ Καισαρέων ἐπιτελουμένου, προστάξει τοῦ Ἀλεξάνδρου, καὶ πολλῶν παιγνίων τελουμένων, εἰσῆλθον καὶ ὑποκριταὶ τῆς τῶν χριστιανῶν ἀμωμήτου μυσταγωγίας τῆς

(*) Μαρκ. κῶδιξ CCCXLIX, φύλλ. 123, αἰῶν. XII. Zen.

ἐν τῷ θείῳ βαπτίσματι τελουμένης. Καὶ δὴ καταστήσαντες ἐπισκόπους καὶ πρεσβυτέρους, διακόνους τε καὶ τὰ λοιπὰ τάγματα οἱ θεμελικοί, προεβάλοντο τὸν Πορφύριον, ὡς κατηχούμενον, ὑποδέχεσθαι τὸ βάπτισμα μέλλοντα. Καὶ σχηματίσαντες ἑαυτοὺς κατὰ τὸν τύπον τῆς ἁγίας Ἐκκλησίας, ἐνέπαιζον τὰ τῶν χριστιανῶν μυστήρια. Καὶ ἐνέγκαντες ὕδωρ, καὶ ἐκδύσαντες τὸν Πορφύριον, ἔστησαν· καὶ ἐπικαλεσάμενος ὁ δῆθεν ἐπίσκοπος Πατέρα, καὶ Υἱόν, καὶ ἅγιον Πνεῦμα, ἐβάπτισεν αὐ-
124. τόν. | Καὶ ἐνδύουσιν αὐτὸν στολὴν λευκήν, οὐκ εἰδότες οἱ ἄθλιοι ἀχλεύαστον οὖσαν τὴν δύναμιν τοῦ Χριστοῦ· ἐκεῖνοι μὲν γὰρ ἐν χλεύῃ τὸ τῆς ἁγίας Τριάδος ὄνομα ἐπικαλεσάμενοι, τὸ ἅγιον ἐξεμυκτήριζον βάπτισμα τοῦ Χριστοῦ· ὁ δὲ θαυμαστὸς ἐν δόξαις καὶ φιλάγαθος Κύριος, τὸ θεῖον ἐκεῖνο δώρημα τιμῶν παρὰ τοῖς ἀπίστοις, καὶ τὴν ἑαυτοῦ πίστιν μετ᾽ ἰσχύος βεβαιῶσαι βουλόμενος, θαῦμα εἰργάσατο, τῶν πώποτε γενομένων παραδοξότατον, καὶ μήτις ἀπιστεῖν τολμήσῃ, ἵνα μὴ ἀκούσῃ, ὅτι ἔργον εἰργασάμην, ὃ οὐ μὴ πιστεύσετε ἐάν τις ἐκδιηγῆται ὑμῖν, ἀλλ᾽ ὁ ἀπιστήσας κατακριθήσεται. Τί γάρ; ἔστι τοῦτο πρὸς τὴν τοῦ Θεοῦ δύναμιν ἀδύνατον; σημεῖα δὲ τοῖς ἀπίστοις οὐ τοῖς πιστεύουσιν.

2. Ἅμα γὰρ τῷ βαπτισθῆναι τὸν ἄνδρα, ἡ τοῦ πνεύματος χάρις ἐπέπεσεν ἐπ᾽ αὐτόν· καὶ ὤφθησαν ἄγγελοι, λαμπαδηφοροῦντες καὶ προπορευόμενοι αὐτοῦ, καὶ φωνὴ ψαλμῶν ἠκούετο τερπνῶν, ὥστε ἀπὸ τῆς φωνῆς τῶν ἀγγέλων σεισθῆναι τὸ θέατρον· οἱ δὲ ὄχλοι ἐταράττοντο σχιζόμενοι. Οἱ μὲν γὰρ αὐτῶν ἔλεγον· οἱ θεοί εἰσιν οἱ σὺν τῷ Πορφυρίῳ ὁρώμενοι διὰ τὸ ἀγαπᾶν αὐτόν, ἄλλοι φαντασίαν ὑπενόουν τὸ πρᾶγμα, οἱ δὲ ἐθαύμαζον φάσκοντες· εἰ τὸ ἐν γέλωτι βάπτισμα τῶν χριστιανῶν τοιοῦτόν ἐστιν, τὸ ἐξ ὅλης καρδίας ὁποῖον ἄρα ἔσται; καὶ καταβάντες συναπῆλθον τῷ Πορφυρίῳ ἐπὶ τῇ τῶν χριστιανῶν ἐκκλησίᾳ, αἰτούμενοι παρὰ τοῦ ἐπισκόπου τὸ ἀληθινὸν βάπτισμα.

3. Ὁ δὲ κόμης, τότε μὲν ὑπὸ ἐκπλήξεως ἔλυσε τὸ θέατρον, τῇ δὲ ἐπαύριον τὸν Πορφύριον προσκαλεσάμενος, λέγει αὐτῷ· «οὐ μάγον σε, Πορφύριε, ᾔδειν, ἀλλὰ μῖμον· τί οὖν ἦν τὸ χθὲς ἐπὶ σοὶ γενόμενον φάντασμα;» Ὁ ἅγιος Πορφύριος ἔφη· «καὶ ὄντως εἰς τοσαύτην ἀθλιότητα μωρίας ἤλασας, ὡς φαντασίαν ἐκεῖνα πάντα δοκεῖν;» Ὁ κόμης λέγει· «ὑβρίζεις, μιαρώτατε· μὰ τοὺς θεοὺς! εἰμὴ ταχέως πρὸς αὐτοὺς ἐπιστρέψεις, θανάτῳ | σε παραδώσω.» Πορφύριος εἶπεν· «εἰ μὴ ση- 124.
μεῖον ἴδω παρ' αὐτῶν τελούμενον, οὐκ ἐπιστρέφω.»

4. Τότε προσκαλεσάμενος ὁ κόμης τοὺς τῶν θεῶν αὐτοῦ ἱερεῖς, δι' εὐχῆς θαυματουργεῖν αὐτοὺς ἐκέλευσεν. Οἱ δὲ στήσαντες ἐν μέσῳ ταῦρον, καὶ πρὸς τὸ οὖς αὐτοῦ λαλήσαντες, ἐθανάτωσαν αὐτόν. Λέγει οὖν ὁ Κόμης· «ἴδε Πορφύριε, δύναμιν θεῶν ἀήττητον καὶ προσκύνησον αὐτοῖς.» λέγει ὁ ἅγιος· «ζησάτω ὁ ταῦρος τῇ ἐπικλήσει τῶν θεῶν ὑμῶν, καὶ τότε ἡ δύναμις αὐτῶν ἀήττητος ἔσται.» Ἀτονοῦντες δὲ πρὸς τοῦτο οἱ ἱερεῖς, εἶπον· «ἡμεῖς διὰ τῶν θεῶν ἡμῶν ἀπεκτείναμεν, σὺ διὰ τοῦ Χριστοῦ σου ζώωσον, καὶ πιστεύσωμεν αὐτῷ.» Καὶ ἤρεσεν ὁ λόγος τῷ τε δήμῳ καὶ τῷ κόμητι. Καὶ πεσὼν ἐπὶ τὴν γῆν προσηύξατο ὁ ἅγιος, καὶ πάλιν ἀναστὰς, ἐπῆρε τὰς χεῖρας κατὰ ἀνατολὰς καὶ εἶπεν· «ἐπάκουσον δή μου, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς, ὃν, εἰ καὶ ἀνάξιος ὢν, ἐπέγνων, καὶ δεῖξον τὴν σὴν δύναμιν τοῖς περιεστῶσι, καὶ τὴν τῶν νεκρῶν ἀνάστασιν πίστωσον διὰ τοῦ βοὸς τούτου.»

5. Καὶ ἐπιστρέψας πρὸς τὸν ταῦρον, εἶπε· «σοὶ λέγω, ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ἀνάστηθι.» Καὶ παραχρῆμα ἀνέστη ὁ βοῦς, καὶ μυκώμενος ἐξῆλθεν ἐναντίον πάντων. Τῶν δὲ, ἅπαξ τῇ ἀπωλείᾳ προσκειμένων, μὴ ἐπιστραφέντων, ἀλλὰ τοῖς ἑαυτῶν θεοῖς καὶ τοῦτο ἐπιγραφόντων καὶ μεγαλυνόντων αὐτοὺς, δραμὼν ὁ ἅγιος ἐπὶ τοῖς λεγομένοις προσκηνίοις ἔνθα πλείονα ἵσταντο ἀγάλματα

θείῳ κινηθεὶς ζήλῳ, εἶπεν· «ἐν ὀνόματι τοῦ Χριστοῦ μου, ἔλθε-
τε κάτω.» Πεσόντων οὖν αὐτῶν, εἷς τῶν ἱερέων ὑπ' αὐτῶν
ἐθανατώθη, διαῤῥαγεὶς ὑπὸ ἀγάλματος τὴν γαστέρα. Τότε ἀ-
γανακτήσας ὁ κόμης, δίδωσι κατὰ τοῦ ἁγίου Πορφυρίου τὴν
διὰ τοῦ ξίφους ἀπόφασιν· ὁ δὲ ἅγιος χαρᾶς πλησθείς, μετε-
πέμψατο τάχιστα τὸν ἐπίσκοπον Καισαρείας, καὶ παρακαλέ-
125. σας τοὺς στρατιώτας ἄδειαν ἔλαβε, καὶ λάθρα | τὴν ἁγίαν
κοινωνίαν παρὰ τοῦ ἐπισκόπου λαβὼν, οὕτως ἐτελειώθη ὑπὸ
τοῦ ξίφους, καὶ πρὸς Χριστὸν διὰ τάχους ἀνέδραμε, τὸν ἐπὶ
τοῖς ἀγῶσι κομιούμενος τῆς νίκης στέφανον ἐν Κυρίῳ· ᾧ ἡ
δόξα, καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. Ἀμήν!

(*) ΒΙΟΣ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΘΕΟΔΩΡΟΥ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΣΥΚΕΩΝ, (1) ΣΥΓΓΡΑΦΕΙΣ ΠΑΡΑ ΓΕΩΡΓΙΟΥ ΜΑΘΗΤΟΥ ΑΥΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΑΙ ΗΓΟΥΜΕΝΟΥ ΤΗΣ ΑΥΤΗΣ ΜΟΝΗΣ.

1. Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξ ἀρχαίων τῶν χρόνων τοὺς ἑαυτοῦ θεράποντας, ὥσπερ φαιδροὺς φωστῆρας, ἐπὶ τῆς γῆς καταυγάσας πρὸς τὸ κυβερνᾶν καὶ διδάσκειν τὸν λαὸν αὐτοῦ τὰ ἐνάρετα καὶ θεάρεστα διδάγματα, οὓς καὶ ἕως τοῦ νῦν ἔχομεν διαπρέποντας ὡς ἀκτῖνας τοῦ τῆς δικαιοσύνης ἡλίου, διὰ τῆς τῶν θεοπνεύστων Γραφῶν ἡδυφωνίας, πρωτοτύπως Ἄβελ τὸν ἄκακον, Ἐνὼχ τὸν ἐνάρετον, τὸν δίκαιον Ἀβραάμ, τὸν πιστότατον Ἰσαὰκ τὸν τοῦ Χριστοῦ τύπον, Ἰακὼβ τὸν ἄπλαστον, Ἰωσὴφ τὸν σώφρονα, Ἰὼβ τὸν ὑπομονητικώτατον, Μωϋσῆν τὸν νομοθέτην, Σαμουὴλ τὸν εὐκτήριον, Δαυῒδ τὸν πραότατον, Ἡλίαν τὸν ζηλωτήν, Ἐλισσαῖον τὸν τερατοποιόν, Ἡσαΐαν τὸν μεγαλόφωνον, Ἱερεμίαν τὸν ἔντιμον, Ἰεζεκιὴλ τὸν τῶν χερουβὶμ ἐξηγήτορα, Δανιὴλ τὸν τῶν λεόντων φιμωτήν, τοὺς τὴν πυρὰν σβέσαντας τρεῖς παῖδας, Ζαχαρίαν τὸν ἱερέα, τὸν ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου πορευόμενον ἄμεμπτον, Συμεῶνα τὸν πρεσβύτην καὶ τὸ τοῦ κόσμου φῶς ἐναγκαλισάμενον, Ἰωάν-

(*) Μαρκιανὸς κῶδιξ CCCLIX, φύλλ. 193, αἰῶν. XII. Zan.

(1) «Ἔστι δὲ ποταμὸς ἐν Γαλάταις, ὅν περ καλοῦσιν οἱ ἐπιχώριοι Σίβεριν, τῶν μὲν καλουμένων Συκέων ἄγχιστα.» Προκοπίου, περὶ τῶν Ἰουστινιανοῦ κτισμάτων, σ. 316, ἔκδ. Βόννης.

νην τὸν βαπτιστὴν, τὸν τῆς ἐρήμου οἰκήτορα καὶ μείζονα τῶν προφητῶν, τὸν χορὸν τῶν δώδεκα ἀποστόλων, τὸν ἐν πάσῃ χώρᾳ καὶ πόλει θεμελιώσαντα τὴν τῶν ὀρθοδόξων χριστοπαράδοτον πίστιν, τὰ τῶν μαρτύρων πλήθη, τὰ τοῖς ἑαυτῶν σώ-
194. μασι καὶ αἵμασι [ταύτην ἐποικοδομήσαντα, τὰς τῶν ἁγίων πατέρων συνόδους, τὰς κυρωσάσας τὰ τῆς ἀποστολικῆς διδασκαλίας δόγματα, καὶ ἑτέρους πολλοὺς τοὺς ἐν τῇ παλαιᾷ καὶ καινῇ Διαθήκῃ πολιτευομένους, ὧν αἱ μνῆμαι ἐν ταῖς αὐτῶν ἀνακηρύττονται βίβλοις, οὓς διὰ τὸ πλῆθος σιωπῇ παρέδραμον, τοὺς ἐπισημοτέρους ὑμῖν παρεισενέγκας. Πάντας δὴ τοὺς ἐναρέτους ἀγωνιστάς τε καὶ σημειοφόρους ἁγίους τούτους ἔδωκεν ὁ Θεὸς εἰς τὸν κόσμον, κατασπείρας αὐτοὺς ὑφ' ἑκάστην γενεὰν τῶν ἀνθρώπων, ὥσπερ φαιδροὺς φωστῆρας, ἐκλάμποντας τοῖς τῶν ἀρετῶν καὶ ἀγώνων κατορθώμασι καὶ ταῖς τῶν χαρισμάτων ἀφθόνως ἀγαθοεργίαις, ὅπως ἐκ τούτων διδασκόμενοι καὶ πληροφορίαις θαυμάτων ἐναβρυνόμενοι καὶ ἀγώνων ἆθλα ἐνοπτριζόμενοι, ἀποφύγωσι μὲν τὴν τῶν πονηρῶν ἐπιτηδευμάτων ἀπώλειαν, εἰσέλθωσι δὲ μᾶλλον εἰς τὴν Χριστοῦ βασιλείαν καὶ δόξαν, εἰς ἣν τὰ παρ' αὐτοῦ ἐπαγγελθέντα ἀγαθὰ ἀπόκειται, ἃ ὁ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν (Α'. Κορ. β'. 9).

2. Οὕτω καὶ ἐν τῇ γενεᾷ ταύτῃ ὁ αὐτὸς ἀγαθὸς Θεὸς ἡμῶν ἀνέδειξεν ἡμῖν φωστῆρα λαμπρὸν ἀκτινοβολοῦντα, τὸν μακάριον Θεόδωρον, τὸν στῦλον τὸν ἀδιάπτωτον, τὸν δι' ὑπομονῆς νικήσαντα τὰ τοῦ διαβόλου μηχανήματα, τὸν φυγαδευτὴν τῶν δαιμόνων, τὸν ἰαματοδότην τῶν νοσούντων, τὸν πατέρα τῶν ὀρφανῶν καὶ σιτοδότην τῶν πενήτων, τὸ ἔνδυμα τῶν ἀσκέπων καὶ τῶν χειμαζομένων εὔδιον λιμένα, τὸν ἀντιλήπτορα τῶν καταπονουμένων, τὴν μετάνοιαν τῶν ἁμαρτωλῶν, τὴν βακτηρίαν τῶν πτωχῶν, τὴν παραμυθίαν τῶν θλιβομένων, τὸν σύγ-

χορον τῶν ἀποστόλων, τὸν συμμέτοχον τῶν ἁγίων, τὸν οἰκήτορα τῆς τῶν οὐρανῶν βασιλείας, τὸν ναὸν τοῦ ἁγίου Πνεύματος, τὸν πολλοὺς | ἐπὶ γῆς εἰς οὐρανοὺς χειραγωγήσαντα, 194.
τὸν πάσῃ ἀρετῇ κεκοσμημένον καὶ ἄφθονον ἔχοντα τὴν πηγὴν τῶν ἰαμάτων βρύουσαν, τὸν ἐκ νηπίας ἡλικίας τῷ Θεῷ προσελθόντα καὶ μέχρι τέλους εὐαρεστήσαντα, τὸν ὄντως Θεόδωρον καὶ τῷ ὀνόματι καὶ τῷ πράγματι. Διὸ, πατέρες καὶ ἀδελφοί, νείματέ μοι τὴν ἀκοὴν ὑμῶν εἰς τὴν θεοφιλῆ ταύτην διήγησιν· ἔστι γὰρ πανάρετος καὶ κατανύξεως γέμουσα, ἣν λεπτομερῶς ἐπείγομαι, τὸ κατὰ δύναμιν ἐξηγήσασθαι, καὶ τὴν πρὸς τὸν Θεὸν ἐκ παιδόθεν αὐτοῦ σπουδήν· ἄξια γὰρ ἀληθῶς εἰσι παραδοθῆναι τὰ τούτου παιδαγωγήματα. Δέομαι τοίνυν ὑμῶν τῶν ἐπὶ τὴν ἀκρόασιν ταύτην ἐληλυθότων, ἵνα, ὡς τὸ τῆς ἡλικίας μου νέον εἰδότες, συναγωνίσησθε καὶ εὔξησθε ὑπὲρ ἐμοῦ, ὅπως λήθην τῶν ἁμαρτιῶν μου ποιησάμενος ὁ μεγαλόδωρος καὶ πατὴρ τῶν φώτων Θεὸς, διηνεκῶς τὴν ἑαυτοῦ χάριν καὶ δωρεὰν καὶ σοφίαν ἐπαυξήσας, χορηγήσῃ τῇ ἐμῇ ἀναξιότητι τοῦ ἐκπληρῶσαί με τὰ θεοδώρητα τούτου θαυματουργήματα.

3. Ἐν τῇ τῶν Γαλατῶν χώρᾳ, χωρίον ἐστὶ λεγόμενον Συκεὼν, τελοῦν καὶ διακείμενον ὑπὸ τὴν Ἀναστασιουπολιτῶν πόλιν, τῆς πρώτης τῶν Ἀγκυρανῶν ἐπαρχίας· ἀφέστηκε δὲ ἀπὸ σημείων δώδεκα τῆς εἰρημένης Ἀναστασιουπόλεως. Τούτου δὲ τοῦ χωρίου κατὰ μέσον ἐστὶν ἡ δημοσία στράτα τοῦ βασιλικοῦ δρόμου, καὶ πανδοχεῖον ἐν αὐτῇ τῇ στράτᾳ, ἐν ᾧ ἦν κόρη πάνυ εὐμορφωτάτη, ὀνόματι Μαρία, καὶ τῆδε ἦν μήτηρ λεγομένη Ἐλπιδία, καὶ ἀδελφὴ προσαγορευομένη Δεσποινία. Αὗται οὖν αἱ γυναῖκες, κατοικοῦσαι ἐν αὐτῷ, ἐξετέλουν καὶ τὴν πρᾶξιν τῶν ἑταιρίδων. Ἐν δὲ τοῖς καιροῖς ἐκείνοις βασιλεύοντος τοῦ τῆς εὐσεβοῦς μνήμης Ἰουστινιανοῦ, καὶ τῶν βασιλικῶν διαταγμάτων κατερχομένων, ἔτυχέν τινα ἐπίσημον ἄνδρα τοὔνομα

195. Κοσμᾶν, τὸν ἐν ἱπποδρομίοις εὐδοκιμήσαντα | ἐν τῇ τῶν καμηλοπηδῶν τάξει, ἐκτελεῖν ἀποκρίσεις τοῦ βασιλέως· οὗτος οὖν ἀπερχόμενος ἐπὶ τὴν ἀνατολὴν, κατήντησε βραδέως ἐν τῷ πανδοχείῳ, καὶ θεασάμενος τὴν Μαρίαν, εὔοπτον καὶ ἐν ἐπιθυμίᾳ ταύτης γενόμενος, ἐκοιμήθη μετ' αὐτῆς. Συλλαβοῦσα τοίνυν ἐντεῦθεν ἡ γυνὴ, βλέπει κατ' ὄναρ ἀστέρα παμμεγέθη τε καὶ λαμπρὸν οὐρανόθεν ἐπὶ τὴν κοιλίαν αὐτῆς κατελθόντα. Ἔντρομος δὲ γενομένη, διυπνισθεῖσα ἐκ τοῦ φόβου, διηγήσατο τὸ ὀφθὲν αὐτῇ νύκτωρ τῷ λεχθέντι μαγιστριανῷ· καὶ πρὸς αὐτήν φησιν ὁ ἀνήρ· «φύλαξον σεαυτὴν, εἴ πως ἐπίδοι ὁ Θεὸς, γύναι, καὶ καρπὸν δῴη σοι τοῦ τῆς ἐπισκοπῆς ἀξιωθησόμενον κλήρου.» Καὶ ταῦτα εἰπὼν, ἐξελθὼν τὸ πρωΐ, ἤνυσε τὴν ὁδὸν αὐτοῦ χαίρων.

4. Παραγενομένη δὲ ἡ γυνὴ πρὸς πατέρα προορατικὸν, οἰκοῦντα πλησίον τοῦ χωρίου Βαλγατίας, τοῦ ὄντος ἀπὸ σημείων ἕξ, διηγήσατο τὸ ὀφθὲν αὐτῇ κατ' ὄναρ. Ὁ δὲ γέρων εἶπεν αὐτῇ· «ἐπ' ἀληθείας λέγω σοι, μέγας ἀνὴρ γενήσεται ὁ ἐκ σοῦ τεχθησόμενος παῖς, οὐκ ἐν τῇ τῶν ἀνθρώπων ὑπεροχῇ, ἀλλ' ἐν τῇ πρὸς τὸν Θεὸν εὐαρεστήσει. Ἀστὴρ μὲν γὰρ λαμπρὸς βασιλικὴν δόξαν προσημαίνων διακρίνεται παρὰ τοῖς τὸ κρίνειν ὁράματα σοφοῖς· ἀλλ' οὐχ οὕτως ἐπὶ σοὶ τοῦτο λεκτέον. Ἡ γὰρ λαμπρὰ τῶν ἀρετῶν καὶ τῶν χαρισμάτων εὐκοσμία ἐστὶν, ἡ ἐν εἴδει λαμπροῦ ἀστέρος ὁραθεῖσά σοι, ἣν κατέπεμψεν ὁ Θεὸς ἐπὶ τὸ ἐν σοὶ βρέφος· οὕτω γὰρ εἰώθει τοὺς ἀξίους αὐτοῦ δούλους πρὸ τοῦ τίκτεσθαι ἐν τῇ κοιλίᾳ ὄντας ἁγιάζειν. Ἀκούσας δὲ τοῦτο καὶ Θεοδόσιος, ὁ ἐπίσκοπος γεγονὼς τῆς Ἀναστασιουπολιτῶν πόλεως, καὶ αὐτὸς θεοφορούμενος, ὁμοίως αὐτῇ τοῦτο συνέκρινεν.

5. Πληρωθέντος δὲ τοῦ χρόνου τῆς κυήσεως αὐτῆς, ἔτεκε τὸν τοῦ Θεοῦ δοῦλον· καὶ ὀλίγων ἡμερῶν διαγενομένων, ὡς
195. ἐστὶν ἔθος τοῖς χριστιανοῖς, ἀπήγαγεν αὐτὸν ἐν τῇ τῶν | ὀρ-

θοδόξων ἁγίᾳ Ἐκκλησίᾳ καὶ προσήνεγκε τοῖς ἱερεῦσι καὶ ἐβάπτισαν αὐτὸν εἰς τὸ ὄνομα τῆς ἁγίας Τριάδος, Θεόδωρον ὀνομάσαντες, ὡς πρόδηλον ἐκ τοῦ ὀνόματος εἶναι τοῦ Θεοῦ δῶρον αὐτὸν ἔσεσθαι. Γενομένου δὲ αὐτοῦ ὡς ἐτῶν ἕξ, ἠβουλήθη ἡ μήτηρ αὐτοῦ στρατεῦσαι αὐτὸν ἐν τῇ βασιλευούσῃ πόλει, ζώνην τε χρυσῆν καὶ ἐσθῆτας αὐτῷ πολυτελεῖς καταστήσασα καὶ πᾶσαν τὴν δέουσαν χρείαν, πρὸς τὴν ὁδοιπορίαν ἠπείγετο. Καὶ τῇ νυκτὶ, ἐν ᾗ εἶχεν ἐξελθεῖν, φαίνεται αὐτῇ ὁ ἅγιος τοῦ Θεοῦ μάρτυς Γεώργιος λέγων αὐτῇ· «τίς ἡ βουλὴ, ἣν ἐβουλεύσω περὶ τοῦ παιδίου γύναι; μὴ κοπιάσῃς εἰς μάτην. Ὁ γὰρ ἐν τοῖς οὐρανοῖς βασιλεὺς, χρείαν αὐτοῦ ἔχει.» Ἀναστᾶσα δὲ τὸ πρωῒ, διηγήσατο τὴν ὀφθεῖσαν αὐτῇ ὅρασιν, δακρύουσα καὶ λέγουσα, ὅτι πάντως θάνατος ἤγγισε τῷ παιδίῳ μου· καὶ ἐντεῦθεν ἀπέσχετο τῆς ὁδοιπορίας. Πολλαῖς λοιπὸν φροντίσιν ἑαυτὴν συντήκουσα, ὀκταετῆ δὲ γενόμενον αὐτὸν, δέδωκε διδασκάλῳ μαθεῖν γράμματα· καὶ διὰ τῆς τοῦ Θεοῦ χάριτος ὑπὲρ πάντας τοὺς παῖδας εὐμαθὴς γενόμενος, προέκοπτεν ἐν τῇ τῶν γραμμάτων σοφίᾳ. Καὶ ἦν ἀγαπώμενος παρὰ πάντων, πᾶσι δὲ τοῖς κατὰ τὸν βίον ἀνδραγαθήμασι δόκιμος ἀνεδείκνυτο· καὶ γὰρ μετὰ τῶν νέων παίζων, ἀεὶ μὲν τούτους ἐνίκα, πλὴν ὅρκος, ἢ βλασφημία, ἤ τι τῶν ἀτόπων, οὔτε ἐν ἑαυτῷ ἦν, οὔτε αὐτὸς ἄλλῳ τινὶ συνεχώρει λαλεῖν. Εἰ δὲ καὶ πρὸς φιλονεικίαν ἤρχετο τῶν παιγνίων, αὖθις ἀπήρχετο τούτου, διὰ τῶν ἔργων λύων αὐτῶν τὴν φιλονεικίαν.

6. Ἦν δέ τις ἄνθρωπος ἐν τῷ οἴκῳ αὐτοῦ θεοσεβὴς, τοὔνομα Στέφανος, ὃς ἐποίει ἐργαστὰ βρώματα. Ἦσαν γὰρ λοιπὸν πάνυ κόσμιαι αἱ γυναῖκες, ἀνακαθίσασαι ἀπὸ τῆς πορνικῆς πράξεως, καὶ ἐπιλαβόμεναι τῆς θεαρέστου καὶ σώφρονος ὁδοῦ, καὶ πολλοὺς ἄρχοντας καὶ ἀξιωματικοὺς | ὑπεδέχοντο, ὥστε ξενίζεσθαι 196.
αὐτοὺς ἐπὶ τῇ τῶν βρωμάτων ἡδύτητι, καὶ διδόναι τῷ ταῦτα καρυκέυοντι Στεφάνῳ φιλοτιμίαν. Οὗτος οὖν εἴ τι δ' ἂν ἐλάμ-

βανε παρά τε τῶν γυναικῶν καὶ τῶν παρ' αὐταῖς εὐωχουμένων, ἐν ταῖς ἐκκλησίαις ἀνήλισκεν, ὄρθρου τε καὶ ἑσπέρας ἀπαραλείπτως εὐχόμενος. Ἐν δὲ ταῖς ἡμέραις τῆς ἁγίας τεσσαρακοστῆς πᾶσαν τὴν τῶν βρωμάτων αὐταῖς ὑπηρεσίαν ποιῶν, ἐνήστευεν ἕως ἑσπέρας, μηδενὸς μεταλαμβάνων, εἰμὴ ὀλίγων κολλύβων καὶ ὕδατος. Ἠγάπων δὲ αὐτὸν αἱ γυναῖκες καὶ εἶχον ὡς πατέρα διὰ τὸ φιλόχριστον εἶναι. Βλέπων δὲ αὐτὸν ὁ παῖς οὕτως ἐγκρατευόμενον, καὶ θείῳ ἔρωτι κινηθείς, τὴν αὐτοῦ πολιτείαν ἐζήλωσε, κατὰ τὴν ἀποστόλου φωνὴν τὴν λέγουσαν· «μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες· βρῶμα γὰρ ὑμᾶς οὐ παρίστησι τῷ Θεῷ (Ἑβρ. ιγ'. 7)». Τοῦτον δὲ τὸν τῆς ψυχῆς αὐτοῦ ζῆλον ἀγνοοῦσα ἡ μήτηρ αὐτοῦ καὶ αἱ σὺν αὐτῇ, ἐν τῷ παραγίνεσθαι αὐτὸν ἀπὸ τοῦ διδασκαλείου τῇ ὥρᾳ τοῦ ἀρίστου ἐβιάζοντο αὐτὸν ἐσθίειν σὺν αὐταῖς· ὁ δὲ ἀπερχόμενος ἐν τῷ διδασκαλείῳ, οὐκ ἔτι παρεγίνετο ἐν τῷ οἴκῳ αὐτοῦ τῇ τοῦ ἀρίστου ὥρᾳ ἀλλὰ διῆγεν ἐκεῖ ὅλην τὴν ἡμέραν νῆστις· καὶ ἑσπέρας παραγενόμενος ἐν τῷ οἴκῳ αὐτοῦ, ἀπήρχετο μετὰ τοῦ θεοσεβοῦς ἀνδρὸς Στεφάνου ἐν ταῖς ἁγίαις ἐκκλησίαις, καὶ εὐχόμενος μετελάμβανε τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ ἐν αὐταῖς· καὶ εἶθ' οὕτως ἐρχόμενος ἐν τῷ οἴκῳ, τῶν κολλύβων καὶ τοῦ ὕδατος μετελάμβανε σὺν τῷ εἰρημένῳ Στεφάνῳ. Πολλὰ δὲ ἀναγκασθεὶς
196. ὑπό τε τῶν γυναικῶν καὶ τοῦ αὐτοῦ Στεφάνου, [οὐκ ἐπείσθη τῆς ἐκείνων αἱρέσεως μετασχεῖν. Ἐπαρήγγειλε δὲ ἡ μήτηρ τῷ διδασκάλῳ τοῦ ἐκπέμπειν αὐτὸν κατὰ τὴν τοῦ ἀρίστου ὥραν, βουλομένη αὐτὸν πεῖσαι κἂν τῆς τῶν σπερμάτων βραχείας τροφῆς μετέχειν, διὰ τὸ ταπεινοῦσθαι αὐτὸν ἐκ τῆς ἀσιτίας καὶ βραδυφαγίας. Ὃς τὴν τοιαύτην παραγγελίαν εἰληφώς, ἐξέ-

πεμπεν αὐτὸν μετὰ τῶν λοιπῶν παιδίων· αὐτὸς δὲ κατὰ τὴν τοῦ Δαυῒδ μελῳδίαν τὴν λέγουσαν· «ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον (ι'.);».

7. Ἐν τῷ ἐξέρχεσθαι αὐτὸν ἀπὸ τοῦ σχολείου, ἀνήρχετο ἐπὶ τὸ παρακείμενον πετρῶδες ὄρος, ἔνθα ἦν καὶ τὸ μαρτύριον τοῦ ἁγίου Γεωργίου, ὀφθαλμοφανῶς ὁδηγούμενος ὑπὸ τοῦ αὐτοῦ ἁγίου ὡς ὑπό τινος νεανίσκου. Καὶ εἰσερχόμενος ἐν τῷ εὐκτηρίῳ, ἐκαθέζετο ἐν τῇ τῶν θείων Γραφῶν μελέτῃ ἀσχολούμενος· τῆς δὲ μεσημβρίας παρερχομένης, κατήρχετο εἰς τὸ διδασκαλεῖον, καὶ ἑσπέρας γενομένης, ἀπήρχετο εἰς τὸν οἶκον αὐτοῦ. Τῆς δὲ τούτου μητρὸς πυνθανομένης δι' ἣν αἰτίαν οὐ παραγίνεται ἐν τῇ τοῦ ἀρίστου ὥρᾳ πρὸς αὐτήν, αὐτὸς διαχλευάζων αὐτὴν ἔφασκεν· «ὡς τὴν τῶν γραμμάτων μάθησιν ἀπαγγεῖλαι μὴ δυνηθείς, μένειν ἠναγκάσθην ἐν τῷ διδασκαλείῳ· ἣν ὡς βλάβην στομαχικὴν αὐτῷ γενομένην, τοῦ φαγεῖν οὐκ ἔσχεν ὄρεξιν.» Πάλιν οὖν ἀπέστειλε πρὸς τὸν καθηγητὴν αὐτοῦ λέγουσα· «ἀπόστελλε τὸ παιδίον μετὰ πάντων.» Ὁ δὲ ἔφη· «ἀπολύεσθαι αὐτὸ σὺν πᾶσιν, ἀφ' οὗ τὴν αὐτῆς παραγγελίαν ἐδέξατο.» Μαθοῦσα δὲ ὅτι ἐπὶ τὸ μαρτύριον ἀνέρχεται, ἀπέστειλεν ἐκ τῶν παίδων αὐτῆς καταγαγεῖν αὐτόν. Οἱ δὲ ἀποσταλέντες, κατήγαγον αὐτὸν πρὸς αὐτήν. Ὅθεν ἐπαπειλησαμένη αὐτῷ, παρήγγειλεν εὐθέως ἀπὸ τοῦ διδασκαλείου παραγίνεσθαι πρὸς αὐτήν· ὁ δέ, πάλιν | τὴν τῶν προλαβουσῶν 197.
ἡμερῶν ἐξετέλει συνήθη διαγωγήν. Πολλὰ οὖν κοπιάσασα ἡ μήτηρ αὐτοῦ, νουθετοῦσά τε καὶ ἀπειλοῦσα, τὴν πρόθεσιν αὐτοῦ ταύτην μεταποιῆσαι οὐκ ἴσχυσεν, οὐδὲ τὴν ὁρισθεῖσαν αὐτῷ ἐγκράτειαν ἠδυνήθη ἐγκόψαι.

8. Ὄντος δὲ αὐτοῦ ὡς ἐτῶν δώδεκα, ἐγένετο θανατικὸν ἐκ τοῦ βουβῶνος (sic) ἐν τῷ χωρίῳ ἐκείνῳ, ὥστε καὶ αὐτὸν ἀῤῥωστῆσαι παραπλήσιον θανάτου. Ἀπήγαγον δὲ αὐτὸν ἐν τῷ εὐκτηρίῳ

οἴκῳ τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ τῷ ὄντι πλησίον τοῦ χωρίου, καὶ ἀνέκλιναν πρὸς τὰ εἴσοδα τοῦ θυσιαστηρίου. Ἐπάνωθεν δὲ αὐτοῦ ἐν τῷ σταυροδόχῳ ἵστατο εἰκὼν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὀδυνωμένου τοίνυν αὐτοῦ ἐκ τοῦ βομβῶνος, ἄφνω ἐκ τῆς εἰκόνος ἐπέταξαν αὐτῷ σταγόνες δρόσου, καὶ εὐθέως τῇ χάριτι τοῦ Θεοῦ κουφισθεὶς τοῦ πόνου, ὑγιὴς ἐγένετο, καὶ ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ. Καθεύδοντος δὲ αὐτοῦ ἐν ταῖς νυξὶ μετὰ τῆς μητρὸς καὶ τῶν σὺν αὐτῇ, παραγινόμενος ὁ μάρτυς τοῦ Χριστοῦ Γεώργιος, καὶ πάντας ὕπνῳ βαθυτάτῳ καταφέρων, διύπνιζεν αὐτὸν, τὰς μὲν πρώτας ἐν σχήματι τοῦ προγεγραμμένου Στεφάνου, ἔπειτα καὶ ἐν τῇ οἰκείᾳ ὁράσει, λέγων αὐτῷ· « ἀνάστα, κύριε Θεόδωρε, ἀνέβη ὄρθρος· ἀπελθόντες, εὐξώμεθα ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Γεωργίου. » Τοῦ δὲ ἐπὶ τοῦτο μετὰ πολλῆς χαρᾶς καὶ προθυμίας ἀνισταμένου, ἐξάγων αὐτὸν ἀπὸ τῆς οἰκίας, ἀνέφερεν ἐν τῷ εὐκτηρίῳ αὐτοῦ, ἔτι σκοτίας οὔσης, ὥστε καὶ δαιμόνων πειρασμοὺς θεωρεῖν τὸν παῖδα· οἱ γὰρ πονηροὶ καὶ τῆς ἀληθείας ἐχθροὶ δαίμονες, ἐν εἴδει λύκων καὶ ἄλλων θηρίων ἐμφανίζοντες αὐτῷ ἑκατέρωθεν, κεχηνότες ὥρμων ὡς ἐπὶ τὸ ἀνελεῖν αὐτὸν, ἵνα διὰ τῆς δειλίας ἀποστήσωσιν αὐτὸν τῆς ἀγαθῆς προθέσεως. Ὁ δὲ μάρτυς τοῦ Χριστοῦ προσλαμβανόμενος αὐτὸν,
197. ὡς ἀνὴρ κατέχων ῥομφαίαν, ἐδίωκεν αὐτοὺς | ἀπ' αὐτοῦ, ὥστε μηδόλως αὐτὸν θροηθῆναι ἕνεκεν τῶν ὁρωμένων αὐτῷ θηρίων, ἀλλὰ καὶ προθυμότερον γενόμενον ἀδιαλείπτως ἀνέρχεσθαι.

9. Ταύτην οὖν τὴν συνήθειαν ἀρξαμένου αὐτοῦ ἐπιτελεῖν, ἕωθεν διεγειρόμεναι ἐκ τοῦ ὕπνου ἥ τε μήτηρ αὐτοῦ καὶ αἱ σὺν αὐτῇ, καὶ μὴ ὁρῶσαι αὐτὸν ἐπὶ τῆς κλίνης, ὑπενόουν ἐν τῷ μαρτυρίῳ αὐτὸν διανυκτερεύσαντα ἀπελθεῖν· καὶ ἐθαύμαζον πῶς, ἐν μέσῳ αὐτῶν καθεύδων, οὕτως ἀθρόως ἐξήρχετο, μηδενὸς γινώσκοντος. Φοβούμεναι οὖν μήπως θηριόβρωτον γένηται, ἐπειδὴ μονόλυκος ἐκεῖ ἐνεδήμει ἐν τοῖς τότε καιροῖς,

ὅστις ἥρπαζε τὰ παιδία, ἐκολάκευον αὐτὸν τοῦ μὴ ἀναβαίνειν ἐν τῷ εὐκτηρίῳ, μάλιστα πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον, διὰ τὸ ἄγριον καὶ ἐπίφοβον εἶναι τὸν τόπον ἐκεῖνον. Μὴ πεισθεὶς οὖν ὁ παῖς κατὰ τὴν ὡρισμένην ὥραν διυπνισθεὶς ὑπὸ τοῦ μάρτυρος, ἀπῆλθεν ἐν τῷ εὐκτηρίῳ· πρωΐας δὲ γενομένης μὴ εὑροῦσαι αὐτὸν, εἰς ὀργὴν ἐτράπησαν, καὶ πέμψασαι κατήγαγον αὐτὸν συρόμενον ἐκ τῶν τριχῶν· καὶ μαστίξασα αὐτὸν ἡ μήτηρ αὐτοῦ, ἔδησεν ὀπισθάγκωνα πρὸς τὴν κλίνην, καὶ οὐδὲ τροφὴν αὐτῷ δέδωκεν. Τῇ δὲ νυκτὶ ἐκείνῃ φαίνεται αὐτῇ τε καὶ ταῖς σὺν αὐτῇ γυναιξὶν ὁ ἅγιος τοῦ Θεοῦ μάρτυς Γεώργιος, περιεζωσμένος ῥομφαίαν, ἣν καὶ σπασάμενος ἐπήρχετο αὐταῖς, ἀπειλῶν καὶ λέγων, ὅτι « ἄρτι τὰς κεφαλὰς ὑμῶν αἴρω, διότι τὸ παιδίον βιαζόμεναι τιμωρεῖτε, κωλύουσαι αὐτὸ ἔρχεσθαι πρός με. » Διομοσαμένων δὲ αὐτῶν μηκέτι τοῦτο ποιεῖν, οὕτως ἀνεὶς τὴν ἑαυτοῦ ἀπειλὴν ἀνεχώρησεν. Διυπνισθεῖσαι οὖν ἐκ τοῦ φόβου, ἔλυσαν αὐτὸν, καὶ κολακεύσασαι παρεκάλουν αὐτὸν μὴ ὀργισθῆναι αὐταῖς ἐπὶ τοῖς ἐπταισμένοις. Ἐπηρώτων δὲ αὐτὸν, ποίᾳ τόλμῃ χρώμενος οὕτω πρὸ τοῦ αὔγους ἀνέρχεται. Ὁ δὲ ἔφασκεν· « ὅτι τὰς | πρώτας μετὰ Στεφά- 198.
νου, ὕστερον δὲ μετὰ τοῦ ὡραιοτάτου καὶ εὐειδοῦς νεανίσκου ἀνέρχομαι. » Καὶ ἔγνωσαν αὐτὸν εἶναι τὸν μάρτυρα τὸν ὀφθέντα αὐταῖς κατ' ὄναρ, καὶ οὐκ ἔτι ἐβιάσαντο αὐτὸν διὰ τὴν τοῦ μάρτυρος ἐπιστασίαν, λέγουσαι· τὸ θέλημα τοῦ Κυρίου γενέσθω. Εἶχε δὲ καὶ ἀδελφὴν μικροτάτην ὀνόματι Βλάτταν, ἥτις πολὺ συμπαθοῦσα καὶ ἀγαπῶσα αὐτὸν, ἠγωνίζετο εἰς τὸ ἔργον τοῦ Θεοῦ, καὶ πολλάκις ἐν ταῖς ἡμέραις συνανήρχετο αὐτῷ ἐν τῷ μαρτυρίῳ, πάντα τὸν κόπον αὐτοῦ εἰς ἑαυτὴν ἀναδέξασθαι σπουδάζουσα.

10. Μαθὼν δὲ ὁ παῖς τὰ γράμματα πάνυ καλῶς, ἐν μιᾷ τῶν ἡμερῶν εἰσελθὼν ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Γεμέλλου, ὄντα ἔγγιστα τοῦ οἴκου αὐτοῦ, ἔμεινεν ἐκεῖ τὴν νύκτα·

καὶ θεωρεῖ ὥσπερ παραστάσιμον ἑαυτὸν γεγονότα πρὸς βασιλέα, πολλῆς περὶ αὐτοῦ οὔσης δορυφορίας, καὶ γυναικὸς πορφυροφορούσης αὐτῷ παρεστηκυίας, καὶ ἤκουσεν αὐτοῦ λέγοντος· « ἀγωνίζου, Θεόδωρε, ἵνα τέλειον μισθὸν ἀπολάβῃς ἐν τῇ οὐρανίῳ στρατιᾷ, καὶ ἐπὶ γῆς δὲ ἐντίμως δοξάσω σε ἐνώπιον τῶν ἀνθρώπων. » Ταύτης τῆς φωνῆς ἀκούσας, ἔξυπνος ἐγένετο. Ὑπάρχων δὲ δωδεκαέτης, διὰ τῆς τοῦ ὀφθέντος αὐτῷ βασιλέως Χριστοῦ προτροπῆς διεγερθεὶς τὸν νοῦν, καὶ σπεύδων ἐπὶ τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας βαδίζειν, ἤρξατο καὶ περιορίζειν ἑαυτὸν εἰς ἓν τῶν κελλίων τοῦ οἴκου αὐτοῦ ἀπὸ τῶν Θεοφανείων ἕως τῶν Βαΐων, καὶ τὰς δύο ἑβδομάδας τῆς τεσσαρακοστῆς, τὴν πρώτην καὶ μέσην, μηδενὶ λαλῶν τὸ καθόλου, μόνῳ τῷ Θεῷ τὴν εὐχὴν ἀπεδίδου, τὴν δὲ ἐγκράτειαν εἶχε κατὰ τὸν τύπον τὸν πρότερον.

11. Ἰδὼν δὲ ὁ τῆς ἀληθείας ἐχθρὸς διάβολος ὅτι τὰ κατ᾽ αὐτοῦ πνευματικὰ καὶ ἐνάρετα ὅπλα ἐπιμελῶς κτᾶται, ἐσκέψατο ἀπολέσαι αὐτόν. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν μετασχηματι-
198. σθεὶς | εἰς ἕνα συσχολίτην αὐτοῦ, Γερόντιον τοὔνομα, παραλαμβάνει αὐτὸν καὶ ἀναφέρει ἐπὶ τοὺς κρημνοὺς τοῦ λεγομένου τόπου Τζίδραμα, καὶ στήσας αὐτὸν ἐπάνω πέτρας ὑψηλῆς τῶν ἐκεῖσε κρημνῶν τὸν ἐπὶ τοῦ Σωτῆρος πειρασμὸν προβαλλόμενος, εἶπεν αὐτῷ· « ἐὰν θέλῃς, κύριε Θεόδωρε, ἐπιδείξασθαι τὸ νικητικόν σου, ἐνταῦθα ἐπίδειξον, καὶ πήδησον ἐντεῦθεν κάτω. » Θεωρήσας δὲ αὐτὸς τὸ ὂν βάθος, λέγει τῷ προσλαλοῦντι αὐτῷ· « βαθύ ἐστι καὶ φοβοῦμαι. » Εἶπε δὲ αὐτῷ ὁ διάβολος· « ἤδη εἰς πάντας τοὺς παῖδας ἀνδρειότερός μου εἶ, καὶ νικᾷς με, εἰς δὲ τοῦτο ἐγὼ οὐ δειλιῶ, ἀλλὰ ῥίπτω ἐαυτὸν κάτω. » Ἀπεκρίθη αὐτῷ ὁ παῖς· « μὴ ποιήσῃς τοῦτο, μὴ μέλλῃς κυλλοῦσθαι, ἢ καὶ τελευτᾶν. » Τοῦ δέ, δισχυριζομένου ἀκινδύνως τοῦτο ἐπιδείκνυσθαι, καὶ αὐτὸς εἶπεν αὐτῷ· « ἐὰν σὺ τὸ σχῆμα τοῦτο ποιήσῃς, κἀγὼ αὐτὸ ποιῶ. » Ἑστὼς

οὖν ὁ διάβολος μετ' αὐτοῦ ἐπὶ τῆς πέτρας, ἐπήδησε κάτω, καὶ στὰς ὀρθῶς, ἔκραξε πρὸς τὸν παῖδα Θεόδωρον λέγων· « ἴδε ἐγὼ πεποίηκα τοῦτο. Ἐὰν εἶ δυνατός, ἐλθὲ καὶ σύ, ἵνα ἴδω σου τὸ γενναῖον, εἰ, ὡς εἰς τἄλλα, καὶ εἰς τοῦτο εὐδόκιμος εἶ. » Διαλογιζομένου δὲ τοῦ παιδὸς καὶ φόβῳ συνεχομένου ἐπὶ τῷ τοιούτῳ ἀσυμφόρῳ ἐπιτηδεύματι, καὶ ξενιζομένου ἐπὶ τῇ τόλμῃ τοῦ νομιζομένου Γεροντίου, ὡς μηδέπω τοιούτου τολμηροῦ ὄντος τὸ πρότερον, ἔφθασε καὶ ὁ τοῦ Χριστοῦ μάρτυς Γεώργιος, καὶ κρατήσας τῆς χειρὸς αὐτοῦ, ἀπέστρεψεν αὐτὸν ἐκεῖθεν λέγων· « ἔρχου, ἀκολούθει μοι, καὶ μὴ ἄκουε τοῦ πειρασμοῦ ἐκείνου τοῦ ζητοῦντος τὴν ψυχήν σου· οὐ γὰρ Γερόντιός ἐστιν, ἀλλ' ὁ ἐχθρὸς τοῦ γένους ἡμῶν· » καὶ οὕτως ἀποκατέστησεν αὐτὸν ὁ ἅγιος μάρτυς ἐν τῷ εὐκτηρίῳ αὐτοῦ.

12. Διάγοντος δὲ αὐτοῦ ἐκεῖ, ἐν μιᾷ τῶν ἡμερῶν ἀνελθοῦσα ἥ τε μήτηρ αὐτοῦ καὶ ἡ μήτηρ τῆς μητρὸς αὐτοῦ, πολλαῖς κολακείαις ἠνάγκαζον αὐτὸν | κατελθεῖν ἐν τῷ οἴκῳ αὐτῶν, 199.
φάσκουσαι φίλων ἐνδόξων παρουσίαν αὐτὰς περιμένειν. Ὁ δὲ παῖς ἅπαντα πληρῶν τὰ τῆς θείας γραφῆς τῆς λεγούσης· « ἡ φιλία τοῦ κόσμου τούτου ἔχθρα εἰς τὸν Θεὸν τυγχάνει, καὶ ὁ θέλων τούτου φίλος εἶναι ἐχθρὸς τοῦ Θεοῦ καθίσταται (Ἰακ. δ'. 4) ». « Οὐ γὰρ δύναταί τις Θεῷ δουλεύειν καὶ Μαμωνᾷ (Λουκ. ιϛ'. 13) », οὐκ ἐπείσθη αὐταῖς τοῦ κατελθεῖν, ἀλλὰ καὶ τὸν τοῦ κόσμου πλοῦτον μηδὲν ἡγούμενος, καὶ θέλων τοῦτον ἀποῤῥίψαι, ἀποζωσάμενος τὴν ζώνην αὐτοῦ τὴν χρυσῆν, καὶ τὰ ἐν τῷ τραχήλῳ αὐτοῦ περιθέματα, τό τε ἐν τῇ χειρὶ αὐτοῦ δεξιάριον ἔῤῥιψεν ἔμπροσθεν αὐτῶν λέγων· « ὅτι ὑμεῖς τὴν τούτων ἀπώλειαν ὑφορώμεναι, διὰ ταῦτα ἐποχλεῖτέ μοι. Λάβετε οὖν αὐτὰ καὶ ὑπάγετε· ἐγὼ γὰρ τῶν ἐνταῦθα οὐ μὴ χωρισθῶ. » Καὶ λαβοῦσαι αὐτὰ ἀπῆλθον, μὴ δυνηθεῖσαι αὐτὸν μεταπεῖσαι. Ἦν γὰρ αὐτοῦ ὁ σκοπὸς ὅλος πρὸς τὸν Κύριον, οὗ μιμητὴς γενόμενος, τοῖς αὐτοῦ ἴχνεσιν ἐπηκολούθει, καὶ τοὺς γονεῖς ἀπέ-

φευγεν, καὶ τῷ Θεῷ προσέτρεχεν, καὶ τὸν πλοῦτον καὶ τὰς οἰκίας ἐγκατελίμπανεν, ἵνα μισθοὺς ἑκατονταπλασίονας ἀπολάβῃ, καὶ ζωὴν αἰώνιον κληρονομήσῃ, καθὼς λέγει ὁ ταῦτα ἐπαγγειλάμενος Κύριος· « ὅ ς θ έ λ ε ι, φησίν, ὀ π ί σ ω μ ο υ ἐ λ θ ε ῖ ν, ἀ π α ρ ν η σ ά σ θ ω ἑ α υ τ ὸ ν κ α ὶ ἀ ρ ά τ ω τ ὸ ν σ τ α υ ρ ὸ ν α ὐ τ ο ῦ κ α ὶ ἀ κ ο λ ο υ θ ε ί τ ω μ ο ι (Ματθ. ιϛ'. 24). » Καλῶς γὰρ ὁ δικαιότατος παῖς τὸ ἑαυτοῦ σῶμα ἀπηρνεῖτο κατατήκων καὶ μαραίνων ὡς ἀλλότριον, καὶ ὡς κατὰ τῆς ψυχῆς αὐτοῦ στρατευόμενον, καὶ τὸν σταυρὸν ἐπὶ μετώπῳ βαστάζων, καθὼς Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ οἱ λοιποὶ τῶν ἀποστόλων, ἀ φ έ ν τ ε ς π ά ν τ α, ἠ κ ο λ ο ύ θ η σ α ν τ ῷ Ἰ η σ ο ῦ (Μαρκ. α'. 18), οὕτω καὶ οὗτος ὁ παῖς ταῖς τῶν Γραφῶν μαρτυρίαις πιστευόμενος, ἐσπούδαζε ταύτας πληροῦν.

13. Μιμήσασθαι τοίνυν θέλων τὸν Δαυῒδ ἐν τῇ θεοπρεπεῖ
199. ὑμνῳδίᾳ, ἤρξατο | μανθάνειν τὸ ψαλτήριον. Δυσκόλως δὲ καὶ μετὰ πολλοῦ κόπου μαθόντος αὐτοῦ ἕως ἑξκαιδεκάτου τὸν ἐπιόντα ἑπτακαιδέκατον ψαλμὸν οὐκ ἠδύνατο ἀποστηθῆσαι. Μελετῶν γοῦν ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου μάρτυρος Χριστοφόρου, τῷ ὄντι πλησίον τοῦ χωρίου, καὶ μὴ δυνάμενος μαθεῖν, ῥίψας ἑαυτὸν ἐπὶ πρόσωπον, ἐδέετο τοῦ Θεοῦ, ὅπως εὐμαθῆ αὐτὸν ποιήσῃ εἰς τὴν τῶν ψαλμῶν μελέτην. Ὁ δὲ φιλάνθρωπος Θεὸς ὁ εἰπών· α ἰ τ ε ῖ τ ε κ α ὶ δ ο θ ή σ ε τ α ι ὑ μ ῖ ν (Ματθ. ζ'.7), ἔδωκεν αὐτῷ τὴν αἴτησιν αὐτοῦ. Ἀναστάντι γοῦν αὐτῷ ἐκ τοῦ ἐδάφους, καὶ τῇ εἰκόνι τοῦ Σωτῆρος προσέχοντι καὶ δεομένῳ, ᾔσθετο γλυκύτητα ἡδύτερον μέλιτος ἐγχυθεῖσαν ἐν τῷ στόματι αὐτοῦ. Ὁ δὲ γνοὺς τὴν χάριν τοῦ Θεοῦ καὶ μεταλαβὼν τῆς γλυκύτητος καὶ εὐχαριστήσας τῷ Χριστῷ, ἀπὸ τῆς ὥρας ἐκείνης εὐκόλως καὶ εὐμαθῶς ἀπεστήθιζε τὸ ψαλτήριον, ἐν ὀλίγαις ἡμέραις ἅπαν αὐτὸ ἐκμαθών· καὶ οὕτως ἐν πάσαις ταῖς ἐκκλησίαις ἀπήρχετο, ψ α λ μ ο ῖ ς κ α ὶ ὕ μ ν ο ι ς κ α ὶ ᾠ δ α ῖ ς π ν ε υ μ α τ ι κ α ῖ ς ᾄ δ ω ν κ α ὶ ψ ά λ λ ω ν τ ὸ ν Κ ύ ρ ι ο ν (Κολ. γ'. 16)·

Καὶ ὅπου δ' ἂν μνήμη ἁγίων ἐπετελεῖτο, προθύμως παρεγένετο. Ὁμοίως δὲ καὶ ἐν τῇ Ἰοπολιτῶν πόλει, οὔσῃ ἀπὸ σημείων δεκαπέντε ἐν τῷ καιρῷ τῆς παννυχίδος τοῦ ἁγίου μάρτυρος Εὐρέτου, ἐξερχόμενος τῇ ὥρᾳ τοῦ δείπνου, ἀπήρχετο δρόμῳ εἰς τὴν παννυχίδα νῆστις, καὶ εὐχόμενος καὶ τῶν θείων τοῦ Χριστοῦ μυστηρίων μεταλαμβάνων, ὑπέστρεφεν ἐν τῇ ὥρᾳ τοῦ μεσονυκτίου καταλαμβάνων τὰ ἴδια. Ἦν γὰρ εὔδρομος πάνυ, ὡς διαφόρως ἐπὶ συνθηκῶν ἵπποις αὐτὸν συνδραμεῖν τὸ τριμίλιον καὶ νικῆσαι.

14. Διδασκόμενος δὲ ἐκ τῆς τῶν παροιμιῶν φωνῆς τῆς λεγούσης· ὅπου δ' ἂν ἀκούσῃς ἄνδρα συνετὸν ὄρθριζε πρὸς αὐτόν (Σειρ. ϛ'. 36)· μετὰ γὰρ ὁσίου ὅσιος ἔσῃ καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ (Ψαλ. ιζ'. 27), πολὺν πόθον ἐκέκτητο εἰς τοὺς δούλους τοῦ Θεοῦ, καὶ ὅπου ἂν ἤκουε περὶ ἀνδρὸς δικαίου, παρεγίνετο πρὸς αὐτὸν, καταμανθάνων αὐτοῦ | τὴν πολιτείαν, ὡς καλὴ μέλιττα ἀναλεγόμενος τὰ 200.
ἄνθη τῶν ἀρετῶν αὐτοῦ, ὥσπερ τινὰ ἐφόδια ἐκομίζετο. Ἦν δέ τις πατὴρ ἅγιος ὀνόματι Γλυκέριος ἐν τόπῳ λεγομένῳ Τραπέζας, ὄντι ὡς ἀπὸ σημείων δέκα, καὶ παραγίνεται πρὸς αὐτὸν, θέλων εὐλογηθῆναι ὑπ' αὐτοῦ, ἵνα ὥσπερ ὁ Ἐλισσαῖος ὁ τερατοποιὸς εὐλογηθεὶς ὑπὸ Ἠλιοῦ τοῦ προφήτου, διπλασίαν πνεύματος καὶ χάριτος ἔλαβεν, καὶ αὐτὸς τὸν ὅμοιον τρόπον διὰ τῆς τοῦ Σωτῆρος εὐλογίας κρειτόνων ἀρετῶν καὶ χαρισμάτων ἀξιωθῇ. Εὐλογία γὰρ πατρὸς στηρίζει οἴκους καὶ πόνους τέκνων (Σειρ. γ'. 9). Ἰδὼν τοίνυν αὐτὸν ὁ τοῦ Θεοῦ ἄνθρωπος, καὶ θεόθεν γνοὺς τὴν ἐν αὐτῷ ἀνθοῦσαν ἐνάρετον πολιτείαν, ἐδέξατο αὐτὸν γνησίως, καὶ προσμειδιῶν αὐτῷ εἶπεν· « ἀγαπᾷς τέκνον τὸ σχῆμα τῶν μοναχῶν; » Ὁ δὲ ἀποκριθεὶς ἔφη· « ναί· πίστευον, πάτερ, πάνυ αὐτὸ ἀγαπῶ, καὶ ποθῶ κἀγὼ τούτου ἀξιωθῆναι. » Οὔσης δὲ ἀβροχίας ἐν τῷ τόπῳ ἐκείνῳ, ἐξελθόντες ἀμφότεροι ἔστησαν ἔξω εἰς τὸν ἀέρα,

ἔμπροσθεν τῆς κόγχης τοῦ ἐκεῖσε εὐκτηρίου οἴκου τοῦ ἁγίου Ἰωάννου τοῦ Βαπτιστοῦ. Καὶ ἔφη ὁ μακάριος πρὸς τὸν παῖδα· « κλίνωμεν τὰ γόνατα εἰς προσευχὴν, τέκνον, ὅπως φιλανθρωπευθῇ ὁ Κύριος καὶ βρέξῃ ὑετὸν ἐπὶ τὴν γῆν, καὶ ἐν τούτῳ γνωσόμεθα, εἰ ἐν τῷ ἀριθμῷ τῶν δικαίων ἐσμέν. » Εὐχομένων δὲ αὐτῶν, ἐγένετο σύννεφος ὁ οὐρανὸς, καὶ μετὰ τὸ ἀναστῆναι αὐτοὺς ἀπὸ τῆς εὐχῆς ἔβρεξεν ὁ Κύριος ὑετὸν πολὺν ἐπὶ τὴν γῆν. Χαρᾶς δὲ πλησθεὶς ὁ γέρων ἐπὶ τῇ τούτου ἀγαθότητι, προσμειδιῶν τῷ παιδίῳ εἶπεν· « ἀπὸ τοῦ νῦν, τέκνον, ὅσα ἂν αἰτήσῃ τὸν Κύριον παρασχεθήσεταί σοι· πλήρωσον οὖν τὸ ποθούμενόν σοι, καὶ Κύριος ὁ Θεὸς ἔσται μετὰ σοῦ, καὶ αὐξήσει σε καὶ τῇ τοῦ σώματος ἡλικίᾳ καὶ τῇ τῶν ἀρετῶν πολιτείᾳ. » Εὐλογηθεὶς οὖν ὁ παῖς καὶ ἀσπασάμενος αὐτὸν, παρεγένετο εἰς τὸν οἶκον αὐτοῦ.

200. 15. | Ἔχων δὲ ἤδη τῷ τῆς ἡλικίας χρόνῳ τεσσαρακαιδέκατον ἔτος, ἐθέσπισε παρ' ἑαυτῷ ἀποτάξασθαι τῷ οἴκῳ αὐτοῦ παντελῶς, καὶ ἐν τῷ μαρτυρίῳ διάγειν. Καὶ δὴ συνταξάμενος ταῖς γυναιξὶν, ἀνῆλθεν ἐν τῷ εὐκτηρίῳ, καὶ διῆγεν ἐκεῖ εὐχαριστῶν τῷ Θεῷ· ἔτι δὲ ἀγνοοῦσα ἡ μήτηρ αὐτοῦ καὶ αἱ σὺν αὐτῇ γυναῖκες τὴν μακαρίαν αὐτοῦ διαγωγὴν ἄτρεπτον οὖσαν καὶ μηδαμῶς λυομένην διὰ τὴν ἔτι παιδικὴν αὐτοῦ ἡλικίαν, ἀνέφερον αὐτῷ ἄρτους καθαροὺς, καὶ ὀρνέων ἑψητῶν καὶ ὀπτῶν διαφοράς. Ὁ δὲ, ἀπεδέχετο μὲν ἅπαντα διὰ τὴν αὐτῶν πληροφορίαν, καὶ διὰ τὸ ἐν τῷ κρυπτῷ εἶναι τὴν νηστείαν αὐτοῦ, οὐ μὴν ἐκέχρητό τινι τούτων· ἀλλὰ μετὰ τὸ κατελθεῖν αὐτοὺς, ἐξερχόμενος ἔξω τοῦ μαρτυρίου, ἔρριπτε πάντα ἐπάνω πέτρας καὶ εἰσήρχετο, καὶ κατεσθίοντο ὑπὸ τῶν πετεινῶν καὶ θηρίων. Εἰ δὲ καί τις ἄνθρωπος διήρχετο ἐκεῖθεν, ἐλάμβανεν αὐτὰ ἐκ τῆς πέτρας. Ἦν δὲ ἡ τροφὴ τοῦ παιδὸς ἐκ τῶν προσφερομένων δώρων ἐν τῷ μαρτυρίῳ, εἰ δὲ καὶ ἔλειψεν αὐτῷ ποτε, ἄρτοις μόνοις ἠρκεῖτο.

16. Ἤκουε δὲ περί τινος τόπου ὄντος ἀπὸ σημείων ὀκτὼ, καλουμένου Ἄρκεα, ὡς μὴ δύνασθαί τινα τῷ τόπῳ ἐκείνῳ προσεγγίσαι, μάλιστα δὲ τῇ ὥρᾳ τῇ μεσημβρινῇ, διὰ τὸ περιηχεῖσθαι τὴν λεγομένην Ἄρτεμιν μετὰ πολλῶν δαιμόνων ἐκεῖ διατρίβειν καὶ ἀδικεῖν μέχρι θανάτου. Ξενιζόμενος οὖν ἐπὶ τῇ τοιαύτῃ φήμῃ, ἐν ταῖς ἡμέραις τοῦ Ἰουλίου καὶ Αὐγούστου μηνὸς, μετὰ τὸ πληροῦν αὐτὸν τὴν τῆς τρίτης ὥρας ψαλμῳδίαν, ἀπήρχετο δρομαῖος κατὰ τὸν τόπον ἐκεῖνον, καὶ ὅλον τὸ μεσημβρινὸν διῆγεν ἐκεῖ ἐν τοῖς νομιζομένοις τόποις τῆς Ἀρτέμιδος. Μηδεμιᾶς οὖν αὐτῷ πονηρᾶς ἐνεργείας φαινομένης διὰ τῆς τοῦ Χριστοῦ ἀντιλήψεως, ὑπέστρεφεν ἐν τῷ μαρτυρίῳ. | Ὀρύξας δὲ 201.
ἐν αὐτῷ, ἐποίησε σπήλαιον σκοτεινὸν ὑπὸ τὴν γῆν, ὑποκάτωθεν τοῦ βήματος τοῦ θυσιαστηρίου, καὶ ἐν τῇ νυκτὶ τῶν Θεοφανείων, συναγομένων τινῶν πρὸς αὐτὸν κληρικῶν καὶ λαϊκῶν, κατερχόμενος σὺν αὐτοῖς ἀπὸ τοῦ μαρτυρίου ἐν τῇ διαβάσει τοῦ ὕδατος, καὶ αὐτὸς μόνος εἰσερχόμενος ἐν τῷ ὕδατι, ἵστατο ἕως οὗ πᾶσα ἡ προφητικὴ καὶ ἀποστολικὴ καὶ εὐαγγελικὴ ἀνάγνωσις σὺν τῇ λοιπῇ λειτουργίᾳ ἐγίνετο· ὡς μετὰ τὴν πλήρωσιν τούτων, μόλις ἀνασπᾶν τοὺς πόδας αὐτοῦ σὺν πηλῷ καὶ κρυστάλλοις συμπαγεῖσι· καὶ οὕτω μετὰ ψαλμῳδίας ἀνήρχετο ἐν τῷ εὐκτηρίῳ. Καὶ γινομένης ἡμέρας, ἐπιτελῶν τὴν ἑορτὴν, εἰσήρχετο ἐν τῇ διωρυγῇ τῇ ὑπὸ τὴν γῆν, ἡσυχίαν διάγων ἕως τῶν Βαΐων, ὡς πάντας τοὺς ὁρῶντας καὶ ἀκούοντας ταῦτα ἐκτεῖναι εἰς τὸν οὐρανὸν τὰς χεῖρας καὶ λέγειν· « ἐξομολογούμεθά σοι, πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτὰ τῷ νηπίῳ τούτῳ· ναὶ ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου (Ματθ. ια'. 25). » Ἡ οὖν μάμμη αὐτοῦ Ἐλπιδία συνέπασχεν αὐτῷ πάνυ, καὶ ἠγάπα αὐτὸν πλέον τῶν δύο θυγατέρων αὐτῆς· καὶ ἀνερχομένη αὐτὴ ἐν τῷ εὐκτηρίῳ προσεκαρτέρει αὐτῷ τὸν τῆς ἡσυχίας χρόνον, καὶ τὴν ὑπηρεσίαν αὐτῷ ἐποίει,

ἐπιδιδοῦσα αὐτῷ βραχεῖαν τροφὴν ὀπώρας, ἢ λαχάνων συνθέτων· καὶ τοῦτο δὲ τῷ Σαββάτῳ καὶ τῇ Κυριακῇ, ἐν ἄλλαις δὲ ἡμέραις οὐδὲ ὅλως ἐγεύετο· καὶ ταύτην τὴν ἐγκράτειαν ἐξετέλει ἕως τῶν Βαΐων. Ἀκούων δὲ τὰ κατ' αὐτὸν ὁ τοῖς τότε καιροῖς ἐπίσκοπος Θεοδόσιος, τῆς Ἀναστασιουπολιτῶν πόλεως, ἔχαιρεν ἐπ' αὐτῷ καὶ ἐμεγάλυνεν αὐτὸν πρὸς πάντας, φάσκων, ὡς ἀπὸ τοῦ Θεοῦ κινούμενον ταῦτα διαπράττεσθαι.

201. 17. Ἐν μιᾷ | οὖν τῶν ἡμερῶν ὁ μισόκαλος δαίμων ἐποίησεν αὐτὸν ἀῤῥωστῆσαι ἐκ τοῦ ψύχους, ὡς μὴ δύνασθαι αὐτὸν σαλευθῆναι. Κατενεχθέντος δὲ αὐτοῦ εἰς ὕπνον, παρέστη αὐτῷ ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ Γεώργιος καὶ λέγει αὐτῷ· « τίς σε ἐποίησεν ἀῤῥωστῆσαι, τέκνον; » Ὁ δὲ κατανοήσας ἔμπροσθεν αὐτοῦ ἑστὼς ἀκάθαρτον δαιμόνιον μελανοειδές, ὡς δῆθεν ὑποδεικνύων τῷ μάρτυρι εἶπεν· « ἐκεῖνο τὸ βδέλυγμα τὴν ἀσθένειάν μοι περιέβαλεν. » Ὁ δὲ μάρτυς ἰσχυρῶς βασανίσας τὸν δαίμονα ἐφυγάδευσεν ἀπ' αὐτοῦ, καὶ ἐπιλαβόμενος τῆς χειρὸς αὐτοῦ ἤγαγεν αὐτὸν λέγων· « ἀνάστηθι ἀπὸ τῆς ἀῤῥωστίας σου καὶ ἔσο ὑγιής· οὐκ ἔτι γὰρ ἔμπροσθέν σου φανήσεται πονηρὸς δαίμων. » Εὐθέως οὖν διυπνισθεὶς ὁ παῖς, ἀνέστη ὑγιής. Ὁ δὲ φιλάνθρωπος Θεὸς ὁ τοῖς ἁγίοις αὐτοῦ ἀποστόλοις δοὺς ἐξουσίαν κατὰ τῶν πνευμάτων τῶν ἀκαθάρτων καὶ τὰς νόσους φυγαδεύειν (Ματθ. Ι'.), ἔδωκε καὶ αὐτῷ χάριν κατὰ δαιμόνων τοῦ ἐκβαλεῖν αὐτοὺς ἀπὸ τῶν ἀνθρώπων, καὶ ἰᾶσθαι τοὺς ἀσθενεῖς.

18. Μετὰ γὰρ τὴν ἑορτὴν τοῦ ἁγίου Πάσχα, ἐν μιᾷ τῶν ἡμερῶν παρεγένετό τις ἄνθρωπος ἐν τῷ εὐκτηρίῳ ἔχων παιδίον μονογενὲς ὑπὸ πνεύματος ἀκαθάρτου ἐνοχλούμενον· καὶ πίστει φερόμενος ὁ ἄνθρωπος ἐδέετο τοῦ ἐναρέτου παιδὸς Θεοδώρου, ὅπως ἰάσηται αὐτοῦ τὸ παιδίον. Ὁ δὲ ἐνάρεστος παῖς τοῦ Χριστοῦ οὐκ ᾔδει τί ἔμελλε ποιεῖν ἐπ' αὐτῷ, ἀλλά γε καὶ ἐξενίζετο ὡς νέος ὤν. Ὁ δὲ πατὴρ τοῦ δαιμονιῶντος ἐπέδωκεν

αὐτῷ φραγγέλλιον, καὶ μετὰ δακρύων εἶπεν αὐτῷ· « κύριέ μου
δοῦλε τοῦ Χριστοῦ, λαβὼν τοῦτο καὶ ἐμβριμησάμενος τῷ τέ-
κνῳ μου, τύψον αὐτὸ λέγων· « ἔξελθε, ἔξελθε ἀκάθαρτον δαι-
μόνιον ἐκ τοῦ παιδίου τούτου ἐν ὀνόματι τοῦ Κυρίου μου. »
Ταῦτα ἀκούσας παρ' αὐτοῦ ὁ δίκαιος, ἐποίησεν οὕτω· καὶ τα-
ραχθεὶς ὁ δαίμων, | ἤρξατο αὐτὸν εὐτελίζειν καὶ ὡς πλάνον 202.
διαγορεύειν, καὶ εἴ τι ἂν ἤκουε παρ' αὐτοῦ, τὸν αὐτὸν λόγον
ἀπεκρίνατο, καὶ οὐκ ἐδίδου αὐτῷ ἀπόκρισιν ἐπὶ ἡμέρας δύο.
Τῇ δὲ ἡμέρᾳ τῇ τρίτῃ πάλιν τὸ αὐτὸ σχῆμα ἐποίησεν ἐπὶ
τῷ παιδίῳ ὁ παῖς τοῦ Χριστοῦ Θεόδωρος, καὶ κινηθεὶς πάλιν
ὁ δαίμων, ἤρξατο κράζειν· « ἐξέρχομαι, παιδίον, ἐξέρχομαι καὶ
οὐκ ἀντιλέγω, ἔνδος μοι μίαν ὥραν. » Τοῦ δὲ ἀποστάντος ἐπὶ
τὸ θυσιαστήριον, ἐβόα τὸ δαιμόνιον οὕτως· « ὢ τῆς βίας τοῦ
Ναζωραίου τοῦ ταῦτα ἐπεγείροντος καθ' ἡμῶν! Ἀφοῦ γὰρ κα-
τῆλθεν ἐπὶ τῆς γῆς καθ' ἡμῶν τοὺς ἀνθρώπους ὁπλίζει, καὶ
νῦν τῷ τῆς πόρνης υἱῷ δέδωκεν ἐξουσίαν ἐκβαλεῖν ἡμᾶς. Οὐ-
αί μοι τῷ ἀθλίῳ, ὑπὸ ποίου παιδίου διώκομαι! οὐ φέρω γὰρ
τὴν καταπεμφθεῖσαν αὐτῷ χάριν ἐξ οὐρανοῦ. Οὐαὶ τῇ ἡμε-
τέρᾳ φύσει γενήσεται ἀπὸ τοῦ πορνογεννήτου τούτου, ὅτι
πολλοὺς ἡμῶν ἐκ τῶν ἀνθρώπων ἀποδιώξει. Ἀλλὰ τοῦτό μοι
τὸ δεινὸν, ὅτι εἰς ἐμὲ ἡ ἀρχὴ αὐτοῦ γέγονε, καὶ οὐ τολμῶ
ἀπελθεῖν πρὸς τὸν πατέρα μου τὸν διάβολον, ὑπὸ παιδίου
τοιούτου διωχθείς. Εἰ γὰρ ἦν παρὰ γέροντος, οὐκ ἦν μου τὸ
ὄνειδος μέγα· καταραθείη ἡ ἡμέρα, ἐν ᾗ ἐγεννήθης! » Ταῦτα
λέγοντος αὐτοῦ, λαβὼν ἐκ τοῦ ἐλαίου τῆς κανδήλης ὁ παῖς
τοῦ Θεοῦ Θεόδωρος, ἥψατο τῆς κεφαλῆς αὐτοῦ, καὶ τῷ ση-
μείῳ τοῦ σταυροῦ ἐπετίμησεν αὐτῷ λέγων· « ἔξελθε λοιπὸν
πνεῦμα πονηρότατον, καὶ πολλὰ μὴ φλυάρει. » Καὶ κράξας ὁ
δαίμων, ἔρριψε παρὰ τοὺς πόδας αὐτοῦ τὸν παῖδα, καὶ ἐξῆλ-
θεν ἀπ' αὐτοῦ. Καὶ ἦν ἐκεῖνος ὁ ἰαθεὶς παῖς ὡς νεκρὸς, ὡς
θρηνῆναι τὸν παῖδα Θεόδωρον, καὶ νομίσαι ὅτι ἀπέθανεν. Εἶ-

πε δὲ αὐτῷ ὁ πατὴρ αὐτοῦ· « δὸς αὐτῷ χεῖρα, κύριέ μου, καὶ ἀνάστησον αὐτόν. » Καὶ παραχρῆμα ἐλθὼν εἰς ἑαυτὸν ἀ-
202. νέστη, καὶ διὰ τῆς τοῦ Θεοῦ χάριτος ὑγιῆ | αὐτὸν ἀπέδωκε τῷ πατρὶ αὐτοῦ. Καὶ γνωστὸν ἐγένετο περὶ τούτου ἐν ὅλῃ τῇ περιχώρῳ ἐκείνῃ, ὥστε πάντας δοξάζειν τὸν Θεὸν τὸν καὶ τοῖς νηπίοις σύνεσιν καὶ χάριν δωρούμενον.

19. Τοιγαροῦν τὸν τοῦ Χριστοῦ πρόδρομον καὶ βαπτιστὴν Ἰωάννην καὶ ἐν τούτῳ μιμούμενος τῷ ἐν ἐρήμῳ τόπῳ διάγειν, μέχρι τῆς πρὸς τὸν λαὸν ἀναδείξεως αὐτοῦ, καὶ τὴν τοῦ ἀποστόλου Παύλου φωνὴν εἰς ἑαυτὸν ἐκτυπῶν λέγοντος· « οἱ ἅγιοι πάντες διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν· ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς (Ἑβρ. ια'. 33, 37). » Ταύταις ταῖς σωτηριώδεσι γραφαῖς ἐγκύπτων, ποιητὴς τούτων καὶ οὐκ ἀκροατὴς μόνον ἐγένετο, συνεργοῦντος αὐτῷ τοῦ Χριστοῦ· τῷ προελομένῳ γὰρ τὸ ἀγαθὸν καὶ αὐτὸς συνεργὸς γίνεται. Ἀνέρχεται οὖν ἐπὶ τὸ ἀνώτερον μέρος τοῦ ὄρους καὶ εὑρὼν πέτραν ὀφείλουσαν σκέπειν αὐτὸν, ὀρύξας ὑποκάτω αὐτῆς, ἐποίησε σπήλαιον εὐρύχωρον, καὶ ἀναφράξας τὴν εἴσοδον, διῆγε κρυπτῶς ἐν αὐτῷ. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις ἦν πάροδος στρατιωτῶν. Γενομένης δὲ ζητήσεως μεγάλης περὶ αὐτοῦ ὑπὸ τῶν ἰδίων αὐτοῦ ἔν τε τῷ μαρτυρίῳ καὶ ἐν παντὶ τόπῳ, καὶ μὴ εὑρισκομένου, ἐνομίσθη ὑπὸ τῶν στρατιωτῶν ἁρπαγῆναι, καὶ ἐκίνησαν τὸν κατὰ τὸν τότε καιρὸν ἄρχοντα καταλαβεῖν αὐτοὺς καὶ ζήτησιν ποιήσασθαι περὶ τοῦ παιδός· καὶ μὴ εὑρεθέντος αὐτοῦ, ἔδοξαν θηριόβρωτον αὐτὸν γενέσθαι, καὶ ἐπένθουν αὐτὸν ἥ τε μήτηρ αὐτοῦ καὶ αἱ συγγενίδες καὶ οἱ γνώριμοι ἐπὶ πολὺν χρόνον, ὡς ἤδη τεθνηκότα. Ἐποίησε δὲ ὁ παῖς τοῦ Χριστοῦ Θεόδωρος δύο ἔτη ἐν τῷ σπηλαίῳ κρυπτόμενος. Κλη-
203. ρικὸς δέ τις εὐλαβὴς διάκονος μόνος ἐγίνωσκε περὶ αὐτοῦ, | ὃς

καὶ τὸ ἴδιον στιχάριον δέδωκε (λινοῖς γὰρ ἐνδύμασιν ἐσκέπετο τὸ πρὶν), καὶ τὴν βραχυτάτην τροφὴν τῶν συνθέτων λαχάνων καὶ τοῦ ὕδατος ἐπεκόμιζεν αὐτῷ, καὶ παραγγελίας αὐτοῦ ἔσχε μηδενὶ αὐτὸν καταμηνῦσαι.

20. Ἰδὼν τοίνυν ὁ ἀγαθὸς Θεὸς καὶ προνοητὴς τῶν δούλων αὐτοῦ τὸν κόπον αὐτοῦ, διὰ τὸν ἀψευδῆ αὐτοῦ λόγον τὸν εἰρημένον· «οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ (Ματθ. ε'. 14)», κατάδηλον αὐτὸν ἐποίησε πᾶσι. Μαθοῦσαι γὰρ αἱ συγγενεῖς αὐτοῦ τὸν θεοσεβῆ διάκονον διαφόρως ἀνερχόμενον ἐπὶ τὸ ὄρος, ὑποψίαν ἔσχον ὡς αὐτὸς γινώσκει περὶ τοῦ παιδὸς, καὶ μετακαλεσάμεναι αὐτὸν ἐν τῷ οἴκῳ, ὅρκοις φρικτοῖς κατεδέοντο αὐτοῦ, εἴπερ κατὰ τὴν αὐτῶν ὑποψίαν ἐπίσταται ποῦ διάγει ἀπαγγεῖλαι αὐταῖς τὴν διαγωγὴν αὐτοῦ. Ὁ δὲ, διὰ τοὺς ὅρκους καὶ τὴν τοῦ παιδὸς σκληραγωγίαν ὑφορώμενος μὴ μέλλῃ τελευτᾶν, ἀπήγγειλεν αὐταῖς τὸν τόπον. Τότε μετὰ χαρᾶς ἀνελθοῦσαι ἐξέβαλον αὐτὸν ὡς νεκρὸν ὁρώμενον, καὶ ἤγαγον ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Γεωργίου, ὥστε ἰδεῖν αὐτὸν τὸν ἀέρα, ὀλιγωρήσαντα πεσεῖν ἄφωνον ἐπὶ πολλὴν ὥραν. Ἦν δὲ ἡ κεφαλὴ αὐτοῦ δυσωδίαν πολλὴν ἔχουσα ἀπὸ τῶν τραυμάτων καὶ τοῦ ἰχῶρος, ὥστε καὶ σκώληκας ἀνεικάστους φωλεῦσαι, καὶ τὰ ὀστᾶ αὐτοῦ γυμνωθῆναι, καὶ τὴν κόμην αὐτοῦ συνδεθῆναι, καὶ μηδένα δύνασθαι στῆναι πλησίον αὐτοῦ ἀπό τε τῆς δυσωδίας καὶ τῶν ἑρπόντων ἐπ' αὐτῷ σκωλήκων· ἡ δὲ ὅρασις αὐτοῦ ἦν ὡς νεκροῦ, καὶ ἀπαξαπλῶς εἰπεῖν νέος Ἰὼβ ἐνομίζετο εἶναι διὰ τὴν τοιαύτην ἀλγηδόνα. Ἦσαν δὲ πενθοῦσαι ἥ τε μήτηρ αὐτοῦ καὶ ἡ μάμμη καὶ αἱ λοιπαὶ ἐπὶ τῇ συνεχούσῃ αὐτὸν ἀνάγκῃ. | Γενομένου δὲ αὐ- 203.
τοῦ εἰς ἑαυτὸν ἀπὸ τῆς ὀλιγωρίας, ἠνάγκαζον αὐτὸν κατελθεῖν ἐν τῷ οἴκῳ καὶ ἐπιμελείας τυχεῖν. Ὁ δὲ οὐκ ἐπείσθη αὐταῖς.

21. Μαθὼν δὲ ταῦτα ὁ ὁσιώτατος ἐπίσκοπος Θεοδόσιος ὁ τῆς Ἀναστασιουπολιτῶν πόλεως, εὐθέως παρεγένετο ἐν τῷ μαρτυρίῳ πρὸς αὐτόν. Καὶ θεασάμενος αὐτὸν, ἔντρομος ἐγένετο ἐπὶ τῷ ἕλκει τῆς κεφαλῆς αὐτοῦ· καὶ ἀσπασάμενος αὐτὸν, ἐχειροτόνησεν ἀναγνώστην. Καὶ μετὰ πολλοῦ κόπου χλιαροῖς ἀποπλύναντες τὸν ἰχῶρα, καὶ λινοῖς ῥάκεσιν ἀπομάξαντες τὰ πολυώδυνα ἕλκη τῆς κεφαλῆς αὐτοῦ, μόλις αὐτοῦ τὴν κόμην ἀφείλοντο. Τῇ δὲ ἐπαύριον ἐποίησεν αὐτὸν ὑποδιάκονον καὶ πρεσβύτερον, λέγων· «ἰδοὺ, ἠξίωσαι παρὰ Θεοῦ ἔχειν πᾶσαν τὴν τοῦ κλήρου ἀκολουθίαν, πρὸς τὸ ἐπιτελεῖν σε τὴν θείαν λειτουργίαν εἰς οἰκοδομὴν τῶν παραγινομένων, καὶ Κύριος ὁ Θεὸς ὁ τῶν χαρισμάτων ἄφθονος δοτὴρ, ὁ καὶ τούτων μέτοχον ποιήσας, ἀξιῶσαί σε καὶ τὴν ἐπισκοπὴν φορέσαντα, τὸ ποίμνιον αὐτοῦ καταπιστευθῆναι. Τὰ γὰρ τέσσαρα ταῦτα τάλαντα τῶν χαρισμάτων εἰληφὼς, μέλλων δὲ καὶ τοῦ μοναχικοῦ σχήματος ἐπιλαμβάνεσθαι, ἐπὶ τοῦ ἑνὸς τούτου ὑστέρησαι, ὅπερ καὶ αὐτὸ παράσχοι σοι ὁ Κύριος μετὰ τὴν διπλασίασιν καὶ τῶν κατορθωμάτων σου. Αὐξάνου οὖν τῇ πίστει καὶ ἐπάνθει ταῖς ἀρεταῖς, καὶ εὔχου ὑπὲρ ἐμοῦ.» Καὶ εὐλογήσας καὶ ἀσπασάμενος αὐτὸν, ὑπέστρεψεν εἰς τὴν πόλιν αὐτοῦ. Ἦν δὲ τότε ὁ θεράπων τοῦ Χριστοῦ Θεόδωρος δέκα καὶ ὀκτὼ ἐτῶν, ὡς πολλοὺς καταμεμφομένους τῷ ἐπισκόπῳ φάσκειν, ὡς ἀβέβαιον πρᾶγμα γέγονε διὰ τὸ παρὰ καιρὸν ἡλικίας αὐτὸν ποιῆσαι. Ἔλεγεν οὖν αὐτοῖς ὁ ὁσιώτατος ἐπίσκοπος Θεοδόσιος· «ἀκανόνιστον μὲν εἶναι δο-
204. κεῖ τισι τὸ παρὰ καιρὸν ἡλικίας | ἢ χωρὶς μαρτυρίας τινα χειροτονεῖν, κ' ἐγὼ οἶδα. Ἐπιστέλλων γὰρ ὁ ἀπόστολος Παῦλος Τιμοθέῳ φάσκει· μὴ νεόφυτον γίνεσθαι πρὸς τὸ μὴ τυφωθέντα εἰς κρῖμα ἐμπεσεῖν καὶ παγίδα τοῦ διαβόλου (α'. 6)· ἀλλ' ὥσπερ ὁ αὐτὸς Παῦλος Τιμόθεον νέον ἄγοντα τὴν ἡλικίαν τῆς ἐπισκοπῆς ἠξίωσεν, οὕτω κ' ἐγὼ ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἐποίησα τοῦτον, καὶ οὐ καταισχυνθήσομαι

ἕνεκεν τῆς αὐτοῦ πολιτείας. Ἐμὲ γὰρ ἐπληροφόρησεν ὁ Θεὸς ἄξιον αὐτὸν ὑπάρχειν τοῦ πρεσβυτερίου, καὶ παρὰ Θεοῦ ἐστὶν ἀληθῶς ὁ παῖς οὗτος. Μὴ οὖν προσέχετε τῷ νέῳ τῆς ἡλικίας αὐτοῦ, ἀλλὰ τῇ τῆς ψυχῆς εὐγενείᾳ, ὥσπερ καὶ ἐπὶ τοῦ Δαβὶδ ἐῤῥέθη τῷ Σαμουήλ· «οὐ γὰρ ἀληθῶς οἱ πολυχρόνιοι εἰσὶ σοφοί, οὐδὲ οἱ γέροντες οἴδασι κρῖμα, καθὼς καὶ Ἐλιοὺς ἐν τῷ Ἰὼβ διεσάφησεν, ἀλλὰ πνεῦμα Θεοῦ ἐστιν ἐν βροτοῖς· πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσα καὶ συνεργοῦσα τοῖς νέοις, καὶ εὐσεβῆ καὶ ἐνάρετον πολιτείαν ἀποκαθιστῶσα (λβ΄. 9).» Λέγοντος δὲ ταῦτα τοῦ Ἐπισκόπου, πάντες ἐπληροφοροῦντο τοῖς παρ' αὐτοῦ εἰρημένοις· ὁ δὲ νέος ἀγωνιστὴς τοῦ Χριστοῦ Θεόδωρος προέκοπτε σοφίᾳ καὶ συνέσει πνευματικῇ, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ.

22. Ταῦτα μὲν οὖν αὐτοῦ τὰ παιδαγωγήματα ἐγὼ ὁ ἀνάξιος δοῦλος αὐτοῦ καὶ μαθητὴς Γεώργιος, ἃ μὲν ἔμαθον παρὰ τῶν τότε περιόντων καὶ συναναστραφέντων αὐτῷ συνομηλίκων τε καὶ συσχολιτῶν τῶν καὶ αὐταῖς ὄψεσιν αὐτὰ πείρᾳ παρειληφότων, τὰ δὲ πλεῖστα αὐτῶν καὶ παρ' αὐτοῦ τοῦ ὁσίου καὶ ἁγίου ἀνδρὸς ἀκήκοα, διάγοντος αὐτοῦ καταμόνας, καὶ χαριέντως διηγουμένου, ἐπὶ τὸ εἰς προθυμίαν καὶ ζῆλον τούτων
| ἡμᾶς διεγεῖραι, γεγράφηκα δὲ αὐτὰ μετὰ τὴν ἄφιξιν αὐτοῦ, 204.
ὅπως καὶ οἱ νέοι παῖδες ἀκούσαντες τὴν παιδικὴν καὶ ἐνάρετον αὐτοῦ πολιτείαν, ζηλώσωσι τὸν αὐτοῦ ἀγγελικὸν καὶ ἄμεμπτον βίον, καὶ καταξιωθῶσι τῆς τῶν οὐρανῶν βασιλείας, χάριτι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν! Ὁ Κύριος Ἰησοῦς Χριστὸς, ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ὁ τῆς δικαιοσύνης ἥλιος, τὸ φῶς τὸ ἀνεκλάλητον, ἡ ἀέναος πηγὴ τῆς ἀθανασίας, ἡ ζωὴ ἡ ἀκήρατος, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν, ὁ χορηγὸς τῆς σοφίας, ἐνέβαλε κἀμοὶ Γεωργίῳ τῷ ἁμαρτωλῷ οἰκέτῃ ὑμῶν προθυμίαν καὶ τοῦ λέγειν ἐπίῤῥοιαν,

καὶ ὑμῖν τοῖς φιλοθέοις ἐπιθυμίαν διάπυρον ἀκοῦσαι, καὶ τὴν μέχρι τέλους πανάριστον καὶ θαυματοποιὸν πολιτείαν τοῦ ἐν ἁγίοις καὶ μεγάλου ὁσίου πατρὸς ἡμῶν Θεοδώρου· καὶ γὰρ τὰ τῆς μειρακιώδους αὐτοῦ ἡλικίας ὑμῖν εἰσηγήσασθαι κατηξίωμαι. Τῇ οὖν πάντων ὑμῶν εὐχῇ ἐπελπίζων τολμῶ ταύτης ἀπάρξασθαι, καὶ τὸν Θεὸν χειραγωγὸν καὶ τελειωτὴν αὐτῆς προϊστῶν.

23. Τοιγαροῦν ὁ ἁγιώτατος δοῦλος τοῦ Θεοῦ Θεόδωρος, ὀκτωκαιδέκατον ἔτος ἄγων τῇ ἡλικίᾳ, καταξιωθεὶς τοῦ πρεσβυτερίου παρὰ τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, θείᾳ φιλοσοφίᾳ σπεύδων φρονίμῳ ἀνδρὶ ὅμοιον ἑαυτὸν ἀναδεῖξαι κατὰ τὴν τοῦ Κυρίου ἐπαινετὴν προβολήν, καταλιπὼν τὸν ἐπὶ τὴν ἄμμον ᾠκοδομημένον αὐτοῦ γονικὸν οἶκον καὶ τὰ ἐν αὐτῷ γήϊνα πράγματα, ὅρον τιθέμενος παρ' ἑαυτῷ μηδέπω τοῦ λοιποῦ εἰσιέναι ἐν αὐτῷ, ὅλον ἑαυτὸν μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως ἀνέθηκε τῷ Θεῷ, θεμελιώσας τὸν οἶκον αὐτοῦ ἐπὶ τὸν νοητῶς τε καὶ αἰσθητῶς πεπετρωμένον σεβάσμιον τόπον, ἐν ᾧ τὸ σεπτὸν εὐκτήριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Γεωρ-
205. γίου ἵδρυστο, πρὸς τὸ εὐκόλως τὰς τῶν | ἀλλοτρίων ἀνόμων προσβολὰς καὶ τὰς τῶν ἐπομένων πλημμυρῶν δίκην ὑδάτων ἐπαναστάσεις ἀποκρούεσθαι, τῇ τε πεπετρωμένῃ πίστει τῇ πρὸς Χριστὸν καὶ τῇ τοῦ ἐπονομαζομένου ἐν αὐτῷ ἁγίου μάρτυρος συμμαχίᾳ, πάσαις τε ταῖς θεοπνεύστοις Γραφαῖς ἐνδιέτριβεν, ὡς προξένοις οὔσαις ζωῆς αἰωνίου· πρὸ πάντων δὲ τὸ ἅγιον Εὐαγγέλιον κατὰ διάνοιαν ἔχων ἀεὶ εἰς κατάνυξιν ἤρχετο, μάλιστα ἐννοῶν τὴν τοῦ Κυρίου καὶ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξ οὐρανῶν κάθοδον, ἐνανθρώπησίν τε καὶ διατριβήν, καὶ ὅτι ἐν Ἱεροσολύμοις κατεδέξατο παθεῖν καὶ σταυρωθῆναι, ταφῆναί τε καὶ ἀναστῆναι. Ταῦτα θαυμάζων καὶ ἐκπληττόμενος ὡς ἐπὶ γῆς γεγονότα, ἐπιθυμίαν ἔσχεν ἀπελθεῖν καὶ προσκυνῆσαι τοὺς ἁγίους τόπους τοῦ Χριστοῦ, ἐφ' οὗς ἔστησαν οἱ ἄχραντοι πόδες

αὐτοῦ, διὰ τὸ καὶ τὸν προφήτην Ζαχαρίαν ἀρᾶσθαι πᾶν ἔθνος καὶ πᾶσαν φυλὴν τὴν μὴ ἀπερχομένην καὶ προσκυνοῦσαν αὐτοὺς (ΙΔ'. 17)·

24. Καὶ δὴ ἀνελθουσῶν πρὸς αὐτὸν τῆς μητρὸς αὐτοῦ καὶ τῆς ἀδελφῆς, τῆς τε θείας αὐτοῦ καὶ τῆς μάμμης, συνταξάμενος αὐταῖς, καὶ εὑρών τινα κατὰ πρόνοιαν Θεοῦ τὴν αὐτὴν ὁδὸν προθυμούμενον καὶ σπεύδοντα ὁδεῦσαι, ἐξελθὼν σὺν αὐτῷ τῆς ὁδοιπορίας εἴχετο, πάντα κόπον τῇ προθυμίᾳ τοῦ προκειμένου πόθου ἀποδυόμενος. Καταλαβὼν δὲ τὴν πόθῳ ἐπιζητουμένην τῶν ἁγίων τόπων Χριστοῦ πόλιν Ἱερουσαλήμ, καὶ προσκυνήσας τὸν τίμιον σταυρὸν καὶ τὴν ζωοποιὸν ἀνάστασιν, τήν τε τιμίαν φάτνην καὶ τὴν ἔνδοξον ἀνάληψιν, καὶ τὰ ἄλλα πάντα ἁγιάσματα τῶν ὑπομνημάτων τοῦ σωτηρίου πάθους τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, περιῆλθε καὶ τὰ μοναστήρια πάντα, καὶ τοὺς ἐν τοῖς κελλίοις πέριξ καθειργμένους πατέρας, καὶ τοὺς ἐν τῇ ἐνδοτέρᾳ ἐρήμῳ ἰδιάζοντας, εὐλογούμενος ὑπ' αὐτῶν, καὶ τὴν ἑκάστου | τῶν σπουδαιο- 205.
τέρων πολιτείαν καταμανθάνων, ἐσημειοῦτο πρὸς τὸ μιμήσασθαι· ἐν οἷς καὶ εἰς τὸν Ἰορδάνην κατελθών, ἔνθα ἐβαπτίσθη ὁ Σωτὴρ καὶ Θεὸς ἡμῶν, κατήντησεν εἰς τὸ πλησίον μοναστήριον τῆς δεσποίνης ἡμῶν τῆς Θεοτόκου, προσαγορευόμενον τοῦ Χουζιβᾶ· καὶ εὐξάμενος καὶ ἀσπασάμενος τὸν ἐν αὐτῷ ἀρχιμανδρίτην καὶ τοὺς σὺν αὐτῷ πατέρας, ᾔτει παρ' αὐτῶν τοῦ ἀξιωθῆναι τοῦ μοναχικοῦ καὶ ἀγγελικοῦ σχήματος. Ὁ δὲ ἀρχιμανδρίτης θεόθεν πληροφορηθεὶς τὰ περὶ αὐτοῦ, ἀδιστάκτως καὶ μηδὲν ἀναβαλλόμενος, περιέθηκεν αὐτῷ τὸ μοναχικὸν σχῆμα, καὶ ἐπηύξατο αὐτῷ σὺν πᾶσιν εὐάρεστον αὐτὸν τῷ Θεῷ καὶ δόκιμον τοῖς ἀνθρώποις ἀναδειχθῆναι. Μετὰ δὲ τὸ πληρωθῆναι τὴν περὶ αὐτοῦ πνευματικὴν εὐφροσύνην καὶ ἑορτήν, ἀσπασάμενος αὐτοὺς καὶ παράθεσιν αὐτῶν λαβών, ἐξελθὼν τοῦ μοναστηρίου ὑπέστρεψεν ἐν τῇ ἰδίᾳ αὐτοῦ πατρίδι τῆς Γαλα-

τίας, καὶ κατέλαβε τὸ εὐκτήριον τοῦ ἁγίου μάρτυρος Γεωργίου, ἔνθα κατῴκει μετὰ χαρᾶς μεγάλης, Μωσαϊκῆς δόξης (καὶ) χάριτος ἀπαστράπτων, νηστείαις καὶ χαμευνίαις, ἀγρυπνίαις τε καὶ ψαλμῳδίαις πλεῖον ἑαυτὸν ἐποικοδομῶν· δι' ὃ καὶ πλειόνων χαρισμάτων τὴν ἐπίῤῥοιαν θεόθεν ἀπελάμβανε, κατά τε πνευμάτων ἀκαθάρτων καὶ παντοίων νοσημάτων.

25. Ἡ δὲ μήτηρ αὐτοῦ, οὐ τὰ τοῦ Κυρίου, ἀλλὰ τὰ τῆς σαρκὸς φρονοῦσα, καὶ πρὸς τὸν ἴδιον γόνον τὰ φίλτατα σπλάγχνα ποθεινῶς μὴ ἀποσώζουσα, ὡς αἵτινες μητέρες περὶ τοὺς παῖδας ὡς πῦρ τῷ πόθῳ περικαίονται, καταλιποῦσα τὸν ἁγιώτατον αὐτῆς υἱόν, καὶ τὸ ἁρμόζον αὐτῇ μέρος τῆς οὐσίας λαβοῦσα, ζεύγνυται περιφανεστάτῳ ἀνδρὶ προτίκτορι ἐν τῇ Ἀγ-
206. κυρανῶν μητροπόλει, τοὔνομα Δαβίδ. Ἡ δὲ ταύτης ἀδελφὴ | Δεσποινία, καὶ ἡ μήτηρ αὐτῆς Ἐλπιδία, καὶ ἡ ἀδελφὴ τοῦ ἁγίου Βλάττα, οὐκ ἠνέσχοντο αὐτοῦ χωρισθῆναι, ἀλλὰ καὶ τὸν ἐνάρετον αὐτοῦ βίον ἀναθεωροῦσαι, μιμεῖσθαι τὸ κατὰ δύναμιν ἐσπούδαζον, σωφροσύνῃ καὶ ἁγνείᾳ, ἐλεημοσύναις τε καὶ εὐχαῖς ἑαυτὰς ἐκκαθαίρουσαι καὶ σεμνύνουσαι. Ἥτις Δεσποινία τελευτήσασα, αὐτῷ τὴν ὕπαρξιν αὐτῆς πᾶσαν κατέλιπε, κηδευθεῖσα ὑπ' αὐτοῦ ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Γεμέλλου. Τὴν δὲ ἀδελφὴν αὐτοῦ Βλάτταν, δωδεκαετῆ οὖσαν παρθένον, ταύτην λαβὼν ὁ ἁγιώτατος ἀπήγαγεν ἐν τῇ Ἀγκυρανῶν μητροπόλει, καὶ ἔβαλεν αὐτὴν εἰς τὸ μοναστήριον τὸ λεγόμενον Πετρίν, πρὸς παρθένους σεμνάς· καὶ λαβοῦσαν αὐτὴν τὸ μοναχικὸν σχῆμα παρέθετο αὐτὴν τῷ Κυρίῳ, ἀγωνιζομένην ἐν πολλοῖς κατορθώμασι, καὶ ὑπέστρεψεν εἰς τὸν ἴδιον τόπον αὐτοῦ. Ἡ δὲ μακαρία ἀδελφὴ αὐτοῦ, τριετῆ χρόνον ζήσασα ἀνεπαύσατο ἐν ἔργοις καλοῖς μαρτυρουμένη· ἧς τὴν τελείωσιν ἀκούσας ὁ ἁγιώτατος αὐτῆς ἀδελφός, ὁ καὶ τῆς βασιλείας αὐτῇ πρόξενος, ὡς νύμφην εἰς τὴν ἐπουράνιον παστάδα προέπεμψεν αὐτὴν τῷ Χριστῷ χαίρων. Ἡ δὲ μακαρία Ἐλπιδία ἡ μάμ-

μη αὐτοῦ σφόδρα ἠγάπα αὐτὸν καὶ συνέπασχεν αὐτῷ, καὶ πολ-
λάκις ἀνερχομένη καὶ θεωροῦσα τὸν ἀσκητικὸν ἀγῶνα αὐτοῦ,
ἐδόξαζε τὸν Θεὸν, τὸν ἐκ πορνικῶν ἀκανθῶν κλάδον ῥοδοφό-
ρον ἔγκαρπον εὐσεβείας ἀναβλαστήσαντα, καὶ ἐκ λίθων ἀχρή-
στων τέκνον τοῦ Ἀβραὰμ ἀνεγείραντα· καὶ ἐκτείνουσα εἰς τὸν
οὐρανὸν τὰς χεῖρας ἐπηύχετο αὐτῷ, ὥστε ἀτάραχον καὶ ἄϋλον
διαμεῖναι τὸν νοῦν αὐτοῦ ἐν τῇ παραστάσει τῆς θείας δοξο-
λογίας, ἑδραίαν τε καὶ ἀμετακίνητον τὴν πίστιν αὐτοῦ ἕως
τέλους διαφυλαχθῆναι. Ἣ καὶ | καταλιποῦσα λοιπὸν τὴν ἐν 206.
τῷ πανδοχείῳ αὐτῆς οἴκησιν, περισυνάξασα τὰ ἑαυτῆς πάντα,
ἐβούλετο μένειν ἀεὶ σὺν αὐτῷ πρὸς τὸ πλείονος εὐφροσύνης
ἀπολαύειν, καὶ ἐν ταὐτῷ τὴν ὑπουργίαν αὐτῷ ποιεῖσθαι. Ὁ
δὲ οὐ συνεχώρησε τοῦτο, ἀλλὰ παρακαλέσας αὐτὴν εἰς τὸ ἀ-
νατολικὸν κείμενον μοναστήριον τοῦ ἁγίου μάρτυρος Χριστο-
φόρου μένειν ἔπεισεν· τά τε ἐρχόμενα παιδία (μάλιστα ἐὰν
ἦσαν κοράσια), ἐνεργούμενα ὑπὸ ἀκαθάρτων πνευμάτων, πρὸς
αὐτὴν ἔπεμπεν, πρὸς τὸ ἐπιμελείας τυγχάνειν, καὶ συνδιαιτώ-
μενα τὰ προσήκοντα ἐνδιδάσκεσθαι, μετὰ τὴν ἴασιν τὰ θέλον-
τα μένειν, ἀσκητικοῦ ἀξιοῦσθαι τάγματος. Αὐτὸς δὲ εἰς τὴν
χρειώδη αὐτοῦ ὑπουργίαν, ἔλαβέ τινα ἄνθρωπον μισθῷ τὸν ἐκ
τοῦ πλησίον ὄντα χωρίου Καστίνας λεγομένου.

26. Προνοίᾳ δὲ θεοῦ τοῦ εἰπόντος· « μὴ φοβοῦ, ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν (Λουκ. ε'. 10), ποιήσω γάρ σε ἁλιέα ἀνθρώπων. (Ματθ. δ'. 19), παρεγένετό τις φιλοθέῳ ζήλῳ κρατούμενος ἐκ τοῦ χωρίου Σπανινῶν, παρακαλῶν μένειν σὺν αὐτῷ· χαρᾶς δὲ πλησθεὶς ὁ δίκαιος ὅτι οὐκ ἐγκατέλιπεν αὐτὸν μόνον ὁ Θεὸς, ἐδέξατο αὐτὸν, ὅντινα τοῦ μοναχικοῦ σχήματος ἀξιώσας, τοιοῦτον σπουδαῖον ἀπειργάσατο, ὥς τινα καθαρῆσαι ὑπὸ δαίμονος ἐνοχλούμενον. Εἶθ' οὕτω πάλιν, γυνή τις παρεγένετο πρὸς αὐτὸν ἐκ τοῦ χωρίου Κογκατέως, ἥτις ἦν ἀλγοῦσα ἐκ τοῦ πάθους τῆς ὑστέρας δεινῶς· λαβοῦσα δὲ εὐ-

χὴν παρ' αὐτοῦ, ἀπηλλάγη τῆς νόσου. Ἡ δὲ, ἀπελθοῦσα εἰς τὴν κώμην Μοσσύνων τὴν ἐπιλεγομένην Ἐνίστρατον, πρὸς τὸν ἑαυτῆς υἱὸν Φιλούμενον τοὔνομα, ἐκεῖσε παιδοδιδάσκαλον ὄντα, νέαν ἄγοντα τὴν ἡλικίαν, λαβοῦσα αὐτὸν ἤγαγε καὶ προσήνεγκε τῷ ἁγιωτάτῳ, ἱκετεύουσα ὁμόβιον

207. | [ἔσε]σθαι ἐν ἀῤῥωστίαις ἀνθρώπων καὶ θνήσεσιν ἀλόγων, καὶ διὰ τῆς ἐν βρώσει, ἢ πόσει προσμίξεως αὐτοῦ εἰς ὑγείαν ἐπανάγειν τοὺς κακουμένους.

27. Ἦν δέ τις ἐν τῷ χωρίῳ ἐκείνῳ δοκιμώτατος χαλκεὺς, καὶ ἐπέταξεν αὐτῷ ὁ ἁγιώτατος ποιῆσαι αὐτῷ κλωβὸν σιδηροῦν στενότατον, πρὸς τὸ ἐν αὐτῷ εἰσερχόμενον καὶ ἑστῶτα τὰς τῶν νηστειῶν ἐκτελεῖν ἡμέρας. Οἱ δὲ ἄνθρωποι τοῦ χωρίου πίστει φερόμενοι, ἕκαστος αὐτῶν τὰ γεωργικὰ σκεύη αὐτῶν ἔδωκεν εἰς τὸ γενέσθαι τὸ ἐπίταγμα αὐτοῦ· καὶ οὕτως ἀπηρτίσθη ὁ κλωβὸς αὐτοῦ πρεπόντως τῇ αὐτοῦ ἁγιωσύνῃ. Βουλομένου δὲ αὐτοῦ πάραυτα λαβεῖν αὐτὸν καὶ ὑποστρέψαι εἰς τὸν ἴδιον τοῦ μοναστηρίου αὐτοῦ τόπον, παρεκάλεσαν αὐτὸν οἱ ἄνθρωποι τοῦ χωρίου, ὥστε παρεᾶσαι αὐτὸν αὐτοῖς πρὸς τὸ ποιῆσαι αὐτοὺς κατ' αὐτὸν ἕτερον ξύλινον, καὶ ἵνα χαρίσηται αὐτοῖς τῷ ἐπιόντι χειμῶνι τὴν συνήθη αὐτοῦ ἡσυχίαν ἐκτελέσαι ἐν αὐτῷ, πρὸς τὸ ἔχειν αὐτοὺς φυλακτήριον μνήμης ἕνεκα τῆς αὐτοῦ ἁγιωσύνης, καὶ μετὰ τοῦτο ἐπιδοῦναι αὐτῷ τὸν σιδηροῦν. Ὑποσχουμένου δὲ αὐτοῦ ἐπὶ τούτοις, λαβόντες αὐτὸν μετὰ λιτῆς συνῆλθον αὐτῷ, καὶ ἀποκατέστησαν αὐτὸν εἰς τὸν εὐαγῆ τόπον αὐτοῦ ἐν τῇ μεγάλῃ ἑβδομάδι τοῦ σωτηρίου πάθους, καὶ οὕτως ὑπέστρεψαν εἰς τὰ ἴδια. Ποιήσαντες οὖν τὸν ξύλινον κλωβὸν, πάλιν τῷ ἐπιόντι χειμῶνι παραγενόμενοι μετὰ λιτῆς ἔλαβον αὐτὸν καὶ ἀπήγαγον εἰς τὸ χωρίον αὐτῶν. Καὶ εἰσελθὼν ἐν τῷ παρ' αὐτοῖς γεγονότι ξυλίνῳ κλωβῷ τῷ ἑστῶτι ἐν τῷ ναῷ τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ, ἐποίησεν ἐν αὐτῷ τὴν ἐγκράτειαν ἑαυτοῦ ἀπὸ τῆς Χριστοῦ

γεννήσεως ἕως τῶν Βαΐων. Εἶθ' οὕτως ἐξελθόντος αὐτοῦ, ἐκβαλόντες οἱ τοῦ χωρίου λιτὴν καὶ τὸν σιδηροῦν κλωβὸν βαστάσαντες συνῆλθον αὐτῷ, ἀποκαταστήσαντες αὐτὸν πρὸ | τῆς 207.
ἑορτῆς εἰς τὸν τόπον αὐτοῦ, καὶ λαβόντες αὐτοῦ εὐχὴν ὑπέστρεψαν εἰς τὰ ἴδια. Ἔστησε δὲ τὸν τοιοῦτον κλωβὸν ὑπεράνω τοῦ σπηλαίου αὐτοῦ ἐπὶ τὴν πέτραν εἰς τὸν ἀέρα, καὶ ἐπέταξε γενέσθαι αὐτῷ ἀμφίδια σιδηρᾶ εἰς λόγον τῶν ποδῶν αὐτοῦ λιτρῶν δεκαπέντε, καὶ ἕτερα δύο εἰς τὰς χεῖρας σταθμοῦ τοῦ αὐτοῦ, καὶ σταυρὸν σὺν τῷ μανιακίῳ λιτρῶν δεκαοκτὼ, καὶ ζώνην περὶ τὴν ὀσφὺν αὐτοῦ, λιτρῶν τριάκοντα τριῶν, καὶ βακτηρίαν σιδηρᾶν ἔχουσαν σταυρόν.

28. Ἔτι δὲ ἐπιθυμίαν ἔχοντος αὐτοῦ κτήσασθαι ζάβαν βαρυτάτην, κατὰ πρόνοιαν θεοῦ παρεγένετο ἄνθρωπος καὶ προσήνεγκεν αὐτῷ ζάβαν τρίμυτον τὴν καλουμένην λουρίκην, ἔχουσαν λίτρας πεντήκοντα· ἣν δεξάμενος ὁ ἁγιώτατος, εὐχαρίστησε τῷ θεῷ τῷ ταχινῶς τὸν πόθον πληροῦντι τῶν πίστει αἰτουμένων αὐτῷ. Φοβούμενος δὲ ἑαυτὸν διὰ τὸ ἔτι πλέον ἐπαυξάνειν τὸ γενναῖον τοῦ σώματος αὐτοῦ, καὶ διὰ τὰ τῆς σαρκὸς πάθη, δεσμόν τινα ἀΐδιον ὑπομνηστικὸν ἑαυτῷ ἐφευράμενος, εὐθέως τὰ δύο ἀμφίδια περιέθετο εἰς τοὺς πόδας αὐτοῦ, ὁρίσας μηδέπω αὐτὰ ἐκβληθῆναι, ἀλλὰ καὶ εἰς τὸν τάφον αὐτῷ συνεῖναι. Παραγενομένης δὲ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καθ' ἣν ἐτέχθη ἐκ τῆς παναγίας Παρθένου καὶ Θεοτόκου Μαρίας, ἐνεδιδύσκετο ἐπάνω τοῦ τριχίνου αὐτοῦ στιχαρίου τὸν λουρίκην, τό τε ζωνάριον τὸ σιδηροῦν περιεζώννυτο, καὶ τὸν σταυρὸν βάλλων περὶ τὸν ἑαυτοῦ τράχηλον, τά τε ἀμφίδια περὶ τὰς χεῖρας αὐτοῦ, οὕτως εἰσήρχετο ἐν τῷ σπηλαίῳ, τὴν ἐγκράτειαν ἐκτελῶν ἕως τῆς παραλήψεως· εἶθ' οὕτω πάλιν ἐξερχόμενος τοῦ σπηλαίου εἰσήρχετο ἐν τῷ κλωβῷ, ὑποπιέζων μὲν τὸ ἑαυτοῦ σῶμα καὶ δουλαγωγῶν τῇ στενοχωρίᾳ καὶ τῇ νηστείᾳ, τῷ τε παγετῷ καὶ τῷ

208. φορτισμῷ τῶν ἐπικειμένων αὐτῷ σιδήρων, ταπεινῶν | δὲ δι' αὐτῶν καὶ καταισχύνων τὴν τοῦ ἐχθροῦ δύναμιν καὶ πολυμέθοδον προσβολήν· ἄρτῳ μὲν γὰρ ὅλως οὐκ ἐτρέφετο οὐδὲ ὀσπρίῳ ἀπὸ τῆς Χριστοῦ γεννήσεως ἕως τῶν Βαΐων, εἰ μὴ ἀπὸ ὀπώρας μήλου, ἢ λαχάνων συνθέτων, καὶ τοῦτο δὲ τῷ Σαββάτῳ καὶ τῇ Κυριακῇ.

29. Ὁ δὲ κανὼν τῆς Ψαλμῳδίας αὐτοῦ ἦν πολύς, ὡς μικρόν τι καταπαύειν καὶ πάλιν τῇ ταὐτότητι κεχρῆσθαι, καὶ ὁ κάματος αὐτοῦ ὁ ἐκ τοῦ χειμῶνος ἦν ὑπὲρ πάντα λόγον. Ὅταν γὰρ νιφετὸς ἐγίνετο καὶ ἄνεμος ἐκινεῖτο, κατετοξεύετο ὑπὸ τῆς χιόνος τῇ τοῦ ἀνέμου προσβολῇ, καὶ διὰ τοῦ τραχήλου αὐτοῦ πολλάκις τὸ ὕδωρ εἰσερχόμενον, κατήρχετο ἔσωθεν τοῦ στιχαρίου ἐπὶ τοὺς πόδας αὐτοῦ, καὶ τὰ τρίχινα αὐτοῦ ἐπληροῦντο ὑδάτων. Τοῦ δὲ πάγου γενομένου, κρυσταλλούμενα, οὐ μικρὰν αὐτῷ παρεῖχον ὀδύνην, οἵ τε πόδες αὐτοῦ προσεπήγνυντο ταῖς σανίσιν ἐφ' αἷς ἵστατο· ἀπὸ γὰρ ἀλεκτοροφωνίας διώριζεν ἑαυτὸν τοῦ μὴ μετακινῆσαι ὅλως τοὺς πόδας αὐτοῦ ἐκ τοῦ βήματος, οὗ ἵστατο, οὐδὲ προσανακλιθῆναι κἂν μικρόν τι εἰς τὰς σιδηρᾶς βέργας τοῦ κλωβοῦ ἕως ἑσπέρας. Ὥστε ἐν τοῖς προτέροις χρόνοις αὐτοῦ ἐπὶ δυσὶν ἔτεσι, μεγάλων πάγων γινομένων, ὡς καὶ δένδρα καὶ πίθους διαῤῥαγῆναι, συνέβη κολληθῆναι τοὺς πόδας αὐτοῦ εἰς τὰς σανίδας, καὶ ἑσπέρας ἐν τῷ ἀνασπᾶν αὐτούς, ἀπεδύθησαν οἱ πόδες αὐτοῦ, καὶ ἀπέμειναν τὰ πέλματα τῶν ποδῶν αὐτοῦ ὥσπερ σανδάλια. Δεύτερον δὲ αὐτοῦ τοῦτο ὑπομείναντος, ἀπὸ τότε ὅταν ἐκρατοῦντο οἱ πόδες αὐτοῦ ὑπὸ τοῦ πάγου, ἐλάμβανεν ὁ ὑπηρέτης χλιαρὸν καὶ ἐπέχυνε τοῖς ποσὶν αὐτοῦ, καὶ οὕτω λυομένου κατὰ μικρὸν τοῦ κατέχοντος αὐτοὺς πάγου, μεθίστατο ἐκ τοῦ ὡρισμένου βήματος αὐτοῦ.

208. 30. | Ἐν ἑνὶ δὲ πάλιν χρόνῳ, τῆς τοῦ ἁγίου Πάσχα ἑορτῆς φθασάσης πρὸς τὴν τοῦ Ἀπριλίου μηνὸς πλήρωσιν, καὶ ἐν ταῖς

ἡμέρας τῆς τεσσαρακοστῆς σφοδροτάτου ἡλίου καταλάμποντος ὡς ἐν θέρει, συνέβη αὐτὸν ἔκ τε τῆς ἐγκρατείας καὶ τῆς τοῦ ἡλίου ἐλλάμψεως ὀλιγωρήσαντα συμπεσεῖν ἔνδον ἐν τῷ κλωβῷ ὡσεὶ νεκρόν. Ὁ δὲ θεοφιλέστατος Φιλούμενος ἐσκέπασε σαγίῳ τὸν κλωβὸν πρὸς τὸ σκιὰν αὐτῷ γενέσθαι. Ἐλθὼν δὲ εἰς ἑαυτὸν ὁ τοῦ θεοῦ ἀγωνιστὴς καὶ ἰδὼν τὸ ἐπ' αὐτὸν σκιάζον ἱμάτιον, ἠγανάκτησε σφόδρα ἐπιμεμφόμενος αὐτῷ σφοδρῶς, καὶ ἐκέλευσεν ἀποῤῥίψαι τοῦτο, μηκέτι δὲ αὐτὸ ποιῆσαι. Ἵνα δὲ δείξῃ ὁ δοξάζων τοὺς δοξάζοντας αὐτὸν Θεὸς (Α'. Βασ. β'. 30), ὅτι οὐκ ἀνθρωπαρέσκῳ πάθει, ἀλλὰ ἁπλουστάτῳ καὶ φιλοθέῳ ζήλῳ τὸ ἐπιτήδευμα αὐτοῦ πίστει γίνεται, οὐ μικρὰν αὐτοῦ μαρτυρίαν ἐπὶ τούτοις καὶ πληροφορίαν ἀρκοῦσαν πᾶσι δέδωκε διά τε τῆς εὐτάκτου καὶ ἡμερωτάτης πρὸς αὐτὸν παρουσίας τῶν ἀγρίων ζώων, καὶ διὰ τῆς ἐπιῤῥοίας τῶν ἐν ἀνθρώποις μεγάλων θαυμάτων. Ἐν γὰρ τοῖς προοιμίοις τῆς ἐν τῷ κλωβῷ ἡσυχίας αὐτοῦ, ἤρχετο ἄρκος φοβερωτάτη ἐπὶ τριετεῖ χρόνῳ πρὸς αὐτὸν, καὶ λαμβάνουσα εὐλογίαν ἐκ τῆς χειρὸς αὐτοῦ, οὕτως ἀνεχώρει, μηδένα τῶν παρόντων ἀδικοῦσα. Λύκος τε πάλιν ἐλθὼν παρὰ τῇ θύρᾳ τοῦ σπηλαίου αὐτοῦ, ἐκεῖσε αὐτῷ ὄντι ἐγκεκλεισμένῳ, ἵστατο περιμένων. Ἐξελθὼν δὲ ὁ ὑπηρέτης αὐτοῦ Μαρῖνος τοὔνομα, καὶ ἰδὼν τὸ θηρίον ἄφνω, φοβηθεὶς εἰσῆλθεν ἀναγγέλλων περὶ αὐτοῦ τῷ ἁγιωτάτῳ. Αὐτὸς δὲ σεμνὸν ὑπομειδιάσας, ἔφη αὐτῷ· « μὴ φοβοῦ, δειλὲ καὶ ἄνανδρε· ἐκεῖνο γὰρ οὐ κακοποιῆσαι παραγέγονεν, ἀλλ' ὑπὸ τῆς ὁμοίας σου γούλας ὠθούμενον, διὰ βρωμάτων ἐλήλυθε χορηγίαν. Σὺ οὖν, ἀδελφὲ, λαβὼν, | ἐξένεγκε 209.
αὐτῷ, ἵνα μὴ μόνον ἐπ' ἀνθρώπων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀγρίων ζώων ἡ ἐντολὴ τοῦ θεοῦ πληρωθῇ ἡ λέγουσα· παντὶ τῷ αἰτοῦντί σε δίδου (Ματθ. ε'. 42). » Λαβὼν οὖν ὁ ὑπηρέτης ἄρτου κλάσμα καὶ κόμμα μήλου, ἐξ ὧν εἰώθει διδόναι εὐλογίας ὁ ἁγιώτατος τοῖς παραγινομένοις, ἐξελθὼν ἔῤῥιψε τὸ ἀπὸ

τοῦ μήλου μόνον τῷ θηρίῳ διώκων αὐτό. Τὸ δὲ λαβὸν ἔφαγε, καὶ πάλιν ἵστατο, καὶ οὐκ ἀνεχώρει, ὡς εἴ τι ἀκμήν τι χρεωστούμενον· τότε ἔῤῥιψεν αὐτῷ καὶ τὸ τοῦ ἄρτου κλάσμα, καὶ εὐθέως ἀνεχώρησε δρόμῳ, καὶ οὕτως εἰσῆλθεν ὁ ὑπηρέτης ἀπαγγέλλων τὴν τοῦ θηρίου ἀναίδειαν.

31. Ἐν δὲ τῷ κλωβῷ ὄντι αὐτῷ πάλιν ἐγκεκλεισμένῳ παρεγένετο τις ἄνθρωπος λέπραν ἔχων ἐν ὅλῳ τῷ σώματι αὐτοῦ, αἰτῶν εὐχὴν αὐτῷ ποιῆσαι. Αὐτὸς δὲ κελεύσας αὐτὸν ἀποδύσασθαι, λαβὼν ὕδωρ ἐπηύξατο, τοιάδε λέγων· « Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Ἐλισσαίου καθαρίσας Νεεμὰν τὸν Σύρον τῆς λέπρας, λουσαμένου αὐτοῦ ἐν τοῖς ὕδασι τοῦ Ἰορδάνου, ὁ ἐν τῇ εὐσυγκαταβάτῳ καὶ φιλανθρώπῳ πρὸ τοῦ σωτηρίου πάθους ἐπὶ τῆς γῆς διατριβῇ σου λόγῳ τὸν λεπρὸν καθαρίσας, ἔπιδε ἐπὶ τὸ ὕδωρ τοῦτο, καὶ εὐλογήσας αὐτὸ, ποίησον εἰς κάθαρσιν τοῦ παρεστῶτος δούλου σου, ἵνα ὑγιὴς ἀπέλθῃ, εἰς δόξαν καὶ ἔπαινον τοῦ ἁγίου ὀνόματός σου.» Καὶ πληρώσας τὴν εὐχὴν, ἐκτείνας τὴν χεῖρα αὐτοῦ καὶ κατασφραγίσας αὐτὸν τῷ τύπῳ τοῦ σταυροῦ, ἐπέχεε τὸ ὕδωρ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ εὐθέως ἀπέπεσεν ἡ λέπρα ἀπ' αὐτοῦ, καὶ ἐκαθαρίσθη ὁ ἄνθρωπος ὅλον τὸ σῶμα, καὶ ἀπῆλθεν ὑγιὴς δοξάζων τὸν Θεόν (Λουκ. ε΄. 25). Ὁμοίως δὲ τῷ αὐτῷ πάθει κρατούμενος ἄλλος ἄνθρωπος ἐκ τοῦ χωρίου Διοσκόνεως, πρεσβύτερος ὢν, Ἐπιφάνιος τοὔνομα, ὁ ἐπίκλην Κολλουρᾶς, παραγενόμενος καὶ εὐχὴν αὐτοῦ λαβὼν
209. ἐγκεκλεισμένου ὄντος, καὶ | τὸ στιχάριον αὐτοῦ ἐνδυσάμενος, ἀπηλλάγη τῆς νόσου.

32. Ἡ δὲ μακαρία Ἐλπιδία ἡ μάμμη αὐτοῦ, πάσης χαρᾶς καὶ εὐφροσύνης ἐμπλησθεῖσα ἐπὶ τῇ ἐναρέτῳ πολιτείᾳ αὐτοῦ καὶ τῇ τῶν θαυμάτων αὐτοῦ ἐκλάμψει, πᾶσάν τε χρειώδη κατασκευὴν ταῖς παρ' αὐτῇ τρεφομέναις γυναιξὶ φροντίσασα, ταῖς τε ἀποταξαμέναις καὶ ταῖς πασχούσαις, καὶ μοναστήριον ἤδη

κάλλιστον ἀποτελέσασα, ἔφθασεν εἰς τὰς τοῦ τέλους αὐτῆς ἡμέρας· ἅςπερ ἐπιθυμίᾳ ποθεινοτάτῃ, μᾶλλον δὲ καὶ συντακτικῇ ὡς προγνοῦσα προσεκαρτέρησεν αὐτῷ, συνευχομένη καὶ συνᾴδουσα. Καὶ δὴ ἐν μιᾷ νυκτὶ ὀπτασίαν θεασαμένη διηγήσατο αὐτῷ λέγουσα· «εἶδον, φησίν, τέκνον μου γλυκύτατον καὶ φῶς τῶν ἐμῶν ὀφθαλμῶν, νεανίσκον σφόδρα ὡραῖον, λαμπρὸν τῇ ἐσθῆτι, ταῖς δὲ θριξὶν οὖλον, χρυσαυγοῦντα, ἐοικότα τῇ ἱστορίᾳ τοῦ ἁγίου μάρτυρος Γεωργίου, ὃς πλησίον μου γενόμενος, ἐπειρᾶτο μαθεῖν τά τε τῆς διαγωγῆς σου, καὶ τὸν τῆς ψαλμῳδίας κανόνα· ἐμοῦ δὲ κατάδηλον αὐτῷ ποιουμένης, ἔφη μοι· «ὅταν, φησίν, ψάλλητε οὕτω λέγετε· εὐλογεῖτε τὸν Κύριον ὄρη καὶ βουνοὶ (Ὠδὴ η΄. 10).» Ἔπειτα λέγει· «μεγάλης ἐπέτυχες χάριτος, ὦ γύναι, ὄντως, τὸν σὸν ἔγγονον ἐν τοιαύτῃ καλῇ τάξει θεασαμένη· ἀπὸ τοῦ νῦν ἀμερίμνως βιώσεις, κόρον τῆς αὐτοῦ λαβοῦσα πολιτείας. Ὀφείλεις δέ μοι τὰς περὶ τούτου χάριτας, ὡς συνεργῷ αὐτῷ γεγονότι, τὸ δὲ πᾶν τῆς εὐχαριστίας ὀφείλεται τῷ κοινῷ ἡμῶν Δεσπότῃ καὶ δημιουργῷ Θεῷ, τῷ καταξιώσαντι αὐτὸν τοῦ κλήρου τῶν ἀξίων δούλων αὐτοῦ· ἀναπαύου δὲ τὸ λοιπὸν, ἤδη γὰρ κέκμηκας.» Καὶ ταῦτα διηγησαμένη αὐτῷ, μικρόν τι νοσήσασα, ἐκοιμήθη ἐν εἰρήνῃ, κηδευθεῖσα ὑπ' αὐτοῦ ἐντίμως.

33. Περὶ δὲ τῆς τελευτῆς τῆς μητρὸς αὐτοῦ Μαρίας, ἐλθόντος τινὸς ἐκ τῆς Ἀγκύρων μητροπόλεως, καὶ ἀναγγείλαντος αὐτῷ διὰ τὸ πέμψαι καὶ λαβεῖν | τὴν προῖκα αὐτῆς ὡς 210.
ἀπαίδου τελευτησάσης, αὐτὸς μηδὲ ὅλως εἰς νοῦν τοῦτο ἐσχηκὼς, ἔφη τῷ ἀπαγγείλαντι αὐτῷ· «ψεύδῃ, φησὶν, καὶ οὐκ ἀληθεύεις· ἡ ἐμὴ γὰρ οὐκ ἐτελεύτησε μήτηρ.» Τοῦ δὲ διισχυριζομένου ἐπὶ τούτῳ, ὡς ἰδίοις ὀφθαλμοῖς ἑωρακότος, ἀπεκρίθη αὐτῷ πάλιν· «εἶπόν σοι, ὅτι οὐκ ἀληθεύεις· ἡ ἐμὴ γὰρ μήτηρ οὔτε ἀπέθανεν, οὔτε ἀποθνήσκει· μὴ γένοιτο! ἀλλὰ καὶ σύνεστί μοι καὶ ζῇ, καὶ διαμένει εἰς τὸν αἰῶνα.» Καὶ ἔμεινε

μηδὲν περὶ τούτου φροντίσας· αἴτησιν δὲ ὑπὲρ αὐτῆς πρὸς τὸν Θεὸν ἐπὶ ἑβδομάδα νῆστις ἐποιήσατο, ἐξαιτούμενος τῶν ἐσφαλμένων αὐτῇ δοῦναι συγχώρησιν.

34. Παρεγένετο δὲ ἐν μιᾷ ὁ οἰκονόμος τῆς Ἡλιουπολιτῶν πόλεως ἁγιωτάτης ἐκκλησίας, Θεόδωρος τοὔνομα, ἐπίκλην Τζοῦτζος, ἐν τῷ σπηλαίῳ αὐτοῦ ὄντι ἐγκεκλεισμένῳ καὶ ἡσυχάζοντι, καὶ διὰ τοῦ ὑπηρέτου ἐδήλωσεν αὐτῷ μετὰ δακρύων λέγων· « ἐλέησόν με, δοῦλε τοῦ Θεοῦ, ἐπὶ τῷ συμβεβηκότι μοι δράματι· τὸν γὰρ μειζότερόν μου ἔπεμψα εἰς τὴν ἄνυσιν τῶν χωρίων τῆς ἐκκλησίας. Ὁ δὲ λαβὼν πᾶσαν τὴν πρόσοδον φυγῇ ἐχρήσατο· πολλὰ οὖν δραμὼν καὶ ζητήσας, καταλαβεῖν αὐτὸν οὐκ ἠδυνήθην. Δυσωπῶ οὖν τὴν σὴν ἁγιωσύνην εὔξασθαι τῷ θεῷ ἐπὶ τῷ παραδοῦναί μοι αὐτὸν, ὅτι πᾶσα ἡ ὑπόστασίς μου οὐκ ἀρκεῖ ἀποδοῦναι τῇ ἐκκλησίᾳ τὴν τοιαύτην πρόσοδον, ἣν εἴληφεν.» Ὁ δὲ ἁγιώτατος ἀντεδήλωσεν αὐτῷ λέγων· « ἐὰν συντίθῃ ὅτι, εὑρισκομένου αὐτοῦ, ἄπληγον αὐτὸν φυλάττεις, καὶ οὐδὲν πλέον τοῦ σεσυλημένου αὐτὸν ἐκβιάζῃ, ἔχει παρακληθῆναι ὁ Θεὸς καὶ παραδιδοῖ σοι αὐτόν· εἰ δὲ τοῦτο οὐ βουληθῇς, οὐ παραδίδοταί σοι.» Ὁ δὲ, μεθ' ὅρκου συνέθετο τοῦτο λέγων· « ὅτι ἐὰν κελεύσῃς καὶ προσ-
210. δίδωμι αὐτῷ ἐκ τῶν οἰκείων μου, μόνον τὴν τῆς ἐκκλησίας | πρόσοδον, ἣν εἴληφε, λάβω, ἵνα μὴ κἀγὼ καὶ τὰ τέκνα μου γυμνωθῶμεν εἰς τὴν τούτων ἀπόδοσιν.» Τότε προσηύξατο τῷ Κυρίῳ ὁ ἁγιώτατος ἐπὶ τῷ συμποδίσαι τὸν ἄνθρωπον τὸν τὰ σῦλα πεποιηκότα ἐν οἵῳ δ' ἂν τόπῳ ὑπῆρχε, καὶ τάχιον αὐτὸν φανερῶσαι. Καὶ ἐδήλωσεν αὐτῷ λέγων· « ὕπαγε μένε ἐν τῷ οἴκῳ σου ἄλυπος καὶ ἀμέριμνος περὶ τούτου· πιστεύω γὰρ τῷ Θεῷ, ὅτι ἐὰν ἅπερ συνέθου πληροῖς, ταχέως παραδιδοῖ σοι αὐτόν.» Πιστεύσας οὖν ἐκεῖνος τῷ λόγῳ αὐτοῦ διὰ τὸ καὶ πολλάκις ἔργοις θαυμάτων πληροφορηθῆναι αὐτὸν, ἀπῆλθε χαίρων, μέγα ἐνέχυρον λαβὼν τὸν λόγον αὐτοῦ. Ἡ δὲ εὐχὴ τοῦ

ἁγιωτάτου καταλαβοῦσα τὸν ἄνθρωπον, ἔν τινι τόπῳ ἔγγιστα τῆς Νικαέων πόλεως, οὐ συνεχώρησεν αὐτὸν μετελθεῖν ἐκεῖθεν, ἀλλ' ἐπλανᾶτο ἐν τῷ ἑνὶ τόπῳ γυρεύων καὶ μηδαμοῦ προκόπτων, δοκῶν δὲ παρ' ἑαυτῷ πολλὴν ἀνύσαι ὁδόν. Γενόμενοι δέ τινες ἄνδρες κατὰ τὸν αὐτὸν τόπον γνωστοὶ αὐτοῦ τε καὶ τοῦ οἰκονόμου, οἵτινες ἦσαν καὶ προμεμαθηκότες τὸ συμβεβηκὸς αὐτὸ, γνωρίσαντες αὐτὸν ἅμα δὲ καὶ ἰδόντες ἀνόνητον ὁδὸν βαδίζοντα, ἐν δὲ τῷ πάλιν ἐπερωτᾶν αὐτὸν πόθεν ἐρχόμενος, ποῦ πορεύεται, ἀσυμφώνους τὰς ἀποκρίσεις αὐτοῦ εὑρηκότες, ἐκράτησαν αὐτὸν καὶ ἐποίησαν κατάδηλον τῷ οἰκονόμῳ. Ὁ δὲ ἀπελθὼν καὶ λαβὼν παρ' αὐτοῦ τὸ συληθὲν χρυσίον, ὑπέστρεψε πρὸς τὸν ἁγιώτατον εὐχαριστῶν τῷ Θεῷ.

35. Παρεγένετο δέ τις γυνὴ μετὰ τοῦ ἀνδρὸς αὐτῆς ἐκ τοῦ χωρίου Καλπίνου ὁρμωμένη ἐν ταῖς ἡμέραις τῆς Πεντηκοστῆς, καὶ ἦν πάσχουσα κακῶς ἡ γυνὴ ἀπὸ τοῦ δαίμονος. Ἐπιτιμῶντος δὲ αὐτῷ τοῦ ἁγιωτάτου, ἔκραξεν ὁ δαίμων λέγων· «ὢ βία, μή μοι ὀργίζου, σιδηροφάγε, δοῦλε τοῦ ὑψίστου, μὴ δὲ ἀποστείλῃς με εἰς τὸ πῦρ τῆς κολάσεως. Οὐκ εἰμὶ γὰρ | 211.
ἐγὼ αἴτιος, ἀλλ' ἄκων εἰσῆλθον εἰς αὐτὴν, πεμφθεὶς ὑπὸ Θεοδότου τοῦ ἐπίκλην Κουράππου, ἐκ τοῦ χωρίου Μαζαμίας.» Εἶπε δὲ αὐτῷ ὁ τοῦ Χριστοῦ θεράπων· «ἰδοὺ παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ, μὴ παρενοχλήσῃς αὐτῇ ἐν τοῖς ἔργοις ἀπὸ τοῦ νῦν, ἕως τοῦ ἐλθεῖν αὐτὴν πάλιν ἐνταῦθα.» Ἡσυχάσαντος δὲ τοῦ δαίμονος, παρήγγειλε τῷ ἀνδρὶ αὐτῆς λαβεῖν αὐτὴν καὶ ἀπελθεῖν εἰς τὰ ἴδια, καὶ τοὺς καρποὺς αὐτῶν συναγαγεῖν, καὶ οὕτω πάλιν παραγενέσθαι. Ἐποίησαν δὲ οὕτω, καὶ ἀπελθόντες εἰς τὰ ἴδια καὶ τοὺς καρποὺς τοῦ θέρους καὶ τῆς τρύγης ἀσφαλισάμενοι, παρεγένοντο πάλιν ἐν τῷ μοναστηρίῳ. Καὶ ἐν τῷ εἰσέρχεσθαι αὐτοὺς εἰς τὸν ναὸν τοῦ ἀρχαγγέλου (καὶ) ἰδεῖν τὸ πρόσωπον τοῦ ἁγιωτάτου, ἤρξατο πάσχειν ἡ γυνὴ ἀγρίως ὑπὸ τοῦ δαί-

μονος, ὥστε τὸν ἄνδρα αὐτῆς διομνύεσθαι καὶ λέγειν· «μὴ ἐνοχληθῆναι αὐτὴν ὅλως ὑπὸ τοῦ δαίμονος, ἐξ ὅτου τὴν παραγγελίαν ἔλαβε παρὰ τοῦ ἁγίου μέχρι τῆς ὥρας ἐκείνης.» Μίαν γοῦν ἑβδομάδα ποιησάντων αὐτῶν, μὴ φέρων ὁ δαίμων τὴν ἐπιτίμησιν τοῦ ὄντως σημειοφόρου, ῥίψας αὐτὴν πρὸς τοὺς πόδας αὐτοῦ ἐξῆλθεν ἀπ' αὐτῆς· καὶ ἐγένετο ὑγιὴς ἡ γυνή, καὶ ἀπῆλθε μετὰ τοῦ ἀνδρὸς αὐτῆς χαίρουσα εἰς τὸν οἶκον αὐτῆς.

36. Πάλιν ἐν τῷ χωρίῳ Μαζαμίας τῷ ὄντι εἰς τὸν ἄνω Σίβεριν ὑπὸ τὸ κλίμα τῆς Μνηζινῆς ἐγένετο πλῆθος ἀκρίδων πολὺ περὶ τὸν Ἰούνιον μῆνα, καὶ ὡς νεφέλη ἐσκέπαζε τὴν ἐνορίαν αὐτῶν, καὶ κατήσθιε τόν τε τοῦ θέρους καὶ τῆς ἀμπέλου καρπὸν αὐτῶν. Ἰδόντες δὲ οἱ ἄνθρωποι τὴν ἐπελθοῦσαν αὐτοῖς μεγάλην πληγήν, καὶ ἀκούσαντες τὰ ἐπιτελούμενα θαύματα παρὰ τοῦ ἁγιωτάτου, παρεγένοντο μετὰ λιτῆς, τοῖς αὐτοῦ ποσὶ
211. προσκυλινδούμενοι, ὅπως παραγενόμενος ταῖς εὐπροσδέκτοις | εὐχαῖς αὐτοῦ λυτρώσηται αὐτοὺς τῆς συνεχούσης αὐτοὺς ἀνάγκης. Συνελθὼν τοίνυν αὐτοῖς, κατέλυσεν εἰς τὴν καθολικὴν αὐτῶν ἐκκλησίαν τοῦ ἁγίου Εἰρηνικοῦ (οὕτω γὰρ εἰώθει πάντοτε ἐν ἐκκλησίᾳ καταλύειν). Τῇ οὖν ἐπαύριον ἐκβαλὼν λιτὴν εἰς τὸ πεδίον, προσέταξεν αὐτοὺς στῆναι ἔν τινι τόπῳ καὶ αἰτεῖσθαι παρὰ τοῦ Κυρίου τὸ ἔλεος. Αὐτὸς δὲ λαβὼν τρεῖς ἀκρίδας ἐπὶ τὴν ἑαυτοῦ χεῖρα, ἔστη προσευχόμενος τῷ Κυρίῳ περὶ αὐτῶν. Καὶ εὐχομένου αὐτοῦ, αἱ τρεῖς ἀκρίδες ἐπαπέθανον ἐπὶ τὴν χεῖρα αὐτοῦ· καὶ εὐχαριστήσας τῷ Κυρίῳ, λέγει τῷ λαῷ· «ὑποστρέψωμεν εἰς τὴν ἐκκλησίαν, τέκνα· ὁ γὰρ Θεὸς ἐν τάχει ποιεῖ τὸ ἔλεος αὐτοῦ μεθ' ἡμῶν. Καὶ οὕτως ὑπέστρεψαν ἐν τῷ ναῷ τοῦ ἁγίου Εἰρηνικοῦ, τὴν θείαν λειτουργίαν ποιήσαντες. Τῇ δὲ ἐπαύριον ἐξελθόντες οἱ ἄνθρωποι εἰς τὸ πεδίον, εὗρον πᾶσαν τὴν ἀκρίδα τελευτήσασαν, καὶ ἐδόξασαν τὸν Θεόν.

37. Ὁ δὲ ἀεὶ φθονῶν τοῖς ἀγαθοῖς ἔργοις καὶ τοῖς τούτων ποιηταῖς καὶ δούλοις τοῦ Χριστοῦ, σκεῦος αὐτοῦ ἴδιον εἰς φθόνον διήγειρε τοῦ γεγονότος θαύματος, καὶ εἰς θάνατον τοῦ σημειοφόρου καὶ ἁγίου ἀνδρὸς ἐπώξυνε Θεόδοτον τοὔνομα, φαρμακὸν ἄκρον καὶ πάνυ ὄντα δόκιμον εἰς κακίαν, ἐν τῷ αὐτῷ οἰκοῦντα χωρίῳ, ἀγνοῶν ὁ παμμίαρος, ὅτι καὶ τοῦ ὑποβαλλομένου αὐτοῦ σκοποῦ ἀποτυχὼν καταισχυνθήσεται, καὶ τοῦ τῆς κακίας ἐργαστηρίου αὐτοῦ στερηθεὶς ζημιωθήσεται. Οὗτος οὖν ὁ Θεόδοτος ἰδὼν τὸ γεγονὸς σημεῖον διὰ τοῦ ἁγιωτάτου, πάλιν δὲ ἀναμνημονεύσας καὶ τὸν πρὸ ὀλίγου χρόνου ἐκβληθέντα ὑπουργὸν αὐτοῦ δαίμονα ἀπὸ τῆς γυναικὸς καὶ ἀπελθόντα ἀναπόμπιμον, ὃν αὐτὸς ἦν αὐτῇ ἐνοικήσας, φυσηθεὶς ὑπὸ τοῦ ἐμφοιτῶντος αὐτῷ ἐχθροῦ καὶ διαπιμπράμενος τῇ κακίᾳ
τοῦ ὑπηκόου αὐτοῦ δαίμονος, | ἀπέστειλε πρὸς τὸ πειράσαι 212.
καὶ ἀδικῆσαι αὐτὸν, εἰ δυνατὸν, μέχρι θανάτου. Οἱ δὲ ἀποσταλέντες πρὸς αὐτὸν μὴ τολμῶντες αὐτῷ νήφοντι εἰς πρόσωπον κἂν ὅλως φανῆναι, ἐπετήρουν τὸν τοῦ ὕπνου αὐτοῦ καιρόν· καὶ τότε ληστρικῷ τρόπῳ οἱ ὄντες λησταὶ καὶ ἀδύναμοι ἐπέρχεσθαι αὐτῷ ἐπεχείρουν. Τῆς δὲ φρουρούσης αὐτὸν θείας δυνάμεως φυγαδευούσης αὐτοὺς, πάλιν οἱ ἐν αὐτοῖς τολμηρότεροι εἰς κακίαν ἐγγίσαι αὐτῷ πρὸς κακίαν κυναιδεύοντο· καὶ πάλιν ἡ τοῦ Θεοῦ χάρις, ὡς πῦρ ἐξ αὐτοῦ ἐκπορευομένη, τούτους ἐδίωκε καταφλέγουσα· πολλάκις τε προσβαλόντες εἰς βλάβην καὶ τοῦτο αὐτοὶ παθόντες, ὑπέστρεψαν κατησχυμμένοι πρὸς τὸν ἀποστείλαντα αὐτούς. Τοῦ δὲ, ἀνακρίναντος αὐτοὺς δι' ἣν αἰτίαν ἄπρακτοι ὑπέστρεψαν καὶ ὀνειδίζοντος τοιάδε· «ὅτι οὐδέν ἐστι, φησὶν, ἡ δύναμις ὑμῶν, ὅπου γὰρ οὐδὲ καθεύδοντος αὐτοῦ ἰσχύσατε προσεγγίσαι αὐτῷ καὶ ἐνεργῆσαι, πῶς λοιπὸν ἔχετε εἰς πρόσωπον αὐτοῦ σταθῆναι;» Ἀντέφασκον αὐτῷ ἐκεῖνοι· «ὅτι καὶ ἡμεῖς πλέον σοῦ θέλομεν δόκιμοι καὶ ἀήττητοι εὑρεθῆναι εἰς ἃ ἡμᾶς ἀποστέλλεις· ἀλλ' ἐγγίζειν αὐτῷ

πειρωμένων ἡμῶν, ἐκ τοῦ στόματος αὐτοῦ ἐξήρχετο μεγάλη φλὸξ πυρὸς, οὐχὶ αἰσθητοῦ οὗπερ καταφρονοῦμεν, ἀλλὰ θείου τοῦ ἐν αὐτῷ κατοικοῦντος, καὶ κατέκαιεν ἡμᾶς, καὶ διὰ τοῦτο ἄπρακτοι ἀναχωροῦμεν· καὶ ἐν τῇ βρώσει καὶ πόσει αὐτοῦ ἐνηργήσαμεν, ἀλλ' (ἡ) αὐτῷ συνήθως γενομένη εὐλογία, ἀδύναμον πᾶσαν ἡμῶν ἐπιβλαβῆ ἐνέργειαν πεποίηκεν.»

38. Ἐν τούτοις ἀγῶνι πολλῷ τῆς ἥττης ἔτι συνεχόμενος ὁ
212. Θεόδοτος, καὶ πλείονι ἐξαπτόμενος | ζήλῳ, εἰς ἰχθὺν φάρμακον θανάσιμον βαλὼν διὰ πολλῆς μεθόδου, δι' ἑτέρων τινῶν παρεσκεύασεν αὐτὸν τούτου μεταλαβεῖν. Θεοῦ δὲ χάριτι καὶ τῇ γενομένῃ ἐπ' αὐτῷ εὐλογίᾳ μηδὲν ἀδικηθέντος, τότε δὴ καταισχυνθεὶς ἐπὶ τῇ ἀπράκτῳ καὶ θανατηφόρῳ αὐτοῦ ἐπιβουλῇ, καὶ ἐν νῷ λαβὼν τήν τε τῶν δαιμόνων ἀσθένειαν, καὶ τὴν τοῦ Θεοῦ δύναμιν, μεγάλην οὖσαν καὶ θαυμαστὴν, ὡς καὶ δαιμόνων καὶ φαρμάκων κατισχύουσαν καὶ ἀκρίδων, καὶ ἀνανήψας ἐκ τῆς τοῦ διαβόλου μέθης ἐπὶ τὴν πρὸς Θεὸν γνῶσιν, προσελθὼν αὐτῷ ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, ὀδυρόμενος ἑαυτὸν μετὰ δακρύων καὶ ἐλέους τυχεῖν ἀξιῶν. Ὁ δὲ ἁγιώτατος ἐπηρώτα τὴν αἰτίαν τῶν τοιούτων αὐτοῦ οἰμωγῶν καὶ τῆς ἱκετηρίας μαθεῖν. Ὁ δὲ πάντα τὰ τῆς εἰς αὐτὸν ἐπιβουλῆς καὶ τὰς τῶν δαιμόνων ἀποκρίσεις ἀνήγγειλεν αὐτῷ, καὶ τὴν διαβολικὴν μεθοδίαν, ἣν εἶχεν ἐπὶ βλάβῃ πολλῶν ψυχῶν ἐγνώρισεν αὐτῷ, ἱκετεύων ἅμα λυτρώσασθαι αὐτὸν ταύτης, καὶ τοῦ θείου βαπτίσματος αὐτὸν ἀξιωθῆναι. Πρὸς ὃν ἔφη ὁ ἁγιώτατος· «ἐὰν θέλῃς δεχθῆναι ὑπὸ τοῦ Θεοῦ καὶ συγχωρήσεως παρ' αὐτοῦ ἐπὶ τούτοις ἀξιωθῆναι, πρῶτον ἐξομολόγησαί σου τὰς πράξεις πάσας, καὶ εἰ περίεστί σοι βίβλος ἐνεργητικὴ, ἄγαγε εἰς τὸ μέσον, καὶ πάντα ἄνθρωπον, ὃν περιειργάσω, ἢ οἶκον, ἢ ἄλογον, ἤτοι πᾶν, λῦσον τοῦ καταδέσμου τῆς περιεργίας· μηκέτι δὲ τοῦ λοιποῦ τινα περιεργάσῃ, ἀλλὰ σχόλασον ἐν μετανοίᾳ· καὶ παρακαλῶ τὸν Θεὸν συγχωρήσεως τῶν μέχρι νῦν ἀξιῶσαί σε πταισμάτων. Δέ-

χεται γὰρ τοὺς μετανοοῦντας ὁ Θεὸς, ὃς καὶ πάν-
τας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν
ἀληθείας ἐλθεῖν.» Ὁ δὲ μεθ' ὅρκων πάντα τὰ | κελευό- 213.
μενα ὑπ' αὐτοῦ ὑπέσχετο πληροῦν. Ἐνέγκας δὲ καὶ πάσας τὰς
τῆς φαρμακείας βίβλους αὐτοῦ, κατέκαυσεν ἐνώπιον αὐτοῦ ἐ-
πιζητῶν τὸ βάπτισμα. Κατηχήσας δὲ αὐτὸν ὁ ἁγιώτατος νη-
στείαις τε καὶ ἐλεημοσύναις καθάρας, ἔδωκεν αὐτῷ τὸ λου-
τρὸν τῆς ἀφθαρσίας, συναριθμήσας αὐτὸν τοῖς ἀπλανήτοις
ἐνενήκοντα ἐννέα προβάτοις, καὶ τῆς διδασκαλίας Ἰακώβου τοῦ
ἀδελφοῦ τοῦ κυρίου ἐργάτης ἀνεδείχθη, ἐπιστρέψας τὸν
ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ (Ε'. 20), καὶ σώσας
τὴν ψυχὴν αὐτοῦ ἐκ θανάτου, καὶ καλύψας πλῆθος ἁμαρτιῶν.

39. Μετὰ δὲ τὸ ὑποστρέψαι τὸν ὅσιον ἐν τῇ μονῇ αὐτοῦ,
συνέβη αὐτὸν ἀῤῥωστῆσαι ἀῤῥωστίαν ἀπογνωστικὴν, ὡς καὶ τοὺς
ἁγίους ἀγγέλους ἰδεῖν αὐτὸν ἐλθόντας ἐπ' αὐτόν· καὶ ἤρξατο
κλαίειν καὶ ἀδημονεῖν. Ἦν δὲ ἐπάνωθεν αὐτοῦ ἑστῶσα εἰκὼν τῶν
ἁγίων καὶ θαυματουργῶν Κοσμᾶ καὶ Δαμιανοῦ. Καθ' ὁμοίωσιν
οὖν τῆς λατρείας ἐκείνης ὤφθησαν αὐτῷ οἱ εἰρημένοι ἅγιοι,
καὶ ἐγγίσαντες αὐτῷ ὡς ἐπὶ τῇ συνηθείᾳ τῶν ἰατρῶν, τοὺς
σφυγμοὺς ἐδοκίμαζον, καὶ πρὸς ἀλλήλους ἔλεγον ἐν ἀπογνώσει
αὐτὸν ὑπάρχειν διά τε τὸ πεσεῖν αὐτοῦ τὰς δυνάμεις καὶ διὰ
τοὺς ἐλθόντας ἐπ' αὐτὸν οὐρανόθεν, καὶ ἤρξαντο αὐτὸν ἐρωτᾶν.
λέγοντες· «διὰ τί κλαίεις καὶ ἀδημονεῖς, ἀδελφέ;» Ἀπεκρίθη
δὲ αὐτοῖς· «διὰ τὸ ἀμετανόητόν με εἶναι, κύριοί μου, καὶ διὰ
τὸ μικρὸν ποίμνιον τοῦτο, ὅτι νεοκατήχητον καὶ ἀδιοίκητόν
ἐστι, πολλῆς ἐπιμελείας δεόμενον.» Καὶ λέγουσιν αὐτῷ· «θέ-
λεις οὖν, ἀπελθόντες πρεσβεύσωμεν ὑπὲρ σοῦ, ἵνα ἄρτι τέως
συγχωρηθῇ σοι τὸ ζῆν;» Εἶπε δὲ αὐτοῖς· «ἐὰν τοῦτο ποιή-
σητε καὶ ἐμοὶ τὰ | μεγάλα παρέχητε, καιρὸν μετανοίας μοι 213.
ἐξαιτούμενοι, καὶ τῆς ἀπὸ τοῦ νῦν ἐργασίας μου καὶ μετανοίας
τὸν μισθὸν κερδανεῖτε.» Οἱ δὲ ἅγιοι στραφέντες πρὸς τοὺς

ἀγγέλους, παρεκάλουν αὐτοὺς ἐνδοῦναι τέως αὐτῷ μικρὸν, ἕως ἀπελθόντες παρακαλέσωσι τὸν βασιλέα περὶ αὐτοῦ. Οἱ δὲ ἐπένευσαν ἀναμένειν αὐτούς. Ἀπελθόντες οὖν οἱ ἅγιοι, ἱκέτευσαν περὶ αὐτοῦ τὸν ζωῆς καὶ θανάτου ἐξουσιαστὴν ἐπουράνιον βασιλέα Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν καὶ Ἐζεκίᾳ τῷ βασιλεῖ προσθήκην ζωῆς δεκαπέντε ἐτῶν χαρισάμενον (Δ'. Βασ. κ. 6), καὶ τυχόντες τῆς ἱκεσίας παρεγένοντο πρὸς τὸν ἁγιώτατον, ἔχοντες ἐν μέσῳ αὐτῶν τινα εὐμεγέθη νεανίσκον ὅμοιον τῆς τῶν παρόντων ἀγγέλων ἰδέας, διαφέροντα δὲ αὐτῶν μειζόνως τῇ δόξῃ· ὅστις τοῖς παροῦσιν ἁγίοις ἀγγέλοις ἔφη· «ἀναχωρήσατε ἀπ' αὐτοῦ· παρεκλήθη γὰρ ὁ κοινὸς πάντων Δεσπότης καὶ Βασιλεὺς τῆς δόξης περὶ αὐτοῦ, καὶ τὸ μένειν αὐτὸν τέως ἐν τῇ σαρκὶ ἐχαρίσατο.» Οἱ καὶ εὐθέως σὺν αὐτῷ ἀφανεῖς ἐγένοντο εἰς οὐρανοὺς ἀνιέντες. Οἱ δὲ ἅγιοι Κοσμᾶς καὶ Δαμιανὸς πρὸς τὸν ἅγιον ἔφησαν· «ἀνάστηθι, ἀδελφὲ, καὶ πρόσεχε σεαυτῷ καὶ τῷ ποιμνίῳ σου· ἐδέξατο γὰρ τὴν περὶ σοῦ πρεσβείαν ἡμῶν ὁ εὐδιάλλακτος καὶ φιλάνθρωπος ἡμῶν Δεσπότης, καὶ ἐχαρίσατό σοι τὸ ζῆν εἰς ἐργασίαν βρώσεως οὐκ ἀπολελυμένης, ἀλλὰ μενούσης εἰς ζωὴν αἰώνιον, καὶ εἰς ἐπιμέλειαν πολλῶν ψυχῶν.» Καὶ ταῦτα εἰπόντες αὐτῷ ἀφανεῖς ἐγένοντο καὶ αὐτοί. Αὐτὸς δὲ εὐθέως διαφορὰν καὶ ἰσχὺν ἀναλαβὼν, ἀνέστη ὑγιὴς, δοξάζων τὸν Θεὸν, καὶ πλείονα σπουδὴν καὶ ἀκρίβειαν εἰς τὴν ἐγκράτειαν αὐτοῦ καὶ τὸν τῆς ψαλμῳδίας κανόνα ἀνέλαβε.

214. 40. | Πολλά τε θαύματα ἦν ἐργαζόμενος διὰ τῆς θεόθεν δωρηθείσης αὐτῷ χάριτος κατὰ πάσης μὲν νόσου καὶ μαλακίας, ἐξαιρέτως δὲ κατὰ τῶν ἀκαθάρτων πνευμάτων τὰς ἐντεύξεις ποιούμενος· ὅθεν εἰ μόνον αὐτοῖς ἐνεβριμήσατο, ἢ καὶ διὰ λόγου διεπέμψατο, εὐθέως ἐξήρχοντο ἀπὸ τῶν ἀνθρώπων· ἐξ ὧν θαυμάτων τινὲς πληροφορίαν λαμβάνοντες, καταλιμπάνοντες τοὺς οἴκους αὐτῶν παρεγίνοντο πρὸς αὐτὸν, καὶ τὸν μοναχικὸν

καὶ ἡσύχιον βίον ἐπανῃροῦντο· ἔνιοί τε τῶν τῆς ἰάσεως τυγχανόντων οὐκ ἀνεχώρουν αὐτοῦ, ἀλλ' ἔμενον παρ' αὐτῷ διακονίας τὰς δεούσας ἀποπληροῦντες. Ἐπεὶ οὖν σεμνὸν ἦν τὸ εὐκτήριον τοῦ ἁγίου μάρτυρος Γεωργίου, ὡς μὴ χωρεῖν αὐτούς τε τοὺς τὴν λειτουργίαν ποιουμένους καὶ τοὺς παραμένοντας καὶ εἰς εὐχὴν παραγινομένους, ἀνήγειρεν ἐπὶ τὸ δεξιὸν μέρος κάλλιστον οἶκον τοῦ ἁγίου ἀρχιστρατήγου τῶν ἀγγέλων Μιχαὴλ, ἐπιτήδειον ὄντα καὶ ἐν θέρει καὶ ἐν χειμῶνι, ἔχοντα ἐξ εὐωνύμων μικρὸν εὐκτήριον τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ, ἐκ δεξιῶν δὲ τῆς παναγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἐν ᾧ καὶ τὸν κανόνα τῶν ἀδελφῶν ἐθέσπισεν ἐπιτελεῖν, πρὸς τὸ τοὺς παραμένοντας δι' ἴασιν νοσημάτων, ἢ πνευμάτων πονηρῶν ἐκδίωξιν, ἢ τοὺς εἰς εὐχὴν παραγινομένους ἐν αὐτῷ τῷ σεβασμίῳ ναῷ τοῦ ἀρχαγγέλου διαναπαύεσθαι, ἀνεῳγμένου ὑπάρχοντος νυκτὸς καὶ ἡμέρας, καὶ τῆς λειτουργίας ἀκούειν καὶ συνεύχεσθαι καὶ τῶν ἰαμάτων ἀξιοῦσθαι.

41. Καὶ ἦν ἐν τούτοις ὁ ἁγιώτατος δοῦλος τοῦ Θεοῦ Θεόδωρος ὡς φοῖνιξ ἐξ ἀκανθῶν, καὶ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ (Ψαλ. να'. 8), ὁσημέραι | 214.
διαλάμπων κατὰ τὸ γεγραμμένον, κυκλούμενος ὑπὸ μοναδικοῦ χοροῦ ἐν τῇ πρὸς τὸν Θεὸν δοξολογίᾳ. Ἀπέστειλε δὲ τὸν συναγωνιστὴν αὐτοῦ Φιλούμενον πρὸς τὸν ἐπίσκοπον τῆς Ἀναστασιουπολιτῶν πόλεως ἐπὶ τὸ ποιῆσαι αὐτὸν πρεσβύτερον, ἅμα δὲ καὶ ἡγούμενον ἐν τοῖς οὖσιν ἀδελφοῖς πρὸς τὸ αὐτὸν ἀπερίσπαστον εἶναι καὶ ἀμέριμνον ἐν τοῖς πολλοῖς.

42. Ἐπεὶ οὖν ηὔξανε μειζόνως Θεοῦ χάριτι ὁ εὐαγὴς καὶ σεβάσμιος τόπος τῆς μονῆς, ἔλειπε δὲ ἡ τῶν δι' ἀργύρου κειμηλίων χρῆσις (ἦν γὰρ τὰ ὑπουργοῦντα μαρμάρινα), ἀπέστειλεν δὲ ὁ ἁγιώτατος Θεόδωρος τὸν ἀρχιδιάκονον αὐτοῦ ἐν τῇ βασιλευούσῃ Κωνσταντινουπόλει, ἐπὶ τὸ ἀγοράσαι δισκοποτήριον ἀργυροῦν εἰς τὴν ὑπηρεσίαν τῶν ἀχράντων μυστηρίων. Ὁ δὲ

ἀπελθὼν ἠγόρασε παρά τινος ἀργυροπράτου καθαρὸν καὶ εὐκατασκεύαστον ἔργον, ὅσον κατὰ τὴν τοῦ ἀργύρου δοκιμὴν καὶ τοῦ τεχνίτου τὴν ἐργασίαν, καὶ ἤγαγεν ἐν τῷ μοναστηρίῳ. Ἐπικειμένης οὖν τῇ ἐπαύριον συνάξεως, ἐξενέγκας ὁ ἀρχιδιάκονος τὸ δισκοποτήριον εἰς τὸ διακονικὸν, ἀπεκάλυψεν αὐτὸ ἐπὶ τῷ ἐπιδεῖξαι αὐτὸ τῷ ἁγιωτάτῳ καὶ εἰς αὐτὸ τὴν πρόθεσιν ποιῆσαι. Αὐτὸς δὲ τοῦτο ἰδὼν, καὶ τῷ διορατικῷ γνοὺς ὀφθαλμῷ τὸν τῆς χρήσεως καὶ μέμψεως αὐτοῦ τρόπον, ἔψεγε τοῦτο ὡς ἀχρεῖον καὶ ῥυπαρὸν ὑπάρχον. Τοῦ δὲ οὐ πρὸς τὸ κρυπτόμενον, ἀλλὰ πρὸς τὸ φαινόμενον ἀποβλέποντος καὶ ἐπιδεικνύοντος τό τε ἀκέραιον καὶ εὐκατασκεύαστον ἔργον αὐτῶν, τήν τε πεντασφράγιστον αὐτῶν δοκιμὴν, καὶ ἐπὶ τούτοις πείθειν αὐτὸν οἰομένου, ἔφη αὐτῷ ὁ ἁγιώτατος· «οἶδα, φησὶν,
215. οἶδα κἀγὼ, ὦ τέκνον, | ὅτι κάλλιστον τὸ φαινόμενον ἐξέμπλιον, καὶ κατάδηλος ἐκ τῶν ἐπικειμένων σφραγίδων ἡ τοῦ ἀργύρου δοκιμὴ, ἀλλὰ ἄλλη τις αἰτία ἀφανὴς λυμαίνεται τοῦτο· ἀπὸ γὰρ ῥυπαρᾶς χρήσεως τοῦτο γεγονέναι δοκῶ. Εἰ δὲ ἀμφιβάλλεις, εἰπὲ στίχον εἰς τὸ προσεύξασθαι ἡμᾶς, καὶ πείσθητι.» Τοῦ δὲ εἰπόντος τὸν τῆς ἐπικλήσεως στίχον, κλίνας τὴν κεφαλὴν ὁ ἁγιώτατος προσηύξατο, καὶ μετὰ τὸ πληρῶσαι αὐτὸν, οὕτως ἐγένετο τὸ δισκοποτήριον, ὡς ὅταν ἀπέχων ἄργυρος ἐκ τῆς τοῦ καμίνου πυρᾶς μέλας ἐξέλθοι. Τότε ἰδόντες οἱ ἀδελφοὶ ἐδόξασαν τὸν Θεὸν τὸν τὰ ἄδηλα ποιοῦντα ἔκδηλα διὰ τοῦ δούλου αὐτοῦ. Λαβόντος οὖν αὐτὰ τοῦ ἀρχιδιακόνου καὶ ἀσφαλίζοντος, ἐφάνησαν πάλιν καθαρὸς ἄργυρος, καὶ ἀπελθὼν ἐν Κωνσταντινουπόλει ἀπέδωκεν αὐτὰ τῷ ἀργυροπράτῃ, ἀπαγγείλας αὐτῷ τὴν αἰτίαν. Ὁ δὲ, διερευνήσας εἰς τὸν ἁρμαρίτην αὐτοῦ, καὶ εἰς τὸν συντακτίτην αὐτοῦ ἀργυροκόπον, εὗρεν ὅτι ἀπὸ σίτλας τινὸς ἑταιρίδος ἦν γεγονότα· καὶ ἀπήγγειλε τῷ ἀρχιδιακόνῳ τὸ γεγονὸς παράπτωμα, αἰτῶν εὐχὴν συγχωρήσεως τοῦ γεγονότος σφάλματος ἀξιωθῆναι, ἅμα θαυμάζων ἐπὶ

τῇ τοῦ ἁγίου ἀνδρὸς προγνώσει. Ἕτερα δὲ καθαρὰ κάλλιστα
σκεύη ἔδωκεν αὐτῷ, ἅπερ λαβὼν ἐκόμισε τῷ ἁγιωτάτῳ δούλῳ
τοῦ Χριστοῦ, ἀπαγγείλας αὐτῷ καὶ τοῖς ἀδελφοῖς τὴν τῶν
προτέρων σκευῶν αἰτίαν, καὶ εὐχαρίστησαν τῷ Θεῷ.

43. Ἐν δὲ τῷ χωρίῳ Βουζαίων τῷ ὄντι ὑπὸ τὴν Κρατια-
νῶν πόλιν, εἰς τὸν παρερχόμενον διὰ μέσου αὐτῶν χείμαῤῥον,
ἠθέλησαν οἱ ἄνθρωποι ποιῆσαι γέφυραν διὰ τὸ πολλάκις πλημ-
μυρεῖσθαι αὐτὸν ὑπὸ πολλῶν | ὑδάτων καὶ ἀπέρατον εἶναι. Καὶ 215.
λαβόντες τεχνίτας, καὶ πρὸς πλήρωσιν ἤδη λοιπὸν τοῦ ἔργου
ἀπαρτισθέντος, ὀλίγων δὲ λειψάντων πλακίων πρὸς ἀπαρτισμὸν,
ἐκ διαβολικῆς σκευῆς ἀπελθόντες οἱ τεχνῖται εἴς τινα βουνὸν
οὐκ ἀπὸ μακρὰν ὄντα, ἐξέβαλον πλάκας ἐξ αὐτοῦ, ὡς μέν τινες
ἔφησαν, ἐπὶ προφάσει τῆς τοῦ ἔργου χρείας, ὡς δὲ οἱ πλεῖστοι
λέγουσιν, ὅτι θησαυρὸν ἀποκείμενον ἐκεῖθεν ἀπεσύλησαν. Ἐξ
ἐκείνου οὖν τοῦ τόπου καὶ τοῦ ἐπιχειρήματος ἐξῆλθε πλῆθος
πνευμάτων ἀκαθάρτων, καὶ τὰ μὲν, εἰσῆλθον εἰς φανεροὺς ἄν-
δρας τε καὶ γυναῖκας τοῦ χωρίου καὶ ἐπαίδευον αὐτοὺς ἀ-
γρίως, τὰ δὲ, εἰς νόσους περιέβαλλον τοὺς λοιποὺς, ἄλλα δὲ, εἰς
τὰς στράτας καὶ τὰς μεθορίας κατέμενον ἀδικοῦντα τά τε ἄ-
λογα καὶ τοὺς διοδεύοντας ἀνθρώπους· καὶ ἦν μεγάλη ἀνάγκη
ἐν αὐτοῖς, καὶ ἀπορία τῶν ἔνδοθεν καὶ ἔξωθεν συμφορῶν. Ἐν
νῷ δὲ λαβόντες τὸν δοῦλον τοῦ Θεοῦ Θεόδωρον, ἐπείρασαν
κατὰ τῶν εὐχῶν αὐτοῦ καθορκίζειν τὰ πνεύματα ἐν τῷ ἀ-
στάτως αὐτὰ πάσχειν, καὶ εὗρον αὐτὰ πτοούμενα οὐ μικρῶς,
καὶ ὑποταττόμενα ἐπὶ τῇ αὐτοῦ ὀνομασίᾳ καὶ εἰς εὐταξίαν
ἐρχόμενα. Ἐν σπουδῇ οὖν καταλαβόντες τὸ μοναστήριον, πολ-
λαῖς ἱκεσίαις τοῦτον ἔπεισαν συνελθεῖν αὐτοῖς. Πλησιάσαντος
δὲ αὐτοῦ τῷ χωρίῳ αὐτῶν, αἰσθόμενα τὰ πνεύματα τὴν πα-
ρουσίαν αὐτοῦ, παιδεύοντα τοὺς ἀνθρώπους, ὑπήντησαν αὐτῷ
ὀλολύζοντα τοιάδε· « ὢ βία! τί ἐλήλυθας ὧδε, σιδηροφάγε;
τί τὴν Γαλατίαν καταλείψας, τὴν Γορδιανὴν κατείληφας; οὐ

χρεία σε ὑπερμέθορα διαβαίνειν. Οἴδαμεν δι' ὃ ἦλθες· ἀλλ' οὐχ
216. | ὑπακούσομέν σου, καθὼς οἱ ἐν τῇ Γαλατίᾳ ὄντες· σκληρότεροι γὰρ ἐκείνων καὶ οὐχὶ ἁπαλώτεροί ἐσμεν.» Ἐπιτιμήσαντος δὲ αὐτοῦ, εὐθέως ἐφιμώθησαν. Τῇ δὲ ἐπαύριον συναχθέντων πάντων καὶ τῶν πασχόντων κύκλῳ αὐτοῦ ἐνεργουμένων, ἐκβαλὼν λιτὴν ὁ ἁγιώτατος περιῆλθε κύκλῳ τὸ χωρίον καὶ παρεγένετο εἰς τὸν βουνὸν, ἀφ' οὗ ἐξελθεῖν ἔφασκον τὰ δαιμόνια, καὶ βασανίσας αὐτὰ τῇ θείᾳ τοῦ Χριστοῦ χάριτι, καὶ τῇ σφραγῖδι τοῦ τιμίου σταυροῦ, καὶ τοῖς κατὰ τοῦ στήθους ὠθισμοῖς, ἐποίησεν εὐχὴν ἐπὶ ἱκανὴν ὥραν, καὶ ἐκέλευεν αὐτὰ ἐξελθεῖν ἀπὸ τῶν ἀνθρώπων καὶ εἰσελθεῖν εἰς τὸν τόπον αὐτῶν. Ἅτινα πολλὰ βοήσαντα καὶ τὰ περικείμενα αὐτοῖς ἱμάτια περισχίσαντα, ἔρριψαν αὐτοὺς παρὰ τοὺς πόδας αὐτοῦ καὶ ἐξῆλθον ἀπ' αὐτῶν. Ἓν δὲ πονηρότατον πνεῦμα εἰς γυναῖκα ὑπάρχον, ἀντέλεγε καὶ οὐκ ἤθελεν ἐξελθεῖν. Ὁ δὲ ἁγιώτατος ἐπιλαβόμενος τῆς κόμης αὐτῆς καὶ ὠθήσας σφοδρῶς, ἐπετίμα αὐτῷ τῷ τύπῳ τοῦ σταυροῦ καὶ τῇ πρὸς τὸν Θεὸν εὐχῇ εἰρηκὼς καὶ τοῦτο· «ὅτι οὐ συγχωρῶ σοι, οὐδὲ μὴ μετέλθω ἐντεῦθεν, ἕως οὗ ἐξέλθῃς ἐξ αὐτῆς.» Τότε ἤρξατο βοᾶν καὶ λέγειν· «ὢ βία, καίεις με, σιδηροφάγε! ἐξέρχομαι καὶ οὐκ ἀντιλέγω, μόνον δὸς ἡμῖν τι ἐξ ὧν φορεῖς.» Ὑπολυσάμενος δὲ τὸ σανδάλιον αὐτοῦ, ἔρριψεν ἐν τῷ ὀρύγματι τοῦ βουνοῦ, ὅθεν ἐνήργησαν εἰς ἀνθρώπους, καὶ εὐθέως ῥίψας αὐτὴν παρὰ τοὺς πόδας αὐτοῦ, ἐξῆλθεν ἀπ' αὐτῆς. Πάλιν δὲ στὰς ὁ ἁγιώτατος προσηύξατο τῷ Κυρίῳ, ὥστε καὶ τὰ εἰς τὰς μεθορίας καὶ τὰς ὁδοὺς παραμένοντα ἐπὶ βλάβῃ τῶν ὁδευόντων ἅπαντα συνελάσαι καὶ κατακλεῖσαι εἰς τὸν αὐτὸν τόπον, ὅθεν ἐξῆλθον· καὶ τῇ τοῦ
216. Θεοῦ χάριτι ἅπαντα συνήχθησαν τοῖς τισὶν | ὁρώμενα ἐν εἴδει μυιῶν ἀφιπταμένων, λαγωῶν τε καὶ μυωξῶν, καὶ εἰσῆλθον εἰς τὸν τόπον ἐκεῖνον τοῦ ὀρύγματος, ὃν κατασφραγίσας τῇ εὐχῇ καὶ τῷ τύπῳ τοῦ σταυροῦ ὁ ἁγιώτατος, ἐκέλευσεν ἐπι-

χωσθῆναι τὸν λάκκον καὶ ἀποτελεσθῆναι ὥσπερ ἦν τὸ πρότερον. Καὶ ὑπέστρεψε τὴν λιτὴν εἰς τὸ χωρίον, καὶ ἔκτοτε ἔμεινεν ἀβλαβὴς ὁ τόπος ἐκεῖνος καὶ οἱ ἄνθρωποι τοῦ χωρίου καὶ πᾶσα αὐτῶν ἡ μεθορία, εἰς δόξαν τοῦ χορηγοῦ τῶν ἰαμάτων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Καὶ ὑποστρέψας ὁ ἁγιώτατος, κατέλαβε τὸ μοναστήριον αὐτοῦ.

44. Ἐκ δὲ τῆς πόλεως Ἡρακλείας τοῦ Πόντου Θεόδωρος τοὔνομα, ὁ ἐπίκλην Λατζέας, κτήτωρ ἔνδοξος τῶν ἐκεῖσε, παρεγένετο ἐν τῷ μοναστηρίῳ πρὸς τὸν ὅσιον, καὶ πεσὼν εἰς τοὺς πόδας αὐτοῦ μετὰ δακρύων παρεκάλει αὐτὸν παραγενέσθαι ἐν τῇ πόλει αὐτοῦ ἐπὶ τῷ καὶ εὔξασθαι εἰς τὸν παρ' αὐτοῖς σεβάσμιον οἶκον τῆς παναγίας Θεοτόκου, καὶ τοῦ λυτρώσασθαι τὸν οἶκον αὐτοῦ καὶ πάντας τοὺς ἐνεργηθέντας ἐκ τῆς συνεχούσης αὐτοὺς ἀνάγκης. Συνέβη γὰρ ἐν τῷ οἴκῳ αὐτοῦ διωρυγῆς τινος γενομένης, ἐκ τῆς τοιαύτης προφάσεως πολλὴν γενέσθαι πνευμάτων ἀκαθάρτων ἐνέργειαν ἔν τε τοῖς τοῦ οἴκου καὶ ἐν ἄλλοις τισὶ τῆς πόλεως, καὶ ἔπασχον δεινῶς. Ὁ δὲ μακάριος ἔχων πόθον τοῦ εὔξασθαι εἰς τὸν ἐκεῖσε σεβάσμιον οἶκον τῆς παναγίας Θεοτόκου, συνῆλθεν αὐτῷ, καὶ παραγενόμενος ἐν τῇ πόλει Ἡρακλείᾳ, καὶ τὸν πόθον τῆς εὐχῆς αὐτοῦ ἐπλήρωσεν ἐν τῷ σεβασμίῳ τῆς παναγίας Θεοτόκου ναῷ, καὶ τὸν οἶκον τοῦ εἰρημένου ἐνδόξου ἀνδρὸς Θεοδώρου ἠλευθέρωσε καὶ πάντας τοὺς ἐνεργηθέντας ἐκ τῶν δαιμόνων, τῇ πρὸς τὸν Θεὸν εὐχῇ καὶ ἱκεσίᾳ. Πολλὰ δὲ ἄλλα θαύματα ἰαμάτων | ἐν 217.
αὐτῇ τῇ πόλει καὶ ἐν τῷ ὑποστρέφειν αὐτὸν κατὰ τόπον ἐπὶ πολλῶν ἐγίνετο, εἰς δόξαν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ.

45. Πάλιν ἐν τῇ Ἀγκυρανῶν μητροπόλει θνήσεως μεγάλης γενομένης ἀνθρώπων τε καὶ βοῶν, παραγενόμενοι οἱ τῆς αὐτῆς μητροπόλεως προτίκτορες ἐν τῇ μονῇ πρὸς τὸν δοῦλον τοῦ Θεοῦ, ἔλαβον αὐτὸν καὶ ἀπήγαγον αὐτὸν ἐν τῇ μητροπόλει αὐτῶν· ἀπὸ δὲ παρακλήσεως τῶν ἐν αὐτοῖς ὄντων προτικτό-

ρων, ἐχόντων θυγατέρας αὐτῶν ἐν τῇ μοναχικῇ τάξει ἐν τῷ γυναικείῳ μοναστηρίῳ τῆς παναγίας Θεοτόκου τῷ ἐπιλεγομένῳ Βήήια, ἐπὶ εὐλογίᾳ καὶ στηριγμῷ αὐτῶν, ἔπεισαν αὐτὸν ἐκεῖ καταχθῆναι καὶ εὔξασθαι αὐταῖς. Τάξαντος δὲ αὐτοῦ ἡμέραν λιτῆς, συναχθείσης πάσης τῆς πόλεως καὶ τῆς περιοίκου, λιτανεύσας μετ' αὐτῶν καὶ τὸν Θεὸν ἱκετεύσας, τῆς τοιαύτης συνεχούσης αὐτοὺς θραύσεως ἐλυτρώσατο, καὶ ἐπὶ τῇ τῶν βοῶν θνήσει, εὐλογήσας ὕδωρ ἐπὶ τὸ ῥαντίσαι τὰ ἄλογα, ἀπήλλαξεν αὐτὰ τῆς θνήσεως· καὶ οὕτως εὐχαριστήσαντες τῷ Θεῷ οἱ τῆς μητροπόλεως, ἀποκατέστησαν τὸν ὅσιον ἐν τῇ μονῇ αὐτοῦ. Τοῦ Σιβέρεως δὲ ποταμοῦ διερχομένου πλησίον τῶν σπορίμων ἀρουρῶν τοῦ πρὸς τὸ μοναστήριον κειμένου χωρίου Συκεών, καὶ ὑποχθίζοντος τὴν σπόριμον γῆν καὶ κατὰ μικρὸν πολὺν τόπον ἀφελομένου, παραγενόμενος ὁ ἁγίωτατος πεποιθήσει τῇ πρὸς τὸν Θεὸν, παρήγγειλε τῷ ποταμῷ ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ μεταθεῖναι τὴν κοίτην αὐτοῦ καὶ μηκέτι πλησιάζειν ταῖς ἀρούραις, καὶ στήσας σταυρὸν ἀπὸ ξύλου καὶ εὐχὴν ποιήσας, μεταβῆναι τοῦτον τῆς νομῆς ἐκείνης Θεοῦ χάριτι παρεσκεύασεν.
217. Ἐν αὐτῷ δὲ τῷ ποταμῷ βιοθανάτων γενομένων πολλῶν ἐν | τῷ διαπερᾶν αὐτούς, παραγενόμενος οὗτος ὁ ἀξιομνημόνευτος ἀνήρ, εἰσῆλθε μέσον τοῦ ποταμοῦ καθ' ὃν τόπον συνέβαινε τοῦτο· καὶ ποιήσας ἐκτενῆ εὐχὴν πρὸς τὸν Θεὸν, ἔκτοτε πρᾶον καὶ ἀνεπιβλαβῆ ἀεὶ χάρισι Χριστοῦ τοῦτον διοδεύσεσθαι ἐποίησεν.

46. Ἠνέχθη δὲ αὐτῷ παιδίον ἀπό τινος μοναστηρίου, Ἀρσῖνος τοὔνομα, ἔχον πνεῦμα ἀκάθαρτον καὶ πάσχον δεινῶς· ὅπερ δεξάμενος ὁ ἁγιώτατος οὐκ ἐσπούδασεν ἐπὶ ταχινῇ τούτου ἰάσει, φάσκων συμφέρουσαν εἶναι αὐτῷ τέως τὴν τοιαύτην παιδείαν. Ἐν ἡλικίᾳ δὲ τελείᾳ αὐτοῦ γεγονότος, καὶ ἱκετεύοντος τὸν ἁγιώτατον ὡς ἐπὶ ἑκάστῳ τῶν παραγενομένων καὶ ἐπ' αὐτῷ τὴν ἴασιν ἐξαιτήσασθαι παρὰ τοῦ Θεοῦ, ἔφη αὐτῷ· «ἐὰν συντίθῃ, ὅτι καλὴν καὶ ἀκριβῆ ἄσκησιν ἀναλαμβάνεις, πληροῦται

ἡ αἴτησίς σου καὶ τάχιον τῆς ἰάσεως καταξιοῦσαι.» Ὁ δὲ συνέθετο ἐπὶ τούτοις. Καὶ θέλων ἀπελθεῖν ὁ τοῦ Χριστοῦ δοῦλος ἐπισκέψασθαι τὸ γυναικεῖον μοναστήριον τοῦ ἁγίου μάρτυρος Χριστοφόρου, ἔλαβε μεθ' ἑαυτοῦ τὸν Ἀρσῖνον. Γενομένων δὲ αὐτῶν ἐν τῇ κοιλάδι τοῦ Ξηροῤῥύακος, διὰ τὸ εὐκαιρίαν εἶναι ἐκεῖσε, στὰς ὁ ἁγιώτατος ἐδέετο τοῦ Θεοῦ περὶ αὐτοῦ. Καὶ κινηθέντος τοῦ δαιμονίου ἤρξατο πάσχειν, ὡς καὶ ἀπὸ τῆς γῆς κουφισθῆναι καὶ κρεμάμενον ὀλολύζειν καὶ λέγειν· «ἐξέρχομαι, σιδηροφάγε, μόνον λῦσόν με καὶ εὐθέως ὑπάγω.» Καὶ ταῦτα λέγων, εἶδεν ἐξαίφνης καὶ τὸν ἅγιον μάρτυρα τοῦ Χριστοῦ Χριστοφόρον ἐρχόμενον εἰς συνάντησιν τοῦ αὐτοῦ θεράποντος· καὶ μειζόνως ὀλολύξας ὁ δαίμων καὶ σπαράξας αὐτὸν, ἔῤῥιψε πρὸς τοὺς πόδας αὐτοῦ καὶ ἐξῆλθε. Καὶ ἐλθόντος αὐτοῦ εἰς ἑαυτὸν, λαβὼν αὐτὸν ἀπῆλθεν ἐν τῷ μοναστηρίῳ τοῦ προδηλουμένου μάρτυρος, | νουθεσίαις τε καὶ αὐστηραῖς παραγγελίαις 218.
καὶ τῷ τῆς εὐχῆς τειχισμῷ τὰς ἐν αὐτῷ ἀσκούσας παρθένους σεμνύνων, καὶ εἰς εὐσχημοσύνην καὶ φόβον θεῖον καὶ ἀνθρωπίνην αἰδῶ ἐνάγων. Ἦν γὰρ ὁ φόβος αὐτοῦ μέγας ἐπ' αὐτάς.

47. Μετὰ δὲ τὸ ὑποστρέψαι αὐτὸν ἐκεῖθεν ἐπὶ τὸ ἀνδρεῖον αὐτοῦ μοναστήριον, λαβὼν κελλίον μικρὸν παρ' αὐτοῦ ὁ Ἀρσῖνος, ἐγκατεκλείσθη ἐν αὐτῷ, ἡσυχίαν ἄγων πάντοτε, καὶ διὰ τριῶν ἡμερῶν ἐσθίων ἄρτον μετὰ λεπτολαχάνων ἢ ὀσπρίων, καὶ ὕδωρ πίνων, τῇ δὲ τεσσαρακοστῇ τὴν αὐτὴν μὲν τροφὴν ἤσθιεν, τῷ δὲ Σαββάτῳ μόνον καὶ τῇ Κυριακῇ. Ἦσαν δὲ καὶ ἕτεροι δύο οἱ ταύτην τὴν σκληραγωγίαν ἀναλαβόντες, Εὐάγριος τε καὶ Ἀνδρέας, πλησίον τοῦ Ἀρσίνου ἰδιάζοντες ἐν κελλίοις καὶ ἀγωνιζόμενοι εἰς τὴν ἐργασίαν τῆς σωτηρίας τῶν ψυχῶν αὐτῶν· ὥστε τὸν μέγαν δοῦλον τοῦ Θεοῦ συγχαίρειν αὐτοῖς καὶ ἐπεύχεσθαι καὶ τὸν Θεὸν δοξάζειν. Μετὰ δὲ χρόνους τινὰς ἀνέβη λογισμὸς εἰς τὴν καρδίαν αὐτῶν ἀπελθεῖν εἰς τὴν ἁγίαν πόλιν καὶ προσκυνῆσαι τοὺς ἐκεῖσε ἁγίους τόπους· καὶ

συμφωνήσαντες οἱ τρεῖς ἐπὶ τὸ αὐτὸ, προσέπεσον τῷ ἁγιωτάτῳ μὴ ἐκκόψαι τὴν ὁρμὴν αὐτῶν, ἀλλὰ μετ' εὐχῆς ἀπολῦσαι αὐτούς. Ἀπολυθέντων δὲ αὐτῶν καὶ ἀπελθόντων καὶ τὴν εὐχὴν ἐκτελεσάντων, ἔδοξε τῷ Εὐαγρίῳ ἀπομεῖναι ἐκεῖ· ὃς εἰσελθὼν ἐν τῇ Λαύρᾳ τοῦ κυρίου Σάβα, διῆγεν ἐναρέτως πολιτευόμενος, ἔργοις δεικνύων ἑαυτὸν μαθητὴν εἶναι τοῦ θεοφόρου καὶ ἁγίου πατρὸς Θεοδώρου.

48. Ὁ δὲ Ἀρσῖνος καὶ Ἀνδρέας παρεγένοντο ἐν τῇ Γαλατίᾳ πρὸς τὸν ἁγιώτατον, καὶ παρεκάλεσαν αὐτὸν ἐπιτρέ-
218. ψαι αὐτοῖς καὶ ἐπεύξασθαι πρὸς τὸ | ἀπελθεῖν καὶ ἡσυχάσαι αὐτοὺς εἰς ἑτέρους τόπους καθ' ἑαυτούς. Λαβόντες οὖν εὐχὴν παρ' αὐτοῦ καὶ παράθεσιν ἐπὶ τοῦτο, ὥρμησαν ἕκαστος εἰς ὃν ἐπληροφορήθη τόπον. Καὶ ὁ μὲν Ἀνδρέας ἀπὸ σημείων ὀκτὼ τοῦ μοναστηρίου καταντήσας ἐν τῷ βουνῷ τοῦ χωρίου Βριανείας, ἤσκει ἐναρέτως, ποιήσας δὲ καὶ κλουβὸν ξύλινον ἔστησεν ἐν τῷ ἀέρι, καὶ ἐνεκλείετο ἐν αὐτῷ ἀπὸ τῆς Χριστοῦ γεννήσεως ἕως τῶν Βαΐων, ἐκτελῶν καὶ τὴν ἐγκράτειαν, ἣν ἐκτήσατο ἐν τῷ μοναστηρίῳ. Ὁ δὲ Ἀρσῖνος ἀνελθὼν ἐπὶ τὸ μέρος τῆς ἄνω ποταμίας τοῦ Σιβέρεως, κατέλαλε τὸ χωρίον Γαληνῶν, καὶ ἀρεσθεὶς τινος τόπου ἔξωθεν τοῦ χωρίου ὄντος, δαιμόνων προσεδρίαν ἔχοντος, ἐν αὐτῷ μένειν προεθυμήθη. Καὶ στὰς ηὔξατο πρὸς Θεὸν λέγων· « Κύριε ὁ Θεὸς τοῦ πατρός μου Θεοδώρου, διὰ τῶν αὐτοῦ εὐχῶν σῶσόν με τὸν ἁμαρτωλὸν, καὶ συνέργησόν μοι καὶ συναγώνισον εὐαρεστῆσαί σοι ἐν τῷ τόπῳ τούτῳ ». Καὶ εὐθέως περιώρισεν ἑαυτὸν εἰς τὸν ξύλινον κλουβὸν, ποιήσας τὸν χειμῶνα ἐκεῖνον· καὶ μετὰ τοῦτο ἐποίησε στῦλον ὑψηλότατον, καὶ ἀνελθὼν ἐπ' αὐτὸν, τὴν συνήθη αὐτοῦ ἐγκράτειαν καὶ πᾶσαν ἐνάρετον ἄσκησιν ἐξετέλει. Τεσσαρακοστὸν δὲ ἤδη ἔτος ἐγκαρτερήσας καὶ τὸν τῆς ὑπομονῆς στέφανον ἀναδησάμενος ὡς ἄξιος μαθητὴς τοῦ αὐτοῦ θεράποντος Θεοδώρου, ἐν εἰρήνῃ ἐκοιμήθη.

49. Πολλοὶ δὲ καὶ ἕτεροι ὁμοίως μαθητευθέντες παρὰ
τοῦ ἁγίου καὶ σημειοφόρου πατρὸς ἡμῶν Θεοδώρου, καὶ πάσῃ
ἀρετῇ κατακοσμηθέντες, οἱ μὲν παρ' αὐτῷ βιώσαντες ἐτε-
λειώθησαν, οἱ δὲ καὶ εἰς ἑτέρους τόπους καὶ διαφόρους διέλαμ
ψαν· ἐν οἷς καὶ Ῥεπέρατος ὁ ἀπὸ μειζοτέρων γεγονὼς, ὅς-
| τις ὑπ' αὐτοῦ κατηχηθεὶς νουθεσίαις τε προτρεπτικαῖς καὶ 219.
πληροφορίαις σημείων πολλῶν ἐπὶ τὸ μοναχικὸν ἐλήλυθε τάγ-
μα, μαθητευθεὶς αὐτῷ ἔργοις καὶ ὑπ' αὐτοῦ περιορισθεὶς εἰς
κελλίον μικρὸν ἐν τῷ χωρίῳ Κολονοσοῦ τῆς Λυκαονίας, βιώ-
σας πάνυ θεοπρεπῶς κατὰ τὴν τοῦ διδασκάλου μίμησιν. Καὶ
Ἐλπίδιος δὲ, ὅστις χρόνους τινὰς ἐν τῷ μοναστηρίῳ μαθητευ-
θεὶς καὶ βιώσας πρεπόντως, ὕστερον ἐπὶ τὴν ἀνατολὴν ἀπελ-
θὼν πλησίον τοῦ Σινᾶ ὄρους, κἀκεῖ ἡσυχάσας, ἀσκητικὸν ἐξε-
τέλεσε βίον, ὃν διὰ τὴν ἡσυχίαν καὶ εὐλάβειαν οἱ πατέρες
τῶν ἐκεῖσε τόπων, Ἐλπίδιον καὶ Ἥσυχον ἐπωνόμασαν. Λεόν-
τιος δὲ ὁ πλησίον τοῦ χωρίου Περματαΐας ἰδιάσας, καὶ ἐπὶ
χρόνους μαθητευθεὶς τῷ παναγίῳ δούλῳ τοῦ Χριστοῦ, καὶ οὗ-
τος καλὴν καὶ ἐνάρετον πολιτείαν ἐξετέλεσεν, ὡς καί τινων
προῤῥήσεων αὐτὸν ἀξιωθῆναι, καὶ τὴν μετέπειτα γενομένην ἐπί-
βασιν τῶν ἀνόμων Περσῶν προδεδηλωκέναι, καὶ ἑαυτὸν φά-
σκειν ὑπ' αὐτῶν ἀναιρεῖσθαι· ὅπερ καὶ γέγονε διὰ τὸ μὴ θε-
λῆσαι αὐτὸν ἐξελθεῖν τοῦ κελλίου καὶ ἐκκόψαι τὴν ἡσυχίαν,
αὐτοῦ μαρτυρικῶς τελέσαντος τὸν βίον αὐτοῦ. Καὶ Θεόδωρος
δὲ ὁ ἐν τῷ ὄρει τοῦ Δράκοντος ἀσκήσας ἐναρέτως, ὑπ' αὐτοῦ
μαθητευθεὶς καὶ τὸ σχῆμα λαβὼν, ὕστερον καὶ τῆς μονῆς τοῦ
ἁγίου Αὐτονόμου ἡγήσατο. Καὶ Στέφανος ὁ παρὰ τὸν Ψίλιν
ποταμὸν τῆς μονῆς τοῦ ἁγίου Θεοδώρου ἡγησάμενος, ὑπ' αὐ-
τοῦ μαθητευθεὶς καὶ τὸ σχῆμα παρ' αὐτοῦ ἀξιωθεὶς λαβεῖν,
ἐναρέτως ἐπολιτεύσατο. Καὶ ἕτεροι δὲ πλεῖστοι, οὓς διὰ τὸ
πλῆθος σιωπῇ παρατρέχω, ἵνα μὴ τῇ αὐτῶν ἱστορίᾳ ἐνδιατρί-
βων, τὴν πολυπόθητον τοῦ αὐτῶν τε καὶ | ἡμῶν μεγάλου ποι- 219.

μένος ἐξήγησιν ὀκλάσας, ἀτέλεστον καταλείψω. Πάντων γὰρ αὐτῶν τὸν ἐνάρετον βίον διὰ τῆς τῶν συμμαθητῶν αὐτῶν ἀγωνιστικῆς πολιτείας ὑμῖν παραθέμενος, ἀρκοῦσαν αὐτοῖς μαρτυρίαν εἰσήγαγον, πλείονα δὲ ταύτης καὶ τοῦ διδασκάλου ἐπὶ τακτικὴν διδασκαλίαν· οὐ δύναται γάρ, φησίν, ὁ Κύριος δένδρον καλὸν καρποὺς πονηροὺς ποιεῖν (Ματθ. ς'. 18), οὗπερ δένδρου καταλείψας τὴν περὶ τῶν κλάδων ἐξήγησιν, τὸ αὐτοῦ ὕψος ἀπαριθμῆσαι τὸ κατὰ δύναμιν πειράσομαι.

50. Ἔσχε πόθος αὐτὸν ἀπελθεῖν εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ, καὶ παραλαβὼν δύο ἀδελφούς, ἐξῆλθε καὶ ἐπορεύετο. Ἦν δὲ μεγάλη τότε ἀβροχία ἐν τοῖς Ἱεροσολύμοις, καὶ πάντες ἐστενοῦντο ἐκεῖσε, διὰ τὸ καὶ τοὺς λάκκους καὶ τὰς κιστέρνας αὐτῶν ξηρανθῆναι· καὶ γὰρ αὐτὴ ἡ πόλις καὶ τὰ μοναστήρια, ἀπὸ τοῦ ὑετοῦ ἐκ τῶν δωμάτων εἰς τοὺς λάκκους καὶ τὰς κιστέρνας τὸ ἀρκοῦν αὐτοῖς ὕδωρ συνάγουσι, διὰ τὸ μὴ ἔχειν αὐτοὺς ἐπίβρυτον, ἢ πηγημαῖον. Πάντες οὖν ἐκινδύνευον οἵ τε ἄνθρωποι καὶ τὰ κτήνη διὰ τὴν τοιαύτην ἀνυδρίαν, καὶ λιτανεύοντες οὐκ ἐτύγχανον τῆς αἰτήσεως, πάντως εἰς τὸν μέγαν αὐτοῦ δοῦλον φυλάττοντος τοῦ Θεοῦ τὸ τοιοῦτον χάρισμα πρὸς ἔπαινον. Ἦσαν δὲ ἐκεῖ τινὲς ἐκ τῆς τῶν Γαλατῶν χώρας, γινώσκοντες τὸν μέγαν τοῦτον δοῦλον τοῦ Θεοῦ καὶ τὰ γενόμενα θαύματα δι' αὐτοῦ, καὶ ἔλεγον περὶ αὐτοῦ ἔν τε τῇ ἁγίᾳ πόλει καὶ ἐν τοῖς μοναστηρίοις, ὅταν εἶχον συντυχίαν πρός τινας· « ὅτι οἴδαμεν πατέρα ἅγιον ἐν τῇ χώρᾳ ἡμῶν, δυνάμενον διὰ μιᾶς προσευχῆς ὅλην τὴν οἰκουμένην ἐμπλῆσαι ὑετῶν εἰς πλησμονήν, ὥσπερ Ἠλίας ὁ προφήτης ἐπὶ Ἀχαὰβ, βασιλέως Ἰσραὴλ, ἐποίησε. »

220. 51. | Παραγενομένου δὲ τοῦ ἁγίου τούτου εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ, καὶ προσκυνήσαντος τὸν ζωοποιὸν σταυρὸν καὶ τὴν ἁγίαν Ἀνάστασιν τοῦ Χριστοῦ, καὶ πάντα τὰ ἐκεῖσε ὄντα ἁγιάσματα καὶ τὰ μοναστήρια περιερχομένου, ἰδόντες δὲ αὐτὸν

οἱ τὴν σημειοφόρον αὐτοῦ πολιτείαν προκαταγγείλαντες μοναχοὶ, διελάλησαν τὴν παρουσίαν αὐτοῦ ἔν τε τῇ πόλει καὶ τοῖς μοναστηρίοις. Παραγενόμενοι δὲ κληρικοὶ ἀπὸ τοῦ τότε ὄντος πατριάρχου ἅμα μοναχοῖς καὶ περιφανεστάτοις ἀνδράσι τῆς πόλεως πρὸς αὐτὸν, παρεκάλουν διὰ τῆς προσευχῆς αὐτοῦ ἐξιλεώσασθαι τὸν Θεὸν ὑπὲρ αὐτῶν, ἐπὶ τῷ καταπέμψαι αὐτοῖς ὑετόν. Αὐτὸς δὲ συγχωρεῖν αὐτοὺς παρεκάλει, ἀνάξιον ἑαυτὸν τοιούτου μέτρου ὑπαγορεύων, τῶν δὲ, φασκόντων πιστεύειν, ὡς ὅτι περ ἐὰν συνεύξηται τοῖς λοιποῖς πατράσι, πάντως καταξιωθήσονται ὑετοῦ. Ἔφη αὐτοῖς καὶ αὐτός· « ἤδη οὖν, καθὼς λέγετε πιστεύειν, γενήσεται ὑμῖν. » Καὶ προσέταξεν αὐτοῖς ἐκβαλεῖν λιτὴν, καὶ εἶπε τοῖς στρατευομένοις τοῖς τὰς ἐξαλλασσούσας στολὰς περιβεβλημένοις· « ἀλλάξατε τὰς στολὰς ὑμῶν, τέκνα, πρὸς τὸ μὴ καὶ αὐτὰς καταβραχῆναι, καὶ ὑμᾶς σιανθῆναι· λέγω γὰρ ὑμῖν, ὅτι κατὰ τὴν πίστιν ὑμῶν ἐν τάχει ὁ Θεὸς ποιεῖ τὸ ἔλεος αὐτοῦ μεθ' ὑμῶν. » Λιτανευόντων δὲ αὐτῶν καὶ σταθέντων ἔν τινι τόπῳ κατὰ πρόσταξιν αὐτοῦ ἐπὶ τὸ εὔξασθαι, ἐκπετάσας τὰς χεῖρας ὁ ἁγιώτατος εἰς τὸν οὐρανὸν, προσηύξατο τῷ Κυρίῳ ἐπὶ ὥραν ἱκανήν. Καὶ εὐχομένου αὐτοῦ, ἐφάνη μικρὰ νεφέλη δροσοφόρος ἐκ δυσμῶν ἀνερχομένη. Καὶ πληρώσαντος αὐτοῦ τὴν εὐχὴν, καὶ ὑποστρέφειν παρακελευσαμένου, | συνεσκότασε νεφέλαις ὁ οὐρανὸς, καὶ 220.
ἤρξατο λάβρος κατιέναι ὁ ὑετὸς, ὥστε δρόμῳ ὑποστρέψαι αὐτοὺς καταβραχέντας, καὶ οὕτω τὴν λιτὴν καταπαῦσαι, δοξάζοντας τὸν Θεόν. Ποταμηδὸν δὲ τῶν ὑετῶν ἐπὶ γῆς διαπορευομένων, πᾶσαι αἱ κιστέρναι καὶ οἱ λάκκοι ἐπληρώθησαν ὑδάτων, διὰ τῆς ἐνεργητικῆς πρὸς τὸν Θεὸν εὐχῆς τοῦ δούλου αὐτοῦ. Διὰ δὲ τὸ μὴ ὀχληθῆναι αὐτὸν διὰ τὴν τοῦ τοιούτου σημείου πληροφορίαν, εὐθέως ἐξελθὼν ἐκεῖθεν κατέλαβε τὸ μοναστήριον αὐτοῦ.

52. Τοιαῦτα δὲ αὐτοῦ σημεῖα γέγονεν ἐπὶ μεγάλῃ ἀβρο-

χίᾳ καὶ ἐν ἑτέροις τόποις, πλησιάζουσι τῷ μοναστηρίῳ. Ἐν δὲ τῷ χωρίῳ τῷ λεγομένῳ Ῥεάκη, νέφος ἄγριον ἐπήρχετο κατὰ καιρὸν ἐν τῇ χώρᾳ, καὶ τῶν ἀμπελώνων, ὡρίμων τῶν καρπῶν ὄντων, ἐχαλάζου αὐτούς, καὶ ἦσαν ἐν στενώσει μεγάλῃ οἱ ἄνθρωποι τοῦ αὐτοῦ χωρίου, μὴ δυνάμενοι μεταλαβεῖν τῶν καρπῶν τῆς γεωργίας αὐτῶν ἐπὶ χρόνους ἱκανούς. Παραγενόμενοι δὲ εἰς τὸ μοναστήριον καὶ δεηθέντες τοῦ μακαρίου, ἀπήγαγον αὐτὸν εἰς τὸ χωρίον. Ἐκβαλὼν δὲ λιτήν, περιῆλθον τὴν ἄμπελον καὶ τὴν χώραν, καὶ ποιήσας εὐχήν, ἔστησε σταυροὺς ἀπὸ ξύλου τέσσαρας ἐκ τετράντου εἰς τὴν μεθορίαν ἐκείνην, καὶ οὕτως ὑπέστρεψεν εἰς τὸ μοναστήριον· καὶ διὰ τῆς ὁσίας αὐτοῦ εὐχῆς οὐκ ἔτι τὸ ἄγριον νέφος ἐπῆλθεν ἐκεῖ. Ὑπὲρ οὖν τῆς εὐεργεσίας ταύτης ἔκτοτε μέχρι νῦν κατ' ἐνιαυτὸν προσφέρουσι τῷ μοναστηρίῳ οἱ ἄνθρωποι τοῦ χωρίου ὡρισμένα μέτρα οἴνου καὶ σταφυλὰς διαφόρους.

53. Πάλιν ἐν τῷ χωρίῳ Καρύας ὁ ποταμὸς ὁ λεγόμενος Κόπας ἐκεῖσε παρερχόμενος ἐν τῷ ἐπιβαίνειν αὐτὸν ἀπώχθιζε
221. τοὺς οἴκους καὶ | κατὰ μικρὸν ἐλάμβανεν αὐτούς. Παρακληθεὶς δὲ ὑπὸ τῶν τοῦ χωρίου ὁ τοῦ Χριστοῦ θεράπων, παρεγένετο ἐκεῖσε, καὶ ποιήσας εὐχήν, ἔστησε παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ σταυρόν, ἔνθα ὀλιγοστὸς ὢν παρήρχετο· καὶ διὰ τῆς τοῦ Θεοῦ χάριτος καὶ τῆς εὐχῆς τοῦ ἁγίου πολλάκις καὶ πλέον τῶν προτέρων καθόδων ἐπιβαίνων, οὐ παρῆλθε τὸν διὰ τῆς εὐχῆς καὶ τοῦ σταυροῦ ὁρισθέντα αὐτῷ τόπον, οὐδὲ ὑπορύσσει ἔτι τοὺς τόπους αὐτῶν.

54. Ἐν δὲ τοῖς καιροῖς ἐκείνοις ἦν κρατῶν τῆς βασιλείας ὁ τῆς εὐσεβοῦς μνήμης Τιβέριος, καὶ ζώσας κόμητα Μαυρίκιον τὸν χαρτουλάριον, ἀπέστειλεν αὐτὸν ἐν τῇ ἀνατολῇ εἰς τὸν τῶν Περσῶν πόλεμον τοῦ ἀντιπαρατάξασθαι αὐτοῖς. Καὶ δὴ ἐκπολεμήσαντος αὐτούς, ἀνεκλήθη ὑπὸ τοῦ βασιλέως ἀνελθεῖν πάλιν. Οὗτος οὖν διερχόμενος ἐν τοῖς Γαλατίας μέρεσιν, ἤκουε

τὰ περὶ τοῦ θεράποντος τοῦ Χριστοῦ (ἦσαν δὲ αἱ ἡμέραι τῆς ἐγκρατείας αὐτοῦ, καὶ ἦν ἡσυχάζων ὁ μακάριος ἐν τῷ σπηλαίῳ αὐτοῦ). Ἀνελθὼν Μαυρίκιος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ Πέτρου καὶ τῶν σὺν αὐτοῖς, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ καὶ παρεκάλει εὔξασθαι αὐτοῖς εἰς τὸ κατευοδωθῆναι τὴν ὁδὸν αὐτοῦ πρὸς τὸν βασιλέα. Ὁ δὲ μακαριστὸς καὶ ἀοίδιμος ἀνὴρ ἠξίωσεν αὐτὸν ἀναστῆναι, καὶ ηὔξατο πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ, καὶ ὡς ἐκ θείας ἀποκαλύψεως εἶπεν αὐτῷ· « τέκνον, ἐὰν μνημονεύσῃς τῆς εὐχῆς τοῦ ἁγίου μάρτυρος Γεωργίου, μετ' οὐ πολὺ γνώσῃ εἰς ποίαν δόξαν ἀρχῆς ἀποκαθίστασαι· ἀλλ' ὅταν εἰς τοιαῦτα μέτρα φθάσῃς, μνημονεύσῃς τῆς τῶν πτωχῶν μόνον διατροφῆς, » Τοῦ δὲ ἐξακριβαζομένου εἰς ποίαν ταύτην ἀρχὴν φάσκει αὐτὸν ἀποκαθίστασθαι, λαβὼν | αὐτὸν κατ' ἰδίαν 221.
ἀπὸ τῶν συνόντων αὐτῷ, φανερῶς ἐλάλησεν αὐτῷ ὡς μέλλοντα αὐτὸν βασιλεύειν. Εὐλογηθεὶς οὖν ὁ Μαυρίκιος σὺν πᾶσι τοῖς μετ' αὐτοῦ, ἐξῆλθε χαίρων καὶ κατέλαβε τὴν Κωνσταντινούπολιν. Κατὰ δὲ τὴν τοῦ ἁγίου προφητείαν, τελευτήσαντος Τιβερίου, κρατήσας τῆς βασιλείας Μαυρίκιος καὶ μνησθεὶς τῶν ῥημάτων αὐτοῦ, ἔπεμψεν αὐτῷ ἐπιστολήν, ὅπως εὔξηται ὑπὲρ αὐτοῦ καὶ τῆς βασιλείας αὐτοῦ εἰρηνικὴν καὶ ἀτάραχον αὐτὴν ἀπὸ ἐχθρῶν φυλαχθῆναι, καὶ εἴ τι ἂν θέλῃ αἰτήσῃ αὐτόν. Ὁ δὲ μακάριος ἀπέστειλε τὸν μακαριώτατον Φιλούμενον τὸν ἡγούμενον πρὸς τὸν βασιλέα, γράψας καὶ ἐπιστολὴν ἐπὶ τὸ ὀλίγην τροφὴν προσκυρῶσαι τῷ μοναστηρίῳ εἰς τὴν τῶν παρ' αὐτῶν τρεφομένων πτωχῶν χρείαν. Δεξάμενος δὲ ὁ βασιλεὺς τὴν ἐπιστολήν, ἐποίησε δωρεὰν διακοσίων μοδίων σίτου ἐτησίων τῷ μοναστηρίῳ καὶ ἀπέστειλεν αὐτῷ ἅμα δισκοποτηρίῳ.

55. Προκόπτοντος δὲ τοῦ μακαρίου ἐν μείζοσιν ἀρεταῖς καὶ ἐπανθοῦντος ἐν τοῖς θαυμασίοις, παντί τε καὶ πανταχοῦ ἡ παγκόσμιος καὶ πανάρετος φήμη αὐτοῦ διέτρεχε, καὶ ἐπληθύνθη ἡ μονὴ αὐτοῦ ἐκ τῶν ἐκεῖσε ἀποταξαμένων, καὶ ἦν μέσον

αὐτῶν ὁ μακάριος, ὡς ἐν τῇ ψαλμῳδίᾳ φησὶν ὁ Δαβίδ· ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ (ΝΑ'. 8)· ὡς πληροῦσθαι ἐπ' αὐτῷ τὸ τοῦ ψαλμοῦ προφητευθὲν λόγιον· δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται (ΚΑ'. 12). Ἰδὼν τοίνυν ὁ μακάριος πολλοὺς ὄχλους συναθροιζομένους καὶ τὸ τοῦ ἁγίου Γεωργίου εὐκτήριον μικρὸν ὑπάρχον, δοὺς τὰ ὑπολειφθέντα αὐτῷ γενικὰ χρήματα, ἀνῳκοδόμησεν ἄξιον ναὸν τοῦ ἁγίου μάρτυ-
222. ρος Γεωργίου τρίκογχον, ἔχοντα ἐκ δεξιῶν | εὐκτήριον τοῦ ἁγίου μάρτυρος Πλάτωνος· ἐπάνωθεν δὲ αὐτοῦ ἐν τῷ κατηχουμένῳ τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου, ἐν οἷς καὶ τότε τὴν διορυγὴν ποιούντων τοῦ θεμελίου καὶ πέτρας ποικίλας διὰ πυρὸς καὶ ὄξους κατακλασάντων καὶ κυλιόντων διὰ τὸ εἶναι ἄγριον καὶ σύμπετρον τὸν τόπον, ἐγένετο εὑρεῖν αὐτοὺς μίαν πέτραν παμμεγέθη, ἣν ἐκβαλόντες ἐκύλιον κατὰ τὸν κῆπον τῆς κόγχης· ἔστη δὲ ἐν ἑνὶ τόπῳ, καὶ οὐδὲ ὅλως μετεκινεῖτο. Πολλὰ οὖν κοπιασάντων τῶν τοσούτων ἐργατῶν καὶ μὴ δυνηθέντων αὐτὴν μεταγαγεῖν, μαθὼν ὁ τοῦ Θεοῦ θεράπων, παρεγένετο ἐν τῷ τόπῳ καὶ ἁψάμενος αὐτῆς εἶπεν· « εὐλογητὸς Κύριος, μετάβηθι ἐντεῦθεν κάτω, ὅτι χρῄζομεν τοῦ τόπου τούτου· » καὶ παραχρῆμα σὺν τῷ λόγῳ αὐτοῦ μετεκινήθη, καὶ ἦν κατακυλινδούμενος σφοδρῶς. Κατάντικρυς δὲ τοῦ δρόμου αὐτῆς, ἵστατο φυτὸν μηλέας· μέλλοντος δὲ αὐτοῦ καταλαμβάνεσθαι ὑπὸ τῆς πέτρας, λυπηθεὶς ὁ μακάριος ἔκραξε λέγων· « παρέξω τοῦ φυτοῦ πάρελθε, καὶ μηδὲν αὐτὸ ἀδικήσῃς. » Καὶ εὐθέως, ὡς ἄνθρωπος συνετός, ἐξέκλινε τῆς ἐπιδρομῆς τοῦ φυτοῦ, καὶ παρῆλθε μηδὲν αὐτῷ ἀδικήσας.

56. Πάλιν δὲ τῶν τοῦ χωρίου Εὐαρζίας ἀπὸ ὀκτὼ μιλίων τῆς μονῆς ὄντων καὶ ἄσβεστα κατακαυσάντων εἰς τὸν λεγόμενον τόπον Ἀρκέα πρὸς τὴν τοῦ ναοῦ οἰκοδομήν, καὶ φορτωσάντων τὰ ἄσβεστα εἰς τὰς ἑαυτῶν ἁμάξας, καὶ εἰς ἄλλας

πολλὰς ἐλθούσας ἀπὸ τῶν πέριξ χωρῶν ἐπὶ διακονίᾳ, ἐκεῖσε παραγενομένου καὶ τοῦ παναγίου τούτου καὶ θεοφόρου ἀνδρός, κινησάντων αὐτῶν καὶ ἐρχομένων ἐπὶ τὴν εὐαγῆ μονὴν, συνέβη ἐν τῷ | μεσάζειν αὐτοὺς τὴν στράταν, νεφέλην μεγάλην 222.
ἐπελθεῖν αὐτοῖς, λάβρον ὑετὸν καταπέμπουσαν. Θορυβηθέντων δὲ τῶν γεωργῶν καὶ ἐν ἀπορίᾳ γενομένων, ὡς καὶ τῶν ἁμαξίων καὶ τῶν βοῶν μελλόντων κατακαίεσθαι ἐκ τῆς ἀσβέστου διὰ τὸν ἐπικείμενον ὑετὸν, ἐρχομένου δὲ τοῦ ὁσίου κατόπισθεν αὐτῶν, ἤρξαντο κράζειν πρὸς αὐτὸν ἐν φωναῖς μεγάλαις· « δράμε, δέσποτα, ἄρτι ἀποθνήσκομεν καὶ ἡμεῖς καὶ τὰ ἄλογα· » καὶ ἤρξαντο ἐν σπουδῇ λύειν τὰ ἄλογα ἀπὸ τῶν ἁμαξῶν. Καταλαβὼν δὲ αὐτοὺς ὁ ἅγιος, διεκώλυσεν αὐτοὺς ἀποζεῦξαι τῶν ἁμαξῶν τοὺς βόας, καὶ στὰς καὶ ἀνατείνας τὰς χεῖρας αὐτοῦ πρὸς τὸν Θεὸν, ηὔξατο· καὶ ἀνελθὼν εἰς τὴν προπορευομένην ἅμαξαν, ἐκαθέσθη καὶ ἤλαυνε ψάλλων. Καὶ εὐθέως διεσχίσθη ἡ νεφέλη ἔνθα καὶ ἔνθα, καὶ ἔβρεξεν ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων τῆς στράτας αὐτῶν, ὥστε τὰ ὕδατα τὰ ἐξ ἑκατέρων τῶν μερῶν ὑποκάτω τῶν ἁμαξῶν διέρχεσθαι, ἐπάνω δὲ αὐτῶν μηδ' ὅλως ἐκ τῆς βροχῆς ῥανίδα ἐλθεῖν· καὶ οὕτω διεσώθησαν καὶ κατέλαβον τὴν εὐαγῆ μονὴν δοξάζοντες τὸν Θεὸν, τὸν ποιοῦντα θαυμάσια διὰ τοῦ δούλου αὐτοῦ.

57. Καὶ ἄλλα δὲ θαύματα ἐν τοῖς ἔργοις καὶ τῇ οἰκοδομῇ διάφορα ἐγένετο. Ἀποτελεθέντος δὲ τοῦ ναοῦ, ἐπηρώτησε τὸν ὅσιον ὁ θεοφιλέστατος αὐτοῦ μαθητὴς Ἰωάννης λέγων· « τίς ἔχει ποιῆσαι τὰ ἐγκαίνια ἐνταῦθα, πάτερ; » Αὐτὸς δὲ εἶπεν αὐτῷ· « ἰδοὺ λέγω σοι, ὅτι ἐπίσκοπος Ἐνθάδιος ἐκ τοῦ τόπου τούτου ἔχει ἐγκαινιάσαι τὸν ναὸν τοῦτον », προγνωστικῶς αἰνιττόμενος τὸ μέλλον. Ὁ δὲ φιλόδουλος καὶ ἀεὶ τιμᾶν εἰωθὼς τοὺς δούλους αὐτοῦ Θεὸς, ὁ τῷ πιστῷ δούλῳ τῷ τὰ πέντε τάλαντα λαβόντι καὶ | ἐπ' αὐτοῖς διπλασιασμὸν 223.
ἐμπορευσαμένῳ καὶ ἕτερον πάλιν δωρησάμενος, αὐτὸς καὶ τῷ

μακαρίῳ καὶ ἁγιωτάτῳ ἀνδρὶ προσθήκην τῶν προτέρων δοθεισῶν αὐτῷ χαρισμάτων πεποίηκε, διὰ τὴν τῶν κατορθωμάτων αὐτοῦ ἐν αὐτοῖς διπλασίασιν, τῇ ποιμαντικῇ αὐτὸν τιμήσας προεδρίᾳ.

58. Μετὰ γὰρ τὴν τελευτὴν Τιμοθέου τοῦ ἐπισκόπου τῆς Ἀναστασιουπόλεως, ἀπελθόντες οἱ τὴν πόλιν οἰκοῦντες κληρικοί τε καὶ κτήτορες ἐν Ἀγκύρᾳ τῇ μητροπόλει πρὸς τὸν μακαριώτατον Παῦλον τὸν ἀρχιεπίσκοπον, ᾐτήσαντο τὸν μέγαν δοῦλον τοῦ θεοῦ Θεόδωρον τὸν τῆς Συκεὼν μονῆς ἀρχιμανδρίτην, εἰς ἐπίσκοπον τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας. Ὁ δὲ ἐχάρη λίαν ἐπὶ τῷ τοιούτῳ αὐτῶν ἐξαιρέτῳ ψηφίσματι καὶ ἐπέτρεψεν αὐτοῖς ἀγαγεῖν αὐτὸν (ἦν δὲ καιρὸς τῆς εὐχῆς αὐτοῦ, καὶ ἦν ἐγκεκλεισμένος καὶ ἡσυχάζων ἐν τῷ σπηλαίῳ αὐτοῦ). Παραγενόμενοι οὖν οἱ τῆς Ἀναστασιουπόλεως κληρικοί τε καὶ κτήτορες εἰς τὸ μοναστήριον, ἀνῆλθον εἰς τὸ σπήλαιον πρὸς αὐτὸν παρακαλοῦντες ἐπιδοῦναι ἑαυτὸν αὐτοῖς εἰς ποιμένα· αὐτοῦ δὲ μήτε ἀκοῦσαι αὐτῶν ὅλως περὶ τούτου ἀνεχομένου, μήτε ἐπιδόντος ἑαυτὸν προθέσει, λοιπὸν βιαιοτέρῳ τρόπῳ χρησάμενοι, ἐξέβαλον αὐτὸν, καὶ ἐν λεκτικίῳ βαλόντες ἀπήγαγον. Τῶν δὲ τῆς μονῆς μοναχῶν καὶ πάντων τῶν παραμενόντων πενθούντων καὶ ὀδυρωμένων διὰ τὸν ἀπ' αὐτῶν χωρισμὸν αὐτοῦ, ἐδήλωσεν αὐτοῖς ὁ ἁγιώτατος δι' ἑνὸς ἀδελφοῦ λέγων· «μηδὲν ῥαθυμήσητε, τέκνα, ἐὰν γὰρ πιστεύητέ μοι, οὐ μὴ ὑμᾶς ἐγκαταλείψω· οὐδὲν γὰρ τῶν ἐπὶ γῆς χωρήσει με
223. τῆς ὑμῶν συνοικήσεως.» Ἀπελθόντος δὲ αὐτοῦ ἐν [Ἀγκύρᾳ τῇ μητροπόλει, ἀπεδέξατο αὐτὸν μετὰ χαρᾶς ὁ μακαριώτατος ἀρχιεπίσκοπος Παῦλος, καὶ πολλαῖς παραινέσεσι τοῦτον τῆς ἐπισκοπῆς ἠξίωσεν· ὡς θεωρῆσαι τότε τινὰ ἐν Ἀναστασιουπόλει ἐν ὀπτασίᾳ, ὅτι ἀστὴρ παμμεγέθης ἀκτινοβολῶν οὐρανόθεν ἐλθὼν ἐπάνω τῆς ἐκκλησίας αὐτῶν, ἔστη λάμπων καὶ φωτίζων τήν τε πόλιν ἅμα καὶ τὴν περίοικον πᾶσαν. Ἐξελ-

θῶν οὖν τῆς Ἀγκυρανῶν μητροπόλεως ὁ ἅγιος Θεόδωρος κατέλαβε τὴν Ἀναστασιούπολιν ἅμα τῷ ὁσιωτάτῳ ἐπισκόπῳ τῆς πόλεως Κίννας, παρ' οὗ τινος ἐνθρονισθείς, διετέλει κατὰ τὸ ὁραθὲν φωστῆρος δίκην τοῖς θείοις τῶν ἰαμάτων χαρίσμασιν ἐκλάμπων, ταῖς ἀδιαλείπτοις αὐτοῦ νηστείας καὶ πρὸς τὸν θεὸν δοξολογίαις καὶ ταῖς τῶν δεομένων ἐπιδόσεσι καὶ ἁπλῶς πάσαις ταῖς ἀρεταῖς αὐτοῦ καὶ ἀγαθοεργίαις σεμνύνων τὴν ὑποδεξαμένην αὐτὸν πόλιν, ἐπίφθονόν τε καὶ ἐγκαυχωμένην πρὸς τὰς ἑτέρας ἐν ταῖς ἀγαθοεργίαις ἀναδείξας, καὶ ἀξίως τὴν ἀνάστασιν τῆς κλήσεως τότε ὄντως ἀπολαβοῦσαν· καὶ ἁρμοδίως Ἀναστασίου πόλιν κηρυττομένην, οὐκ ἐκ πολυανδρίας, σοβαρῷ πλούτῳ καὶ δυναστείᾳ κομώντων οἰκητόρων, καὶ προσθήκῃ βασιλικῶν δωρεῶν ἐκ τειχῶν διαναστᾶσαν, ἀλλὰ ταῖς προδηλουμέναις τοῦ θεοφόρου ἀνδρὸς πράξεσι πλουτήσασαν καὶ τειχισθεῖσαν διὰ τὰς πράξεις οὐκ ἀπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ ὑπ' ἀγγέλων ἔλαχεν αὐτὴν πολιτεύεσθαι καὶ κατοικεῖσθαι, καὶ ὑπὸ τοῦ ἐπουρανίου βασιλέως Χριστοῦ ἀεὶ ἐποπτεύεσθαι καὶ φρουρεῖσθαι, καὶ ἐπὶ τούτοις νεανιευομένην βρίθεσθαι.

59. Ἐκδραμὼν δὲ ἐπὶ τῷ μοναστηρίῳ αὐτοῦ, ἐποίησε τὸν] ἐγκαινισμὸν τοῦ παρ' αὐτοῦ ἀνοικοδομηθέντος σεβασμίου ναοῦ 224.
τοῦ ἁγίου μάρτυρος Γεωργίου ἐν χαρᾷ καὶ εὐφροσύνῃ πολλῇ, ὡς πάντας δόξαν ἀναπέμπειν τῷ θεῷ τῷ οὕτως οἰκονομήσαντι τὰ κατ' αὐτόν· ἵνα εἰς τοὺς πόνους τῶν ἔργων αὐτοῦ μηδεὶς ἕτερος, ἀλλ' αὐτὸς ἐντρυφήσῃ, καὶ τῆς ἐπὶ τοῦ θρόνου καθέδρας ἀξιωθεὶς δοξασθείη κατὰ τὸ εἰρημένον· τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι (Ψαλ. ρκζ΄.) Μετὰ οὖν τὴν τοιαύτην τῶν ἐγκαινίων ἑορτὴν ὑπέστρεψε πάλιν ὁ μακάριος ἐν Ἀναστασιουπόλει, καὶ ἦν πολλὰ θαυμάσια ποιῶν ἐπὶ τῶν ἀσθενούντων διὰ τῆς χάριτος τοῦ θεοῦ, ὥστε καὶ ἐπὶ κλιναρίων καὶ κραββάτων φέρειν τοὺς ἀσθενεῖς ἵνα αὐτῶν ἅψηται, καὶ τοὺς ὑπὸ πνευμάτων ἀκαθάρτων ὀχλουμένους καὶ παραγινομέ-

νους δι' εὐχῆς ὑγιεῖς ἀπέλυεν. Τοιαύτην γὰρ ἔλαβε χάριν παρὰ τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τῶν ἀκαθάρτων δαιμόνων, ὅτι, εἰ μόνον ἐνεβριμήσατο κατ' αὐτῶν, ἢ καὶ δι' ἑτέρου πολλάκις διεπέμψατο, παραχρῆμα ἐδραπέτευον ἀπὸ τῶν πασχόντων,

60. Ὡς ἐν μιᾷ ἐγκεκλεισμένου αὐτοῦ ὄντος καὶ ἡσυχίαν ἄγοντος ἐν τῷ εὐκτηρίῳ, ἤρξατό τις γυνὴ ἀδιαστάτως πάσχειν καὶ τὰς ἐκεῖσε κανδήλας κατέκλα, καὶ παρακολουθῶν αὐτῇ ὁ ἀνὴρ αὐτῆς οὐκ ἠδύνατο αὐτῆς κατασχεῖν. Εἰσελθὼν οὖν εἷς τῶν ὑπηρετῶν αὐτοῦ ἐν τῷ προσόντι σὺν αὐτῷ παρευκτηρίῳ τοῦ ἁγίου Πλάτωνος, ἐν ᾧ ἦν ὁ ὅσιος ἐπίσκοπος, ἀπήγγειλεν αὐτῷ τὰ περὶ τῆς γυναικός. Αὐτοῦ δὲ μὴ θέλοντος τὸν ὅρον τῆς ἡσυχίας ὑπερβῆναι (ἐν φατνείῳ γὰρ ὥριζεν ἑαυτὸν ἵστασθαί τε καὶ καθέζεσθαι, κἀκεῖ δὲ γυναῖκα θεσπίσαντος μὴ εἰ-
224. σιέναι), εὐλογήσας | ἔλαιον ἔδωκε τῷ ἀπαγγείλαντι αὐτῷ ὑπηρέτῃ λέγων· « σφράγισον αὐτῆς τῷ ἐλαίῳ τὸ μέτωπον καὶ τὰς χεῖρας καὶ τὰ ὦτα, καὶ εἰπὲ τῷ δαίμονι, ἵνα ἐξέλθῃ ἀπ' αὐτῆς. » Ποιήσαντος δὲ αὐτοῦ κατὰ τὴν κέλευσιν αὐτοῦ, παραχρῆμα ἡσύχασε τὸ πνεῦμα τὸ ἀκάθαρτον καὶ ἐξῆλθε, καὶ ὑγιὴς ἐγένετο ἡ γυνή, μηκέτι τοῦ λοιποῦ ἐνεργηθεῖσα ἐκ τοῦ δαίμονος.

61. Πολλῶν δὲ τοιούτων θαυμάτων καθ' ἑκάστην ἐπιτελουμένων παρὰ τοῦ ὁσίου διὰ τῆς ἐν αὐτῷ οἰκούσης χάριτος τοῦ θεοῦ, ἦν τις διάκονος τῆς μεγάλης αὐτῶν ἐκκλησίας τοὔνομα Δομετιανὸς, δυσπιστῶν ἐπ' αὐτοῖς καὶ οὐ μικρῶς διστάζων καὶ σκανδαλιζόμενος εἰς αὐτόν. Καὶ δὴ ἐν μιᾷ τῶν ἡμερῶν, Κυριακῆς οὔσης, παρεγένετό τις ἄνθρωπος ἐκ τῆς Ἀγκυρανῶν μητροπόλεως πρὸς τὸν ὅσιον, ἔχων παιδίον ἄλαλον. Καὶ φθασάντων κατ' αὐτὴν τὴν ὥραν τῆς μεταλήψεως τῶν θείων μυστηρίων ἐν τῇ καθολικῇ ἐκκλησίᾳ τῇ ἁγίᾳ Σοφίᾳ, προσελθόντων αὐτῶν μεταλαβεῖν, καὶ τοῦ παιδὸς κεχηνότος, εἶπεν αὐτῷ ὁ

ὅσιος· «εἰπὲ, παιδίον, ἀμήν;» Παραχρῆμα δὲ τὸ παιδίον ἐλάλησεν ἀνεκτικῶς τὸ ἀμήν. Καὶ ἤρξατο ὁ πατὴρ μεγάλῃ φωνῇ δοξάζειν τὸν θεὸν, καὶ διαγγέλλειν τὸ γεγονὸς σημεῖον. Πάντων δὲ θαυμαζόντων καὶ τὸν θεὸν ἀνυμνούντων, παραχρῆμα Δομετιανὸς ὁ ἀρχιδιάκονος ἔπεσεν εἰς τὸ ἔδαφος. Προσελθόντες οὖν τινες τῶν κληρικῶν ἤγειραν αὐτὸν τρέμοντα, καὶ ἐπυνθάνοντο τί γέγονεν αὐτῷ. Ἀπήγγειλε δὲ αὐτοῖς· ὅτι, λαλήσαντος τοῦ παιδίου τὸ ἀμὴν, καὶ τοῦ πατρὸς αὐτοῦ ἀνακράξαντος ὡς ἀπὸ ἀφωνίας λυθέντος, ἐμοῦ δὲ ἀπιστήσαντος, ὡς
οὐκ ἀληθεύοντος, ἀλλ' ἐπίπλαστον | αὐτῷ δόξαν προσποιουμέ- 225.
νου, εἶδον ὡς φλόγα πυρὸς ἐκ τοῦ στόματος τοῦ παιδίου ἐξελθοῦσαν.» Ταῦτα δὲ εἰπὼν, παρακρατούμενος, προσῆλθε τῷ ἁγίῳ, καὶ πεσὼν εἰς τοὺς πόδας αὐτοῦ παρεκάλει εὐχὴν αὐτῷ ποιῆσαι, ἵνα μὴ, (ἡ) ἐξελθοῦσα ἐνέργεια διαβολικὴ καὶ ὀργὴ ἐκ τοῦ παιδίου, χωρήσῃ ἐν αὐτῷ. Μαθὼν δὲ ὁ ὅσιος τὸ γεγονὸς, εἶπεν αὐτῷ· «τοῦτο, τέκνον, συνέβη σοι, διότι ἀπιστίαν τινὰ ἔχεις ἐν τῇ ψυχῇ σου ἐπὶ τῇ δωρεᾷ τοῦ Χριστοῦ (ἐπὶ) τῇ γενομένῃ ἐπὶ τῶν ἰαμάτων· ἀλλ' ἀποθέμενος ταύτην, γενοῦ πιστὸς, καὶ μὴ ἄπιστος. Ταύτας γὰρ τὰς θαυματουργίας οὐχ ἡμεῖς, ἀλλ' ὁ ἀγαθὸς Θεὸς ἡμῶν καὶ νῦν ἐπιτελεῖ (ἅπερ ἂν), ἵνα μὴ ἔχωμεν πρόφασιν τοῦ λέγειν ὅτι ἐπὶ ἡμῶν οὐδὲν θαῦμα ἔδειξε, καὶ ἵνα διὰ τῆς τούτων θεωρίας καὶ τὰ πρὸ ἡμῶν ἐπὶ τῶν ἁγίων γεγενημένα πιστεύωμεν, καὶ ἀδιστάκτως τῷ θεῷ λατρεύωμεν τῇ πίστει ἐπαυξάνοντες.» Ταῦτα δὲ εἰπόντος τοῦ μακαρίου, ἐξωμολογήσατο καὶ αὐτὸς τὴν αὐτοῦ ἀπιστίαν, καὶ λαβὼν εὐχὴν, ἀπηλλάγη τῆς φρίκης καὶ τοῦ φόβου καὶ ὑγιὴς διετέλει, πολλῇ πίστει προσερχόμενος αὐτῷ τοῦ λοιποῦ.

62. Πόθῳ δὲ κινηθεὶς ὁ μακάριος ἀπελθεῖν ἐν τῇ ἁγίᾳ πόλει καὶ τρίτην εὐχὴν ἐκτελέσαι, παραλαμβάνει δύο ἀδελφοὺς Ἰωάννην τὸν ἀρχιδιάκονον τοῦ μοναστηρίου αὐτοῦ, καὶ Μαρτῖνον τὸν ἐκ τοῦ χωρίου Δουγαΐας, ἀφ' οὗ ἐκβεβλήκει λεγεώ-

να δαιμόνων, καὶ ἀπῆλθεν εἰς τοὺς ἁγίους τόπους, καὶ προσκυνήσας τὸν ζωοποιὸν σταυρὸν καὶ τὴν Ἀνάστασιν τοῦ Χριστοῦ καὶ πάντα τὰ ἐκεῖσε ἁγιάσματα, περιήρχετο καὶ εἰς τὰ μοναστήρια. Ὀχλήσας δὲ αὐτὸν ὁ λογισμὸς, ἔπεισε μὴ ἀνα-
225. κάμπτειν εἰς | τὴν πατρίδα, ἀλλ' ἐν ἑνὶ τῶν ἐκεῖσε μοναστηρίων ἡσύχιον βίον διάγειν· ἐλογίζετο γὰρ ἑαυτὸν ἐκπεπτωκέναι τοῦ μοναχικοῦ μέτρου διὰ τὸ ἐλθεῖν αὐτὸν ἐν τῇ τῆς ἐπισκοπῆς προτροπῇ, καὶ ὀχλεῖσθαι ἐκ τῶν προσόντων αὐτῇ ὀχληρῶν πραγμάτων.

63. Ἀπελθὼν οὖν ἐν τῇ λαύρᾳ τοῦ ἀββᾶ Σάβα, διῆγεν ἐκεῖ ἐν κελλίῳ τινὸς σπουδαίου μοναχοῦ Ἀνδρέου λεγομένου. Φθάσαντος δὲ τοῦ καιροῦ τῆς εἰθισμένης αὐτῷ ἡσυχίας, ἐποίησεν αὐτῷ θρόνιον ὁ ἀδελφὸς, παρ' ᾧ κατέμενε, καὶ ἐν αὐτῷ καθεσθεὶς ὁ μακάριος, τὴν ἐγκράτειαν ἐξετέλεσεν ἀπὸ τῆς Χριστοῦ γεννήσεως ἕως τῶν Βαΐων, μὴ κινήσας πόδα ἀπ' αὐτοῦ, ὥστε θαυμάζεσθαι αὐτοῦ τὴν ὑπομονὴν ὑπὸ τῶν ἐκεῖσε πατέρων. Μετὰ δὲ τὴν ἑορτὴν τοῦ ἁγίου Πάσχα, συνεχῶς παρεκάλουν αὐτὸν οἱ συνόντες αὐτῷ δύο ἀδελφοὶ, ὅπως ἐπανέλθωσιν ἅμα αὐτῷ εἰς τὴν ἰδίαν πατρίδα, αὐτὸς δὲ οὐκ ἠβούλετο ἀκοῦσαι αὐτῶν, φάσκων ἡσύχιον καὶ ἀκτήμονα βίον ἐκεῖσε διάγειν. Ἐν μιᾷ δὲ νυκτὶ ἐφάνη αὐτῷ καθ' ὕπνον ὁ τοῦ θεοῦ μάρτυς Γεώργιος, ἐπιδιδοὺς αὐτῷ βακτηρίαν καὶ λέγων· «ἔξελθε ταχέως, ἵνα ἀπέλθωμεν εἰς τὴν πατρίδα· οὐ γὰρ ἐνδέχεταί σε, καταλείψαντα τὰ ἐκεῖ, διάγειν ἐνταῦθα.» Τοῦ δὲ ἀντιλέγοντος, μὴ δύνασθαι διὰ τὸ παραιτεῖσθαι τὴν ἐπισκοπὴν, ὑπέσχετο αὐτῷ περὶ τούτου ὁ μάρτυς διαβεβαιούμενος καὶ λέγων· «ὅτι κἀκείνης σε τῆς θλίψεως μετ' οὐ πολὺν χρόνον ἐλευθερώσω, μόνον τὸ παλάτιον μὴ ἐάσῃς. Ἀναστὰς οὖν βάδιζε, πολλοὶ γὰρ ἐξ ὁδοῦ μακρᾶς ἐκεῖσε παραγενόμενοι, διὰ τὴν ἀπουσίαν σου θλιβόμενοι καὶ στενάζοντες ἀναχωροῦσι, δι' οὓς κἀγὼ κατὰ σοῦ ἀγανακτῶ. Σπούδασον οὖν ταχῦναι καὶ μὴ

ὑπέρθῃ». Ταῦτα δὲ κατ' ὄναρ εἰπὼν ὁ τοῦ Χριστοῦ μάρτυς | 226.
τῷ μακαρίῳ, καὶ διὰ τῆς δεξιᾶς χειρὸς ἀσφάλειαν αὐτοῦ ἔλαβεν ὡς ἀνυπερθέτως τοῦτο ποιῆσαι αὐτόν. Διυπνισθεὶς δὲ ὁ ὅσιος καὶ προσκαλεσάμενος τοὺς συνόντας αὐτῷ δύο ἀδελφούς, διηγήσατο αὐτοῖς τὴν ὀπτασίαν, καὶ συνταξάμενος τοῖς πατράσι τῆς ἐκεῖσε μονῆς, ἐξῆλθεν ἅμα τοῖς δυσὶ μαθηταῖς καὶ εἴχετο τῆς ὁδοιπορίας.

64. Φθασάντων δὲ αὐτῶν ἐν τοῖς μέρεσι τῆς Γαλατίας κατὰ τὸ μοναστήριον τῶν Δρυΐνων, παρήγγειλεν αὐτοῖς ἵνα μηδενὶ εἴπωσι περὶ αὐτοῦ (ἦσαν γὰρ οἱ τῶν ἐκεῖσε ἀγνοοῦντες αὐτόν)· καὶ εἰσῆλθεν ἐν τῷ προλεχθέντι μοναστηρίῳ ἐπὶ τῷ διαναπαύσασθαι ἐκ τῆς ὁδοιπορίας. Ἦσαν δὲ οἱ ἐκεῖσε μοναχοὶ ἀκούοντες τὰ περὶ αὐτοῦ, καὶ πολὺ ποθοῦντες ἰδεῖν αὐτὸν καὶ εὐλογηθῆναι παρ' αὐτοῦ. Δεξάμενος οὖν αὐτὸν Ἀνίκητος ὁ ξενοδόχος, ἀνὴρ εὐλαβής, ὁ ἡγούμενος, ἐπηρώτησε τοὺς συνόντας αὐτῷ ἀδελφούς, πόθεν ὁρμῶνται καὶ τίς ἐστιν ὁ πατήρ; Οἱ δέ, ἀπὸ ξένης χώρας εἶναι φάσκοντες, οὐκ ἔδωκαν αὐτῷ τὴν περὶ αὐτοῦ ἀληθῆ γνῶσιν. Ἐν δὲ τῷ προτραπῆναι αὐτοὺς καὶ ξενισθῆναι ἐπὶ τῆς τραπέζης, εἶπεν ὁ ὅσιος· «ἐπ' ἀληθείας, τέκνα, ὡς Γαλάται ἐφάγομεν.» Μετὰ μικρὸν δὲ πάλιν τὸν αὐτὸν λόγον εἰπόντος αὐτοῦ, ὁ προειρημένος ξενοδόχος Ἀνίκητος εἰς πολυμέριμνον λογισμὸν ἐνέπεσε δι' αὐτόν, τὸ τίς ὤφειλεν εἶναι πολυπραγμονῶν, καὶ ὑποψίαν ἔσχεν, ὡς οὐκ ἀληθεύουσαν ἀπόκρισιν ἔλαβε παρὰ τῶν ἀδελφῶν ἐπὶ τῇ δι' αὐτὸν ἐπερωτήσει αὐτοῦ. Καὶ μετὰ τὸ ἀναστῆναι αὐτοὺς ἀπὸ τῆς τραπέζης καὶ ἀναπαύσασθαι τὸν ὅσιον ἐπὶ τῇ συνήθει χαμευνίᾳ, ἰδιάσας τοὺς ἀδελφοὺς πολλαῖς κατακρίσεσιν | ὅρκων, ἠξίου αὐτοὺς 226.
εἰπεῖν τίς τε καὶ πόθεν ἐστὶν ὁ πατήρ. Οἱ δὲ ἀπήγγειλαν αὐτῷ αὐτὸν εἶναι τὸν τῆς Γαλατίας σημειοφόρον Θεόδωρον, τὸν τῆς μονῆς Συκεὼν ἀρχιμανδρίτην, Ἀναστασιουπόλεως πρόεδρον. Ὁ δὲ σὺν χαρᾷ πολλῇ εἰσελθὼν τῷ ἡγουμένῳ καὶ τοῖς ἀδελφοῖς

τὰ περὶ αὐτοῦ ἐγνώρισεν. Ἐν τῷ οὖν ἀναστῆναι αὐτοὺς ἐν
τῷ νυκτερινῷ κανόνι, ἀνέστη καὶ ὁ ὅσιος, καὶ ἐν τῷ εἰσελθεῖν
αὐτὸν ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου ἀποστόλου Παύλου, ἐξελ-
θόντες μετὰ κηρῶν πάντες οἱ μοναχοὶ ἅμα τῷ ἡγουμένῳ, ἔ-
πεσον εἰς τοὺς πόδας αὐτοῦ, καὶ κατασπασάμενοι αὐτὸν, εἰ-
σήγαγον εἰς τὴν ἰδίαν αὐτῶν διαίταν. Ἑορτὴν δὲ μεγάλην
ἐπιτελέσαντες, παρεκάλεσαν αὐτὸν μεῖναι παρ' αὐτοῖς ἡμέρας
πλείους, πρὸς τὸ καὶ αὐτὸν κεκμηκότα ἐκ τῆς ὁδοῦ διανα-
παύσασθαι, καὶ αὐτοὺς πλειόνως εὐλογηθῆναι· ᾐτήσατο δὲ
αὐτοὺς, ὅπως δώσωσιν αὐτῷ διακονίαν μέχρις ἂν μένῃ παρ' αὐ-
τοῖς. Τῶν δὲ μὴ βουλομένων, ἀλλὰ συγχωρεῖν τοῦτο ποιῆσαι
ἀξιούντων, ἐπελέξατο αὐτὸς ἑαυτῷ εἰς τὰς τῶν ἀδελφῶν κοί-
τας διακονεῖν, καθ' ἑσπέραν μὲν εὐτρεπίζων αὐτὰς, κατ' ὄρθρον
δὲ ταύτας συστέλλων.

65. Φήμης δὲ διαδραμούσης περὶ αὐτοῦ, πολλοὶ παρεγίνον-
το εἰς τὸ μοναστήριον εὐλογεῖσθαι ὑπ' αὐτοῦ, κομίζοντες ἅμα
καὶ τοὺς ἀῤῥώστους αὐτῶν. Ἐν οἷς παρεγένετό τις γυνὴ ἔχου-
σα παιδίον ἄλαλον, καὶ παρεκάλει τὸν ὅσιον ὑπὲρ αὐτοῦ. Ἀ-
νοίξας δὲ τὸ στόμα αὐτοῦ ὁ μακάριος Θεόδωρος, ἐφύσησεν εἰς
αὐτὸ καὶ τῷ σημείῳ τοῦ σταυροῦ ἐσφράγισεν αὐτὸ, καὶ πα-
ραχρῆμα ἐλάλησε τὸ παιδίον, ὅπερ λαβοῦσα ἡ μήτηρ ἀπῆλ-
θε χαίρουσα καὶ δοξάζουσα τὸν θεόν. Ἄλλο παιδίον μηδὲ ὅ-
227. λως περιπατεῖν δυνάμενον, | προσηνέχθη αὐτῷ ὑπὸ τῆς μητρὸς
αὐτοῦ, καὶ ποιήσας αὐτῷ εὐχὴν ὁ ὅσιος, ἀπέστη ἀπ' αὐτοῦ
ἱκανὸν τόπον, καὶ ἐφώνησεν αὐτῷ λέγων· « ἐλθὲ, παιδίον, πρός
με ἐν τῷ ὀνόματι τοῦ Κυρίου ». Καὶ παραχρῆμα ἀποστὰν ἀπὸ
τῆς ἰδίας μητρὸς, περιεπάτησε καὶ ἦλθε πρὸς αὐτὸν, καὶ ἀπέ-
δωκεν αὐτὸ τῇ μητρὶ αὐτοῦ ὑγιὲς, εὐλογούσῃ τὸν Θεόν.

66. Τοῦ δὲ σύνεγγυς τοῦ μοναστηρίου τοῦ ἁγίου Στεφάνου
τοῦ ἐπιλεγομένου Οὐετάπης, παραγενόμενος ὁ ἡγούμενος καὶ
παρακαλέσας τὸν ἡγούμενον τῆς μονῆς τῶν Δρυΐνων, ἔλαβε

τὸν μακάριον εἰς τὸ μοναστήριον αὐτοῦ εἰς τὸ εὐλογῆσαι αὐτούς. Ἀκούσας δὲ ὁ ὁσιώτατος Ἀμίαντος ὁ ἐπίσκοπος τῆς πόλεως Κίννας, παρεγένετο εἰς τὸ μοναστήριον Οὐετάπης, ἔνθα κατήγετο ὁ τοῦ θεοῦ δοῦλος, καὶ λαβὼν αὐτὸν ἐκεῖθεν, ἀπήγαγεν εἰς τὴν ἰδίαν πόλιν πρὸς τὸ εὐλογῆσαι αὐτήν. Ἐξῆλθε δὲ καὶ λιτὴ τῆς αὐτῆς πόλεως πρὸς ἀπάντησιν αὐτοῦ. Οὕτως οὖν εἰσελθόντος αὐτοῦ, ἑορτὴν ἦγον πάντες ἅμα τῷ ἐπισκόπῳ ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ. Εὐλογήσας δὲ αὐτοὺς ὁ μακάριος δοῦλος τοῦ Χριστοῦ καὶ ἀσπασάμενος τὸν ἐπίσκοπον, προπεμφθείς τε ὑπ' αὐτοῦ, ὑπέστρεψεν εἰς τὸ μοναστήριον τῶν Δρυΐνων. Ἐκεῖθεν πάλιν προπεμφθεὶς ὑπὸ τοῦ ἡγουμένου καὶ τῶν ἀδελφῶν, ἐξῆλθε πορεύεσθαι ἐπὶ τὴν Ἀναστασιούπολιν, καὶ πάντες οἱ ἀκούοντες τὴν παρουσίαν αὐτοῦ συνέτρεχον πρὸς αὐτὸν πρὸς τὸ ἀξιωθῆναι τῆς εὐλογίας αὐτοῦ.

67. Ἑνὸς δὲ χωρίου τῶν ὄντων πλησίον τῆς στράτας οἱ κτήτορες ὑπήντησαν αὐτῷ μετὰ λιτῆς παρακαλοῦντες αὐτὸν, ἵνα παραγένηται εἰς τὸ χωρίον αὐτῶν. Ἦν δέ τις νεανίσκος ἐν αὐτοῖς μογιλάλος· καὶ ἐν τῷ ἀπέρχεσθαι τὸν | μακάριον 227.
εἰς τὸ χωρίον, ἐκέλευσε τοῦτον ἔγγιστα αὐτοῦ ἀκολουθεῖν. Παραγενόμενος οὖν εἰς τὸ χωρίον ἐποίησε τὴν ἀναφορὰν ἐν τῇ ἐκκλησίᾳ, καὶ διαδοὺς τῶν θείων μυστηρίων, ἐκέλευσε τὸν νεανίσκον τὸν μογιλάλον προσελθεῖν αὐτῷ· καὶ εὐξάμενος ὑπὲρ αὐτοῦ, ἤνοιξε τὸ στόμα αὐτοῦ καὶ ἐνεφύσησεν αὐτῷ τρίτον, καὶ σφραγίσας αὐτὸν τῷ σημείῳ τοῦ σταυροῦ, ἐπέδωκεν αὐτῷ ἐκ τοῦ ἁγίου σώματος τοῦ Χριστοῦ λέγων· ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ τὸν μογιλάλον ἀποκαταστήσαντος, λάλησον· καὶ παραχρῆμα τῇ τοῦ θεοῦ χάριτι ἐλάλησεν ὁ νεανίσκος τὸ ἀμὴν, καὶ οὕτω μετέλαβε τῶν θείων μυστηρίων. Ἰδόντες οὖν οἱ ἄνθρωποι, αἶνον ἀνέπεμψαν τῷ Θεῷ ἐπὶ τῷ παραδόξῳ τούτῳ θαύματι.

68. Ἐξελθὼν οὖν ἐκεῖθεν παρεγένετο ἐν Ἀναστασιουπόλει,

ὡς πάντας χαίρειν ἐπὶ τῇ ἐπανόδῳ αὐτοῦ. Παρεγένοντο δέ τινες, φέροντες γυναῖκα παραλυτικὴν ἀνακειμένην ἐν κανθηλίῳ, καὶ ὑπὸ κτήνους βασταζομένην. Προσέταξε δὲ αὐτοῖς ἐν τῷ μοναστηρίῳ αὐτὴν ἀπαγαγεῖν· καὶ μετὰ δύο ἡμέρας καὶ αὐτὸς ἐξελθὼν ἀπὸ Ἀναστασιουπόλεως, παρεγένετο εἰς τὸ μοναστήριον. Εἰσελθὼν τοίνυν καὶ εὐξάμενος ἐν τῷ ναῷ τοῦ Ἀρχαγγέλου, προσέταξεν ἀχθῆναι πρὸς αὐτὸν τὴν παραλυτικὴν γυναῖκα καὶ θεῖναι τὰς χεῖρας αὐτῆς ἐπὶ τὸ κάγγελλον τοῦ βήματος· καὶ ἐποίησεν ἐκτενῆ εὐχὴν ὑπὲρ αὐτῆς. Λαβὼν δὲ καὶ ἔλαιον τῆς ἀκοιμήτου κανδήλης, ἐσφράγισεν αὐτῆς τὸ μέτωπον τὰς χεῖρας καὶ τοὺς πόδας λέγων· « ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ πάσας τὰς ἀσθενείας φυγαδεύσαντος, γενοῦ ὑγιὴς καὶ ὕπαγε εἰς τὸν οἶκον σου χαίρουσα· » καὶ εὐθέως αὐτομάτη περιεπάτησε, δοξάζουσα τὸν Θεόν· ἣν
228. μετὰ χαρᾶς λαβόντες οἱ ἄγοντες | αὐτὴν ἄνδρες, ἀπῆλθον εὐχαριστοῦντες τῷ Θεῷ.

69. Ἐπέταξε δὲ τισὶ ξυλουργοῖς ὁ μακάριος, ἵνα ποιήσωσι σαρπὸν εἰς ἀποθήκην σίτου καὶ ὀσπρίου, διὰ σανίδων εἰς τὴν τοῦ μοναστηρίου χρείαν. Παρήγγειλε δὲ αὐτοῖς μὴ ἅψασθαι κρεῶν, ἕως οὗ τὸ ἐπιταχθὲν ἔργον πληρωθῇ, καὶ εἶθ' οὕτως ἐν τῷ χωρίῳ κατελθόντες φάγονται (οὐ γὰρ ἠσθίετο κρέα ἐν τῷ μοναστηρίῳ, εἰ μὴ ἐν τρισὶ συνάξεσι τῶν ἁγίων δι' ὅλου τοῦ ἐνιαυτοῦ εἰς ὑποδοχὴν τῶν ὄχλων). Ἀπελθόντος δὲ τοῦ ὁσίου ἐν Ἀναστασιουπόλει, μετ' ὀλίγας ἡμέρας λάθρα λαβὼν κρέα ὁ ἀρχιτέκτων ἔφαγε, καὶ εὐθέως συσχεθεὶς πυρετῷ ἔκειτο ἡμιθανής, ὡς καὶ ἀπελπισθῆναι αὐτόν. Μαθὼν δὲ ὁ ὅσιος ἐν Ἀναστασιουπόλει περὶ αὐτοῦ παρ' ἀδελφοῦ ἐλθόντος ἐκ τοῦ μοναστηρίου, εἶπεν· « ἐπ' ἀληθείας ἀψευδὴς ὁ τῆς θείας Γραφῆς λόγος, ὑπακοὴ (μὲν) ζωή, παρακοὴ δὲ θάνατος. Ἐκεῖνος γὰρ παρακούσας τῆς ἐντολῆς μου, κρέα ἔφαγεν ἐν τῷ μοναστηρίῳ, καὶ διὰ τοῦτο ἀσθενεῖ. » Ἐξελθὼν τῆς πόλεως, παρε-

γένετο ἐν τῷ μοναστηρίῳ, καὶ ἐλθὼν ἐν ᾧ τόπῳ κατέκειτο λέγει αὐτῷ· «τὸ ὄντως σοι, ἀδελφέ, μὴ κρύψῃς ἀπ' ἐμοῦ· οὐχὶ κρεῶν μετέλαβες;» ὁ δὲ ἀπεκρίθη τὴν ἀλήθειαν οὕτως ἔχειν. Εἶπε δὲ αὐτῷ ὁ μακάριος· «ἴδε οὖν γίνωσκε, ὅτι οὐχ ὁ Θεὸς ἐπάγει ἡμῖν ὀργήν, ἀλλ' ἑαυτοῖς αὐτὴν ἐπιφέρομεν. Πίστευσον δέ, ἀδελφέ, ὅτι οὐ διὰ κνιπίαν τοῦτο ἐποίησα, μὴ χορηγήσας ὑμῖν κρέα, ὡς σὺ ὑπέλαβες, ἀλλὰ διὰ τὸ τὴν καθαρότητα καὶ ἁγνείαν φυλάττεσθαι τοῦ ἁγίου τόπου τούτου. Ἐγερθεὶς οὖν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πλήρωσόν σου τὸ ἔργον, καὶ ἀπὸ τοῦ νῦν φύλαξαι τὸ μὴ παρακούειν.» Ἐπευξαμένου δὲ αὐτοῦ καὶ ἐπιθέντος | αὐτῷ τὴν χεῖρα, ἐκουφίσθη ὁ ἄνθρωπος 228.
εὐθέως τοῦ πυρετοῦ· καὶ τῇ αὐτῇ ἡμέρᾳ ἀναστάς, ἤρξατο τὸ ἐπίλοιπον ἔργον κατασκευάζειν.

70. Ἀπελθόντος δὲ τοῦ ὁσίου ἐπισκόπου ἐν Ἀναστασιουπόλει, παρεγένετό τις ἄνθρωπος ἐν τῷ μοναστηρίῳ καὶ παρακαλέσας τὸν ἡγούμενον, ἔμεινεν ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Γεωργίου (οὐ γὰρ πάντες οἱ παραγινόμενοι ἐν αὐτῷ μένουσι, πάντων δὲ ἡ καταμονὴ ἐν τῷ ναῷ τοῦ Ἀρχαγγέλου ἦν). Οὗτος οὖν ἐν τῷ κοιμηθῆναι αὐτὸν ἐν τῷ ναῷ τοῦ ἁγίου Γεωργίου, εἶχε κρέα χοίρεα σκεπόμενα ἐν τῷ δίσκῳ αὐτοῦ. Καὶ τῇ νυκτὶ ἐκείνῃ ἐφάνη τῷ ὁσίῳ ὁ τοῦ Χριστοῦ μάρτυς Γεώργιος, ἀπαγγείλας αὐτῷ περὶ τούτου, καὶ λυπηθεὶς ὁ μακάριος, ἕωθεν ἀναστὰς ἔπεμψε πρὸς τὸν ἡγούμενον Φιλούμενον, ἐπιμεμφόμενος αὐτῷ περὶ τοῦ γεγονότος. Γενομένης δὲ ζητήσεως εὑρέθησαν τὰ κρέα ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Γεωργίου παρὰ τῷ ἀνθρώπῳ τῷ ἐκεῖσε μείναντι, πάντες εὐχαρίστησαν τῷ Θεῷ, τῷ τὰ ἀπόκρυφα δηλοποιοῦντι τῷ δούλῳ αὐτοῦ.

71. Πόθον δὲ ἔχων ὁ μακαριώτατος Αἰμιλιανός, ὁ ἐπίσκοπος τῆς πόλεως τῶν Γερμίων, ἀσπάσασθαι αὐτὸν καὶ λαβεῖν εὐχὴν τοῦ παναγίου ἀνδρός, ἀποστείλας πολλαῖς παρακλήσεσιν ἔλαβεν αὐτὸν ἐν τῇ πόλει αὐτοῦ· καὶ εὐξαμένου αὐτοῦ ἐν τῷ

σεβασμίῳ τοῦ Ἀρχαγγέλου ναῷ, ὑπεδέξατο αὐτὸν πιστῶς. Ἐν αὐταῖς οὖν ταῖς ἡμέραις ἐπέκειτο σύναξις τῆς δεσποίνης ὑμῶν τῆς Θεοτόκου, τῆς τιμωμένης ἐν Μουσγῇ τῷ χωρίῳ, εἰς ἥνπερ καθ' ἕκαστον χρόνον ἀπήρχοντο αἱ δύο πόλεις τῶν τε Γερμίων καὶ Εὐδοξιάδος μετὰ λιτῆς καὶ ἑώρταζον. Παρεγενομένης δὲ
229. ταύτης τῆς συνόδου, ἐξῆλθον κατὰ | τὸ ἔθος οἱ τῶν δύο πόλεων ἐπίσκοποι μετὰ λιτῆς πανδήμου ἐπὶ τὸ προλεχθὲν χωρίον Μουσγῆς· λαβὼν δὲ ὁ ἐπίσκοπος Αἰμιλιανὸς τὸν ὅσιον δοῦλον τοῦ Χριστοῦ Θεόδωρον, ἀπήρχετο μετ' αὐτοῦ δι' ἄλλης ὁδοῦ εἰς τὴν τοιαύτην σύνοδον. Φθασάντων δὲ αὐτῶν ὁμοῦ μετὰ τῆς λιτῆς εἰς τὸ χωρίον, καὶ μελλόντων εἰσιέναι ἐν τῷ ναῷ τῆς Θεοτόκου, γυνή τις ἐκ τοῦ αὐτοῦ χωρίου λεγομένη Εἰρήνη, ἔχουσα πνεύματα κρυπτὰ ἐκ πολλοῦ χρόνου καὶ πολλαῖς ἀῤῥωστίαις καὶ ἀφορμαῖς ἐγκλίνιος γενομένη ἐκ τῆς αὐτῶν ἐνεργείας, καὶ μὴ γινώσκουσα τὴν τῶν πνευμάτων ἐνέργειαν, αὕτη ἑστῶσα τότε ἔξωθεν τοῦ ναοῦ πλησίον τῆς εἰσόδου καὶ ἀποβλέπουσα εἰς τὴν τῆς λιτῆς θεωρίαν, ἔτι δὲ καὶ εἰς τὴν τοῦ μακαρίου καὶ τοῦ ἐπισκόπου, ἐκινήθη ὑπὸ τῶν πνευμάτων, καὶ ῥίψασα τὸ μαφόριον καὶ τὰ περὶ τὴν κεφαλὴν αὐτῆς καλύμματα, θροήσασά τε καὶ διαχωρίσασα τὸν ἔμπροσθεν αὐτῆς ὄχλον, ἤρξατο πολλαῖς οἰμωγαῖς ὑλακτεῖν πρὸς τὸν μακάριον Θεόδωρον, βλασφημούντων αὐτὸν τῶν δαιμόνων, ὡς διὰ τὴν αὐτοῦ παρουσίαν ταπεινωθέντων. Ἰδὼν δὲ πᾶς ὁ ὄχλος, ἤρξατο κράζειν τὸ, Κύριε ἐλέησον. Κρεμασθεῖσθα δὲ ἡ γυνὴ ἀπὸ τῆς γῆς, καὶ ἄνω τὰς χεῖρας δεθεῖσα ἀπὸ τοῦ ἄμβωνος, μέχρι τῶν καγγέλλων τοῦ βήματος δι' ἀέρος ἀπῆλθε, κραζόντων τῶν δαιμόνων πολλὰ, ὡς κατ' αὐτῶν ἔντευξιν ποιουμένου, τοῦ μακαρίου πρὸς τὸν Θεόν. Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ Εὐαγγελίου κατενεχθεῖσα εἰς τὸ ἔδαφος, ἔκειτο παρὰ τὴν εἴσοδον τοῦ θυσιαστηρίου καὶ τὸν χοῦν τῇ γλώσσῃ αὐτῆς ἐλάμβανεν. Ὁ δὲ τοῦ Χριστοῦ θεράπων Θεόδωρος, ἐπιστραφεὶς καὶ

ἐπιλαβόμενος τῆς κόμης αὐτῆς, | ἐπετίμησε τοῖς ἐν αὐτῇ πνεύ- 229.
μασι λέγων· « ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιτάσσω ὑμῖν, ἐξέλθετε ἀπ' αὐτῆς. » Καὶ παραχρῆμα σὺν τῷ λόγῳ αὐτοῦ ὀλολύξαντες οἱ δαίμονες, ἐξῆλθον ἀπ' αὐτῆς, καὶ ὑγιὴς ἐγένετο· Καὶ μετ' ὀλίγον τινὰ καιρὸν τελευτήσαντος τοῦ ἀνδρὸς αὐτῆς καὶ τὸν τέκνων, ἀπετάξατο καὶ ἐνεβλήθη ὑπὸ τοῦ μακαρίου ἐν κελλίῳ πλησιάζοντι τῷ οἴκῳ τῆς Θεοτόκου, καὶ λαβοῦσα ἐντολὰς τῆς διαγωγῆς αὐτῆς, ἦν ἡσυχάζουσα καὶ ἀγωνιζομένη διὰ τὸν Θεόν. Ἰδὼν δὲ ὁ ἐπίσκοπος καὶ ὁ λαὸς τῶν δύο πόλεων τὸ γεγονὸς σημεῖον, ἔδωκαν δόξαν τῷ Θεῷ, καὶ ἅμα αὐτῷ ὑπέστρεψαν, χαίροντες, εἰς τὰ ἴδια. Ἀπολυθεὶς δὲ καὶ προπεμφθεὶς ὁ μακάριος ὑπὸ τοῦ ἐπισκόπου καὶ τῶν πολιτῶν, κατέλαβε τὴν Ἀναστασιούπολιν.

72. Παρεγένετο δὲ πρὸς αὐτὸν ὁ πρωτοπρεσβύτερος τοῦ χωρίου Ἀραυνίας, ὀνόματι Ἀνδρέας, κατέσχε δὲ αὐτὸν ἡμέρας. Συνέβη δὲ τὸ παιδίον αὐτοῦ, Κομητᾶν τοὔνομα, ἀῤῥωστῆσαι ἐπαχθῶς καὶ ἔμελλε τελευτᾶν. Ψυχοῤῥαγοῦντος οὖν αὐτοῦ καὶ φωνὴν ὅλως μὴ διδόντος, μηδὲ γνωρίζοντός τινα, ἐποίησαν οἱ τοῦ χωρίου τὸ μνῆμα αὐτοῦ, καὶ ἀπέστειλεν ἡ μήτηρ αὐτοῦ ἐν Ἀναστασιουπόλει Ἰωάννην τὸν πρεσβύτερον ἐπὶ τῷ μηνῦσαι τῷ ἀνδρὶ αὐτῆς, ἵνα διὰ τάχους φθάσῃ εἰς τὴν κηδείαν τοῦ τέκνου αὐτοῦ· κατ' αὐτὴν δὲ τὴν ὥραν, ποιήσας τὴν λειτουργίαν ὁ ὅσιος ἐπίσκοπος Θεόδωρος, μετελάμβανε τροφῆς, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν πρεσβύτερον Ἀνδρέαν τὸν πατέρα τοῦ παιδίου. Φθάσας οὖν ὁ ἀποσταλεὶς πρεσβύτερος Ἰωάννης ἐμήνυσεν αὐτῷ δι' ἣν αἰτίαν παραγέγονε. Γνοὺς δὲ ὁ μακάριος Θεόδωρος, οὐ | συνεχώρησεν αὐτῷ πάραυτα ἐξελθεῖν, λέγων· 230.
« ὅτι κἀγὼ ἐλεύσομαι μετὰ σοῦ, θέλω γὰρ εἰς τὸ μοναστήριόν μου παραγενέσθαι καὶ ἐπισκέψασθαι τοὺς ἀδελφούς· ἀλλὰ πρῶτον εὐφρανθῶμεν ἐκ τῶν παρὰ τοῦ Θεοῦ δωρηθέντων ἡμῖν ἀγαθῶν, καὶ εἶθ' οὕτως ἀπερχόμεθα. Πιστεύω γὰρ τῷ Θεῷ ὅτι

ζῶντα εὑρήσομεν τὸ παιδίον σου· νῦν γὰρ οὐκ ἀποθνήσκει, ἀλλ' ἀναστήσεται καὶ ὑγιές σοι χαρισθήσεται·» εἰπὼν ταῦτα, ἐκέλευσε καὶ τὸν τὴν ἀγγελίαν ἀγαγόντα πρεσβύτερον Ἰωάννην ἀνελθεῖν καὶ γεύσασθαι μετ' αὐτῶν. Μετὰ δὲ τὸ ἀναστῆναι αὐτούς, παρεγένετο ὁ μακάριος εἰς τὸ χωρίον· ἐξῆλθον δὲ πάντες εἰς ὑπάντησιν αὐτοῦ μετὰ λαμπάδων καὶ θυμιατηρίων. Ὀψίας δὲ οὔσης εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν, καὶ εὐλογήσας τὸν ὄχλον, ἐποίησε τὰ ἑσπερινά, καὶ οὕτως ἀπῆλθεν ἐν τῷ οἴκῳ τοῦ πρωτοπρεσβυτέρου Ἀνδρέου. Ἰδὼν δὲ τὸ παιδίον ἐκλεῖπον, ἔστη εἰς προσευχὴν καὶ ἐδέετο τοῦ ἔχοντος ἐξουσίαν ζωῆς καὶ θανάτου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ ἀνανῆψαι τὴν ψυχὴν αὐτοῦ καὶ χαρίσασθαι αὐτὸ τοῖς γονεῦσιν αὐτοῦ ζῶν. Μετὰ δὲ τὸ εὔξασθαι ἀνανεύσας ὁ ὅσιος, προσεφώνησεν αὐτό· τὸ δὲ παιδίον διήνοιξε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ ἠτένισεν αὐτῷ, ἀπόκρισιν δὲ οὐκ ἠδυνήθη δοῦναι αὐτῷ (ἦν γὰρ αὐτοῦ καὶ ἡ λαλιὰ κρατηθεῖσα). Πάλιν δὲ κλίνας τὴν κεφαλὴν ὁ τοῦ Θεοῦ θεράπων, ηὔχετο πρὸς τὸν Κύριον πληρῶσαι τὴν αἴτησιν αὐτοῦ καὶ διαναστῆναι τὸν παῖδα ὑγιᾶ. Καὶ πληρώσας τὴν εὐχὴν ἐφώνησεν αὐτὸν λέγων· «Κομητᾶ, ἀνάβλεψον καὶ λάλησον πῶς ἔχεις, καὶ δὸς ἀπόκρισιν τῷ πατρί σου, ἵνα μὴ ὀδυνᾶται περὶ σοῦ;» Ἀνοίξας δὲ πάλιν ὁ παῖς τοὺς ὀφθαλμοὺς
230. καὶ προσεσχηκὼς αὐτῷ, | ἔδωκεν αὐτῷ ἀπόκρισιν πρὸς τὰ ἐπερωτώμενα αὐτῷ. Τότε σφραγίσας αὐτοῦ τὸ μέτωπον, τὰς χεῖρας καὶ τοὺς πόδας, ἐπελάβετο τῆς δεξιᾶς χειρὸς αὐτοῦ καὶ ἀνεκάθισεν αὐτὸν λέγων· «ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ τὸν παῖδα τοῦ ἑκατοντάρχου τελευτῶντα ἀναστήσαντος, ἐγέρθητι καὶ ἴσθι ὑγιής· αὐτὸς γάρ σοι καὶ νῦν τὴν ζωὴν χαρίζεται.» Προσέταξε δὲ δοθῆναι αὐτῷ φαγεῖν. Προσήγαγον οὖν αὐτῷ τροφὴν καὶ ἔφαγε. Προτραπεὶς δὲ ὑπὸ τῶν γονέων αὐτοῦ ὁ ὅσιος εἰς τὸ δεῖπνον, ἐπέτρεψε τῷ πρεσβυτέρῳ Ἰωάννῃ βαστάσαι τὸ παιδίον καὶ ἀγαγεῖν ἐν τῷ δεί-

πνῳ. Κατέχων οὖν αὐτὸ ὁ πρεσβύτερος Ἰωάννης ἐν τῷ δείπνῳ, ἐπεδίδου αὐτῷ ἐκ τῶν παρατιθεμένων, ὥστε πλείω τῶν ἄλλων τῆς βρώσεως μετασχεῖν, καὶ πάντες οἱ θεωροῦντες αὐτὸ μετὰ πολλῆς χαρᾶς σὺν τοῖς γονεῦσιν αὐτοῦ δόξαν ἀνέπεμπον τῷ Θεῷ, τῷ καὶ νεκροῖς ζωὴν χαριζομένῳ διὰ τῆς αἰτήσεως τῶν δούλων αὐτοῦ· τῇ δὲ ἐπαύριον ἤρξατο περιπατεῖν τὸ παιδίον ὑγιὲς γεγονός. Καὶ ὁ μακάριος ἐξελθὼν τοῦ χωρίου παρεγένετο ἐν τῷ μοναστηρίῳ.

73. Ἐν αὐταῖς οὖν ταῖς ἡμέραις ὑπεδέξατο προορατικὸν καὶ ἅγιον τῆς ἐρήμου, Ἀντίοχον, ὡς οἶμαι, τοῦτον προσαγορευόμενον, ἐπιστρέφοντα ἀπὸ Κωνσταντινουπόλεως ἐπὶ τὴν ἀνατολήν. Ἦν γὰρ ἀνελθὼν πρὸς τὸν βασιλέα Μαυρίκιον πρεσβεῦσαι ὑπὲρ πόλεως πρεδευθείσης ὑπὸ βαρβάρων. Ἦν δὲ σύνοφρυς, Ἄφρος τῷ γένει, ὡσεὶ ἑκατὸν ἐτῶν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ λευκὴ ὡσεὶ ἔριον, καθηπλωμένη μέχρι τῆς ὀσφύος αὐτοῦ, ὁμοίως δὲ καὶ ὁ πώγων αὐτοῦ, οἱ δὲ ὄνυχες αὐτοῦ εὐμήκεις· ἑξηκοστὸν δὲ ἔτος εἶχε, | μὴ μετασχὼν οἴνου ἢ ἐλαίου, 231.
ἢ τῶν λοιπῶν, ἄρτου δὲ μὴ γευσάμενος τριακοστὸν ἔτος· ἡ δὲ βρῶσις αὐτοῦ ἦν λάχανα ὠμὰ μετὰ ἅλατος καὶ ὄξους, καὶ ποτὸν ὕδωρ. Ἀπεκαλύφθη δὲ αὐτῷ καὶ τῷ ὁσίῳ Θεοδώρῳ τὰ περὶ ἀλλήλων. Καὶ ὁ μὲν μακάριος Θεόδωρος ἔλεγε τὰ περὶ αὐτοῦ τοῖς ἀδελφοῖς· « ὅτι οὐκ εἶδον οὐδὲ ἀκήκοα εἰς πᾶσαν τὴν ἔρημον τῆς ἀνατολῆς τοιοῦτον ἄξιον δοῦλον τοῦ Θεοῦ. » Ἐκεῖνος δὲ πάλιν ὁ δίκαιος ἔλεγε τοῖς συνοῦσιν αὐτῷ μαθηταῖς αὐτοῦ περὶ τοῦ ὁσίου ἐπισκόπου Θεοδώρου· « ὅτι τοιούτῳ ἁγίῳ ἀνδρὶ οὐ συνέτυχον ἕως τοῦ νῦν· ἔδειξε γάρ μοι ὁ Θεὸς τὰ περὶ αὐτοῦ. » Οἱ καὶ ἀκούσαντες αὐτοῦ ταῦτα, ἔλαβον ἐκ τῶν κρασπέδων τῶν ἱματίων αὐτοῦ εἰς εὐλογίαν. Ἐν δὲ τῷ προσέρχεσθαι αὐτῷ τοὺς ἀδελφοὺς τῆς μονῆς εἰς προσκύνησιν, ἠγανάκτει καὶ διὰ τοῦ ἑρμηνέως διεκώλυεν αὐτοὺς λέγων· « ὅτι ὑμεῖς τοιοῦτον ἔχοντες φωστῆρα καὶ ἀπόστολον

τοῦ Χριστοῦ ἅγιον, διά τί ἔρχεσθε εἰς προσκύνησιν ἐμοῦ τοῦ θηριοτρόπου καὶ ἀτελοῦς καὶ μηδὲν ὄντος; αὐτῷ οὖν προστρέχετε καὶ τιμὴν ἀπονέμετε, τῷ ἀληθῶς ἀξιεπαίνῳ καὶ θαυμαστῷ ἁγίῳ ἀνδρὶ, τῷ ἐν κόσμῳ ἀναστρεφομένῳ θεαρέστως, καὶ τὰς ἐν αὐτῷ ἡδονὰς καταπατοῦντι, καὶ πολλοὺς διὰ τῆς διδασκαλίας πρὸς τὸν Θεὸν ἐπιστρέφοντι.»

74. Ὀψίας δὲ γενομένης, ποιήσαντες τὴν θείαν λειτουργίαν, ἐκαθέσθησαν ἅμα φαγεῖν τῆς βραχείας καὶ συνήθους αὐτῶν τροφῆς· καὶ μετὰ τοῦτο ἠθέλησεν ὁ ὅσιος, κατὰ τὸ σύνηθες, νίψαι τοὺς πόδας αὐτοῦ. Ὁ δὲ τοῦτο μὲν οὐκ ἠνέσχετο, τὰς δὲ χεῖρας ἀμφότεροι ἀλλήλων ἔνιψαν. Πρωΐας δὲ γενομένης, ἔσπευδε τοῦ ἐξελθεῖν ὁ τοῦ Θεοῦ δοῦλος, ἐπὶ τὸ ἀνύειν τὴν
231. προκειμένην αὐτῷ | ὁδοιπορίαν. Ὁ δὲ ὅσιος Θεόδωρος αἰσθόμενος δι' ἀποκαλύψεως τὴν τελείωσιν αὐτοῦ ἐγγίζειν, καὶ θέλων παρ' αὐτῷ ταύτην γενέσθαι, ἠξίου αὐτὸν τέως μένειν καὶ ἀναπαύεσθαι ἐκ τοῦ κόπου τῆς ὁδοιπορίας. Αὐτὸς δὲ ἀπολύειν αὐτὸν παρεκάλει φάσκων, «ὅτι ταχινή ἐστιν ἡ ἐκ τοῦ σώματός μου ἐκδημία, καὶ σπεύδω, ἐὰν ἴσως δυνηθῶ, φθάσαι εἰς τὸ κελλίον μου.» Ἐξελθὼν δὲ ὁ ὅσιος Θεόδωρος, συνώδευσεν αὐτῷ μέχρις Ἀναστασιουπόλεως, καὶ ἀνέθετο αὐτῷ τὰς προσούσας αὐτῷ θλίψεις καὶ μερίμνας ἐν τῇ ἐπισκοπῇ, καὶ τὴν ἐν τῷ κανόνι αὐτοῦ γενομένην ἐγκοπὴν, καὶ τὴν ἐν τοῖς μοναστηρίοις αὐτοῦ δι' αὐτὸν ῥαθυμίαν, αἰτῶν αὐτὸν ἐπὶ τούτοις σύμβουλον τοῦ συμφέροντος γενέσθαι, καὶ εἴπερ κατὰ τὸ σπουδαζόμενον αὐτῷ καταλείψει τὴν προεδρίαν καὶ τῇ μοναδικῇ σχολάσει τάξει. Ὁ δὲ συμφέρειν αὐτῷ τοῦτο καὶ ταχέως ποιεῖν συνεβούλευεν, ὡς ἀκατάκριτον αὐτὸν εἶναι παρὰ τῷ Θεῷ. Δοὺς δὲ αὐτῷ τὸν βαδιστὴν, εἰς ὃν ἐκαθέζετο, πρὸς ὑπουργίαν αὐτοῦ καὶ ἕνα ἀδελφὸν ἐπὶ τῷ συνελθεῖν αὐτῷ μέχρις ἂν βούληται, προέπεμπεν αὐτὸν ἀπὸ Ἀναστασιουπόλεως. Ἀσπασάμενοι οὖν καὶ περιπτυξάμενοι ἀλλήλους, οὕτω διεχωρίσθησαν. Ὑποστρέ-

ψας δὲ ὁ μακάριος ἐν τῷ ἐπισκοπείῳ, ἔλεγε περὶ αὐτοῦ ὅτι οὐ δυνήσεται φθάσαι εἰς τὸν τόπον αὐτοῦ, διὰ τὸ ἐν συντόμῳ αὐτὸν ἐκ τοῦ σώματος ἐκδημεῖν, ὅπερ καὶ γέγονε· μετ' οὐ πολλὰς γὰρ ἡμέρας ἀκουστὴ γέγονεν ἡ κοίμησις αὐτοῦ, κατὰ τὴν στράταν γενομένην.

75. Ἐπεὶ οὖν πάμπολλα θαύματα τοῦ μακαρίου Θεοδώρου ἀναδείκνυται μετὰ τὴν παραίτησιν τῆς ἐπισκοπῆς αὐτοῦ, ἐξ ὧν κἀγὼ τῇ κατ' ὀφθαλμοὺς πληροφορίᾳ πολλὰ παρέλαβον. Ἐν αὐτοῖς γοῦν βουλόμενος ἐνδιατρίψαι, | συντέμνω τῶν ἐν τῇ ἐ- 232.
πισκοπῇ αὐτοῦ ἐπιτελεσθέντων θαυμάτων τὴν διήγησιν, μηδὲν ὅλως ἀπομνημονεύσας τῶν ἐν τῇ αὐτοῦ ποιμανθείσῃ πόλει γεγονότων, καθὼς καὶ οἱ αὐτῆς οἰκήτορες ἀψευδῆ μου τὸν λόγον πιστώσονται περὶ τούτων, δι' ὃ φανερὰν ὑμῖν ἀποκαταστήσω τὴν παραίτησιν τῆς ἐπισκοπῆς αὐτοῦ, ἐκφαίνων ἐν μέρει καὶ τὰς αἰτίας τῶν θλίψεων αὐτοῦ, δι' ἃς αὐτὴν παρῃτήσατο. Ἐπειδὴ γάρ, ὡς ἴστε, ἀνάγκη αὐτῷ ἐγένετο εἰλεῖσθαι πᾶσι τοῖς τῇ ἐπισκοπῇ προσοῦσι πολυπλόκοις πράγμασι καὶ ταῖς φροντίσι, τούτου χάριν ἐν πολλῇ θλίψει καὶ στενοχωρίᾳ ὑπὸ τούτοις διῆγεν, ὅτι οὐκ ἤθελεν ἐν οἱᾳδήποτε μερίμνῃ γενέσθαι, ἵνα μὴ ὁ λογισμὸς αὐτοῦ, ἐν τοῖς γηΐνοις ἀπασχοληθεὶς τῶν ποθουμένων αὐτῷ ἐπουρανίων θεωριῶν ἀμελήσοι, κατὰ τὸν τοῦ Κυρίου λόγον τὸν λέγοντα· «οὐδεὶς δύναται δυσὶ Κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει (Λουκ. ις'. 13)·» ἐν οἷς καὶ περὶ τῶν διαφερόντων χωρίων τῇ ἐκκλησίᾳ πολλῇ λύπῃ καὶ ἀδημονίᾳ συνείχετο.

76. Τὴν γὰρ ἐπ' αὐτοῖς διοίκησιν καὶ ἐξουσίαν ἐκδιδόντος αὐτοῦ τοῖς τῆς πόλεως, ἀδικία παρέτρεχεν εἰς τοὺς γεωργούς, ὥστε ἐν μιᾷ ἐκδεδωκότος αὐτὰ τινι προτίκτορι τῆς αὐτῆς πόλεως, ὀνόματι Θεοδοσίῳ· οὗτος ἦν ἀδικῶν καὶ πλεονεκτῶν τοὺς γεωργούς. Οἱ δὲ παραγενόμενοι πρὸς τὸν τοῦ Χριστοῦ δοῦλον,

κλαίοντες ἐνετύγχανον αὐτῷ, καὶ ἦν πενθῶν ἐπ' αὐτοῖς, τῇ συμπαθείᾳ κινούμενος· οὐ γὰρ ἔφερεν ἡ ἁγία καὶ νοερὰ αὐτοῦ ψυχὴ ἰδεῖν τινα καταπονούμενον. Προσκαλεσάμενος δὲ τὸν Θεοδόσιον, νουθεσίαις πολλαῖς παρεκάλει αὐτὸν ἐνδοῦναι τῆς κατὰ
232. τῶν γεωργῶν ἀδικίας. Αὐτὸς δὲ πάλιν προφάσεις | τινὰς αὐτοῖς ἐφευρίσκων, τῇ ἀδικίᾳ ἐπέμενεν, ὥστε ἐν ἑνὶ τῶν αὐτῶν χωρίων Εὐκραοῦς καλουμένῳ ἀπερχομένου αὐτοῦ ἐπὶ τῇ συνήθει αὐτοῦ ἀδικίᾳ, εἰς ὀργὴν ἀκράτητον κινηθέντες τοῦ αὐτοῦ χωρίου, συναχθέντες ὁμοθυμαδὸν πάντες, ὅπλοις τε καὶ ξίφεσι σὺν πετροβόλοις θωρηξάμενοι, ἔξω τοῦ χωρίου ἐξεναντίας αὐτοῦ ἔστησαν, ἀπειλοῦντες τὸν κατ' αὐτοῦ φόνον, εἴπερ μὴ ἀνακάμψοι ἀπ' αὐτῶν. Ὃς ἰδὼν αὐτοὺς οὕτω πρὸς τὴν μάχην ἑτοιμασθέντας καὶ ὑφορωθεὶς τὴν ἑαυτοῦ ἧτταν, ἀνέστρεψεν ἀπ' αὐτῶν καταλαβὼν τὴν Ἀναστασιούπολιν, ὡς βουλόμενος μετὰ πλειόνος βοηθείας ἐπελθεῖν αὐτοῖς. Γνοὺς δὲ ὁ ὅσιος τὸ γεγονὸς, ἐν πολλοῖς δάκρυσι καὶ στεναγμοῖς τὴν ἡμέραν ἐκείνην διετέλεσεν, ἐν νῷ λογιζόμενος τοῦτο, ὅτι, εἰ συνέβη τὴν τοιαύτην κίνησιν εἰς πέρας ἐλθεῖν, καὶ φόνους πεσεῖν συνέβη πολλοὺς, καὶ κηλῖδα ἀληθάργητον ἔχειν αὐτὸν, ὡς αἴτιον τῆς τοιαύτης πτώσεως γεγονότα, καὶ μεγάλης ἀπολογίας ὑπὲρ τῶν κινδυνευσασῶν ψυχῶν ὑπεύθυνον εἶναι. Πεσὼν οὖν ἐπὶ πρόσωπον εἰς τὸ ἔδαφος καὶ προσκυνήσας εὐχαρίστησε τῷ Κυρίῳ τῷ διασκεδάσαντι τὴν τῆς ὀργῆς κίνησιν εἰς πέρας ἐλθεῖν. Καὶ καλέσας τὸν Θεοδόσιον παρήγγειλε μηκέτι τοῦ λοιποῦ διὰ τῆς ἐπιτροπῆς τῶν χωρίων γενέσθαι, ἵνα μὴ κακὸν ἀναμέσον αὐτῶν γένηται. Ὁ δὲ ἔφασκεν· ὡς αὐτοῦ ἐπιτροπῇ τὴν τῶν γεωργῶν γενέσθαι κίνησιν κατ' αὐτοῦ· καὶ πολλὰς ὕβρεις αὐτῷ καθυλακτήσας, καὶ ἕνα λόγον ἀθέμιτον ἀσωτίας αὐτῷ ἐπιφθεγξάμενος, τὸν θρόνον, ἐφ' ᾧ ἐκαθέζετο, σκελίσας τῷ ποδὶ, ἐποίησεν αὐτὸν πεσεῖν ἐν τῷ σεκρέτῳ εἰς τὸ ἔδαφος ὕπτιον ἐπὶ
233. πάντων. Οὕτως ἀναστὰς ὁ ὅσιος, πραϋτέρᾳ φωνῇ | διωμόσατο

αὐτοῖς μὴ τελευτᾶν αὐτὸν παρ' αὐτοῖς ἐπίσκοπον, ἀλλ' ἐν τῷ ἰδίῳ μοναστηρίῳ πάλιν ὑποστρέφειν. Καὶ μὴ ἀρκεσθεὶς ἐπὶ τούτοις ὁ Θεοδόσιος, ἀκμὴν ἐπέκειτο ὀχλῶν αὐτῷ τὴν τῶν δοξάντων δύο λιτρῶν τοῦ χρυσίου ποινὴν ἐπὶ τῷ μὴ ἐμμένοντι μέρει, ὡς δι' αὐτοῦ παρὰ τὸν ὁρισθέντα καιρὸν ἐξεοῦσθαι αὐτὸν τῶν χωρίων. Ἡ δὲ γυνὴ αὐτοῦ διεμάχετο αὐτῷ λέγουσα· «μηδέν σοι καὶ τῷ ἁγίῳ τούτῳ, μήπως ἀντὶ εὐλογίας καὶ εὐχῆς, ὧν οὐκ ἐτύχομεν παρ' αὐτοῦ, κατάραν αὐτοῦ κομισάμενοι ἀπολώμεθα.» Μὴ ἀνασχόμενος δὲ ἀκοῦσαι αὐτῆς, πάλιν ἐν μιᾷ ἀνῆλθεν ἐν τῷ ἐπισκοπείῳ ἐπὶ τῷ ὀχλῆσαι αὐτῷ καὶ εἰς δίκην ἐγκαλέσασθαι αὐτὸν περὶ τούτου. Εἰσελθόντι δὲ τῷ ὀστιαρίῳ ἐπὶ τὸ καταμηνῦσαι αὐτὸν πρὸς τὸν ὅσιον, ἄρνω ἐπέπεσεν αὐτῷ φόβος μέγας ἑστῶτι, καὶ ἐφάνη αὐτῷ νεανίσκος φοβερὸς τῷ εἴδει καὶ λαμπρὸς τῇ ἐσθῆτι, ἐπαπειλούμενος αὐτῷ μετ' ὀργῆς, καὶ λέγων ἁπλῶς· «κάκιστε, οὕτως ἀντιλέγεις τῷ μεγάλῳ, καὶ οὐ παύῃ λοιπὸν κόπους ἀεὶ καὶ λύπας προσάγων; ἰδοὺ προλέγω σοι, ἐὰν μὴ ἐνδώσῃς αὐτῷ, ὀργὴ μεγάλη ἔρχεται ἐπὶ σὲ καὶ κακηγκάκως τὸν βίον σου καταλύσεις.» Καὶ ταῦτα εἰρηκώς, ἀφανὴς γέγονεν. Ὁ δὲ ἐνεὸς γενόμενος ἐπὶ ὥραν πολλήν, καὶ μικρὸν ἐλθὼν εἰς ἑαυτόν, προσκαλεσαμένου αὐτὸν τοῦ ὁσίου, ἐξελθὼν ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ μετὰ δακρύων, ἱκετεύων συγχωρεῖν αὐτῷ ἐφ' οἷς κόποις ἐπέθετο αὐτῷ πολλάκις, μηκέτι δὲ τοῦ λοιποῦ ὀχλεῖν αὐτῷ περὶ τῆς ποινῆς τῶν δύο λιτρῶν συντιθέμενος.

77. Συνέβη δὲ πάλιν, κατὰ ποῖον οὐκ οἶδα τρόπον, φαρμακευθῆναι τὸν ὅσιον ὑπό τινων τῆς αὐτῆς πόλεως, καὶ ἐτέθη ἐν
τῷ κελλίῳ αὐτοῦ τῷ ἐν τῷ ἐπισκοπείῳ | ἄφωνος καὶ ἀκίνητος 233.
ἐπὶ ἡμέρας τρεῖς, ὡς τὴν φήμην γενέσθαι ὅτι ἀπέθανε. Μετὰ δὲ τὴν τρίτην ἡμέραν, ἐφάνη αὐτῷ ἡ δέσποινα, ἡ παναγία Θεοτόκος Μαρία, τὸ οὐαὶ τοῖς κακοῖς ἀνθρώποις ἐπιλέγουσα καὶ ταλανίζουσα τούτους, τήν τε αἰτίαν τῆς νόσου καὶ τοὺς ἐπι-

βούλους ἐφανέρωσεν αὐτῷ, καὶ ἐκβαλοῦσα ἐκ τοῦ ἐγχειρίου αὐτῆς ὡς χολόκοκκα τρία, ἐπιδέδωκεν αὐτῷ λέγουσα· «φάγε αὐτά, καὶ οὐδὲν κακὸν ἕξεις τοῦ λοιποῦ.» Ὁ δὲ δόξας ταῦτα μεταλαβεῖν, εὐθέως ἐξ ὕπνου ἀνέστη, δοξάζων τὸν σωτῆρα Χριστὸν καὶ τὴν αὐτοῦ ἄχραντον καὶ παναγίαν Μητέρα. Καὶ τὴν μὲν αἰτίαν τῆς νόσου αὐτοῦ ἀπήγγειλε, τοὺς δὲ ταύτην ἐργασαμένους ἐκφάναι οὐκ ἠνέσχετο, ἀλλὰ καὶ εὐχὴν ὑπὲρ τῆς αὐτῶν συγχωρήσεως πρὸς τὸν Θεὸν ἐποίησε.

78. Πάλιν δὲ ἐν τῷ διαδιδόναι αὐτὸν τοῖς δεομένοις ἐλεημοσύνην ἐν τῇ αὐτῇ πόλει, καὶ ἐν τῷ παραγίνεσθαι αὐτὸν ἐν τοῖς μοναστηρίοις καὶ ἐκ τῶν ἐκεῖσε καρποφορουμένων φροντίδα τῶν ἀδελφῶν ποιεῖσθαι, κατεγογγύζετο ὡς εἰς ἐλάττωσιν φέρων τὴν ἐκκλησίαν, καίτοι γε ἐκ τῶν τῆς τραπέζης αὐτῷ τεταγμένων τριακοσίων ἑξήκοντα πέντε νομισμάτων, τεσσαράκοντα μόνον τὸν πάντα ἐνιαυτὸν χρωμένῳ, τὰ δὲ ἄλλα πάντα τῇ ἐκκλησίᾳ παραχωροῦντι. Ἐν δὲ τῷ ἑστᾶναι αὐτὸν καὶ τὸν κανόνα τῆς ψαλμῳδίας ἐκτελεῖν, ἀποσπᾶσθαι παραυτα τῆς εὐχῆς ἠναγκάζετο, ὅταν παρ' αὐτοῖς πρᾶγμά τι ἐνέπεσεν. Ἑκάστοτε οὖν θλιβόμενος ἐπὶ τούτοις καὶ ἰδὼν αὐτοὺς μηδὲν μὲν ὄφελος ἐξ αὐτῶν καρποῦσθαι, ἀλλὰ τῇ τοῦ μοχθηροῦ βίου ταλαιπωρίᾳ συνδεδέσθαι, τοὺς δὲ ἐν τοῖς μοναστηρίοις αὐτοῦ καθεστῶτας ἀδελφοὺς τῇ αὐτοῦ ἀπουσίᾳ ἐν ἀμελείᾳ χερσεύον-
234. τας, καὶ τὴν ἐκ | τῶν μοναστηρίων μετοίκησιν σκεπτομένους, καὶ ἐννοῶν ἀποδοῦναι τὸν ὑπὲρ αὐτῶν λόγον ἐν ἡμέρᾳ κρίσεως, τούτοις πᾶσι συνεχόμενος καὶ ἀδολεσχῶν, τὸν ἔνδοξον μάρτυρα τοῦ Χριστοῦ Γεώργιον εἰς συνεργίαν ἐκάλει, ἐπὶ τὸ ἀποκαταστῆσαι αὐτὸν εἰς τὸν ἴδιον τόπον, καὶ πολλαῖς εὐχαῖς καὶ δεήσεσι ἐξιλεώσατο τὸν Θεὸν, ἐπὶ τὸ ἀκατάκριτον αὐτῷ γενέσθαι τὴν τῆς ἐπισκοπῆς παραίτησιν ποιουμένῳ. Θείας οὖν πληροφορίας καὶ ἀπολύσεως τυχὼν ὡς πεπληρῶσθαι αὐτὴν αὐτοῦ τὴν αἴτησιν, προσκαλεσάμενος τόν τε κλῆρον καὶ τοὺς τῆς

πόλεως κτήτορας, εἶπεν αὐτοῖς· « ὑμεῖς γινώσκετε ἀδελφοί, ὅτι βιαίως με τοῦ μοναστηρίου ἀποσπάσαντες, τῷ ζυγῷ τούτῳ ὑπεισελθεῖν κατηναγκάσατε, καὶ προέλεγον ὑμῖν ὅτι ἀνίκανός εἰμι τῆς κυβερνήσεως ὑμῶν, καὶ οὐκ ἠκούσατέ μου, ἀλλὰ τὸ δόξαν ὑμῖν ἐποιήσατε· καὶ ἰδοὺ τοῦτο ἑνδέκατον ἔτος ἔχω θλίβων ὑμᾶς καὶ θλιβόμενος παρ' ὑμῶν. Δέομαι οὖν ὑμῶν, σκέψασθε ἑαυτοῖς ποιμένα τὸν δυνάμενον ὑμῖν εὐαρεστῆσαι καὶ τῶν πραγμάτων ὑμῶν ἀντιλαβέσθαι· ἐγὼ γὰρ ἀπὸ τοῦ νῦν ἔσεσθε εἰδότες οὐκ εἰμὶ ὑμῶν ἐπίσκοπος, ἀλλὰ ταπεινὸς ὑπάρχω μοναχός, εἰς τὴν μονήν μου ἀπέρχομαι, ἐν ᾗ συνεθέμην δουλεῦσαι τῷ Κυρίῳ πάντα τὸν τῆς ζωῆς μου χρόνον. » Καὶ εἰπὼν ταῦτα, συνταξάμενος αὐτοῖς, καὶ παραλαβὼν τὸν ἀρχιδιάκονον τοῦ μοναστηρίου αὐτοῦ Ἰωάννην, ἐξῆλθεν ἐπὶ τὴν Ἀγκυρανῶν μητρόπολιν. Τῇ δὲ νυκτὶ ἐκείνῃ, εἶδέ τις ἐκ τῆς πόλεως κατ' ὄναρ ὡς, ὅτι ἀστὴρ φαιδρὸς ἀκτινοβολῶν καὶ φωτίζων τὴν πόλιν, ἑστὼς ἐπάνω τῆς ἐκκλησίας, μετέστη καὶ ἀνελήφθη ἀπ' αὐτῶν, καὶ μακρὰν γενόμενος, μόλις ὡρᾶτο· ὅπερ
| ἑωρακώς, συνῆκεν εἰς τὸν ὅσιον τοῦτο πληροῦσθαι. 234.

79. Καταλαβὼν δὲ ὁ τοῦ Θεοῦ δοῦλος τὴν Ἀγκυρανῶν μητρόπολιν καὶ συντυχὼν τῷ μακαριωτάτῳ Παύλῳ τῷ μητροπολίτῃ, παρεκάλει διαδεχθῆναι· ὁ δὲ ἔφασκε μὴ δύνασθαι τοιοῦτον ἐνάρετον ἄνδρα διαδέξασθαι. Πολλῆς δὲ στάσεως γενομένης μεταξὺ αὐτῶν, τέλος ἀμφοτέροις ἔδοξεν ἀποστεῖλαι πρὸς τὸν μακαριώτατον Κυριακὸν τὸν πατριάρχην Κωνσταντινουπόλεως περὶ τούτου, καὶ τῇ αὐτοῦ στελλομένῃ κελεύσει στοιχεῖν. Καὶ ἀπέστειλαν ἀμφότεροι· ὁ μὲν μακάριος Θεόδωρος δεήσεις προσφέρων πρός τε τὸν εὐσεβῆ τῇ μνήμῃ Μαυρίκιον τὸν βασιλέα καὶ πρὸς τὸν μακαριώτατον πατριάρχην Κυριακόν, τοῦ κελεῦσαι αὐτοὺς διαδεχθῆναι αὐτόν· ὁ δὲ μητροπολίτης τὴν αὐτοῦ ὄχλησιν ἐπὶ τῇ παραιτήσει ἀναφέρων τῷ ἁγιωτάτῳ πατριάρχῃ, ἀπεκδέχετο τὰ ὑπ' αὐτοῦ κελευόμενα.

Ὁ δὲ μακαριώτατος Κυριακὸς πατριάρχης κελευσθεὶς καὶ ἐκ τοῦ
βασιλέως, ἐπέστειλε τῷ μητροπολίτῃ ποιῆσαι τὸ αἴτημα αὐτοῦ,
ἐπιδοῦναι δὲ αὐτῷ καὶ τὸ ὠμοφόριον τῆς ἐπισκοπῆς πρὸς τὸ
ἔχειν αὐτὸν τὴν ἀξίαν, διὰ τὸ ἅγιον εἶναι καὶ ἀμέμπτως δια-
δέχεσθαι. Δεξάμενος οὖν τὴν κέλευσιν αὐτοῦ ὁ μητροπολίτης,
διεδέξατο τὸν μακάριον Θεόδωρον τῆς ἐπισκοπῆς· προσενηνο-
χότος δὲ αὐτοῦ λίβελλον, καὶ ἐπιδέδωκεν αὐτῷ καὶ τὸ ὠμο-
φόριον τῆς ἐπισκοπῆς, συνεβούλευσε δὲ αὐτῷ, ἵνα ὑποχωρήσῃ
ἀπὸ τῆς ἐνορίας πόλεως ἐνορίαν, μέχρις ἂν ἕτερος ἐπίσκοπος
εἰς τὸν τόπον αὐτοῦ γένηται. Ἐξελθὼν οὖν ἐκ τῆς Ἀγκυρα-
νῶν μητροπόλεως, ἦλθεν εἰς τὸ κλίμα τῆς Ἡλιουπολιτῶν πό-
235. λεως, ἔγγιστα τοῦ Πίδρου | ἐν τῷ εὐκτηρίῳ τοῦ Ἀρχαγγέλου,
τῷ ὄντι εἰς Ἄκρηναν, καὶ κατέκρυπτεν ἑαυτόν.

80. Ἐν μιᾷ οὖν ποιήσαντος αὐτοῦ τὴν θείαν μυσταγωγίαν
ἐν τῷ αὐτῷ εὐκτηρίῳ τοῦ Ἀρχαγγέλου, ἐγένετο τὸ πρόσωπον
αὐτοῦ φαιδρὸν καὶ χαροποιὸν καὶ πολλῆς δόξης καὶ χάριτος
ἀπαστράπτον. Εἷς δὲ τῶν συνόντων αὐτῷ ἀδελφῶν ὀνόματι
Ἰουλιανὸς, πρεσβύτερος ὤν, ἀνὴρ εὐλαβὴς, ἰδὼν τὸ φαιδρὸν καὶ
χαρίεν ἐπὶ τοῦ προσώπου αὐτοῦ, προσέπεσεν αὐτῷ κατ' ἰδίαν
λέγων· «μίαν αἴτησιν ἐρωτήσεως ἔχω πρὸς σὲ, πάτερ, καὶ
διὰ τὸν Κύριον πληροφόρησόν με εἰς αὐτήν.» Εὐλογήσαντος δὲ
τοῦ μακαρίου ἐπὶ τὸ ἀναστῆναι αὐτὸν καὶ πληροφορίαν αὐτῷ
παρέχειν τῆς ἐπερωτήσεως, ἤρξατο λέγειν αὐτῷ· «ἐν τῷ προ-
σκομίζειν σε, πάτερ, τὰς μὲν, οὐδεμία γίνεται ἐναλλαγὴ τοῦ
προσώπου σου, τὰς δὲ πλείους, ὁρῶμεν τὸ πρόσωπόν σου ἐν
πολλῇ δόξῃ φιλολαμπρούμενον καὶ χαρᾶς πολλῆς ἐμπεπλησμέ-
νον, ὡς ἐκ τῆς τοιαύτης ἀγαλλιάσεως ἑκάστῳ ἡμῶν μετὰ ἱ-
λαρότητος συντυγχάνειν, καθάπερ καὶ ἐν τῇ σήμερον ἡμέρᾳ
εἴδομέν σε. Εἰπὲ οὖν μοι διὰ τὸν Κύριον τίς ἡ αἰτία;» Ὁ δὲ
θεράπων τοῦ Χριστοῦ συγχωρεῖν ἐπειρᾶτο τῆς διηγήσεως αὐ-
τῆς. Ὁ δὲ, πολλαῖς ὅρκων κατακρίσεσιν αὐτῷ ὀχλῶν, μαθεῖν

περὶ τούτου παρεκάλει. Εἶπε δὲ αὐτῷ· «ὅτι ἐὰν συντίθῃ μοι ὅτι οὐδενὶ τοῦτο ἐξαγγελεῖς, λέγω σοι τὴν αἰτίαν.» Ὅρκου οὖν καταβληθέντος ὑπὸ τοῦ πρεσβυτέρου ἐπὶ τὸ μηδενὶ ἐξειπεῖν τὸ μυστήριον ἕως τῆς κοιμήσεως ἑνὸς ὁποτέρου αὐτῶν, λέγει ὁ μακάριος· «ὅταν θεωρῇς με χαίροντα ἀπὸ τῆς προσκομιδῆς, γίνωσκε ὅτι ἀπὸ ὀπτασίας χαίρω· τεθέαμαι γὰρ ὥσπερ ἀληθι-
νὸν ὑπέρλαμπρον | καταπέτασμα, κατερχόμενον ἐπὶ τὰ ἅγια 235.
δῶρα ἐν τῷ προσκομίζειν, καὶ ὅταν τοῦτο θεωρήσω, χαίρω καὶ ἀγαλλιῶ· οὐ γὰρ πάντοτε αὐτὸ θεωρῶ· διὰ τοῦτο οὐδὲ πάντοτέ ἐστιν ἱλαρὸν τὸ πρόσωπόν μου. Ὅταν δὲ κατὰ τὴν ὥραν μὴ θεάσωμαι αὐτὸ, καὶ τὴν εὐχὴν τῆς προσκομιδῆς ἐκ τούτου ἐπιτείνω περιμένων τὴν θεωρίαν ταύτην, ἥνπερ καὶ σήμερον ἠξιώθην θεάσασθαι.» Ἀκούσας δὲ ταῦτα ὁ εἰρημένος πρεσβύτερος Ἰουλιανὸς, διετήρησε μέχρι τῆς κοιμήσεως τοῦ ἁγίου μηδενὶ ἐξαγγείλας. Γενομένου τοίνυν ἐπισκόπου ἐν Ἀναστασιουπόλει, ἀκούσας ὁ μακάριος ὑπέστρεψεν ἐν τῷ μοναστηρίῳ αὐτοῦ, χαίρων καὶ δοξάζων τὸν Θεὸν, καὶ πολλὰ θαυμάσια ἐπετέλει διὰ τῆς θείας χάριτος ἐπὶ τοὺς παραγινομένους ἀσθενοῦντας.

81. Ἐν οἷς καὶ πρεσβύτερός τις ὀνόματι Παῦλος ἀπὸ μοναστηρίου τῆς Λυκαονίας ἠνέχθη ἐπὶ κτήνους. Ἦν γὰρ ἡ μὲν ἀριστερὰ λαγὼν αὐτοῦ κολληθεῖσα εἰς τὸ δεξιὸν μέρος τῶν σπλάγχνων αὐτοῦ, ἡ δὲ δεξιὰ αὐτοῦ κόξα ἔξω τοῦ ἰδίου αὐτῆς τόπου ἐφ' ἱκανὸν τυγχάνουσα, ὡς λοιπὸν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τὸ εὐώνυμον μέρος τῷ ποδὶ αὐτοῦ ἐγγίζειν, καὶ μὴ δύνασθαι αὐτὸν στῆναι εἰς τὴν γῆν, ἢ ἁπλωθῆναι ἐπὶ κλίνης, ἀλλ' ἦν κείμενος ἀναισθήτως ἐν τοιαύτῃ στρεβλώσει, ὡς ἐλεεινὸν εἶναι τὸ αὐτοῦ θέαμα. Οὗτος πολλοῖς λούσμασι καὶ ἰατρείαις χρησάμενος, οὐδὲν ὠφέλησε. Προσέταξε δὲ αὐτῷ ὁ μακάριος Θεόδωρος ποιῆσαι ἐν τῷ μοναστηρίῳ ἡμέρας τρεῖς· καὶ μετὰ τοῦτο γνοὺς τὰ κατ' αὐτὸν, εἶπεν αὐτῷ· «ἐὰν θέλῃς ὑγιὴς γενέσθαι, ἄπελθε εἰς τὴν πατρίδα σου καὶ διαλλάγηθι

εἰς φιλίαν τῷ ἔχοντι κατὰ σοῦ, καὶ ἐλθὲ πρὸ τοῦ χειμῶνος,
236. καὶ παρέχει σοι ὁ Θεὸς τὴν | ὑγείαν.» Τοῦ δὲ ἀρνουμένου καὶ λέγοντος μηδαμῶς ἔχειν ψύξιν μετά τινος, ἐπέστη αὐτῷ σφοδρότερον ὁ ἅγιος λέγων· «ναί, μὴ ψεύδου· ἔχεις ἔχθραν μετὰ τοῦ ἡγουμένου σου καὶ ἐν παραιτήσει εἶ μετ' αὐτοῦ (ἦν γὰρ κατ' ἀλήθειαν ἐσχηκὼς φιλονεικίαν μεγάλην μετ' αὐτοῦ).» Ταῦτα οὖν ἀκούσας ἤρξατο μετὰ δακρύων παρακαλεῖν αὐτὸν, ἵνα εὔξηται ὑπὲρ αὐτοῦ καὶ κουφίσῃ ὁ κατέχων αὐτὸν πόνος, πρὸς τὸ ἀνεμποδίστως αὐτὸν ὁδεῦσαι. Ἐκέλευσε δὲ αὐτὸν ἀποδυθῆναι, καὶ ἐπιθεὶς τὰς ἑαυτοῦ χεῖρας ἐπὶ τὸ σῶμα αὐτοῦ διαψηλαφῶν τὰ ἀσθενοῦντα αὐτοῦ μέλη, ἐπηύχετο αὐτῷ· καὶ λαβὼν κηρωτὴν ἤλειψεν αὐτοῦ ὅλον τὸ σῶμα, καὶ παραχρῆμα ἀπηλλάγη τοῦ τοιούτου πόνου ὁ ἄνθρωπος, τῇ δὲ στρεβλώσει κατείχετο τέως. Καὶ ἐπιθέντος αὐτὸν ἐπὶ τὸ ὑποζύγιον οἱ ἐνέγκαντες, ἀπήγαγον εἰς τὴν ἰδίαν πατρίδα. Καταλλαγεὶς οὖν τῷ ἡγουμένῳ αὐτοῦ, πάλιν ἐπανῆλθεν εἰς τὸ μοναστήριον τῷ καιρῷ τοῦ χειμῶνος. Ἦν δὲ ἐγκεκλεισμένος καὶ ἡσυχάζων ὁ τοῦ Θεοῦ θεράπων ἐν κελλίῳ στενοτάτῳ (ὄντι) εἰς τὸ μοναστήριον τῆς ἁγίας Θεοτόκου· καὶ ποιήσας αὐτῷ εὐχὴν, εἰς διαφορὰν ἤγαγε καὶ διάλυσιν τοῦ δεσμοῦντος αὐτὸν πάθους. Προσέταξε δὲ αὐτῷ περιπατῶν κατέρχεσθαι ἐγγὺς αὐτοῦ, καὶ εὐχὴν λαμβάνειν καθ' ἡμέραν· ἐπέδωκεν δὲ αὐτῷ καὶ βακτηρίαν εἰς ὑποστήριγμα αὐτοῦ· καὶ τούτου γινομένου, ἀπηλλάττετο. Κατὰ δὲ τὴν γενομένην αὐτῷ ἐπανόρθωσιν, μακροτέραν ἐδίδου αὐτῷ βακτηρίαν ὑπαλλάσσων. Μετὰ οὖν τὴν ἑορτὴν τοῦ ἁγίου Πάσχα, ἐπέδωκεν αὐτῷ βακτηρίαν ἑτέραν λέγων· «κάτεχε αὐτὴν ἐν τῇ χειρί σου καὶ ἄπελθε, ὅθεν ἐλή-
236. λυθας· συντόμως γὰρ ἀξιοῦσαι | τῆς τελείας ὑγείας. Ὅταν δὲ ἐκπέσῃ ἡ βακτηρία αὕτη ἐκ τῆς χειρός σου, μὴ προσθῇς ἔτι τοῦ ἆραι αὐτήν.» Λαβὼν δὲ εὐχὴν παρ' αὐτοῦ ὁ προειρημένος πρεσβύτερος Παῦλος, ἀπῆλθεν εἰς τὰ ἴδια. Καὶ ἐν μιᾷ ἅμα

πατοῦντος αὐτοῦ, ἐξέπεσεν ἡ βακτηρία ἐκ τῆς χειρὸς αὐτοῦ, καὶ ὑπομνησθεὶς τὸν τοῦ ἁγίου λόγον, οὐ προσέθετο ἔτι λαβεῖν αὐτήν· καὶ ἀποκατέστη ὑγιὴς ὁ ἄνθρωπος, τὸ θαῦμα πᾶσι διηγούμενος. Ὅστις πρεσβύτερος Παῦλος ἐν Κωνσταντινουπόλει διὰ τοῦ ὁσίου πρεσβύτερος κατετάγη ἐν τῷ εὐκτηρίῳ τῆς παναγίας Θεοτόκου ἐν Συκαῖς εἰς τὰ Γαλατίου (οὕτως ἐπονομαζομένου τοῦ τόπου), ὕστερον δὲ ἐπίσκοπος γέγονε μιᾶς πόλεως τῆς Ἰσαυρίας.

82. Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν, ἦλθον ἐπιστολαὶ προτρεπτικαὶ πρὸς τὸν ὅσιον δοῦλον τοῦ Χριστοῦ ἔκ τε τοῦ φιλοχρίστου βασιλέως Μαυρικίου καὶ τοῦ μακαρίου πατριάρχου Κυριακοῦ καὶ τῶν ἀρχόντων, ἐπὶ τὸ εἰσελθεῖν αὐτὸν ἐν τῇ βασιλίδι πόλει Κωνσταντίνου καὶ εὐλογῆσαι αὐτούς. Ἐκ τούτου οὖν ἀναγκασθεὶς, εἰσῆλθεν ἐν τῇ θεοφυλάκτῳ πόλει, καὶ ἀσπασάμενος τὸν μακαριώτατον πατριάρχην Κυριακὸν καὶ τὸν βασιλέα καὶ τὴν σύγκλητον, καὶ εὐλογήσας αὐτοὺς διαφόρως, κατεκλίθη μετ' αὐτῶν. Πολὺ δὲ ποθεινῶς προσέκειντο αὐτῷ ὅ τε βασιλεὺς καὶ ἡ αὐγοῦστα καὶ ὅλον τὸ κουβούκλιον, καὶ μεγάλην τιμὴν ἀπένεμον αὐτῷ, ὅθεν καὶ περιώρισαν τὰ μοναστήρια αὐτοῦ ὅροις ἀσυλίας δι' οἰκείας αὐτῶν θείας κελεύσεως καὶ μετάθεσιν τῶν ἐν αὐτοῖς θρόνων πεποίηκασιν ὑπὸ τὸν ἀποστολικὸν θρόνον τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας τῆς αὐτοῦ βασιλίδος πόλεως, πρὸς τὸ μὴ ὑποκεῖσθαι ἑτέρᾳ ἐπισκοπῇ. Οὕτω
τοῦ Θεοῦ οἰκονομήσαντος καὶ τοῦ ἁγίου μάρτυρος | Γεωργίου 237.
αὐτῷ συνεργήσαντος, ἐπὶ τῇ τῶν ἐν αὐτοῖς ἀποτασσομένων καὶ λειτουργούντων προθυμοποιῷ συστάσει. Ἐν δὲ τῷ ὀλίγῳ καιρῷ τῆς διατριβῆς αὐτοῦ, μεγάλα θαυμάσια ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν τῇ πόλει.

83. Γυνὴ γάρ τις, οἰκοῦσα κατὰ τὸν ἅγιον Θεόδωρον ἐν τοῖς Σπορακίου, εἶχε παιδίον ὡς ἐτῶν τεσσάρων, καὶ αὐτὸ ἦν τυφλόν. Αὕτη ἀκούσασα τὴν παρουσίαν αὐτοῦ, ἀραμένη αὐτὸ εἰς

τὰς ἀγκάλας αὐτῆς, παρεγένετο εἰς τὸ μητάτον αὐτοῦ, ἔνθα κατήγετο, εἰς τὰ Οὐαρανᾶς (οὕτως ἐπιλεγομένου), πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ μετὰ πολλῶν δακρύων προσπεσοῦσα αὐτῷ, ἔρριψε τὸ παιδίον εἰς τοὺς πόδας αὐτοῦ, καὶ παρεκάλει τὸ φῶς τῶν ὀμμάτων αὐτῷ δωρήσασθαι. Ὁ δὲ σφραγίσας τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εὐλογήσας ὕδωρ ἔδωκεν αὐτῇ, ἐντειλάμενος ἔωθεν νίπτειν αὐτὸ ἐξ αὐτοῦ· καὶ τοῦτο ποιήσασα ἡ γυνὴ ἐπὶ τρίτην ἡμέραν, τὴν τετάρτην ἤγαγε τὸ παιδίον ὑγιὲς τηλαυγῶς βλέπον πρὸς τὸν ὅσιον, δοξάζουσα τὸν Θεόν. Ἡ αὐτὴ δέ ποτε παράλυτος, κατακειμένη ἐπὶ μῆνας ἑπτὰ, παραχρῆμα ἀνέστη ἐν ᾗ ὥρᾳ ἔλαβε τὴν εὐχὴν αὐτοῦ.

84. Ἄλλη τις κόρη, παιδίσκη τινὸς μεγιστᾶνος, εἶχε δαιμόνιον κρυπτὸν ἔτη εἰκοσιοκτὼ, ὥστε πάντοτε ἐν ἀρρωστίᾳ κατακεῖσθαι αὐτὴν καὶ ἀγνοεῖν τὸ συνέχον αὐτὴν πάθος· ἀκούσας δὲ περὶ τοῦ μακαρίου ὁ ταύτης κύριος, ἀπήγαγεν αὐτὴν πρὸς αὐτὸν καὶ παρεκάλει εὔχεσθαι ὑπὲρ αὐτῆς, ἵνα εἴτε διὰ θανάτου εἴτε διὰ τῆς ὑγείας τῆς ἀσθενείας λυτρωθῇ. Ὁ δὲ θεράπων τοῦ Κυρίου ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπελάβετο τῆς κεφαλῆς αὐτῆς, καὶ ηὔχετο πρὸς τὸν Θεὸν γνωσθῆ-
237. ναι τὸ συνέχον αὐτὴν πάθος, καὶ φυγαδευθῆναι | ἀπ' αὐτῆς. Καὶ εὐθέως ἐταράχθη καὶ σπαράσσει αὐτὴν τὸ ἐν αὐτῇ δαιμόνιον, καὶ ἤρξατο βοᾶν οὕτως· « καίεις με, σιδηροφάγε, φεῖσαί μου, δαιμονιοπνίκτα (διὰ) τὸν δόντα σοι Θεὸν τὴν κατ' ἐμοῦ ἐξουσίαν. » Ὁ δὲ μακάριος Θεόδωρος ἐκέλευσεν αὐτὴν ἡσυχάσαι· ἦν δὲ ἡμέρα τετάρτη τῆς ἑβδομάδος καὶ ἀπέλυσεν αὐτὴν, προσέταξε δὲ τῷ κυρίῳ αὐτῆς τῇ ἐπιούσῃ τετράδι πάλιν ἀγαγεῖν αὐτήν. Κατὰ δὲ τὴν προθεσμίαν ἐλθούσης αὐτῆς καὶ ἰδούσης τὸν ὅσιον, πάλιν ἐταράχθη τὸ ἐν αὐτῇ δαιμόνιον καὶ ἤρξατο κράζειν καὶ δυσφημεῖν αὐτὸν καὶ λέγειν· « ὢ βία, ἀπὸ τοῦ πορνογεννήτου τούτου, τοῦ καθ' ἡμῶν ἐνταῦθα ἐλθόντος. Εἴκοσι καὶ ὀκτὼ ἔτη ἔχω εἰς τὸ πλάσμα τοῦτο, καὶ

οὐδεὶς τῶν ἁγίων με ἐφανέρωσε, καὶ οὗτος ὁ τῆς πόρνης υἱὸς ἐπιστάς, φανερόν με πεποίηκεν, εἰς δεινήν με κόλασιν παραδιδούς· καταραθείη ἡ ἡμέρα, ἐν ᾗ ἐγεννήθης, καὶ ἡ ἐνταῦθά σε ἀγαγοῦσα!» Ὁ δὲ δοῦλος τοῦ Θεοῦ Θεόδωρος, ἐπετίμησεν αὐτῷ τῷ σημείῳ τοῦ σταυροῦ καὶ εἶπεν· «εἰ καὶ πόρνης υἱὸς ὑπάρχω, ὡς σὺ ἔφης, ἀλλ' ὅμως εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ ἐπιτάσσω σοι ἐν τῷ ὀνόματι αὐτοῦ, ἔξελθε ἐκ τοῦ πλάσματος καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτό.» Ὁ δὲ δαίμων ἔκραξε λέγων· «τὴν μὲν κέλευσίν σου ἐγὼ ποιῶ καὶ ἐξέρχομαι, αὕτη δὲ μετὰ τρεῖς ἡμέρας ἀποθνήσκει.» Εἶπε δὲ αὐτῷ ὁ μακάριος· «σὺ ἔξελθε, καὶ τὸ θέλημα τοῦ Κυρίου γενέσθω. Οὐ γὰρ ἔξεστιν ἀνθρώπῳ θεοσεβεῖ πιστεύειν ὑμῖν, φαῦλα γὰρ καὶ ψευδῆ εἰσι τὰ ῥήματα ὑμῶν.» Σπαράξας οὖν αὐτὴν ὁ δαίμων καὶ ῥίψας αὐτὴν παρὰ τοὺς πόδας αὐτοῦ, μετὰ φωνῆς μεγάλης ἐξῆλθεν. Ἐλθοῦσα δὲ εἰς ἑαυτὴν
ἡ γυνὴ εἶπεν· «ὅτι διὰ τῶν ἁγίων σου εὐχῶν, πάτερ, | ἰάσεως 238.
ἔτυχον· εἶδον γὰρ ὡς ἑρπετὸν μυσαρὸν ἐκ τοῦ στόματός μου ἐξελθόν.» Ἐπευξάμενος δὲ ἀπέλυσεν αὐτήν, παραγγείλας ἕως ἡμερῶν ἑπτὰ εἰς ἐκκλησίαν παραμεῖναι· ὁ δὲ λόγος τοῦ δαίμονος ψευδὴς διέμεινεν ἕνεκεν τοῦ τεθνάναι αὐτήν. Ὁ γὰρ κύριος αὐτῆς μεθ' ἡμέρας τινὰς ὑπέστρεψε σὺν αὐτῇ μετὰ χαρᾶς μεγάλης πρὸς τὸν ὅσιον, δοξάζων τὸν Θεόν, τὸν δόντα αὐτῷ ἐξουσίαν τοιαύτην κατὰ τῶν ἀκαθάρτων πνευμάτων.

85. Ἄλλη τις ἐλευθέρα, παραλυτική, βασταζομένη ὑπὸ τῶν παιδισκῶν αὐτῆς, παρεγένετο πρὸς αὐτόν, καὶ ἤρξατο κράζειν μετὰ πολλῶν δακρύων τοιάδε· «ἐλέησόν με, δοῦλε τοῦ Θεοῦ τοῦ ὑψίστου, (διὰ) τὸν Θεὸν τὸν δόντα σοι τὴν χάριν τῶν ἰαμάτων, ὑγιῆ με ἀπόλυσον σπλαγχνισθεὶς ἐπ' ἐμοί.» Αὐτὸς δὲ ἐκέλευσε τεθῆναι αὐτὴν χαμαί, καὶ ἐπιλαβόμενος τῇ ἀριστερᾷ χειρὶ τῆς κεφαλῆς αὐτῆς, τὴν δεξιὰν ἀνατείνας ἐπ' ἀνατολάς, ηὔχετο λέγων. «Κύριε ὁ Θεὸς ὁ τῶν ἰαμάτων χορηγός,

ὁ τῶν ἀσθενούντων ἰατρὸς, ὁ τὸν παραλυτικὸν ἰασάμενος, ἴασαι καὶ τὴν δούλην σου ταύτην, καὶ τὴν παράλυσιν φυγάδευσον ἀπ' αὐτῆς, ἵνα ὑγιὴς ἀπέλθῃ εἰς δόξαν καὶ ἔπαινον τοῦ ἁγίου ὀνόματός σου. Σφραγίσας δὲ αὐτὴν ἤγειρεν ἀλείψας ἐλαίῳ, καὶ παραχρῆμα ἤρξατο περιπατεῖν δοξάζουσα τὸν Θεόν· καὶ μεταλαβοῦσα τῶν θείων μυστηρίων τοῦ Χριστοῦ, ἀπῆλθεν ὑγιὴς πᾶσι τὸ θαῦμα διαγγέλλουσα.

86. Ἄλλος τις καπήλου υἱὸς, ὀνόματι Πέτρος, ἐπλήγη ὑπὸ δαίμονος καὶ τὴν καρδίαν κατησθίετο, συνεχόμενος ἀῤῥωστίᾳ καὶ μὴ εἰδὼς τὴν ἐνέργειαν τοῦ δαίμονος. Ὁ δὲ πατὴρ αὐτοῦ ἤνεγκεν αὐτὸν πρὸς τὸν ὅσιον καὶ παρεκάλει αὐτὸν ἐπεύξασθαι
238. αὐτῷ, ἵνα ὁ πόνος τῆς καρδίας αὐτοῦ | παύσῃ καὶ τῆς συνεχούσης ἀῤῥωστίας ἀπαλλαγῇ. Γνοὺς δὲ τὴν ἐν αὐτῷ αἰτίαν ὁ ἅγιος, εἰσήγαγεν αὐτὸν εἰς τὸ κελλίον αὐτοῦ, καὶ ἐπιστὰς τοῖς ποσὶν αὐτοῦ, ἐσφράγισε τῷ τύπῳ τοῦ σταυροῦ τὸ πρόσωπον αὐτοῦ, καὶ ἐῤῥάπιζεν αὐτὸν κατὰ τῆς καρδίας αὐτοῦ λέγων· «μὴ κατακρύπτου, ἀκάθαρτον πνεῦμα, φανερὰ γάρ σου ἡ ἐνέργεια· ὁ Κύριος Ἰησοῦς Χριστὸς ὁ τῶν κρυπτῶν γνώστης ἐπιτάσσει σοι, ἔξελθε ἀπ' αὐτοῦ.» Παραχρῆμα οὖν κινηθεὶς ὁ δαίμων, ἤρξατο κράζειν· «ἐξέρχομαι, σιδηροφάγε, καὶ οὐκ ἀντιτάσσομαί σοι· οὐ φέρω γάρ σου τὴν ἀπειλήν· οὐ φέρω τὸ πῦρ τὸ ἐκ τοῦ στόματός σου ἐξερχόμενον καὶ φλογίζον με.» Ταῦτα δὲ εἰπὼν καὶ πλείονα τούτων, ῥίψας τὸν πασχικὸν εἰς τὸ ἔδαφος παρὰ τοὺς πόδας τοῦ ἁγίου, καὶ ὀλολύξας φωνῇ μεγάλῃ ἐξῆλθεν. Εἰς ἑαυτὸν δὲ γενόμενος ὁ παῖς, προσέπεσεν αὐτῷ λέγων· «διὰ τῶν ὁσίων σου εὐχῶν, πάτερ, ἐλυτρώθην τοῦ δαίμονος· εἶδον γὰρ αὐτὸν ὡς γυναῖκα μέλαιναν ἀποκολληθεῖσαν ἀπ' ἐμοῦ, καὶ διὰ τῆς θυρίδος ἐκδιωχθεῖσαν ὑπὸ σοῦ, καὶ θρηνοῦσαν πολλὰ καὶ ὀλολύζουσαν.» Ὁ δὲ μακάριος καὶ ὅσιος Θεόδωρος ἐκέλευσεν αὐτὸν προσμεῖναι τὴν ἡμέραν ἐκείνην, καὶ τῇ ἐπαύριον παρέδωκεν αὐτὸν ὑγιᾶ τῷ πατρὶ αὐτοῦ.

87. Ναύκληρός τις, περιεργασθεὶς ὑπό τινος, ὠχλεῖτο ὑπὸ
πνεύματος ἀκαθάρτου, καὶ πόνοις καὶ τρόμοις μελῶν καὶ πολ-
λαῖς ἀφορμαῖς ἠσθένει, ὡς ἐκ τούτου καὶ εἰς πενίαν αὐτὸν ἐμ-
πεσεῖν. Οὗτος παρεγένετο πρὸς τὸν ὅσιον γονυπετῶν αὐτὸν
μετὰ δακρύων, ὅπως διὰ τῆς εὐχῆς αὐτοῦ λυτρωθῇ τῶν συνε-
χόντων αὐτὸν παθῶν. Ἐπευξάμενος δὲ αὐτῷ, εὐλόγησεν ἔλαιον
καὶ ἔδωκεν αὐτῷ ἐπὶ τὸ ἀλείφεσθαι ἐξ αὐτοῦ καὶ ἀπέλυσεν
αὐτόν· καὶ μετ' ὀλίγας ἡμέρας ἦλθε πρὸς τὸν ἅγιον ὑγιής, ἀ-
ναγγέλλων | αὐτῷ τὴν γενομένην αὐτῷ θεραπείαν καὶ προκο- 239.
πὴν ἐν τῇ εὐπραγίᾳ, καὶ χάριν καρποφορίας καὶ ὑπομνηστικοῦ
προσήγαγεν αὐτῷ τὸ ἄρμενον τοῦ πλοίου αὐτοῦ, πολλαῖς πα-
ρακλήσεσι μόλις πείσας αὐτὸν τοῦτο δέξασθαι.

88. Λουκτάτωρ τις, ἐνεργηθεὶς ὑπὸ πνεύματος ἀκαθάρτου, ἔπασχε τὴν κεφαλὴν κακῶς καὶ πάντα τὰ μέλη, καὶ παρεγένετο πρὸς αὐτὸν ἐπὶ τὸ λαβεῖν τὴν εὐχὴν αὐτοῦ. Ἐπευξάμενος δὲ αὐτῷ ὁ ὅσιος, καὶ εὐλογήσας οἶνον καὶ ἔλαιον ἔδωκεν αὐτῷ, λέγων· « ὕπαγε, τέκνον, ἐν τῷ οἴκῳ σου, καὶ ἐν τῳ ἀναπεσεῖν σε ἐπὶ τῆς κλίνης ὀψίας τοῦ καθευδῆσαι, ἄλειψαι ἐξ αὐτῶν, καὶ ὃ ἂν ἴδῃς κατ' ὄναρ ἐλθὼν ἀπαγγελεῖς μοι. » Ἀπῆλθεν οὖν ὁ ἄνθρωπος καὶ ἐποίησε καθὼς ἐνετείλατο αὐτῷ ὁ ἅγιος. Τῇ δὲ ἐπαύριον παραγενόμενος πρὸς αὐτὸν διηγήσατο αὐτῷ λέγων· « εἶδον, δέσποτά μου ἁγιώτατε, ἐν τῷ ὕπνῳ μου νεανίσκον χλαινοφόρον, ὥσπερ ἀπὸ τῆς ἁγιωσύνης σου ἐλθόντα πρός με, ὅστις ἐπελάβετο τῆς κόμης τῆς κεφαλῆς μου καὶ εἵλκυσε πρὸς ἑαυτὸν, καὶ εὐθέως ὅλος ὁ πόνος ἀνεσπάσθη ἐκ τῶν ἁρμῶν καὶ τῶν ὀστέων μου καὶ ἀπὸ πάντων τῶν μελῶν μου, καὶ διὰ τῶν τριχῶν τῆς κεφαλῆς μου ἐξῆλθεν ὥσπερ βίαιος ἄνεμος. » Ἀκούσας δὲ ταῦτα ὁ τοῦ Θεοῦ θεράπων, καὶ ἐπευξάμενος αὐτῷ εἶπεν· « ἰδοὺ νῦν διὰ τοῦ Θεοῦ ὑγιὴς γέγονας· ὁ δὲ νεανίσκος ὁ ἐν τῷ ὕπνῳ ὀφθείς σοι, ὁ τοῦ Χριστον ἔνδοξος μάρτυς Γεώργιος ἦν· » καὶ ἀπέλυσεν αὐτὸν εὐχαριστοῦντα τῷ Θεῷ.

89. Σελεντιάριός τις τῶν πρώτων, ὀνόματι Μάννας, πάθος εἶχε δεινὸν ἐν τοῖς ἔνδοθεν κρυπτὸν ἐκ διαβολικῆς ἐνεργείας. Οὗτος οὖν διαφόρως παρεγένετο πρὸς τὸν μακάριον, καὶ ἠσχύ-
239. νετο ἀναγγεῖλαι αὐτῷ τὸ συνέχον αὐτὸν πάθος. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν παραγενόμενον αὐτὸν κατὰ τὸ εἰωθὸς, ἰδιάσας αὐτὸν καταμόνας ὁ ἅγιος, εἰσήγαγεν εἰς τὸ κελλίον αὐτοῦ, καὶ χαριέντως ἔφη αὐτῷ· « πολλάκις, τέκνον, ἦλθες ἐπὶ τὸ θαῤῥῆσαί μοί τι πρᾶγμα κρυπτὸν, καὶ ἀνέκοψας ἑαυτόν· καὶ διατὶ τοῦτο ποιεῖς, ὦ τέκνον; ἁπλῶς ἐμοὶ οὐ θαῤῥεῖς ἐξειπεῖν τὸ ὄν σοι ἐν μυστηρίῳ; » Ὁ δὲ πεσὼν εἰς τοὺς πόδας αὐτοῦ ἀνέθετο αὐτῷ τὸ πᾶν, ἱκετεύων αὐτὸν μετὰ δακρύων ποιήσασθαι ὑπὲρ αὐτοῦ δέησιν πρὸς τὸν Θεὸν, ἐπὶ τὸ φυγαδεῦσαι τὸ ἐν αὐτῷ ἀκμάζον πάθος, καὶ ἵνα καταξιώσῃ παραγενέσθαι εἰς τὸν οἶκον αὐτοῦ, καὶ εὐλογήσῃ αὐτὸν καὶ τοὺς ἐνοικοῦντας πάντας. Ταξάμενος δὲ αὐτῷ ἡμέραν ἀπέλυσεν αὐτόν· καὶ μετὰ δύο ἡμέρας ἀπῆλθεν ὁ μακάριος εἰς τὸν οἶκον αὐτοῦ τοῦ σελεντιαρίου, καὶ ὑπεδέξατο αὐτὸν ὁ εἰρημένος φιλόχριστος ἀνήρ. Τῇ δὲ νυκτὶ ἐκείνῃ ἐγένετο αὐτῷ τὸ εἰωθὸς, καὶ σφοδρῶς ἐχείμασεν αὐτόν· ἔστη δὲ εἰς εὐχὴν ὁ μακάριος καὶ ἐδέετο τοῦ Θεοῦ ἐλευθερῶσαι αὐτὸν ἀπ' αὐτοῦ, καὶ ὑγιᾶ ἀποκαταστῆσαι. Καὶ τῇ αὐτῇ νυκτὶ μετὰ τὸ πληρῶσαι αὐτὸν τὸν τῆς ψαλμῳδίας κανόνα, εἶδεν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, ὀνόματι Ἰουλιανὸς, κατ' ὄναρ, ὡς ὅτι ἦν ἑστὼς ὁ μακάριος παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης, καὶ ἦλθε πρὸς αὐτὸν καὶ σελεντιάριος βαστάζων εἰς τὰς ἀγκάλας αὐτοῦ ἀγριόχηνον μέγα τρικέφαλον, κράζον πολλὰ, καὶ τοῦτο προσήγαγεν αὐτῷ· ὅπερ καὶ κρατηθὲν ὑπὸ τοῦ ὁσίου, ἐγένετο κατούδιον καὶ ἐῤῥίφη ἀπ' αὐτοῦ ἐν τῷ πελάγει τῆς θαλάσσης. Τῇ οὖν ἐπαύριον μετὰ τὸ γενέσθαι λειτουργίαν, καθεζομένων αὐτῶν ἐν τῷ ἀρίστῳ,
240. ἔλεγε τῷ σελεντιαρίῳ ὁ τοῦ Χριστοῦ θεράπων | Θεόδωρος· « θάρσει, τέκνον, καὶ δόξαζε τὸν Θεόν· πιστεύω γὰρ εἰς τὴν ἀγα-

θότητα αὐτοῦ ὅτι ἐφυγάδευσε τὸ πάθος ἀπὸ σοῦ, καὶ οὐκέτι σοι ἐνοχλεῖν ἀπὸ τῆς σήμερον ἡμέρας.» Καὶ ταῦτα λέγοντος αὐτοῦ, ὑπομνησθεὶς καὶ ὁ μαθητὴς αὐτοῦ τὸ ὀφθὲν αὐτῷ ὄναρ, διηγήσατο αὐτοῖς· καὶ ἐπευξάμενος αὐτῷ τε καὶ τῇ πιστοτάτῃ συμβίῳ αὐτοῦ καὶ πᾶσι τοῖς ἐν τῷ οἴκῳ αὐτοῦ ὁ ἅγιος ἐξῆλθεν ἀπ' αὐτοῦ. Ἀπ' ἐκείνης οὖν τῆς ὥρας οὐκ ἔτι ὑπεμνήσθη ὁ ἀνὴρ ἐκ τοῦ πάθους ἐκείνου.

90. Ποτὲ δὲ ἡ σύμβιος αὐτοῦ τοῦ σελεντιαρίου Θεοδώρα, σεμνοπρεπεστάτη καὶ φιλόχριστος οὖσα, παρεκάλει τὸν ἅγιον περὶ αὐτῆς καὶ τοῦ ἀνδρὸς αὐτῆς, γνωρίσαι αὐτῇ τὸ τίς ἐκ τῶν ἀμφοτέρων αὐτῶν προτελευτᾷ; Μετὰ πολλοῦ δὲ κόπου πεισθεὶς αὐτῇ καὶ εὐξάμενος πρὸς τὸν Θεὸν, ἐδέξατο ἀποκάλυψιν περὶ τούτου καὶ εἶπεν αὐτῇ· «ὅτι ὁ κύριός σου ὀλιγοχρόνιός ἐστι πρὸς σέ.» Ἡ δὲ μετὰ πολλῶν δακρύων καθ' ἑκάστην προσέπιπτεν αὐτῷ, ἵνα παρακαλέσῃ τὸν Θεὸν, ἐπὶ τῷ αὐτὴν ταχέως μεταστῆναι τοῦ παρόντος βίου. Ἐπικαμφθεὶς δὲ καὶ ἐπὶ τούτῳ ταῖς δεήσεσιν αὐτῆς ὁ μακάριος καὶ ὅσιος Θεόδωρος, ηὔξατο πρὸς τὸν εὐήκοον αὐτοῦ δεσπότην Χριστὸν πληρῶσαι τὸ αἴτημα αὐτῆς. Καὶ ἐκ θείας ἀποκαλύψεως πληροφορηθεὶς εἶπεν αὐτῇ· «δέδωκεν ὁ Θεὸς τὸ αἴτημά σου, σκέψαι οὖν τὰ κατὰ σεαυτήν· μετ' οὐ πολλὰς γὰρ ἡμέρας τελευτᾷς.» Ἀπολυθεῖσα δὲ μετὰ πολλῆς χαρᾶς ἐπὶ τῇ δοθείσῃ αὐτῇ ἀποκρίσει ὑπὸ τοῦ ἁγίου, διαταξαμένη καλῶς τὰ καθ' ἑαυτὴν, μετὰ τεσσαράκοντα ἡμέρας ὑπεξῆλθε τὸν ἀνθρώπινον βίον.

91. Ἄλλος τις ὀστιάριος τοῦ φιλοχρίστου Θεοδώρου, τὸ ἐπίκλην Μονοσανδάλου, | ὀνόματι Εὐτύχιος, κοιμηθεὶς ἐν ὁδῷ, ἐπλή- 240.
γη τὴν χεῖρα αὐτοῦ σὺν ὅλῳ τῷ βραχιόνι αὐτοῦ ὑπὸ δαίμομονος, καὶ εἶχεν αὐτὴν ὠγκωμένην καὶ ἐν τῷ τραχήλῳ αὐτοῦ ἀναδεδεμένην. Παρεγένετο δὲ πρὸς τὸν ἅγιον, καθὼς εἰώθει, εὐλογηθῆναι, καὶ ἐρωτηθεὶς ὑπ' αὐτοῦ δι' ἣν αἰτίαν ἀλγεῖ ἡ χεὶρ αὐτοῦ, ἀπήγγειλεν αὐτῷ· «ὅτι ἐκοιμήθην ἔν τινι τόπῳ,

δέσποτα, καὶ ἐγερθέντος μου ἐνάρκησεν ἡ χείρ μου, καὶ ἔκτοτε ἡ ὄγκωσις αὐτῆς γέγονεν.» Γυμνώσας οὖν ὁ μακάριος τὴν χεῖρα αὐτοῦ καὶ διαψηλαφῶν τὴν εὐχὴν ἐποιεῖτο· τὸ δὲ ἐνεργῆσαν δαιμόνιον, ἤρξατο ἐντρέχειν ἐν τῷ βραχίονι αὐτοῦ. Ἐσφράγισε δὲ ὁ ἅγιος τὸν ὦμον αὐτοῦ, ὅπως μὴ ἀναδράμῃ καὶ ἀφανίσῃ αὐτόν. Ἤρξατο οὖν εἱλεῖσθαι ἡ χεὶρ αὐτοῦ ὧδε κἀκεῖσε ὑπὸ τοῦ δαίμονος, καὶ αἰδούμενος ὁ ἄνθρωπος, οὐκ ἐδύνατο αὐτὴν κατασχεῖν. Ἁψαμένου δὲ αὐτοῦ τοῦ ἁγίου καὶ ἐπιτιμήσαντος τῷ πνεύματι τῷ ἀκαθάρτῳ, ἔπαυσε παραχρῆμα· καὶ λαβὼν ὁ ἄνθρωπος ἔλαιον εὐλογηθὲν ὑπ' αὐτοῦ ἐπὶ τῷ ἀλείφεσθαι αὐτὸν ἐν τρισὶν ἡμέραις ὑγιὴς ἀποκατέστη.

92. Ἄλλος τις δοῦλός τινος ἐλευθέρας, ἔπασχε κακῶς ὑπὸ δαίμονος, καὶ λαβοῦσα αὐτὸν ἡ κυρία αὐτοῦ, ἀπήγαγε πρὸς τὸν μακάριον· καὶ εὐθέως ἐκινήθη τὸ πνεῦμα καὶ ἐταράσσετο καὶ οὐκ ἤθελεν ἐξελθεῖν, ἀνυποταξίᾳ φερόμενον. Ἐπιτιμήσας δὲ αὐτῷ ὁ μακάριος, περιώρισεν αὐτὸ τῇ περιγραφῇ τῶν βημάτων αὐτοῦ καταδικάσας πρὸς τὸ ἀνενδότως τιμωρεῖσθαι εἰπών· «εὐλογητὸς Κύριος, οὐ μὴ ἐξέλθῃ τὸ πλάσμα ἐκ τοῦ οἴκου τούτου, ἕως οὗ ἀναχωρήσῃς αὐτοῦ.» Καὶ καταλιπὼν αὐ-
241. τόν, εἰσῆλθεν ἐν κελλίῳ ἐπιτελῶν | τὸν τῆς ψαλμῳδίας κανόνα. Πολλαῖς δὲ ὥραις παιδευθέντος τοῦ πασχικοῦ καὶ λοιπὸν ὀκλάσαντος, διὰ τὸ ἀκίνητον μένειν τῷ περιορισμῷ, ἤρξατο λοιπὸν ἐλεεινῇ τῇ φωνῇ κράζειν τὸ δαιμόνιον· «ἐξέρχομαι, δοῦλε τοῦ Θεοῦ· οὐ φέρω γὰρ τὴν τιμωρίαν ταύτην. Ἐλθὲ ἀπόλυσόν με, καὶ ἐξέρχομαι, μή με ἐπὶ πολὺ βασάνιζε.» Ἐξελθὼν δὲ ὁ μακάριος ἐκ τοῦ κελλίου, εἶπεν αὐτῷ· «οὐ θέλω νῦν, ἀκάθαρτον, ἵνα ἐξέλθῃς.» Ὁ δὲ δαίμων ἐβόα λέγων· «οὐαί μοι τῇ ἀθλίᾳ τῇ κακῶς εἰς σὲ ἐμπεσούσῃ! δέομαί σου λῦσόν με τοῦ περιορισμοῦ, ἀρκεῖ μοι ἡ ἕως τοῦ νῦν τιμωρία· πότε θέλεις ἐξέρχομαι.» Αὐτὸς δὲ εἶπεν αὐτῷ· «ἐν τῇ ὥρᾳ τοῦ μεσονυκτίου θέλω σε ἐξελθεῖν· λέλυσαι οὖν τῆς περγραφῆς,

καὶ δὸς νῦν τὸν νοῦν τῷ πλάσματι.» Ῥίψας οὖν αὐτὸν εἰς τοὺς πόδας αὐτοῦ ἐνέδωκεν αὐτῷ· καὶ ἐν τῇ νυκτὶ ἐκείνῃ ἐγερθέντος τοῦ ὁσίου ἐπιτελέσαι τὸν τοῦ μεσονυκτίου κανόνα, ἀναπηδήσας ὁ ἄνθρωπος ἐπειγόμενος ὑπὸ τοῦ δαίμονος, ἤρξατο πάσχειν, καὶ ἐβόα τὸ ἐν αὐτῷ δαιμόνιον· «ἐλήλυθεν ἡ ὥρα, ἔξελθε, σιδηροφάγε, ἐπίτρεψόν μοι ἀναχωρῆσαι.» Ἐξελθὼν δὲ μετὰ μίαν ὥραν ὁ τοῦ Θεοῦ δοῦλος, ἐπετίμησεν αὐτῷ ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, καὶ ἐκέλευσεν ἐξελθεῖν. Καὶ εὐθέως ῥίψας αὐτὸν ὁ δαίμων παρὰ τοὺς πόδας αὐτοῦ ἐξῆλθε, καὶ ἐγένετο ὁ δοῦλος ἐκεῖνος ὑγιὴς, ὅν περ λαβοῦσα ἡ κυρία αὐτοῦ ἀπῆλθε μετὰ χαρᾶς μεγάλης εἰς τὸν οἶκον αὐτῆς δοξάζουσα τὸν Θεόν. Γυνή τις δούλη, ἔχουσα δαιμόνιον κρυπτὸν ἔτη δεκατρία, παρεγένετο πρὸς τὸν μακάριον Θεόδωρον ἐπὶ τὸ εὐλογηθῆναι· αὐτοῦ δὲ ἐμβλέψαντος αὐστηρῶς καὶ τὴν εὐχὴν ὡς ἐπὶ δαιμονιώσης ποιοῦντος, κινηθεὶς ὁ δαίμων, παραχρῆμα ἐξῆλθε· καὶ ἐγένετο ὑγιὲς τὸ κοράσιον·

93. | Πάλιν δὲ ἐν μιᾷ παρεγένοντο τρεῖς πασχικοὶ πρὸς αὐ- 241.
τὸν, καὶ ἦσαν δεινῶς χειμαζόμενοι ἐν τῷ κελλίῳ αὐτοῦ. Κατὰ δὲ τὴν αὐτὴν ὥραν ἀπέστειλε πρὸς αὐτὸν ὁ ἁγιώτατος πατριάρχης Κυριακὸς, προτρεπόμενος αὐτὸν κατὰ τὸ εἰωθὸς παραγενέσθαι ἐγγὺς αὐτοῦ. Ὁ οὖν δοῦλος τοῦ Θεοῦ ἐπειγόμενος ἐπὶ τούτῳ, τοῖς μὲν δυσὶ πασχικοῖς ἐκέλευσεν ἔνδοσιν λαβεῖν, καὶ εὐθέως ἐῤῥάγησαν εἰς τὸ ἔδαφος ὡσεὶ νεκροὶ, τὸν δὲ ἕτερον ἀφῆκε πάσχειν δεινῶς (ἦν γὰρ ἀκαμπὴς ὁ ἐν αὐτῷ δαίμων)· ᾧ καὶ ἐμβριμησάμενος ὁ ὅσιος ἀνήρ, παρήγγειλεν αὐτῷ λέγων· «ἐπειδὴ ὁ ἁγιώτατος ἡμῶν πατριάρχης μετεστείλατό με, καὶ οὐ δύναμαι νῦν εἰς τὴν κατὰ σὲ ἀσχοληθῆναι, στῆθι ἐν τῷ τόπῳ ταύτῳ βασανιζόμενος καὶ μὴ μετακινούμενος ἕως οὗ ἐπιστρέψω.» Καὶ ταῦτα εἰπὼν παρεγένετο πρὸς τὸν ἁγιώτατον πατριάρχην, καὶ ἐποίησε παρ' αὐτῷ ὡσεὶ ὡρῶν διάστημα. Σέργιος δὲ ὁ θεοσεβέστατος διάκονος τῆς ἁ-

γιωτάτης μεγάλης ἐκκλησίας καὶ καστρίσιος τοῦ ἁγιωτάτου πατριάρχου, εἶχε θυγατέρα ἐζευγμένην ἀνδρί, καὶ τριετίας πληρωθείσης ἀπὸ τῆς συνοικήσεως αὐτῶν, ὑπῆρχον ἄτεκνοι. Παραλαβὼν δὲ αὐτοὺς ἔστησεν εἰς τὴν κατάβασιν τοῦ κοχλία τοῦ κρυπτοῦ τὴν ἐπιλεγομένην παράθυρον, καὶ ἐν τῷ ἀπολύεσθαι τὸν ὅσιον δοῦλον τοῦ Χριστοῦ Θεόδωρον ἀπὸ τοῦ πατριάρχου, παρεκάλεσε τὸν παρακολουθοῦντα αὐτῷ Ἰωάννην τὸν ὑποδιάκονον τὸν κατὰ τὸν σακκελλάριον Θωμᾶν, ἵνα δι' αὐτοῦ τοῦ κοχλία καταγάγῃ αὐτόν. Καὶ τούτου γενομένου, προσήγαγεν αὐτοὺς ἔσωθεν τῶν πυλῶν ὁ εἰρημένος διάκονος Σέργιος· καὶ
242. πεσὼν σὺν αὐτοῖς εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει | δοῦναι αὐτοῖς παιδοποιΐας βλάστημα. Αὐτὸς δὲ εἶπεν αὐτοῖς. « μὴ ἐμοί, τέκνα, ἀλλὰ τῷ Θεῷ προσέλθετε καὶ αὐτὸς ποιήσει τὸ αἴτημα ὑμῶν. » Ἔτι δὲ ἐπιμενόντων αὐτῶν ταῖς παρακλήσεσιν, ἔλαβεν ἀμφοτέρων αὐτῶν τὰς ζώνας καὶ ἔθηκεν ἔνθα καὶ ἔνθα, καὶ μέσον αὐτῶν κλίνας τὰ γόνατα ἐποίησε τὴν εὐχὴν αὐτοῖς, καὶ ἐπέδωκεν αὐτοῖς ζώσασθαι· καὶ χάριτι Χριστοῦ μετὰ ἐννέα μῆνας ἐτέχθη αὐτοῖς ἄῤῥεν παιδίον. Ἐξελθόντος δὲ τοῦ ὁσίου ἀπὸ τῆς λεγομένης παραθύρου καὶ ἀπερχομένου εἰς τὸ μητάτον αὐτοῦ ἐν τοῖς Εὐαράνης, συνῆλθεν αὐτῷ καὶ ὁ προλεχθεὶς Ἰωάννης, τοῦ ἰδεῖν, εἰ ἐφύλαξεν ὁ πασχικὸς τὸν δοθέντα αὐτῷ ὁρισμόν· ὅντινα καὶ εὗρον οὐ μόνον τὸν περιορισμὸν φυλάξαντα, ἀλλὰ καὶ ἀπὸ τῆς γῆς κρεμάμενον. Ἐβόα δὲ τὸ δαιμόνιον οὕτως· « καλῶς ἐλήλυθας κατ' ἐμοῦ, δοῦλε τοῦ Θεοῦ, μείζονα χάριν κατ' ἐμοῦ εἰληφώς· οὐκέτι σε ὑπομένω, διότι καίεις με. Ἐξέρχομαι, μὰ τὸν ὕψιστον· μόνον φεῖσαί μου. » Ὁ δὲ ὅσιος ἐμαστίγωσεν αὐτὸν κατὰ τοῦ στήθους λέγων· « ὅτι πολλάκις τοῦτο συνέθου μοι καὶ ἐψεύσω, καὶ οὐκ ἐνδίδωσί σοι. » Τὸ δέ, μεθ' ὅρκων πολλῶν συνέθετο αὐτῷ ἐν τῇ αὐτῇ νυκτὶ ἐξελθεῖν, κατὰ τὸν καιρὸν τοῦ κρούσματος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας. Λαβὼν δὲ παρ' αὐ-

τοῦ ἔνδοσιν τῆς τιμωρίας, κατὰ τὴν ὡρισμένην ὥραν τῆς νυκτὸς ἐξῆλθε τὸ δαίμονιον ἀπὸ τοῦ ἀνθρώπου. Ὁμοίως δὲ καὶ οἱ ἄλλοι δύο πασχικοὶ προσπαραμείναντες αὐτῷ τρεῖς ἡμέρας, κατὰ τὴν ὥραν τοῦ νυκτερινοῦ κανόνος, ἰάθησαν ἐκ τῶν ἀκαθάρτων πνευμάτων.

94. Καὶ μεθ' ἡμέρας τινάς, δούλη τις, ὀνόματι Θεοδώρα, ὑπάρχουσα | Θεοδώρου τοῦ θεοσεβεστάτου διακόνου τῆς παναγίας Θεοτόκου τῶν Ὀρβικίου καὶ Νοταρίου τοῦ εὐαγοῦς σακκελλαρίου, αἰφνιδίως συνεσχέθη ὑπὸ πνεύματος ἀλάλου. Ὁ δὲ εἰρημένος κύριος αὐτῆς, ἐδήλωσε τῷ θεράποντι τοῦ Θεοῦ περὶ αὐτῆς διὰ τοῦ προλεχθέντος Ἰωάννου. Κελεύσαντος οὖν ἀχθῆναι αὐτήν, λαβὼν αὐτὴν ὁ κύριος αὐτῆς, ἀνέφερεν αὐτὴν πρὸς αὐτόν. Στρεβλουμένης δὲ αὐτῆς καὶ συμπιπτούσης, ἐβάστασαν αὐτὴν οἱ σύντροφοι αὐτῆς, καὶ ἀνενέγκαντες, ἔθηκαν πρὸς τοὺς πόδας τοῦ ὁσίου Θεοδώρου, καὶ ἐν ὅλαις ἓξ ἡμέραις ἀπηλλάγη τοῦ δαίμονος ἡ κόρη διὰ τῆς εὐχῆς αὐτοῦ καὶ ἀπῆλθεν ὑγιής. 242.

95. Ἄλλο παιδίον κοράσιον ὡς ἐτῶν ὀκτώ, ἀσκητικὸν σχῆμα περιβεβλημένη, ἀπὸ τοῦ ἀσκητηρίου τῆς μεγάλης ἐκκλησίας ὑπάρχον, ἄλαλον διέμεινε τριετῆ χρόνον. Ἡ οὖν διδάσκαλος αὐτῆς ἀνήνεγκεν αὐτὴν πρὸς τὸν δοῦλον τοῦ Θεοῦ, πικρῶς ὀλολύζουσα καὶ μετὰ δακρύων αἰτοῦσα χαρίσασθαι αὐτῇ τὴν ὑγείαν. Εὐξάμενος οὖν αὐτῇ, προσέταξεν ἑκάστῃ ἡμέρᾳ παραγίνεσθαι πρωΐας τε καὶ δείλης καὶ εὐχὴν λαμβάνειν. Τούτου δὲ γενομένου, τῇ ἡμέρᾳ, ἐν ᾗ ἔμελλεν ἰᾶσθαι, προσέταξεν ἀνοῖξαι τὸ στόμα αὐτῆς, καὶ ἀψάμενος τῆς γλώσσης αὐτῆς ἐσφράγισε τῷ τύπῳ τοῦ σταυροῦ καὶ ἐνεφύσησε τρίτον, κελεύσας αὐτῇ καταπιεῖν. Καὶ εὐθέως χάριτι τοῦ Θεοῦ ἐξέφραξε καὶ ἐλάλησεν οὕτω μετὰ κραυγῆς τὸ κοράσιον· « κατέπιον, δέσποτα. » Πᾶς δὲ ὁ παρεστηκὼς ὄχλος καὶ ἑωρακὼς τοῦτο, ἐπὶ πολλὴν ὥραν ἀνέκραζον τό, Κύριε ἐλέησον. Καὶ οὕτως ἀπελύθη τὸ κοράσιον ὑγιὲς ἅμα τῇ διδασκάλῳ αὐτῆς.

96. Ἄλλη δέ τις γυνὴ, αἱμοῤῥοοῦσα δεκαετῆ χρόνον, παρε-
γένετο ἐκ πόθου πολλοῦ εὐλογηθῆναι ὑπ' αὐτοῦ, βαστάζουσα
243. καὶ | ἀλάβαστρον μύρου. Ἰδοῦσα δὲ πολὺν ὄχλον περὶ αὐτὸν,
διεσύρη κρυφίως μέσον τοῦ ὄχλου, θέλουσα ἐπιχέαι τὸ μύρον
εἰς τοὺς πόδας αὐτοῦ. Γνοὺς δὲ τοῦτο ὁ θεράπων τοῦ Θεοῦ,
ἐπισυνήγαγε τοὺς πόδας πρὸς ἑαυτὸν καὶ ἔκραξε πρὸς αὐτὴν
λέγων· « ἄφες, γύναι, τί ὑπάγεις ποιῆσαι; βαρὺ εἰς ἐμὲ ἐπε-
τήδευσας πρᾶγμα· » φοβηθεῖσα δὲ ἡ γυνὴ, ἐπανέδωκεν αὐτῷ
τὸ μύρον καὶ παρεκάλει εὔξασθαι ὑπὲρ αὐτῆς. Αὐτὸς δὲ εὐ-
ξάμενος αὐτῇ εἶπεν· « ὁ κύριος Ἰησοῦς Χριστὸς ὁ τῶν κρυ-
πτῶν γνώστης καὶ τὴν πρεσβείαν τοῦ ἁγίου μάρτυρος Γεωρ-
γίου κατὰ τὴν πίστιν σου ποιήσει καὶ πληρώσει τὸ αἴτημά
σου. » Παραχρῆμα δὲ διὰ τῆς χάριτος τοῦ Θεοῦ ἔστη ἡ ῥύσις
τοῦ αἵματος αὐτῆς. Καὶ γνοῦσα τὸ θαῦμα ἤρξατο δοξάζειν
τὸν Θεὸν καὶ ἀναγγέλλειν τοῖς πᾶσι.

97. Συνέβη δὲ τοῦ βασιλέως Μαυρικίου ἓν τῶν παιδίων πά-
θει ἀνιάτῳ περιπεσεῖν (ἦν γὰρ πολλὰ τραύματα ἐκβράσαν, ὡς
δοκεῖν αὐτὸ ἐλεφαντιᾶσαι)· ὅπερ πάθος οἱ μὲν φασι λέγεσθαι
παυλάκιν, οἱ δὲ τὴν κλεοπάτραν, ὡς καὶ πολλὰ τοὺς ἰατροὺς
ἐπιμεληθέντας, αὐτὸ μηδὲν ὠφελῆσαι. Ἀποστείλας οὖν ὁ βα-
σιλεὺς, ἔλαβε τὸν ὅσιον ἐκ τῆς πόλεως εἰς τὸ παλάτιον τὸ
εἰς τὴν Ἱέρειαν (ἐκεῖ γὰρ ἦν τὸ προκένσον, ὅπου καὶ τὸ παι-
δίον κατέκειτο)· καὶ ποιήσας αὐτῷ εὐχὴν ὁ τοῦ Θεοῦ δοῦλος,
εὐλογήσας ὕδωρ, ἤλειψεν αὐτὸ καὶ ἔδωκε τὸ ἐπίλοιπον ἐπὶ
τῷ πάλιν ἀλεῖψαι αὐτό· καὶ διὰ τῆς ὁσίας εὐχῆς αὐτοῦ ἀ-
πηλλάγη τοῦ πάθους τὸ παιδίον καὶ ὑγιὲς ἐγένετο. Καὶ προ-
τραπεὶς ὑπὸ τοῦ βασιλέως καὶ τῆς αὐγούστης καὶ ἀνακλιθεὶς
μετ' αὐτῶν, συνετάξατο αὐτοῖς ἐπευξάμενος καὶ ἐξῆλθεν ἀπ' αὐ-
243. τῶν πορευόμενος | ἐπὶ τὴν ἰδίαν πατρίδα, καὶ κατέλαβε τὸ
μοναστήριον.

98. Οἰκοδεσπότης δέ τις ἐκ τοῦ χωρίου Ἀλεκτορίας, ἔλαβε

βοῦν ἄγριον τῷ ζυγῷ μὴ ὑπεισερχόμενον, καὶ ἀγαγὼν αὐτὸν ἐπὶ τῷ μοναστηρίῳ, προσέπεσε τῷ μακαρίῳ σφραγῖσαι αὐτὸν παρακαλῶν, πρὸς τὸ τὴν ἀγριότητα ἀποδιωχθῆναι ἀπ' αὐτοῦ διὰ τῆς εὐχῆς αὐτοῦ. Καὶ ἀπερχομένου τοῦ ἁγίου πρὸς αὐτὸν, ἐποίει ὧδε κἀκεῖσε τὴν κεφαλὴν αὐτοῦ ἀγριούμενος καὶ ἀποφυσῶν. Ἐπιλαβόμενος δὲ ὁ ἅγιος τῶν κεράτων αὐτοῦ, ηὔξατο ἀπελαθῆναι τὴν ἀγριότητα ἀπ' αὐτοῦ καὶ αἴσθησιν ἡμερότητος σχεῖν, καὶ σφραγίσας αὐτὸν ἔλεγε· «σοὶ λέγω ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, παῦσαι τῆς ὀργῆς σου καὶ ὑπεισέρχου τῷ ζυγῷ ἐν ἡμερότητι, ᾧ ὥρισέ σοι ὁ Θεὸς, καὶ ὑποκλίνου τῷ δεσπότῃ σου.» Καὶ ταῦτα εἰπόντος αὐτοῦ, εὐθέως ἐπαύσατο τῆς ὀργῆς τὸ ἄλογον. Καὶ καταγαγὼν αὐτὸ ὁ ἄνθρωπος ἐκ τοῦ μοναστηρίου ἐν τῷ χωρίῳ, οὔσης ἐκεῖ τῆς ἁμάξης, ἔζευξεν αὐτὸ ἐν ταύτῃ, καὶ ἐν πολλῇ ἡμερότητι τῷ ζυγῷ ὑπεισῆλθε, καὶ ἦν ὁ ἄνθρωπος χαίρων ἐπ' αὐτῷ.

99. Ὁμοίως δὲ γυνή τις, ἔχουσα μούλαν, μηδὲ ὅλως χαλινὸν ἢ κάθισμα δεχομένην, ἀλλ' ὀρθοβολοῦσαν καὶ κακοποιοῦσαν, καὶ μηδὲ πραθῆναι δυναμένην διὰ τὴν τοιαύτην ἀνυποταξίαν, ἄγει αὐτὴν ἐν τῷ μοναστηρίῳ πρὸς τὸν μακάριον, καὶ σφραγίσας αὐτὴν ὁ ἅγιος εἶπεν· «εὐλογητὸς Κύριος, ἀπὸ τῆς ὥρας ταύτης μηκέτι ἀτάκτως ἐνεχθῇς, ἀλλὰ δέχου τόν τε χαλινὸν καὶ τὸ κάθισμα τῆς δεσποτείας σου ἐν πολλῇ ἡμερότητι· εἰς ταύτην γὰρ τὴν ὑπουργίαν ἐποίησέ σε ὁ Θεός.» Καὶ εὐθέως ἐκαθέσθη ἐπὶ τοῦ ζῴου ἡ γυνὴ, μηδόλως κινηθέντος εἰς ἀταξίαν, ἀλλ' ἐν ἡμερότητι πολλῇ | βαδίζοντος. Τοῦτο δὲ 244.
καὶ ἐπὶ ἵππων γέγονε καὶ ἐπὶ διαφόρων ἀλόγων.

100. Ἐπόθει δὲ ὁ μακάριος λείψανα τοῦ ἐνδόξου καὶ πολυάθλου μάρτυρος Γεωργίου εὑρεῖν, καὶ ἐδέετο αὐτοῦ πληρῶσαι τὸν τοιοῦτον αὐτοῦ πόθον. Ἦν δὲ ὁ ὁσιώτατος Αἰμιλιανὸς ὁ ἐπίσκοπος τῶν Γερμίων, ἔχων ἐκ τῆς ἁγίας αὐτοῦ κεφαλῆς μερίδα, καὶ τῆς χειρὸς ἕνα δάκτυλον, καὶ ἕνα τῶν ὀ-

δόντων, καὶ ἄλλην μίαν μερίδα. Ἐφάνη οὖν ὁ μάρτυς τῷ ἐπισκόπῳ, παρακελευόμενος αὐτῷ δοῦναι αὐτὰ τῷ αὐτοῦ θεράποντι Θεοδώρῳ, εἰς τὸν παρ' αὐτοῦ οἰκοδομηθέντα αὐτῷ ναόν. Ὁ δὲ ἐπίσκοπος ἀπέστειλεν ἐν τῇ μονῇ πρὸς τὸν δοῦλον τοῦ Θεοῦ, προτρεπόμενος αὐτὸν παραγενέσθαι καὶ εὔξασθαι εἰς τὸν σεβάσμιον ναὸν τοῦ Ἀρχαγγέλου, ἐπὶ τῷ καὶ ἀσπάσασθαι αὐτόν, καὶ τὰ πολυπόθητα αὐτῷ λείψανα τοῦ μάρτυρας δοῦναι· ἐπὶ ταύτῃ τοίνυν τῇ ὑποσχέσει αὐτοῦ χαρᾶς πληρωθείς, ἐξελθὼν τῆς μονῆς, παρεγένετο ἐν τῇ πόλει τῶν Γερμίων, καὶ ηὔξατο ἐν τῷ ναῷ τοῦ Ἀρχαγγέλου. Ὑπεδέξατο δὲ αὐτὸν πιστῶς ὁ ὁσιώτατος Αἰμιλιανὸς ὁ ἐπίσκοπος, καὶ ἀπήγαγεν αὐτὸν εἰς τὸ μοναστήριον τῆς Θεοτόκου τὸ ἐπιλεγόμενον Ἀλιγέτης.

101. Ἦν δὲ ἐν τῷ καιρῷ ἐκείνῳ ἀβροχία μεγάλη ἐν τῇ Πεσινουντίων μητροπόλει, καὶ ἐμαράνθησαν οἱ καρποὶ τῶν γεννημάτων. Μαθόντες δὲ οἱ τῆς αὐτῆς μητροπόλεως ὅτι παρὰ τῷ ἐπισκόπῳ Αἰμιλιανῷ ξενίζεται εἰς Ἀλιγέτην ὁ τοῦ Χριστοῦ θεράπων Θεόδωρος, ἔσπευσαν πρὸς αὐτόν, καὶ παρεγένοντο οἱ δομέστικοι αὐτῶν ἅμα κληρικοῖς καὶ ὄχλῳ ἱκανῷ εἰς τὸ προλεχθὲν μοναστήριον τῆς Θεοτόκου, ἀπέχον ἀπὸ σημείων
244. δεκαπέντε, καὶ παρακαλέσαντες | τὸν ἐπίσκοπον Αἰμιλιανόν, ἔλαβον τὸν τοῦ Χριστοῦ δοῦλον καὶ ἀπήγαγον εἰς τὴν ἰδίαν πόλιν αὐτῶν πρὸς τὸ καὶ αὐτοὺς ἑορτάσαι, καὶ διὰ τῆς εὐχῆς αὐτοῦ τὴν γῆν αὐτῶν ὑετὸν οὐρανόθεν δέξασθαι. Ἦν δὲ κῆπος ὡς ἀπὸ σημείων ἓξ τῆς πόλεως αὐτῶν· ἐν δὲ τῷ κήπῳ αὐτοῦ ἦν πλῆθος ἀκρίδων, καὶ νεοφόρων ὄντων τῶν λαχάνων, κατελυμήναντο αὐτά. Γνοὺς δὲ τὴν παρουσίαν τοῦ θεοφόρου ἀνδρὸς ὁ τοῦ κήπου κύριος, ἀνέδραμεν ἀπὸ σημείων τριῶν τοῦ κήπου αὐτοῦ εἰς συνάντησιν αὐτοῦ, καὶ προσπεσὼν αὐτῷ ἀπήγγειλε τὴν γενομένην ἐν τῷ κήπῳ αὐτοῦ ὑπὸ τῶν ἀκρίδων βλάβην. Εἶπε δὲ αὐτῷ· «ὕπαγε, τέκνον, φέρε μοι

ὕδωρ εἰς ἀγγεῖον». Ἔδραμεν οὖν ὁ ἄνθρωπος καὶ ἔλαβεν ὕ-
δωρ τοῦ παρακειμένου ποταμοῦ καὶ ἤνεγκεν αὐτῷ. Εὐλογή-
σας τοίνυν αὐτὸ ὁ τοῦ θεοῦ δοῦλος, ἔδωκεν αὐτῷ λέγων «ἄ-
πελθε καὶ ῥᾶνον αὐτὸ ἐν ταῖς τέσσαρσι γωνίαις τοῦ κήπου
σου, καὶ ἔχει σε πληροφορῆσαι ὁ Κύριος.» Ὑποστρέψας δὲ με-
τὰ σπουδῆς ὁ ἄνθρωπος εἰς τὸν κῆπον αὐτοῦ, ἐποίησεν οὕτως·
καὶ ἀνακάμψας εἰς τὸν πρότερον ῥαντισθέντα τόπον, οὐδεμίαν
εὗρεν ἀκρίδα. Πάλιν δὲ ἀνηλύσας (sic) εἰς τὴν ἑσπέραν, εὗρεν
ὁμοίως ἀφανεῖς γενομένας τὰς ἀκρίδας, καὶ πληρώσας τὰς χεῖ-
ρας αὐτοῦ ἐκ πάντων τῶν λαχάνων, ἐξῆλθε δρόμῳ καταλα-
βεῖν τὸν ὡς ἀληθῶς σημειοφόρον Θεόδωρον· ἦν δὲ ὑπαντήσασα
αὐτῷ ἡ λιτὴ τῆς πόλεως ἔξω τειχῶν ὡς ἀπὸ σημείων τριῶν.
Καὶ ἐν τῷ εἰσέρχεσθαι αὐτὸν μετὰ τῆς λιτῆς εἰς τὴν πόλιν,
φθάσας ὁ κηπουρὸς, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ καὶ προσή-
νεγκεν αὐτῷ τὰ ἐν ταῖς χερσὶν αὐτοῦ λάχανα, ἀπαγγέλλων
τὸ | γεγονὸς σημεῖον ἐπ' αὐτόν. Εἰσελθόντος οὖν αὐτοῦ ἐν τῇ 245.
πόλει ὑπήντησεν αὐτῷ ὁ μακαριώτατος Γεώργιος ὁ μητροπο-
λίτης, καὶ ὑπεδέξατο αὐτὸν χαίρων. Ὁ δὲ θεράπων τοῦ Χρι-
στοῦ Θεόδωρος, προσέταξε λιτὴν προκηρύξαι εἰς τὴν αὔριον·
Καὶ πρωΐας γενομένης, συνήχθη πᾶσα ἡ πόλις ἐν τῇ καθολι-
κῇ ἐκκλησίᾳ καὶ πρώτῃ, τῇ ἁγίᾳ Σοφίᾳ. Καὶ ἐκβαλόντες λι-
τὴν ὅτε μακάριος Θεόδωρος καὶ ὁ μητροπολίτης Γεώργιος σὺν
παντὶ τῷ λαῷ, ἀπῆλθον λιτανεύοντες ἐν τῷ σεβασμίῳ ναῷ
τῶν ἁγίων Μυριαγγέλων ἔξω τειχῶν. Καὶ ποιήσαντες ἐκεῖ τὸ
Εὐαγγέλιον, ὑπέστρεψαν πάλιν λιτανεύοντες ἐν τῇ ἁγίᾳ Σοφίᾳ.
Προτραπεὶς δὲ ὑπὸ τοῦ μητροπολίτου ὁ ἁγιώτατος ἀνὴρ, ἐ-
ποίησε τὴν ἀναφορὰν, ἅμα δεηθεὶς τοῦ φιλανθρώπου Θεοῦ κα-
ταπέμψαι ὑετὸν εἰς τὴν χώραν αὐτῶν. Μεταλαβόντων δὲ πάν-
των καὶ ἐπ' εὐωχίαν καθεσθέντων, ἐγένετο σύννεφος ὁ οὐρανὸς,
καὶ τῇ αὐτῇ ἡμέρᾳ ἔβρεξεν ὑετὸν πολὺν ἐπὶ πᾶσαν τὴν γῆν
αὐτῶν, ὥστε πηγὰς ὑδάτων συστῆναι ἐπὶ δευτέραν καὶ τρί-

τὴν ἡμέραν, καὶ τὰ ἐπὶ τὸ δυτικὸν μέρος ἀπέρατα εἶναι, ποταμοῦ κινηθέντος, καὶ πάντες χαίροντες ἐδόξαζον τὸν Θεὸν, τὸν εὐεργετοῦντα τὴν κτίσιν δι' αἰτήσεως τῶν δούλων αὐτοῦ. Οὕτως οὖν προπεμφθεὶς ὑπὸ τοῦ μητροπολίτου καὶ τῶν τῆς πόλεως ὁ ὅσιος καὶ μακάριος Θεόδωρος, ἐξελθὼν ἐκεῖθεν, παρεγένετο πρὸς τὸν ἐπίσκοπον Αἰμιλιανὸν, καὶ λαβὼν παρ' αὐτοῦ τὰ πολυπαθῆ λείψανα τοῦ ἁγίου μάρτυρος Γεωργίου, ἀσπασάμενός τε καὶ συνταξάμενος αὐτῷ, ἐν τάχει κατέλαβε τὸ ἅγιον αὐτοῦ μοναστήριον χαίρων.

245. 102. Ἐν ἐκείναις | δὲ ταῖς ἡμέραις ἦλθεν ἐν λεκτικίῳ Στέφανος ὁ ἐπίσκοπος Καδοσσίας, τῆς ὑπὸ Νικομήδειαν ἀναφερομένης· ἦν δὲ χειραλγὸς καὶ πᾶσι τοῖς μέλεσι παραλελυμένος καὶ οὐκ ἠδύνατο ἰδίαις χερσὶ τὴν τροφὴν τῷ στόματι προσαγαγεῖν, ἀλλ' ὑπὸ τῶν ἀνθρώπων αὐτοῦ τὴν πᾶσαν χρείαν διηκονεῖτο. Οὕτω διαβασταζόμενος εἰσῆλθεν ἐν (τῷ) ναῷ τοῦ Ἀρχαγγέλου, καὶ ἔπεσεν εἰς τοὺς πόδας τοῦ μακαρίου Θεοδώρου κράζων καὶ λέγων· «ἐλέησόν με, δοῦλε τοῦ θεοῦ τοῦ ὑψίστου, καὶ μετὰ πάντων κἀμὲ τῶν θαυμάτων σου κοινωνὸν ποίησον· οἶδα γὰρ ὅτι, ὅσα ἂν αἰτήσῃ τὸν θεὸν, δώσει σοι.» Μαθὼν ὁ τοῦ Χριστοῦ θεράπων ἐπίσκοπον αὐτὸν εἶναι, ἐλυπήθη ἐπὶ τῇ προσκυνήσει αὐτοῦ καὶ ἠξίωσεν αὐτὸν ἀναστῆναι· καὶ στὰς εἰς προσευχὴν ἐδεήθη τοῦ θεοῦ φυγαδεῦσαι τὰς νόσους αὐτοῦ, καὶ μετὰ τὴν εὐχὴν ἐκέλευσε τεθῆναι αὐτὸν ἐν τῷ δεξιῷ μέρει τοῦ ναοῦ τοῦ ἁγίου μάρτυρος Γεωργίου, εἰς τὸ συνάπτον εὐκτήριον τοῦ ἁγίου μάρτυρος Πλάτωνος, ὅπου καὶ ὁ κλουβὸς αὐτοῦ ἵσταται· καὶ λέγει αὐτῷ· «εὐθύμει, κυριομέγας· πιστεύω γὰρ εἰς τὴν ἀγαθότητα τοῦ θεοῦ ὅτι ἐν ταύταις ταῖς ἡμέραις λυτροῦσαι της ἀῤῥωστίας σου.» Εὐλογήσας δὲ ἔλαιον ἔδωκεν αὐτῷ χρίσασθαι ἐξ αὐτοῦ, καὶ ἐν δυσὶν ἑβδομάσιν ἀποκατέστη ὑγιὴς ὁ ἐπίσκοπος, καὶ λαβὼν τὴν αὐτοῦ εὐχὴν, ἀπῆλθεν ἐκ τοῦ μοναστηρίου περιπατῶν καὶ ἀλλόμενος καὶ αἰνῶν τὸν θεόν.

103. Ἄλλος δέ τις κληρικὸς ἐκ τῆς Ἡλιουπολιτῶν πόλεως, ὀνόματι Σολομῶν, ἐνεργηθεὶς ὑπὸ πνεύματος ἀκαθάρτου, παρεγένετο πρὸς τὸν ἁγιώτατον ἄνδρα, μετὰ γυναικὸς καὶ αὐτῆς ὁμοίως πασχούσης· καὶ λαμβάνοντες τὴν εὐχὴν αὐτοῦ καθ' ἡμέραν, ἐν βραχεῖ καιρῷ ἠλευθερώθησαν τῶν | ἀκαθάρτων 246.
πνευμάτων, ὡς ἐκ τούτου ζωγραφίαν αὐτοὺς ποιῆσαι ἐν τῷ προσευκτηρίῳ τοῦ ναοῦ τοῦ Ἀρχαγγέλου, ὅπου ἐκάθευδεν. Ἕτερος δέ τις ἄνθρωπος ἐκ τοῦ χωρίου Σαλμανίας δεινῶς ὑπὸ ἀκαθάρτου πνεύματος ἐλαυνόμενος, παρεγένετο ἐν τῷ μοναστηρίῳ, ὅντινα διὰ τὸ ἀτάκτως διαγίνεσθαι, ἐκέλευσεν ὁ ἁγιώτατος ἀνὴρ βληθῆναι εἰς τὸ ξύλον, καὶ καθ' ἑκάστην δὲ ἡμέραν παραγινόμενος ἐπηύχετο αὐτῷ. Οὕτως οὖν ἐκκαεὶς ὁ δαίμων, ἀφανὴς ἐγένετο ἀπ' αὐτοῦ, καὶ διὰ δύο ἑβδομάδων ὑγιὴς γεγονὼς ὁ ἄνθρωπος, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

104. Κατ' ἐκείνους δὲ τοὺς καιροὺς λιμοῦ μεγάλου γενομένου, ἐν ἑνὶ χρόνῳ εἰς πᾶσαν τὴν χώραν ἐκείνην, κατέφαγον πάντα τὰ βρώματα οἱ τὰ μοναστήρια οἰκοῦντες ἅμα τοῖς ξενοδοχουμένοις. Ἦσαν δὲ αἱ ἡμέραι τῆς τεσσαρακοστῆς, καὶ ἦν ἡσυχάζων ὁ μακάριος ἐν τῷ μοναστηρίῳ τῆς Θεοτόκου. Πρὸ δύο οὖν ἡμερῶν τῆς ἡμέρας τῶν Βαΐων κατῆλθεν πρὸς αὐτὸν Διονύσιος ὁ κελλαρίτης, καὶ ἀπήγγειλεν αὐτῷ· «ὅτι οὐκ ἔχομεν, φησί, σίτου διατροφήν, οὐδὲ εἰς ἡμετέραν χρείαν, οὐδὲ εἰς τὴν τοῦ ὄχλου ὑποδοχήν.» Τῇ γὰρ ἡμέρᾳ τῶν Βαΐων εἰώθει ἐξέρχεσθαι ἐκ τοῦ κελλίου αὐτοῦ, καὶ συνήγετο ὄχλος πολὺς ἐν ταῖς δυσὶν ἡμέραις. Εἶπε δὲ αὐτῷ ὁ μακάριος Θεόδωρος· «ἄπελθε εἰς τὴν ἀποθήκην καὶ τὰς τοῦ ἀλεύρου θήκας σπόγγισον, καὶ βάλε τὸ εὑρεθὲν ἐν καινῷ πινακίῳ καὶ ἔνεγκε ὧδε.» Ἐνεχθέντος δὲ αὐτοῦ, κλίνας τὴν κεφαλὴν προσηύξατο τῷ ταχινῶς ὑπακούοντι προνοητῇ Θεῷ, τὴν τῆς τροφῆς χορηγίαν τοῖς μοναστηρίοις αὐτοῦ παρασχεῖν· καὶ μετὰ τὴν εὐχὴν λέγει τῷ ἀδελφῷ· «εἴσελθε, θὲς τὸ ἄλευρον σὺν

τῷ πινακίῳ ὑπὸ τὸ θυσιαστήριον τῆς παναγίας Θεοτόκου, καὶ
246. πέμπει | ἡμῖν ὁ κύριος διατροφήν.» Καὶ τούτου γενομένου, ἐπὶ τὴν αὔριον παρεγένοντο μακρόθεν τινὲς φιλόχριστοι ἄνδρες, φέροντες αὐτῷ ἀλεύρου κυπρία τριάκοντα. Ὅταν δὲ καὶ συνέβαινε προσλεῖψαι τὸ ἥμισυ ἄλευρον ζυμῶσαι κατὰ τὸ μέτρον, εἴτε διὰ τὸ μὴ δυνηθῆναι ἀλέσαι, ἢ καὶ διὰ τὸ σίτου ὑστερεῖσθαι, αὐτὸς ὁ θεοτίμητος ἀνὴρ παραγενόμενος εἰς τὰς σκάφας, εὐλόγει τὸ ἐν αὐταῖς ζυμούμενον ἄλευρον, καὶ διὰ τῆς οσίας αὐτοῦ εὐχῆς ἐπληροῦντο αἱ σκάφαι τῆς ζύμης, ὥστε ὑπερεκχύνεσθαι αὐτάς. Τοιαύταις τοίνυν μεγάλαις καὶ θαυμασταῖς ἀναριθμήτοις ἀγαθοεργίαις καθ' ἑκάστην καθάπερ ἄνθεσι καὶ μαργαρίταις αὐτοῦ στεφανουμένου, πολλὴ δοξολογία τῷ δοτῆρι τούτων Χριστῷ ἀνεφέρετο ὑπὸ πάντων, ὡς πολλοὺς τῆς τοιαύτης πληροφορίας ἀξιωθέντας, ἀποστῆναι τῆς ὕλης τοῦ βίου καὶ τῷ μοναχικῷ ὑπεισελθεῖν ζυγῷ, οὐ μόνον ἐν ταῖς αὐτοῦ μοναστηρίοις, ἀλλὰ καὶ ἐν ἑτέροις διαφόροις τόποις, καὶ πληροῦσθαι ἐπ' αὐτῷ τὸν θεῖον καὶ εὐαγγελικὸν λόγον· «οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». (Ματθ. ε'. 15).

105. Ἐπεὶ οὖν οὗτος ὁ σημειοφόρος ἀνὴρ καὶ σωματικοῖς πάθεσι κατὰ τὸν ἀπόστολον Παῦλον ὑπέκειτο, δέον καὶ περὶ τούτου δῆλα ποιῆσαι τὰ πρὸς ἡμετέραν ὠφέλειαν, ἵνα μὴ ῥᾳθυμῶμεν οἰκτραῖς παθῶν καὶ νοσημάτων συμφοραῖς περιπίπτοντες, καὶ τὰ μάλιστα τοῦ Θεοῦ ἐν τούτοις μισθοφορίαν ταῖς ψυχαῖς ἡμῶν πραγματευομένου, αἰνιττομένου δὲ πάλιν καὶ ἀντιλέγοντος τοῖς τὰς ἀσθενείας ἐκ τοῦ σώματος αὐτῶν ἀποστῆσαι εὐχομένοις δικαίοις· ἀρκεῖ ὑμῖν, φησίν, ἡ χάρις μου· ἡ γὰρ δύναμις μου ἐν ἀσθενείᾳ τελειοῦται
247. (Κορ. ιβ'. 9). Ἵνα τοίνυν καὶ ἐπὶ τῷ | μιμητῇ τοῦ Χριστοῦ καὶ ἁγίῳ ἀνδρὶ δι' ἀσθενείας ἡ τοῦ Θεοῦ δύναμις ἐπὶ πλεῖον τε-

λειωθῇ, εἶχε τραῦμα, ὅπερ χωρίς τινος ἐπιμελείας ἐπιθεραπευόμενον, πάλιν ἐπεγίνετο, καὶ τοῖς τριχίνοις αὐτοῦ ἐνδύμασι παρατριβόμενον, ἐπεδέρετο καὶ ἐναίμασσε σφοδρῶς· τοῦτο μὲν οὖν εὐλογίαν αὐτῷ παρὰ θεοῦ δεδωρῆσθαι μέχρι τελευτῆς ἐξαιτήσεως ἔφασκεν, ἐφ' ᾧ καὶ πολὺ εὐχαρίστει.

106. Ἄλλῃ δὲ ὀμματοπονικῇ συμφορᾷ καθ' ἕκαστον χρόνον συνεχόμενος ἐπὶ ἕνα καὶ ἥμισυ μῆνα ἡμερῶν κατὰ τὸν τοῦ θέρους καιρὸν, εὐχαρίστει μὲν καὶ ἐπὶ τούτῳ τῷ πάθει ὑπερβαλλόντως, ἀλλ' εἰς τὴν τῶν ὄχλων ὑποδοχὴν οὐκ ἐπήρκει. Ταύτης οὖν ἕνεκα τῆς συμφορᾶς, θεόθεν κινηθεὶς, ἐξῆλθε πορεύεσθαι ἐπὶ τὸν ναὸν τῆς δεσποίνης ἡμῶν τῆς Θεοτόκου, τὸν ὄντα ἐν Σωζοπόλει. Ἦν γὰρ ἔκπαλαι πόθον ἔχων θεατὴς γενέσθαι τῆς θεϊκῆς δωρεᾶς τῆς ἐκεῖσε· ἔπρεπεν γὰρ αὐτὸν ἀληθῶς καὶ ὑπὸ τῆς ἐκεῖσε θεϊκῆς ἐνεργείας μαρτυρηθῆναι, καί τινας ἀπὸ κινδύνων ῥύσασθαι. Γενομένου οὖν αὐτοῦ πλησίον τῆς γεφύρας τῆς λεγομένης Ταυτκενδίας, ἀκούσας Φερεντῖνος ὁ ἐκεῖσε πάνδοξ τὴν πάροδον αὐτοῦ, ἀπέστειλεν εἰς συνάντησιν αὐτοῦ, παρακαλῶν αὐτὸν εἰσελθεῖν ἐν τῷ πανδοχείῳ καὶ εὐχὴν αὐτῷ καταλεῖψαι, ὅτι ἡμιθανὴς κατέκειτο πολὺν χρόνον, καὶ τὸ πρόσωπον αὐτοῦ ἐπὶ τὰ ὄπισθεν ἦν στρεβλωθέν. Εἰσελθὼν οὖν ὁ ὅσιος Θεόδωρος πρὸς αὐτὸν, ἐπυνθάνετο, ποίᾳ προφάσει γέγονεν οὕτως. Ὁ δὲ ἀπήγγειλεν αὐτῷ λέγων· « ἑστῶτός μου, δέσποτα, ἔξω τοῦ πανδοχείου ἦλθε κύων μέλας, καὶ στὰς ἔμπροσθέν μου, ἐχασμήσατο, ὥστε κἀμὲ αὐτὸν τῷ αὐτῷ σχήματι ἄκοντα χασμήσασθαι, καὶ εὐθέως ἀφανὴς γέγονεν ἐξ ὀφθαλμῶν μου. Πάραυτα οὖν συσχεθεὶς | πυρετοῖς, ἐγκλίνιος γέγονα 247.
καὶ τὸ πρόσωπόν μου ἐστράφη εἰς τὰ ὀπίσω, ἀλλ' εἴ τι δύνασαι, δοῦλε τοῦ θεοῦ, βοήθησόν με· καὶ γὰρ ὅτε τὰ ἄλογά μου πάντα ἀπέθνησκεν, ἀφ' οὗ τὴν εὐχὴν ἐποίησας, οὐκ ἀπέτυχεν ἓν ἐξ αὐτῶν. » Καὶ εἰπόντος αὐτοῦ ταῦτα, ἐπηύξατο αὐτῷ ὁ μακάριος καὶ ἐνεφύσησε τρίτον εἰς τὸ στόμα αὐτοῦ, καὶ εὐλο-

γήσας ὕδωρ ἔδωκεν αὐτῷ λέγων· «μεταλάμβανε καὶ ἀλείφου ἐξ αὐτοῦ· τὸ γὰρ ὀφθέν σοι καὶ ἐνεργῆσαν, δαιμόνιον ἦν· ἀλλ' ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ, ἐπανερχομένων ἡμῶν ἀπὸ τῆς εὐχῆς, εὑρίσκομέν σε ὑγιᾶ.» Καὶ ἐξελθὼν ἐκ τοῦ πανδοχείου τὴν προκειμένην αὐτῷ ὁδοιπορίαν ἐξετέλει.

107. Γενομένου δὲ αὐτοῦ ἔγγιστα τῆς πόλεως τοῦ Ἀμορίου, κατάδηλος πᾶσι γέγονεν ἡ ἐπωφελὴς παρουσία αὐτοῦ, καὶ ὑπήντησεν αὐτῷ ἡ πόλις μετὰ λιτῶν ἔξω τοῦ τείχους. Προσηνέχθη δὲ αὐτῷ καὶ παιδίον ὑπὸ τοῦ πατρὸς αὐτοῦ, ἐστραγγαλισμένον τοὺς πόδας, μηδόλως περιπατῆσαι δυνάμενον, ὅπερ, ἐπευξαμένου τοῦ ἁγίου ἀνδρὸς, εἰς ὑγείαν ἐπανῆλθε. Καὶ ἰδοὺ εἷς ἐκ τῆς αὐτῆς πόλεως ἰλλούστριος, ὀνόματι Ἰωάννης, προσήνεγκε τῷ ἁγίῳ ἀνδρὶ τὸν υἱὸν αὐτοῦ βασταζόμενον, ὄντα ὡς ἐτῶν δεκαοκτὼ (ἦν γὰρ παραλυτικὸς κατακείμενος ἐπὶ τριετῆ χρόνον), καὶ μετὰ πολλῶν δακρύων ἐδέετο αὐτοῦ λέγων· «ἐλέησον τὸν ἄθλιον καὶ ταπεινὸν τοῦτον, δοῦλε τοῦ Θεοῦ, καὶ εὖξαι πρὸς τὸν Θεὸν περὶ αὐτοῦ, ἵνα ἢ ἐκ τῆς ἀσθενείας αὐτὸν λυτρώσηται καὶ ὑγιᾶ μοι χαρίσηται, ἢ διὰ τάχους τὸ τοῦ βίου τέλος αὐτῷ ἐπαγάγῃ, ἵνα μὴ θεωρῶ αὐτὸν οὕτως ὑπὸ τῆς ἀῤῥωστίας δαπανώμενον.» Εἶπε δὲ αὐτῷ ὁ
248. ὅσιος Θεόδωρος, «ποίᾳ προφάσει περιέπεσεν οὕτως;» Ὁ δὲ, | ἀπεκρίθη αὐτῷ λέγων· «ἐξελθόντων ἡμῶν ἀμφοτέρων εἰς θήραν, περιέτυχεν ὁ ἐλεεινὸς οὗτος ἑνὶ δασύποδι, καὶ τὸ δόρυ αὐτοῦ ἐκ δευτέρου κατέπηξεν εἰς αὐτὸν, καὶ ἀπὸ τῆς ὥρας ἐκείνης ἐνέπεσεν εἰς τὴν παράλυσιν ταύτην, τριετοῦς χρόνου νῦν πληρουμένου.» Ἀκούσας δὲ ταῦτα ὁ τοῦ Χριστοῦ δοῦλος, προσέταξεν αὐτὸν ἀπενεχθῆναι ἐν τῷ οἴκῳ τοῦ φιλοχρίστου ἀνδρὸς Ἀναστασίου τοῦ ἰλλουστρίου, καὶ τεθῆναι αὐτὸν ἐν τῷ ἐκεῖσε εὐκτηρίῳ τῆς παναγίας Θεοτόκου, ἐν ᾧ ἔμελλε καταλύειν· καὶ αὐτὸς εἰσῆλθε μετὰ τῆς λιτῆς εἰς τὴν πόλιν καὶ ἐλιτάνευσεν εἰς ὅλην τὴν πόλιν. Καὶ ἀπερχομένων αὐτῶν εἰς

τὴν καθολικὴν καὶ πρώτην αὐτῶν ἐκκλησίαν, ὑπήντησεν αὐτῷ καὶ ὁ ἐκεῖσε ἐπίσκοπος (ἦν γὰρ ἀπὸ ἀῤῥωστίας δι' ἣν οὐκ ἠδυνήθη ἀπαντῆσαι αὐτῷ μετὰ πάντων)· καὶ γενομένης λειτουργίας, προσεκόμισεν ὁ ὅσιος Θεόδωρος κατὰ προτροπὴν τοῦ ἐπισκόπου, καὶ εὐλογήσας πάντα τὸν ὄχλον, καὶ συναλισθεὶς μετὰ τοῦ ἐπισκόπου, ἐξῆλθε καὶ εἰσῆλθε εἰς τὸν οἶκον τοῦ προειρημένου ἀνδρὸς Ἀναστασίου τοῦ ἰλλουστρίου, ὄντα ἔξω τοῦ τείχους. Καὶ εἰσελθὼν ἐν τῷ εὐκτηρίῳ τῆς Θεοτόκου, εὗρε τὸν παραλυτικὸν νεανίσκον κείμενον. Καὶ λαβὼν ἔλαιον ἐν ταῖς χερσὶν αὐτοῦ εὐλόγησε, καὶ ἤλειψε τὸ πρόσωπον αὐτοῦ καὶ τὰς χεῖρας, τοὺς πόδας καὶ τὰ ἄλλα πάντα τὰ παραλελυμένα μέλη τοῦ σώματος αὐτοῦ. Καὶ φωνήσας εἶπε· «σοὶ λέγω, νεανίσκε, ἐν τῷ ὀνόματι τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀνάστηθι ἀπὸ τῆς ἀῤῥωστίας σου ταύτης καὶ ἴσθι ὑγιαίνων, ἵνα μὴ ὀδυνᾶται ὁ πατήρ σου διὰ σέ.» Εὐθέως δὲ ανακεφαλίσαντος αὐτοῦ, ἔδωκεν αὐτῷ χεῖρα ὁ ἁγιώτατος | ἀνὴρ 248.
καὶ ἀνέστησεν αὐτόν, καὶ ποιήσας εὐχὴν ὑπὲρ αὐτοῦ, ἀπέδωκεν αὐτὸν ὑγιᾶ τῷ πατρὶ αὐτοῦ.

108. Καὶ ἐξελθὼν ἐκεῖθεν παρεγένετο ἐν Σωζοπόλει, καὶ μέλλοντος αὐτοῦ εἰσελθεῖν ἐν τῷ ναῷ τῆς Θεοτόκου, ἰδοὺ εἷς τις κατακείμενος ἐν παραλύσει ἀπὸ δαίμονος, ἔτη ἱκανὰ κρυπτομένου ἐν αὐτῷ τοῦ ἀκαθάρτου πνεύματος, καὶ μὴ φανερουμένου, παραχωρούσης τῆς Θεοτόκου καὶ ἀειπαρθένου τὸ τοιοῦτο θαῦμα τῷ αὐτῆς θεράποντι. Αἰφνιδίως αὐτῇ τῇ ὥρα ἀναπηδήσας ὁ παραλυτικός, ἤρξατο πάσχειν καὶ ὑπήντησεν αὐτῷ κράζων τοιάδε· «ὢ βία! τί ἦλθες ὧδε, σιδηροφάγε, μετὰ Γεωργίου τοῦ Καππάδοκος ἐπὶ ἐμῷ στηλιτευμῷ; τοσαῦτα ἔτη ἔλαθον, καὶ νῦν διὰ σοῦ φανεροῦμαι.» Πάντες δὲ οἱ θεωροῦντες ἐξεπλάγησαν. Ὁ δὲ μακάριος ἐπιτιμήσας τῷ ἀκαθάρτῳ πνεύματι τῇ τε εὐχῇ καὶ τῷ τύπῳ τοῦ σταυροῦ ἰάσατο τὸν ἄνθρωπον τόν ποτε παραλυτικόν· καὶ εἰσελθὼν ἐν τῷ σεβασμίῳ

ναῷ τῆς παναγίας παρθένου καὶ Θεοτόκου Μαρίας, ἔνθα τὸ θεοδώρητον μύρον ἐξέρχεται, ἐξεπέτασε τὰς χεῖρας αὐτοῦ καὶ ἔστη σταυροειδῶς εὐχόμενος καὶ τῇ κατέναντι αὐτοῦ παραδόξως εἰκόνι τοῦ μύρου ἐνατενίζων. Ἐνεργείᾳ δὲ θείᾳ, ὥσπερ πομφόλυξ συστραφὲν τὸ μύρον, ἐπὶ πολὺ ἐρράντισεν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ τὸ πρόσωπον αὐτοῦ ὅλον ἔχρισεν, ὡς πάντας τοὺς ἰδόντας τὴν θεϊκὴν ταύτην μαρτυρίαν λέγειν, ὅτι «ὄντως ἄξιος δοῦλός ἐστι τοῦ Θεοῦ.»

109. Μαθὼν δὲ καὶ ὁ μακαριώτατος ἐπίσκοπος Ζωΐλος τὴν ἐπιδημίαν αὐτοῦ, εὐθέως ἔλαβεν αὐτὸν εἰς τὸ ἐπισκοπεῖον καὶ ὑπεδέξατο αὐτὸν πιστῶς. Ἄχρι δὲ ἡμερῶν τεσσάρακοντα τελέσας τὴν εὐχὴν ὁ μακάριος Θεόδωρος, ἐξῆλθεν ἀπὸ Σωζοπό-
249. λεως, | καὶ ἐγγίζοντος αὐτοῦ τῇ πόλει τοῦ Ἀμορίου, ἦλθεν εἰς ἀπάντησιν αὐτοῦ περιπατοῦν καὶ ἀλλόμενον τὸ παιδίον τὸ λαβὸν τὴν εὐχὴν αὐτοῦ, ὅπερ ἦν τὸ πρότερον ἐστραγγαλισμένον, καὶ προσπεσὸν τῷ ἁγιωτάτῳ ἀνδρὶ ἀνήγγειλε τὴν δόξαν τοῦ Θεοῦ τὴν ἐπ' αὐτῷ γενομένην. Τῆς δὲ ἡμέρας εἰς ἑσπέραν κεκλικυίας, εἰσῆλθεν εἰς τὴν πόλιν καὶ κατέλυσεν ἐν τῷ οἴκῳ τοῦ φιλοχρίστου ἀνδρὸς Ἰωάννου τοῦ ἰλλουστρίου, οὗτινος τὸν υἱὸν, κατακείμενον παραλυτικὸν, διὰ τῆς εὐχῆς ἰάσατο. Πρωΐας δὲ γενομένης, ἐξελθὼν ἐκεῖθεν παρεγένετο εἰς τὴν πόλιν τῶν Γερμίων πρὸς τὸν μακαριώτατον Αἰμιλιανὸν τὸν ἐπίσκοπον· καὶ ἀπολυθεὶς παρ' αὐτοῦ, ἐξῆλθεν ἐπὶ τὸ μοναστήριον αὐτοῦ. Ἐλθόντος δὲ αὐτοῦ εἰς τὴν γέφυραν τοῦ Σαγάρεως Ταυταενδίας, ἀκούσας Φερεντῖνος ὁ πάνδοξ τὴν ἐπάνοδον αὐτοῦ, ὑπήντησεν αὐτῷ ὑγιαίνων καὶ δοξάζων τὸν Θεὸν, τὸν διὰ τῆς εὐχῆς τοῦ δούλου αὐτοῦ ἐκ τοιούτου κινδύνου αὐτὸν ῥυσάμενον, καὶ ὑπὲρ τούτου χάριν καρποφορίας προσήνεγκεν αὐτῷ ἵππον ἐκ τῆς ἀγέλης αὐτοῦ.

110. Παραγενομένου δὲ τοῦ ὁσίου καὶ ἁγίου ἀνδρὸς εἰς τὸ μοναστήριον, ἦλθον ἀπὸ τῆς μητροπόλεως Ἐφέσου δύο γυναῖ-

κες συγκλητικαὶ μετὰ λεκτικίων καὶ πολλῆς ὑπηρεσίας (ἦσαν γὰρ πάνυ τῶν ἐμφανῶν καὶ τῶν πρώτων τῆς πόλεως Ἐφέσου). Εἶχεν δὲ ἡ μία υἱὸν ὡς ἐτῶν εἴκοσι, ὀνόματι Ἀνδρέαν, καὶ ἦν ἄλαλος, ἡ δὲ ἄλλη εἶχεν θυγάτριον ὡς ἐτῶν ὀκτὼ καὶ ἦν παραλυτικόν. Αὗται οὖν προσελθοῦσαι τῷ ἁγίῳ ἀνδρὶ, ἔπεσαν εἰς τοὺς πόδας αὐτοῦ ἅμα τοῖς τέκνοις αὐτῶν καὶ πᾶσι τοῖς συνοῦσιν αὐταῖς, καὶ ἐδέοντο αὐτοῦ μετὰ φωνῆς μεγάλης καὶ | πολλῶν δα- 249.
κρύων, χαρίσασθαι τοῖς τέκνοις αὐτῶν τὴν ὑγείαν. Ὁ δὲ θεράπων τοῦ Χριστοῦ Θεόδωρος κελεύσας αὐταῖς ἀναστῆναι, ἐπηύξατο αὐταῖς καὶ προσέταξεν αὐταῖς παραμεῖναι ἡμέρας τινάς. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἐξελθὼν, κατὰ τὸ εἰωθὸς, ἐκ τῆς ψαλμῳδίας περὶ ὥραν τρίτην ἐπὶ τὸ εὐλογῆσαι τοὺς ὄχλους καὶ ἀπολῦσαι, εὗρε κείμενον τὸ παραλυτικὸν κοράσιον, καὶ ἐγγίσας ἐσφράγισεν αὐτὸ καὶ ἐπηύξατο· καὶ ἀποστὰς ἀπ᾽ αὐτοῦ εἰς τὴν εἴσοδον τοῦ θυσιαστηρίου, εὐλόγησε τοὺς ὄχλους καὶ ἐφώνησε τὸ παραλυτικὸν κοράσιον ἐλθεῖν πρὸς αὐτόν. Εὐθέως οὖν λυθὲν ἐκ τῶν δεσμῶν τοῦ διαβόλου, ἠγέρθη καὶ ἦλθε πρὸς αὐτόν· πᾶς δὲ ὁ περιεστὼς ὄχλος σὺν τῇ μητρὶ τοῦ κορασίου μετὰ δακρύων ἔδωκαν δόξαν τῷ Θεῷ ἐπὶ τῷ παραδόξῳ θαύματι· καὶ οὕτω προσελθοῦσα ἡ μήτηρ, ἔλαβε τὸ θυγάτριον αὐτῆς ὑγιὲς ἐκ τῆς χειρὸς τοῦ ἁγίου. Σφραγίσας δὲ καὶ τὸν νεανίσκον τὸν ἄλαλον ὁ μακάριος Θεόδωρος, εἶπε τῇ μητρὶ αὐτοῦ· «ὑπάγετε εἰς τοὺς οἴκους ὑμῶν· διὰ γὰρ τῆς ὁδοιπορίας καὶ οὗτος λαλήσει.» Λαβοῦσαι οὖν τὴν εὐχὴν αὐτοῦ ἀπῆλθον εἰς τὴν πόλιν αὐτῶν. Καὶ μετ᾽ ὀλίγον χρόνον παρεγένετό τις ἐκ τῆς πόλεως ἐκείνης γνωστὸς αὐτῶν, καὶ ἀπήγγειλεν ὅτι ἐλάλησεν ὁ νεανίσκος.

111. Πάλιν ὁ πρωτοπρεσβύτερος τοῦ χωρίου Σάνδου τοὔνομα Φλορέντιος, ἀνὴρ πιστὸς, εἶχε (τοῦ) ἀδελφοῦ αὐτοῦ παιδίον, καὶ ἐγένετο αὐτῷ εἰς τὸ χαλινὸν ἀνίατον πάθος τὸ καλούμενον φυγάδαινα (sic), καὶ ἤρξατο βρώσκεσθαι. Αὐτὸς οὖν λαβὼν αὐτὸ

ἐπὶ τὸ ἴδιον κτῆνος, ἐν πολλῇ σπουδῇ κατέλαβε τὸ μοναστήριον, καὶ προσελθὼν τῷ μακαρίῳ, παρεκάλει αὐτὸν μετὰ δακρύων
250. φυγαδεῦσαι | τὸ ἀνίατον πάθος ἐκ τοῦ παιδίου. Ὁ δὲ ἐπευξάμενος αὐτῷ, καὶ ψηλαφήσας τὸ βρωσκόμενον αὐτοῦ μέλος, ἐνεφύσησεν ἐκ τρίτου εἰς τὸ στόμα αὐτοῦ, καὶ εὐλογήσας ὕδωρ, ἔδωκεν, αὐτῷ ἵνα μεταλαμβάνῃ ἐξ αὐτοῦ, καὶ παραχρῆμα ἤρξατο ἐλαττοῦσθαι τὸ πάθος· καὶ ἐξελθόντων αὐτῶν τοῦ μοναστηρίου, πρὶν ἢ αὐτοὺς καταλαβεῖν τὰ ἴδια, ἀφανὲς ἐγένετο.

112. Ἐλθούσης δὲ τῆς πανδήμου λιτῆς, τῆς καθ' ἕκαστον χρόνον συνήθως παραγινομένης ἐκ πάντων τῶν πέριξ χωρίων ἐν τῷ μοναστηρίῳ μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῇ ἡμέρᾳ τοῦ Σαββάτου, καὶ πολλῶν ὄχλων καταχυθέντων, ἦν ἑστὼς πρὸ κατωφόρου ὁ τοῦ θερμοῦ λέβης ἐν ὀρυκτῷ τόπῳ ὑποκαιόμενος παρ' αὐτὴν τὴν στράταν. Γενομένης δὲ τῆς λειτουργίας, καὶ τῶν ὄχλων εὐωχηθέντων καὶ ἑτοιμαζομένων ἐξελθεῖν τοῦ μοναστηρίου, ἐξῆλθε παιδίον ἐκ τοῦ ναοῦ τοῦ ἁγίου μάρτυρος Γεωργίου καὶ ἔτρεχεν ἐπὶ τὴν ἀπόθεσιν τῶν πραγμάτων αὐτοῦ. Οὔσης δὲ τῆς ὁδοῦ αὐτοῦ ἔγγιστα τοῦ λέβητος, ἐξ ἐνεργείας τοῦ διαβόλου τρέχον ἐνέπεσεν ἐν τῷ λέβητι τοῦ θερμοῦ. Ἐπακολουθοῦντες δὲ οἱ γονεῖς αὐτοῦ καὶ δραμόντες ἐπελάβοντο τῶν ποδῶν αὐτοῦ καὶ ἐξέβαλον αὐτό· εἰσενέγκαντές τε αὐτὸ εἰς τὸν ναὸν τοῦ ἁγίου μάρτυρος Γεωργίου, ἐκεῖσε ὄντος τοῦ ὁσίου καὶ εὐλογοῦντος τὸν ὄχλον, ἔῤῥιψαν τὸ παιδίον ἡμιθανὲς εἰς τοὺς πόδας αὐτοῦ καὶ ὠλοφύροντο ἐπὶ τῇ συμβάσει αὐτῷ θανατηφόρῳ ἀνάγκῃ. Ὁ δὲ θεράπων τοῦ Κυρίου ἔθηκε τὸ παιδίον πρὸς τὸ ἅγιον θυσιαστήριον, καὶ κλίνας τὴν κεφαλὴν, ἤρξατο εὔχεσθαι ὑπὲρ αὐτοῦ· ἀλείψας δὲ αὐτὸ ἐκ
250. τοῦ ἐλαίου τῆς ἀκοιμήτου κανδήλης | διὰ τῆς τοῦ Θεοῦ χάριτος ἤγειρε, καὶ περιαγαγὼν αὐτὸ ἐκ τρίτου τὸ θυσιαστήριον κύκλῳ, ἀπέδωκε μηδόλως ἀποδαρείσης τῆς σαρκὸς αὐτοῦ.

113. Ἦν δὲ Ἀνίκητος ἡγούμενος τοῦ μοναστηρίου τοῦ ἁ-

γίου μάρτυρος Θεοδώρου τοῦ ἀπὸ Βριανίας παραγενόμενος μετὰ τῆς λιτῆς. Οὗτος οὖν ἀκούσας τὰ συμβάντα τῷ παιδίῳ καὶ ἰδὼν αὐτὸ ὑγιὲς καὶ ἀκατάφλεκτον, ἐλογίσατο ψυχρὸν εἶναι τὸ θερμὸν τοῦ λέβητος, καὶ θέλων πειράσαι τὸ θαῦμα, ἐν τῷ κατέρχεσθαι αὐτὸν τῇ αὐτῇ ὥρᾳ μετὰ τῆς λιτῆς, ἔβαλε τὴν χεῖρα αὐτοῦ ἐν τῷ θερμῷ τοῦ ἰδεῖν ἐὰν κατακαίηται ἢ οὔ· καὶ εὐθέως καταφλεχθεὶς, ἐτραυματώθη. Συνελθόντος δὲ τοῦ μακαρίου τῇ λιτῇ κάτωθεν τοῦ μοναστηρίου καὶ ἀπολύοντος τοὺς ὄχλους, προσῆλθεν αὐτῷ ὁ προλεχθεὶς Ἀνίκητος ὁ ἡγούμενος, καὶ ἐπιδείξας αὐτῷ τὴν χεῖρα, ἠξίου ἵνα σφραγίσῃ αὐτὴν, φάσκων, ὡς ὑπὸ τοῦ ἐπιδόντος τὸ θερμὸν κατακαυθείσης· πρὸς ὃν μειδιάσας ὁ ἁγιώτατος εἶπε· «πίστευσον, ἀδελφέ, σὺ ἐν τῷ λέβητι αὐτὴν ἔβαλες, ἀλλ' ὁ Κύριος ἰάσηται αὐτήν·» καὶ ποιήσαντος αὐτοῦ σφραγῖδα, ἐκουφίσθη τῆς πυρακτώσεως ὁ ἡγούμενος Ἀνίκητος καὶ ἄπονος γέγονε, καὶ ἀπήρχετο θαυμάζων ἐφ' οἷς εἶδε καὶ ἤκουσεν.

114. Ἐν τῷ χωρίῳ Σάνδου τῆς Πρωτομερίας, οἰκοδεσπότης τις, ὀνόματι Εὐτόλμιος, ἠθέλησε τὴν ἅλωνα αὐτοῦ εὐρυχωροτέραν ποιῆσαι διὰ τὸ εὐφορίαν τῶν καρπῶν αὐτῷ πολλὴν γενέσθαι καὶ διζευγίαν μὴ χωρεῖν· ἦν δὲ βουνίον ἐκεῖσε παρακείμενον, ἐν ᾧ ὑπῆρχον δαιμόνια πολλά. Περιορύγοντος οὖν αὐτοῦ καὶ ὁμαλίζοντος τὰ κύκλῳ τῆς ἅλωνος αὐτοῦ, συνέβη καὶ τὸ παρακείμενον | αὐτῷ βουνίον κατορυγῆναι, καὶ λίθον ἐξ 251.
αὐτοῦ ἐπαρθῆναι· καὶ ἐξῆλθεν ἐκεῖθεν πνεύματα ἀκάθαρτα, καὶ εἰσῆλθον εἰς τὰ ἄλογα τοῦ χωρίου καὶ ἐξηγρίαινον αὐτά· ἤρξαντο δὲ λοιπὸν καὶ εἰς τοὺς ἀνθρώπους ἐνεργεῖν. Τινῶν δὲ ἐξ αὐτῶν, ἀνδρῶν τε καὶ γυναικῶν, παιδευθέντων, ἀπέκραζον τὰ ἐν αὐτοῖς ὄντα πνεύματα διὰ τὴν τοῦ βουνίου περιορυγὴν ταῦτα αὐτοῖς τὰ δεινὰ συμβαίνειν. Ἰδόντες δὲ οἱ τοῦ χωρίου τὴν ἑαυτῶν ἀνάγκην, καὶ νομίσαντες ὅτι διὰ τὸ χρήματα αὐτὸν ἐκεῖθεν λαβεῖν τοῦτο πεποίηκε, μαθόντες δὲ καὶ

τὸν τῆς ἐπαρχίας ἄρχοντα Εὐφράνταν, ἑτοιμαζόμενον ἐπελθεῖν αὐτοῖς ἕνεκεν τούτου, ὡς αἰτία τοῦ τοιούτου ἐγκλήματος ὑποκειμένοις, ἐμάνησαν κατὰ τοῦ οἰκοδεσπότου καὶ ὥρμησαν κατακαῦσαι αὐτὸν σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς αἴτιον τῶν κακῶν αὐτοῖς γεγονότα. Διασκεδασθείσης δὲ τῆς τοιαύτης ἐπιχειρήσεως ὑπὸ τῶν ἐν αὐτοῖς τὰ πρῶτα τελούντων πρεσβευτῶν καὶ εἰρηνοποιῶν ἀνδρῶν, ἀπέστειλαν εἰς τὸ μοναστήριον παρακαλοῦντες τὸν ὅσιον καὶ δοῦλον τοῦ Χριστοῦ Θεόδωρον, ὅπως παραγένηται εἰς τὸ χωρίον καὶ λυτρώσηται αὐτοὺς τῶν ἐπελθόντων αὐτοῖς κακῶν. Ὁ δὲ μακάριος συνῆλθεν αὐτοῖς, καὶ ἐπιστὰς τῷ ὀρυχθέντι τόπῳ, εἶπεν αὐτοῖς· « πιστεύσατε, τέκνα, οὐδὲν κατὰ τὴν ὑποψίαν ὑμῶν ἐν τῷ τόπῳ τούτῳ γέγονε· πλὴν δέ, διὰ τὸ ἀκριβῶς ὑμᾶς πληροφορηθῆναι, βαθυτέραν τὴν διορυγὴν ποιήσατε. » Τούτου δὲ γενομένου, οὐδὲν ὕποπτον εὗρον τὸ σύνολον. Οὕτως οὖν πληροφορηθέντων αὐτῶν, τῇ ἐπαύριον ἐκβαλὼν λιτὴν σὺν αὐτοῖς, ἐλιτάνευσε κύκλῳ τοῦ χωρίου
251. ἐπακολουθούντων αὐτῷ καὶ τῶν παιδευομένων, | καὶ παρεγένετο εἰς τὸ παρορυχθὲν βουνίον· κλίναντος δὲ αὐτοῦ τὴν κεφαλὴν καὶ προσευχομένου, πάντα τὰ ἐκεῖθεν ἐξελθόντα πνεύματα, ἅπερ εἰς τὰ ἄλογα καὶ εἰς διαφόρους τόπους ἐνήργουν, συνήχθησαν εὐθέως εἰς τὸν τόπον ἐκεῖνον. Προσχὼν δὲ ὁ μακάριος καὶ τοῖς παιδευομένοις, ἐπετίμησε τοῖς οὖσι ἐν ἑαυτοῖς ἀκαθάρτοις πνεύμασι, καὶ τῇ ἐπικλήσει τοῦ δεσπότου Χριστοῦ ἐξέβαλεν αὐτὰ ἀπ' αὐτῶν, καὶ τῇ δυνάμει τῆς πρὸς τὸν Θεὸν εὐχῆς καὶ τῇ ἐπισκοπῇ τοῦ ἁγίου Πνεύματος κατέκλεισεν αὐτὰ ἐκεῖ. Βαλὼν δὲ καὶ τὸν ἐκβληθέντα λίθον καὶ ἐπιχώσας τὴν διωρυγήν, ἔστησεν ἐπάνω τὸν τύπον τοῦ τιμίου σταυροῦ, καὶ ἔμεινεν ἐκεῖ ἄϋπνος ὅλην τὴν νύκτα ψάλλων καὶ εὐχόμενος τῷ Θεῷ.

115. Τῇ δὲ ἐπαύριον ποιήσαντος αὐτοῦ τὴν λειτουργίαν καὶ μέλλοντος ἐξιέναι ἐπὶ τὸ μοναστήριον, παρεγένοντο ἐκεῖσε

οἱ πρῶτοι τοῦ χωρίου Περμεταΐας καὶ ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ δεόμενοι μετὰ δακρύων, ἵνα παραγένηται καὶ ἐν τῷ αὐτῶν χωρίῳ, διότι κἀκεῖ, πλακίου ἐπαρθέντος ἀπό τινος τόπου, ἐξῆλθε δαιμόνια πολλὰ καὶ ἐπαίδευσεν ἐκ τοῦ χωρίου ἓξ ἄνδρας καὶ ὀκτὼ γυναῖκας. Ἐξελθὼν οὖν ὁ μακάριος καὶ δοῦλος τοῦ Χριστοῦ Θεόδωρος, ἀπήρχετο μετ' αὐτῶν ἅμα καὶ τοῖς πρώτοις τοῦ χωρίου Σάνδου. Γενομένων δὲ αὐτῶν πλησίον τοῦ χωρίου Αἰάντων, ἐξ ἐνεργείας τῶν ἀκαθάρτων ἐκείνων δαιμόνων δι' οὓς ἀπήρχετο, συνέπεσε τὸ κτῆνος, ἐφ' ᾧ αὐτὸς ἐπεκάθητο, καὶ ἀπολισθήσας ἔπεσεν εἰς τὰ ὀπίσθια τοῦ ζῴου· οὗπερ ἀναστῆναι θέλοντος, ἔφθασαν τὰ ἐξέρχοντα ὄπισθεν δύο ξύλα τοῦ στρώματος ὑπὸ τὴν κοιλίαν αὐτοῦ καὶ παρέσφιγξαν αὐτὸν, καὶ ἐκ τῆς πολλῆς τάσεως | διέκοψαν τὰ τρίχινα αὐτοῦ ἱμάτια καὶ ἐνεπάγησαν πολὺ εἰς τὴν σάρκα αὐτοῦ. Πολλοῦ δὲ αἵματος ἐξελθόντος, λαβὼν ῥάκος λινοῦν, ἔβαλεν εἰς τὴν πληγὴν τῆς σαρκὸς αὐτοῦ, καὶ ἀνελθὼν πάλιν εἰς τὸ ὑποζύγιον, ἐπορεύετο σὺν αὐτοῖς τοῖς συμπαροῦσιν αὐτῷ, καὶ μειδιάσας εἶπεν· «ἀληθῶς, τέκνα, ἡ τοῦ Θεοῦ βοήθεια σκέπει ἡμᾶς· ἐπεὶ οἱ ἀκάθαρτοι δαίμονες προσέβαλον τοῦ ἀδικῆσαι ἡμᾶς.» Φθασάντων δὲ αὐτῶν εἰς τὸ χωρίον, ἐνόμιζον οἱ συνόντες αὐτῷ ὅτι μέλλει εἰς ἀῤῥωστίαν πίπτειν διὰ τὴν γενομένην αὐτῷ ἀφόρητον πληγὴν, αὐτὸς δὲ μᾶλλον τῇ τοῦ ἁγίου Πνεύματος χάριτι ἐνδυναμωθεὶς, ὡς ἀνδριάς τις σιδηροῦς ἔστη τὴν νύκτα ἐκείνην καὶ ἄϋπνος διετέλεσεν ἐν τῇ πρὸς τὸν Θεὸν δοξολογίᾳ. Τῇ οὖν ἐπαύριον ἐκβαλὼν λιτὴν ἐλιτάνευσε κύκλῳ τοῦ χωρίου, καὶ κελεύσας ἀποκομισθῆναι τὴν πλάκα εἰς τὸν ἴδιον τόπον, ἀπῆλθε καὶ αὐτὸς ἐκεῖ μετὰ τῆς λιτῆς, καὶ προσευξάμενος ἐπὶ βραχεῖαν καιροῦ ῥοπὴν, καὶ ἐπικαλεσάμενος τὸ τῆς ἁγίας ὁμοουσίου καὶ ζωοποιοῦ Τριάδος ὄνομα, ἐξέβαλε καὶ τὰ ἐν τοῖς ἀνθρώποις ὄντα πνεύματα, καὶ τὰ ἀποχωρήσαντα ἐκεῖθεν συνήγαγε, καὶ τῷ τόπῳ περιώρισε, μηδεμίαν βλάβην τοῦ λοιποῦ

252.

τινι παρέχοντα· εἶχε γὰρ ἐν ἑαυτῷ ἐν τούτοις συναγωνιζόμενον καὶ τὸν ἅγιον μεγαλομάρτυρα τοῦ Χριστοῦ Γεώργιον, τὸν ἐκ νηπίας ἡλικίας αὐτῷ συνεπόμενον. Σφραγίσας τοίνυν τὸν τόπον τῇ τοῦ ἁγίου σταυροῦ σημειώσει, ἐξῆλθεν ἐκεῖθεν ἅμα καὶ τοῖς συνελθοῦσιν αὐτῷ ἐκ τοῦ χωρίου Σάνδου καὶ κατέλαβε τὸ μοναστήριον· πέμψας δὲ καὶ ἐπιστολὴν πρὸς Εὐφράν-
252. ταν τὸν ἄρχοντα, ἀνεπόδισεν | αὐτὸν τῆς κατ' αὐτῶν ἐπιδρομῆς, πληροφορήσας ὅτι οὐ χρημάτων ἕνεκεν, ἀλλ' ἐξ ἐπιβουλῆς τοῦ Σατανᾶ ἡ τοῦ βουνίου περιορυγὴ γέγονε. Καὶ οὕτως ἀπέλυσε τοὺς τοῦ χωρίου Σάνδου συνελθόντας αὐτῷ οἰκοδεσπότας, ὑποστρέψαι εἰς τὰ ἴδια. Καὶ ἄλλοτε δὲ ὑπὸ πλήθους ἀκρίδων κατεσθιομένης τῆς ἀμπέλου τοῦ εἰρημένου χωρίου Σάνδου· καὶ ὑπὸ σκωλήκων καταβρωσκομένης τῆς ἀμπέλου τῶν τοῦ χωρίου Περμεταΐας, διὰ τῆς παρουσίας καὶ εὐχῆς αὐτοῦ ἐν τοῖς ἀμφοτέροις τόποις ἐνεκρώθησαν ὑφ' ἓν ἅπαντα τὰ λυμαντικά, κατὰ τόπους κείμενα, ὥσπερ σωροί, εἰς δόξαν τοῦ δεδωκότος αὐτῷ τοιαύτην χάριν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

116. Πάλιν δὲ ἐν τῷ χωρίῳ Εὐκραῶν τῆς Λαγαντινῆς ἔν τινι βουνίῳ πλησιάζοντι τῆς γῆς γεωργοῦ τῶν ἐκεῖσε, ὀνόματι Τιμοθέου, συνέβη παρ' αὐτοῦ παρορυχθῆναι τὸ τοιοῦτο βουνίον, εἴτε διὰ φιλοκαλίαν τῆς παρακειμένης καὶ διαφερούσης αὐτῷ γῆς, εἴτε δι' ἀφαίρεσιν χρημάτων, πῶς εἰπεῖν οὐκ οἶδα· ἡ μὲν γὰρ φήμη οὕτω διέδραμε διὰ χρηματικὸν πόρον τοῦτο γεγονέναι ἐκεῖθεν· τοιγαροῦν ἡ ἔνδον αὐτοῦ οἰκοῦσα πολλὴ φάλαγξ τῶν ἀκαθάρτων πνευμάτων ἐξελθοῦσα, ἐκολλήθη τοῖς ἀνθρώποις τοῦ ἐκεῖσε χωρίου καὶ ἦσαν χαλεπῶς ἐνεργούμενοι οἱ πλείονες αὐτῶν ἄνδρες σὺν γυναιξὶ καὶ τέκνοις· καὶ ἀταξίας μεγάλας καὶ κλάσματα ποιοῦντες, ὥστε καὶ τὸν κατ' ἐκεῖνο καιροῦ ἄρχοντα τῆς Ἀγκυρανῶν μητροπόλεως, Εὐφράνταν τοὔνομα, ταῦτα μεμαθηκότα, πέμψαι καὶ συλλαβεῖν τὸν εἰρημένον γεωργὸν Τιμό-
253. θεον, καὶ πολλαῖς ζημίαις αὐτὸν ὑποβαλεῖν ὡς τυμβωρυχίαν |

ἐργασάμενον· καί τινας διὰ τῶν ἐνεργουμένων ἐκ τῶν πνευμάτων διὰ τὰς γινομένας παρ' αὐτῶν ἀταξίας κατασχὼν, πληγὰς βουνεύρων γυμνῷ τῷ σώματι αὐτῶν πολλὰς ἐπήγαγεν, οἰόμενος ἐκ τούτων εἰς κατάστασιν ἄγειν. Οἱ δὲ τυπτόμενοι, ἀντὶ κλαυθμοῦ καὶ δεήσεως πρὸς τὸ τυχεῖν ἐνδόσεως, μᾶλλον ἀκρατεῖ γέλωτι συνείχοντο, πλείονας αὐτοῖς ἐπιτεθῆναι πληγὰς προτρέποντες, οἳ καὶ ἀπολυθέντες, εἰς πλείονας ἔτι μᾶλλον κακουργίας καὶ ἀταξίας ἐξεμάνησαν. Συναγόμενοι γὰρ πρῶτον μὲν τὰς Τιμοθέου, τοῦ αἰτίου τῆς τοιαύτης αὐτῶν ἐνεργείας, θημωνίας πυρὶ κατέκαυσαν, κἀκεῖνον ἐζήτουν κατασχεῖν καὶ ἀποκτεῖναι, εἰ μὴ φυγῇ ἐχρήσατο. Εἶθ' οὕτω λοιπὸν καὶ τὰς ἄλλας τοῦ χωρίου θημωνίας περιερχόμενοι κατέκαιον, εἴς τε τὰς οἰκίας πάσας τὰς ἑαυτῶν ἐπιγυρεύοντες, καὶ εἰσερχόμενοι καὶ κατεσθίοντες τὰ εὑρισκόμενα, καὶ πρεδεύοντες κατέκλων πάντα τὰ σκεύη, καὶ κατάλυσιν πολλὴν ἐποίουν ἐν ταῖς ἑαυτῶν οἰκίαις· καὶ ἐάν τινες αὐτοῖς ἐλάλουν ὡς θέλοντες αὐτοὺς διακωλύειν, συνέτριβον αὐτοὺς ταῖς πληγαῖς. Οὐ μόνον δὲ τοιαῦτα ἐν τοῖς ἀνθρώποις ἐγίνετο ἀπὸ τῆς τῶν δαιμόνων ἐνεργείας, ἀλλὰ, καὶ τὰ ἄλογα αὐτῶν τὰ μὲν ἀπέκτεινον, τὰ δὲ ἐξηγρίωσαν, ἀκατάσχετα ὄντα καὶ κλάσματα ποιοῦντα, καὶ ἐν ταῖς μεθορίαις τῆς γῆς αὐτῶν προσπαραμένοντες, πολλὴν βλάβην καὶ φαντασίαν παρεῖχον τοῖς παρατυγχάνουσι, καὶ ἦν μεγάλη συμφορὰ ἀνάγκης ἐν τῷ εἰρημένῳ χωρίῳ καὶ τῇ μεθορίᾳ αὐτοῦ. Ὀλίγοι δὲ ἀνενέργητοι ἀπομείναντες ἐκ τῶν οἰκοδεσποτῶν τοῦ χωρίου, σὺν τῷ κλήρῳ αὐτῶν παραγενόμενοι ἐν τῇ μονῇ πρὸς τὸν ὅσιον, πεσόντες κατέσχον τοὺς πόδας αὐτοῦ | πολλαῖς ὅρκων κατακρίσεσιν ἱκετεύοντες κατελεῆσαι τὸ 253.
αὐτῶν πολύοχλον χωρίον ἐν μεγάλῃ ἀνάγκῃ κατεχόμενον. Πεισθεὶς οὖν ὁ μακάριος συνῆλθεν αὐτοῖς, ᾧ καὶ ὑπήντησαν ἅπαντες οἱ τοῦ χωρίου, ὑγιεῖς τε καὶ ἐνεργούμενοι, πολλὰ τῶν ἀκαθάρτων πνευμάτων αὐτὸν δυσφημούντων. Καταντήσας δὲ εἰς

τὴν ἐκκλησίαν αὐτῶν τοῦ ἁγίου Ἀρχαγγέλου, ἐν ὕμνοις καὶ εὐχαῖς διετέλεσε πᾶσαν τὴν νύκτα, τὸν οἰκτίρμονα Θεὸν ἱκετεύων ἀπελάσαι τὴν τῶν δαιμόνων φάλαγγα, ἀπό τε τῶν ἀνθρώπων καὶ ἀλόγων καὶ πάσης αὐτῶν τῆς μεθορίας, καὶ ἐν τῷ τόπῳ, ὅθεν ἐξῆλθον, ἐκεῖ αὐτὰ πάλιν συνελάσαι καὶ κατακλεῖσαι ἅπαντα. Ἕωθεν δὲ πανδημεὶ οἱ τὸ χωρίον οἰκοῦντες ἅπαντες συνῆλθον πρὸς αὐτόν· τῶν δὲ πασχόντων ἀνεβόων τὰ ἐν αὐτοῖς πνεύματα, βίαν αὐτὰ παρ' αὐτοῦ ὑπομένειν, ὡς κατ' αὐτῶν παραγενομένου καὶ ἐντεύξεις ποιουμένου πρὸς τὸν Θεόν. Αὐτὸς δὲ ὁ θεοφόρος ἐπιτιμήσας αὐτοῖς, καὶ ἐν τῇ δοθείσῃ αὐτῷ θείᾳ χάριτι θαῤῥῶν, ὥς τισι παιδαρίοις εὐτελέσιν εἰς δουλείαν ὑποκειμένοις, οὕτως ἐμβριμησάμενος τοῖς πνεύμασι, ἐπέταττεν αὐτοῖς ἀπελθεῖν ἐν τῷ βουνίῳ, ὅθεν ἐξῆλθον, καὶ ἐκεῖσε πάλιν εἰσέρχεσθαι καὶ ἀβλαβῶς καταμένειν.

117. Αὐτὸς γὰρ ἀπὸ ἀσθενείας τότε ὀλίγος ὤν, λοιπὸν δὲ καὶ ἐκ τοῦ κόπου τῆς ἀγρυπνίας ἐν ἀνωμαλίᾳ πλείονι γενόμενος, ὄκνῳ συσχεθεὶς οὐκ ἠδυνήθη ἀπελθεῖν, ἀλλὰ προσέταξεν ἑνὶ τῶν συνόντων αὐτῷ ἀδελφῶν πρεσβυτέρῳ ὀνόματι Ἰουλιανῷ, τὸν τόπον αὐτοῦ ἀναπληρῶσαι καὶ ἐκβάλαι τὴν λιτὴν σὺν τῷ κλήρῳ, ἀπελθεῖν τε ἐν τῷ βουνῷ καὶ εἰπεῖν ἐκεῖσε τὸ ἅγιον Εὐαγγέλιον ἐπὶ τῇ τῶν πασχόντων θεραπείᾳ. Τοῦ δὲ
254. συγχωρεῖν αὐτῷ αἰτοῦντος | ὡς μηδεμιᾶς ὠφελείας γινομένης, αὐτοῦ ἐκεῖσε σὺν αὐτοῖς μὴ ἀπερχομένου, αὐτὸς ἀγανακτήσας κατ' αὐτοῦ καὶ ἐπιμεμψάμενος ὡς ἀνήκοον καὶ δύσπιστον ὄντα, κατέσπευσεν αὐτὸν ἐκβάλαι τὴν λιτὴν λέγων· « ἔχε ὑπακοήν, καὶ γίνου πιστὸς καὶ μὴ ἄπιστος, πάντως γὰρ ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἴασιν παρέχει αὐτοῖς, καὶ ἐμοῦ μὴ παρόντος. » Ἀπελθόντων οὖν αὐτῶν πάντων ἐν τῷ βουνῷ μετὰ τῆς λιτῆς καὶ λεγόντων τὸ ἅγιον Εὐαγγέλιον, αὐτὸς ὁ ὅσιος ἔμεινεν ἐν τῇ ἐκκλησίᾳ, ἱκεσίας τῷ Θεῷ ὑπὲρ τῆς αὐτῶν προσφέρων ἰάσεως, ὥστε τὰ πνεύματα τὰ περὶ τὸν βουνὸν

ἐλεγχόμενα ἐκβοᾶν τὴν ὑπ' αὐτοῦ πρὸς τὸν Θεὸν γενομένην ἔντευξιν κατ' αὐτῶν, καὶ τὴν τῶν ἐνεργούντων τῆς συνοδίας αὐτῶν πνευμάτων ἔν τε τοῖς ἀνθρώποις καὶ τοῖς ἀλόγοις ἐν τοῖς μεθορίοις ἐκείνοις ὑφ' ἓν συλλογὴν βοᾶν, ὡς ὑπ' ἀγγελικῶν δυνάμεων πάντων ἐκεῖσε συνελαυνομένων. Οὕτω γὰρ καὶ αὐτά, ἐν τῇ συμπληρώσει τοῦ Εὐαγγελίου ἅπαντα ὀδυρόμενα, ῥίψαντα τοὺς ἀνθρώπους ἐξῆλθον ἀπ' αὐτῶν καὶ εἰσῆλθον ἐν τῷ βουνίῳ ἅπαντα τῇ τοῦ Σωτῆρος ἡμῶν Θεοῦ δυνάμει διὰ τῆς εὐχῆς τοῦ ἀξίου δούλου αὐτοῦ καὶ ἀληθῶς σημειοφόρου Θεοδώρου. Καὶ ἐπιχώσαντες τὸ ὄρυγμα τοῦ βουνοῦ, οὕτως ὑπέστρεψαν μετὰ τῆς λιτῆς ἅπαντες ἐν τῇ ἐκκλησίᾳ δοξάζοντες τὸν Θεόν. Καὶ γενομένης τῆς θείας λειτουργίας, ἐν τῷ μέλλειν αὐτὸν ὁδεύειν, ἀπελθόντος καὶ ποιήσαντος εὐχὴν ἐν τῷ τόπῳ καὶ σταυρὸν στήσαντος, συνῆλθον αὐτῷ οἱ πρῶτοι τοῦ χωρίου καὶ ἀποκατέστησαν αὐτὸν ἐν τῇ μονῇ, καὶ οὐκέτι τις πονηρὰ ἐνέργεια οὔτε ἐν τῷ τόπῳ ἐκείνῳ οὔτε ἐν τοῖς ἀνθρώποις ἐκείνοις γέγονε Θεοῦ χάριτι.

118. Καὶ ἄλλοτε δέ ποτε τοιοῦτον | γέγονεν ἐν τῷ αὐτῷ 254*.
χωρίῳ. Πυάλου (*) γὰρ μαρμαρίνης ἑστώσης ἔν τινι τόπῳ τῆς ἐνορίας αὐτῶν, ἐχούσης σκηνώματα ἀρχαίων ἀνθρώπων Ἑλλήνων, ὑπὸ δαιμόνων φυλαττομένων, ἐξ ὑποβολῆς αὐτῶν ἐκείνων ἐπεισῆλθε λογισμός τισι τοῦ χωρίου οἰκοδεσπόταις, καὶ ἀπελθόντες ἤνοιξαν τὴν τοιαύτην πύαλον καὶ ἦραν τὸ σκέπασμα, ἤγουν τὸ πωμάτιον, καὶ εἰσενέγκαντες εἰς τὸ χωρίον, ἔστησαν αὐτὴν εἰς χρῆσιν ὑδρίου. Ἐκ τῆς τοιαύτης οὖν προφάσεως πάλιν ἐπαιδεύθησαν ὑπὸ δαιμόνων πολλοὶ τοῦ χωρίου, καὶ τὰ ἄλογα αὐτῶν καὶ αἱ μεθορίαι αὐτῶν ὁμοίως ἐβλάβησαν. Πάλιν οὖν ἀπελθόντες ἤγαγον τὸν τοῦ Θεοῦ θεράποντα,

(*) Πρὸ Πυάλου τὸ χειρόγραφον παρεντίθησι καὶ τὸ ἑξῆς σχόλιον· κιβωτὸς ἤτοι λάρναξ.

καὶ διὰ τῆς πρὸς τὸν Θεὸν εὐχῆς αὐτοῦ ἰάσατο πάντας τοὺς ἐνεργηθέντας ἐκ τῶν πνευμάτων τῶν ἀκαθάρτων, καὶ τὰ ἄλογα καὶ τοὺς τόπους ἠλευθέρωσε τῆς ἐξ αὐτῶν βλάβης, καὶ ἐν τῷ τόπῳ, ὅπου προϋπῆρχον, κατέδησεν αὐτά, μήτε τὸ ἐπαρθὲν πωμάτιον τῆς πυάλου συγχωρήσας ἀποδοθῆναι τοῖς πνεύμασι, καθὼς ἐπεζήτουν, αἰτούμενα ἀποδοθῆναι τῷ ἰδίῳ τόπῳ, ἀλλὰ ἀφῆκεν αὐτό, ὡς χρήσιμον ὂν εἰς τὴν τοῦ ὑδρίου ὑπουργιάν, ὅπερ μέχρι τοῦ νῦν ἐστιν ἐκεῖ εἰς σημεῖον τῶν αὐτοῦ θαυμάτων. Καὶ ἐν τοῖς ἔγγιστα δὲ χωρίοις, Βούνας καὶ Πεῶν καὶ Ὑνίας λεγομένοις, πολλοῦ πλήθους γενομένου κανθάρων ἐν ταῖς ἀρούραις αὐτῶν καὶ κατεσθιόντων τὰ γενήματα τοῦ θέρους αὐτῶν, παρακληθεὶς τότε ὑπὸ τῶν τῆς εἰρημένης τρικωμίας ἀνδρῶν, παραγένετο σὺν αὐτοῖς ἐν τῇ πεδιάδι αὐτῶν, καὶ εὐχὴν ποιήσαντος αὐτοῦ εὐθέως ἅπαν τὸ πλῆθος τῆς κανθάρου ἀνεχώρησεν ἀφανὲς γεγονός.

255. 119. | Πολλαὶ δὲ τοιαῦται θαυματουργίαι αὐτοῦ ἐν διαφόροις γεγόνασι τόποις, εἰς δόξαν τοῦ δεδωκότος αὐτῷ τὰ χαρίσματα Σωτῆρος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Πρὸ δὲ τῆς ἀναιρέσεως Μαυρικίου τοῦ βασιλέως, ὄντος αὐτοῦ ἐν μιᾷ εἰς τὸ μοναστήριον τῆς Θεοτόκου καὶ τὸν κανόνα τῆς ψαλμῳδίας αὐτοῦ ἐκτελοῦντος ἐν τῷ νεοκτίστῳ ἁγιάσματι, ἐσβέσθη ἡ ἀκοίμητος κανδήλα. Αὐτὸς οὖν ἑνὶ τῶν ἀδελφῶν διανεύσας, ἁφθῆναι αὐτὴν ἐποίησε, καὶ εὐθέως ἐσβέσθη· πάλιν δὲ ὁ ἀδελφὸς προσελθὼν μετὰ προσευχῆς πολλῆς ἧψεν αὐτήν, καὶ πάραυτα ἐσβέσθη. Ἐπιμεμφόμενος δὲ αὐτῷ ὁ μακάριος, ὡς ἀπείρως πεποιηκότι, προσήγγισεν αὐτὸς καὶ ἧψεν αὐτήν· καὶ μεταστάντος αὐτοῦ, ὁμοίως πάλιν ἐκοιμήθη. Τότε συναγαγὼν τοὺς ἐκεῖσε ὄντας ἀδελφούς, μετὰ πολλῆς αὐστηρότητος διελέγετο οὕτως· « πιστεύσατε, ἀδελφοί, οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τὸ σημεῖον τοῦτο γέγονε. Βλέπετε οὖν ἑαυτοὺς τί διεπράξασθε, καὶ ἐνώπιον τοῦ Θεοῦ τὸ ἁμάρτημα ὑμῶν ἐξομολογήσασθε· ἂν γὰρ ὑμεῖς κρύ-

ψαι θέλητε, ὁ Κύριος φανερὸν αὐτὸ ποιῆσαι βούλεται.» Ἐπὶ
τούτοις δὲ τῶν ἀδελφῶν μηδὲν ἑαυτοῖς συγγινώσκειν φασκόν-
των, ἔστη αὐτὸς εἰς προσευχὴν δεόμενος τοῦ Θεοῦ φανερῶσαι
αὐτῷ τὴν τοῦ γεγονότος σημείου αἰτίαν. Δεξάμενος οὖν θεό-
θεν ἀποκάλυψιν καὶ κατάστυγνος γενόμενος, ἐστέναξε καὶ
εἶπεν· «ἀληθῶς ἠρίθμησας τὴν τῶν ἀνθρώπων φύσιν, μακάριε
Ἠσαΐα, ὅτι πᾶς, φησίν, ἄνθρωπος χόρτος, καὶ πᾶσα
δοξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ
χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε (Μ΄. 7),» καὶ εἰπόν-
τος αὐτοῦ ταῦτα, προσελθόντες αὐτῷ οἱ ἀδελφοὶ ἠξίουν μα-
θεῖν τὸ ἀποκαλυφθὲν αὐτῷ. Διαστειλάμενος δὲ αὐτοῖς | μηδενὶ 255.
τοῦτο εἰπεῖν, ἐξήγγειλεν αὐτοῖς περὶ τοῦ βασιλέως Μαυρικίου
οἵῳ θανάτῳ ἔμελλεν ἀποθνήσκειν. Τῶν δὲ εἰπόντων· «δικαίως
τοῦτο πάσχειν διὰ τὸ κακῶς αὐτὸν διαπράττεσθαι εἰς τὰ πολ-
λά, μάλιστα εἰς τὰ γινόμενα.» Αὐτὸς ἀπεκρίθη αὐτοῖς· «ὅτι
οὗτος, τέκνα, μετ' ὀλίγον μεθίσταται, καὶ μετ' αὐτὸν γενήσονται
χείρονα, ἅπερ ἡ γενεὰ αὕτη οὐ προσδοκᾷ.»

120. Καὶ μετ' οὐ πολλὰς ἡμέρας ἀνῃρέθη Μαύρικιος ὁ βασιλεύς, κρατήσαντος Φωκᾶ τῆς βασιλείας. Δομνιτζιόλου δὲ τοῦ ἀνεψιοῦ αὐτοῦ πατρικίου καὶ κουροπαλάτου γενομένου, καὶ ἀποσταλέντος ὑπὸ τοῦ βασιλέως ἐπὶ τὴν ἀνατολήν, ἐπὶ τὸ λαβεῖν τὸν στρατὸν καὶ ἀντιπαρατάξασθαι τῷ τῶν Περσῶν ἔθνει, ἐπιβαίνοντι καὶ προεδρεύοντι τὰς ἡμετέρας χώρας, ἐλθόντος τοῦ προειρημένου πανευφήμου ἀνδρὸς μέχρι τῆς Ἡλιουπόλεως, καὶ μαθόντος περὶ τῆς τῶν Λαζῶν μέχρι Καππαδοκίας ἐπιδρομῆς, καὶ τῆς τοῦ πατρικίου Σεργίου τοῦ πατροιοῦ τοῦ βασιλέως γενομένης ἐπ' αὐτὸν ἀναιρέσεως, ἐν πολλῇ λύπῃ καὶ φόβῳ ἐγένετο, μὴ τολμῶν τὴν προκειμένην ὁδὸν διανύσαι. Μαθὼν δὲ τὰ περὶ τοῦ θεράποντος τοῦ Θεοῦ, ἦλθεν ἕως αὐτοῦ ἐν τῷ μοναστηρίῳ, καὶ πεσὼν εἰς τοὺς πόδας αὐτοῦ παρεκάλει εὐχήν τε καὶ βουλὴν ἀγαθὴν δοῦναι αὐτῷ διὰ τὸ ἐν ἀπορίᾳ

αὐτὸν ὄντα μὴ εἰδέναι τί ὤφειλε πρᾶξαι, ἀπαγγείλας αὐτῷ τά τε ὑπὸ τοῦ βασιλέως αὐτῷ ἐγκελευσθέντα, καὶ ὡς παρέμποδον αὐτῷ τὴν τῶν Λαζῶν ἐπιδρομὴν γενομένην· πρὸς ὃν ὁ τοῦ Χριστοῦ δοῦλος εἶπεν· « ὕπαγε, τέκνον, ἐν τῷ ὀνόματι τοῦ Θεοῦ ὀρθῶς τὴν ὁδόν σου· οὐδένα γὰρ φόβον ἢ κώλυμα ἔχεις ἀπ' αὐτῶν, ἀλλὰ μετὰ καλοῦ ἀπέρχῃ εἰς τὸν στρατόν σου. Πλὴν
256. | ἐν τῇ κατὰ Περσῶν παρατάξει δάτον ἔχει συμβῆναι, καὶ μεγάλου πειρασμοῦ καὶ ἀγῶνος μέλλεις πειράζεσθαι, ἀλλὰ παρατίθημί σε τῷ Θεῷ καὶ τῷ ἁγίῳ αὐτοῦ μάρτυρι Γεωργίῳ τοῦ ἀκίνδυνον φυλαχθῆναι. Ὅταν δὲ συμβῇ σοι ἡ τοιαύτη περίστασις, μνημονεύσεις τῆς εὐχῆς ταύτης, καὶ ὁ Θεὸς ἐξελεῖταί σε τοῦ τοιούτου κινδύνου. » Ταῦτα δὲ αὐτοῦ εἰρηκότος, καὶ ἕτερα συμβαίνειν μέλλοντα, ἐπευξάμενος αὐτῷ, ἀπέλυσε πορεύεσθαι. Καὶ κατὰ τὸν λόγον αὐτοῦ ἀνεμποδίστως ὥδευσε τὴν ὁδὸν αὐτοῦ θείᾳ χάριτι ὑποχωρησάντων τῶν Λαζῶν, καὶ περὶ πάντων, ὧν εἶπεν αὐτῷ, οὕτως εὗρεν αὐτῷ συμβάντα· καὶ ἐν τῷ κατὰ Περσῶν δὲ πολέμῳ ἔνεδρον ὑπομείνας, καὶ πολλῆς κοπῆς ἐν τῷ στρατῷ γενομένης καὶ αὐτὸς εἰς ἀνάγκην μεγάλην ἐλθὼν καὶ ἀναμνημονεύσας τῶν προῤῥηθέντων αὐτῷ ἐκ τοῦ θεοφόρου ἀνδρὸς, τὰς αὐτοῦ εὐχὰς φθάσαι εἰς βοήθειαν αὐτοῦ ἐπεκαλεῖτο, καὶ εἰσῆλθε πεζὸς εἰς καλαμεῶνα κατακρυπτόμενος, καὶ τυχὼν τῆς ἐκ Θεοῦ βοηθείας, διεσώθη ἐκ τοῦ κινδύνου, ἐξελθὼν ἐπὶ τὰ Ῥωμαίων, καὶ περισυνάξας τὸν στρατόν. Ἐν τῷ οὖν ἐπαναλύειν (sic) αὐτὸν πρὸς τὸν βασιλέα, ἐλθὼν πρὸς τὸν μακάριον καὶ πολλῇ πίστει τοῖς ποσὶν αὐτοῦ προσκυλινδούμενος, ἀπεδίδου τὴν εὐχαριστίαν τῷ Θεῷ καὶ ταῖς αὐτοῦ εὐχαῖς, ὡς ἀπὸ μεγάλων κινδύνων λυτρωσάμενον αὐτὸν, ἐξομολογούμενος πάντα τὰ ὑπ' αὐτοῦ προῤῥηθέντα αὐτῷ οὕτω καὶ συμβῆναι. Οὕτως οὖν λαβὼν τὰς εὐχὰς αὐτοῦ ὁ εἰρημένος ἔνδοξος ἀνὴρ, καὶ ἑορτῆς ἡμέραν ἐπιτελέσας, ἐπὶ τὴν βασιλίδα πόλιν ἐπορεύθη, καὶ πολὺν πόθον καὶ πίστιν ἔκτοτε ἔσχεν εἰς

τὸν | δοῦλον τοῦ Θεοῦ καὶ εἰς τὸν τῆς μονῆς αὐτοῦ σεβάσμιον 256.
τόπον, καὶ ἀεὶ ἐν τῷ διέρχεσθαι αὐτὸν διὰ τοῦ δρόμου ἐπὶ τὴν Πόλιν ἀπὸ τῆς ἀνατολῆς, πεζὸς ἀνήρχετο εἰς τὴν μονὴν πρὸς αὐτὸν, καὶ ἔῤῥιπτεν ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ καὶ πολλὴν καρποφορίαν ἐδίδου ἐν τοῖς τῆς μονῆς εὐκτηρίοις, ὡς ἐξ αὐτῆς γενέσθαι τῶν μολυβδίνων κεράμων τοῦ ναοῦ τοῦ ἁγίου μάρτυρος Γεωργίου, καὶ κειμηλίων διαφόρων κατασκευὴν, καὶ διάδοσιν ἐν τοῖς εὑρισκομένοις πτωχοῖς πολλὴν ἐποιεῖτο, καὶ τοῖς προέλευσιν αὐτῷ κεχρημένοις τὸν ἱκανὸν παραυτα ἐποίει διὰ τὴν πρὸς τὸν ὅσιον εὐλάβειαν.

121. Παρεγένετο δέ τις ἀσηκρῆτις ἀπὸ τῆς βασιλίδος πόλεως τοὔνομα Φωκᾶς, ἔχων πάθος δεινὸν ἐν τοῖς ἐγκάτοις, ὥστε αἷμα πολὺ φέρειν αὐτὸν διὰ στόματός τε καὶ γαστρὸς ἑκάστοτε, ἄχροόν τε καὶ ἀδύναμον ὄντα κατακεῖσθαι. Εὑρὼν δὲ τὸν ὅσιον ἐν τῷ μοναστηρίῳ τῆς παναγίας Θεοτόκου, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, παρακαλῶν αὐτὸν δεηθῆναι τοῦ Θεοῦ καὶ τῆς συνεχούσης αὐτὸν ἀνάγκης λυτρώσασθαι· πολλῶν γὰρ ἰατρῶν ἔφασκεν ἐπιμελείας ὑπομεμενηκέναι καὶ μηδὲν ὠφεληθῆναι· προσέταξε δὲ αὐτὸν μεῖναι ἐν τῷ εὐκτηρίῳ οἴκῳ τῆς παναγίας Θεοτόκου, καὶ τῇ ἕωθεν λέγει αὐτῷ· «ἄρτι, τέκνον, ὅδευσον εἰς εἰρήνην.» Ὁ δὲ ἤρξατο μετὰ κλαυθμοῦ λέγειν αὐτῷ· «καὶ οὕτω με σὺν τῷ πάθει ἀπολύεις, πάτερ, τοσαύτην ὁδοιπορίαν διανύσαντα; πάντες δὲ οἱ ἐρχόμενοι ἀσθενοῦντες ὑγιεῖς ἀπολύονται, καὶ εἰς ἐμὲ τὸν ἄθλιον ὤκνησας; ἀληθῶς οὐ μὴ ἐξέλθω τῶν ἐνταῦθα, ἕως οὗ κἀγὼ τοῦ πάθους μου ἀπαλλαγῶ.» Λέγει αὐτῷ ὁ | μακάριος· «ἔχε ὑπακοὴν, τέκνον, 257.
καὶ πιστεύσας πορεύου· ἡ γὰρ εὐχή σου προσεδέχθη, καὶ πορευομένου σου οὐ μακρὰν, τὴν τελείαν ἴασιν τοῦ πάθους ἐπιγνώσῃ· εἰ δὲ παρακούσῃς μου, ἐὰν τὸν ἅπαντα χρόνον τῆς ζωῆς σου μείνῃς ἐνταῦθα, οὐδὲν ἐκ τούτου ὠφεληθήσῃ.» Ὁ δὲ ταῦτα ἀκούσας καὶ λαβὼν κηροὺς καὶ ἄψας, μετὰ πολλῶν δα-

κρύων ἐβόα· «ἴδε διώκεις με, δοῦλε τοῦ Θεοῦ, ὡς ὄντα ἀνάξιον τῆς παραμονῆς καὶ ἰάσεως· ἴδε, κατὰ τὴν κέλευσίν σου ἀπέρχομαι, ἀλλ' οὕτω μου κατὰ τὸν λόγον σου εὖξαι γενέσθαι τὸν Θεὸν, ὃν ἀξίως λατρεύεις, ἵνα ὑγιὴς οἴκαδε ὑποστρέψω.» Καὶ λέγει αὐτῷ ὁ ὅσιος· «πορεύου, τέκνον, ἀδιστάκτως, πιστεύω γὰρ τῷ Θεῷ ὅτι ταχὺ ποιεῖ τὸ ἔλεος αὐτοῦ μετὰ σοῦ.» Ἐξελθὼν οὖν ὁ εἰρημένος ἀνὴρ καὶ διερχόμενος τὴν πλησίον γέφυραν τοῦ Σιβέρεως ποταμοῦ, κατῆλθεν ἐκ τοῦ λεκτικίου, τῆς ἀναγκαίας αὐτὸν κατεπειγούσης χρείας, καὶ ὥσπερ οἱ ἀπὸ καθαρσίου καθαιρόμενοι, οὕτω κένωσιν πολλὴν δυσώδη ὑπέμεινε, τοῦ πάθους κάτωθεν ῥήξαντος, καὶ ἀπηλλάγη τοῦ πόνου Θεοῦ χάριτι ὑγιὴς γενόμενος· καὶ ἀποῤῥίψας ἐν τῷ αὐτῷ τόπῳ τὴν ἀνάγκην ἐκείνην, ἀπέστειλε πρὸς τὸν δοῦλον τοῦ Θεοῦ ἀναγγέλλων αὐτῷ τὴν τῆς ἰάσεως δωρεὰν, καὶ τοῦ κελεῦσαι αὐτῷ ὑποστρέψαι πρὸς αὐτὸν πρὸς τὸ τῷ Θεῷ εὐχαριστῆσαι. Αὐτὸς δὲ ἐδήλωσεν αὐτῷ λέγων· «πορεύου ἐν εἰρήνῃ τὴν ὁδόν σου, καὶ κατὰ διάνοιάν σου δόξαζε τὸν Θεόν.» Καὶ οὕτως ἐπορεύθη καταλαβὼν τὴν βασιλίδα.

122. Ἄλλος τις κληρικὸς, οἰκονόμος γενόμενος μιᾶς τῶν περὶ Σεβάστειαν πόλεως, πηρωθεὶς τὰς ὄψεις, ἦλθεν ἐν τῇ μονῇ, καὶ μαθὼν περὶ τοῦ ὁσίου ὅτι ἐν τῷ κάτωθεν μοναστηρίῳ τῆς
257. παναγίας Θεοτόκου ἐστὶν, ὁδηγούμενος ὑπὸ | τῶν συνόντων αὐτῷ κατήρχετο συρόμενος εἰς τὴν γῆν ἐπὶ πρόσωπον, μετὰ δακρύων εὐχόμενος. Ὁ δὲ ὅσιος ποιῶν τὸν κανόνα τῆς ψαλμῳδίας ἐν τῷ χειμωνικῷ εὐκτηρίῳ τῆς παναγίας Θεοτόκου, ἐπέσκεψεν αὐτὸν διὰ τῶν θυρίδων συρόμενον ἐν τῷ καταφόρῳ καὶ λέγει τοῖς συνοῦσιν αὐτῷ ἀδελφοῖς· «ἐκεῖνος ὁ ἄνθρωπος δι' ὃ ἦλθεν, ἐπέτυχε· πίστει γὰρ ἦλθε καὶ ἡ πίστις ἀεὶ πολλὰ ἀνύει.» Εἰσελθόντος δὲ αὐτοῦ πρὸς τοὺς πόδας τοῦ μακαρίου καὶ αἰτοῦντος μετὰ δακρύων τὴν ἀνάβλεψιν, εἶπεν αὐτῷ· «πάντως κατὰ τὴν πίστιν σου ὁ Θεὸς παράσχει σοι τὸ αἴτημά σου·

ποιήσατε δὲ δύο ἡμέρας καὶ ἀναψύξατε ἐκ τοῦ κόπου τῆς ὁδοιπορίας, καὶ εἶθ' οὕτως ὑπάγετε.» Τῇ δὲ τρίτῃ ἡμέρᾳ ἐπευξάμενος αὐτῷ, προσέταξεν ὁδεύειν. Ὁ δὲ ἤρξατο μετὰ οἴκτου πολλοῦ καὶ δακρύων λέγειν αὐτῷ· «μή με οὕτω πεπηρωμένον ἀποπέμψῃς, πανάγιε, τὸν Θεὸν τὸν δεδωκότα σοι χάριν τῶν ἰαμάτων, μὴ δειχθῇ τοῖς τῆς ἐμῆς πατρίδος ἡ ἐμὴ αἴτησις καὶ ὁ κόπος ἀνόνητος, καὶ ἡ σὴ ἁγία εὐχὴ ἀνενέργητος φανῇ δι' ἐμὲ τὸν ἁμαρτωλόν.» Τοιαῦτα καὶ ἄλλα πολλὰ αὐτοῦ ἀναβοῶντος, λέγει αὐτῷ ὁ μακάριος· «ἐπ' ἀληθείας λέγω σοι, τέκνον, ὅτι οὐ ποιεῖ ὁ Θεὸς τὸν κόπον σου ἀνόνητον· καὶ γὰρ ἡ εὐχή σου προσεδέχθη καὶ τάχιον ἀναβλέπεις, ἐὰν ἀκούσῃς μου καὶ ἀπέλθῃς· εἰ δὲ οὐχ ὑπακούσῃς, μέλλεις οὕτω διαμένειν.» Ὁ δὲ, ἀκούσας ἐξῆλθε, καὶ ὡς ἀπὸ πέντε μιλίων ἔμεινεν ἐν τῷ χωρίῳ Ἀρανίας· ἕωθεν δὲ ἀναστὰς, καὶ νιψάμενος ἀνέβλεψε, καὶ ἤρξατο δοξάζειν τὸν Θεόν. Θέλων δὲ ὑποστρέψαι πρὸς τὸν ὅσιον, καὶ πάλιν μὴ τολμῶν ἄνευ κελεύματος αὐτοῦ τοῦτο ποιεῖν, ἀπέστειλεν ἕνα τῶν ἀνθρώπων αὐτοῦ πρὸς | αὐτὸν τοῦ ἀπαγγεῖλαι αὐτῷ τὴν γενομένην εἰς 258.
αὐτὸν εὐεργεσίαν τῆς ὁράσεως, καὶ εἰ κελεύει αὐτὸν ὑποστρέψαι πρὸς αὐτόν. Αὐτὸς δὲ ἐδήλωσεν αὐτῷ λέγων· «ὕπαγε ἐν εἰρήνῃ ὀρθῶς τὴν ὁδόν σου, καὶ τὸν Θεὸν δόξαζε.» Καὶ ἀπῆλθεν εἰς τὴν πατρίδα αὐτοῦ ὑγιὴς, καὶ ἀπέστειλε διά τινων ἐρχομένων πρὸς τὸν ἅγιον ἀσπασμοὺς, εὐχαριστῶν τῷ Θεῷ.

123. Ναύκληρός τις ἀπὸ τοῦ ἐμπορίου Κάλλεων τοῦ Πόντου, ὀνόματι Θεόδουλος, ἐπλήγη ὑπὸ δαίμονος, καὶ ἐλθὼν πρὸς τὸν ὅσιον καὶ εὑρὼν αὐτὸν ἐν τῷ κάτω μοναστηρίῳ τῆς παναγίας Θεοτόκου, προσπεσὼν αὐτῷ ἐπέδειξεν ἑαυτόν. Ἦν δὲ τὸ πνεῦμα ὑπὸ τὸ δέρμα αὐτοῦ ὁρώμενον ἡμῖν ὡς μῦς ἐν τῷ σώματι αὐτοῦ, καὶ ἐν τῷ ἐπιθεῖναι αὐτῷ τὸν ὅσιον τὴν χεῖρα, ὡς ἀποφεύγων αὐτὴν, ἐνέτρεχεν ἐν τοῖς μέλεσιν αὐτοῦ· αὐτὸς περιχαράξας αὐτὸ ἐν τῷ βραχίονι αὐτοῦ πρὸς τὸ μὴ

διατρέχειν, ἐκέλευσεν αὐτὸν μεῖναι ἐν τῷ αὐτῷ μοναστηρίῳ, μέχρις ἂν διαναπαύσηται ἐκ τῆς ὁδοῦ· καὶ ἐν τῷ ἀπολύειν αὐτὸν εὐξάμενος αὐτῷ καὶ τὸν βραχίονα σφραγίσας, ἀφανῆ ἐποίησε τὸ ἐνεργοῦν αὐτῷ δαιμόνιον καὶ ἀπέλυσεν αὐτὸν ὑγιᾶ.

124. Ἐκ δὲ τοῦ χωρίου Αἰάντων, ὁ πρόοικος Ἀντίπατρος, ὀνόματι καὶ Δημήτριος, ὁ θεοφιλέστατος πρεσβύτερος τοῦ χωρίου Σιλινδουκόμεως, καὶ Ἀέτιος ὁ ἐκ τοῦ χωρίου Ἀλεκτορίας πρόοικος, ἄνδρες ἔντιμοι, παρεγένοντο πρὸς τὸν ὅσιον, ὄντος αὐτοῦ ἐν τῷ γυναικείῳ μοναστηρίῳ τοῦ ἁγίου Χριστοφόρου· καὶ ἐν τῇ ὥρᾳ τοῦ γεύσασθαι αὐτὸν ἐκάλεσε καὶ αὐτοὺς συνδειπνῆσαι αὐτῷ. Συνέβη δὲ ἀσκέπου εὑρεθέντος τοῦ σκεύους, ἐξ ἐνεργείας τοῦ πονηροῦ χλωροσαύραν ἐμπεσεῖν ἐν τῷ ἑψου-
258. μένῳ λαχάνῳ καὶ συνεψηθῆναι· καὶ παραθήσας | τὸ λάχανον ὁ ὑπηρέτης, παρακατέσχεν ἐξ αὐτοῦ ἐν ᾧ ἦν καὶ τὸ ἑρπετὸν ἐναπομεῖναν. Εὐλογήσαντος δὲ τοῦ ὁσίου, ἔφαγον τὸ παρατεθὲν λάχανον· καὶ προσέταξε τῷ ὑπηρέτῃ, εἴπερ ἔχοι καὶ ἄλλο λάχανον παραθεῖναι αὐτοῖς. Ὁ δὲ κατακενώσας καὶ τὸ καταλειφθὲν λάχανον παρέθηκεν αὐτοῖς. Καὶ ἐσθιόντων αὐτῶν, εὑρέθη ἡ χλωροσαύρα, καὶ ἐπιγνόντες αὐτὴν ἀνεβόησαν λέγοντες· «ἀπεθάνομεν, πάτερ ἅγιε, ἀπεθάνομεν! καὶ τί ποιήσωμεν; χλωροσαῦρα γὰρ ἰοβόλος τὸ θηρίον τοῦτό ἐστι.» Θρηνούντων δὲ αὐτῶν καὶ ἀνακαλουμένων ἑαυτοὺς ὡς τοὺς ἰδίους παῖδας καὶ τὰς ὁμοζύγους μηκέτι ὀψομένους, ἔφη αὐτοῖς ὁ τοῦ Χριστοῦ θεράπων «μὴ φοβηθῆτε, τέκνα, εἰ γὰρ πιστεύετε τῷ Θεῷ, καὶ ἐμοὶ πείθεσθε τῷ ταπεινῷ Θεοδώρῳ, οὐδεμία ὅλως βλάβη ἐν ὑμῖν γένηται· ὁ γὰρ ὑπὸ Ἐλισσαίου τοῦ προφήτου κληθεὶς Θεὸς ἐπὶ τῇ ἐμπεσούσῃ ἐν τῷ λέβητι τολύπῃ, αὐτὸς καὶ νῦν ἐστιν ὁ ἀψευδὴς ὁ εἰρηκώς· κἂν θανάσιμόν τι πίητε, οὐ μὴ ὑμᾶς βλάψῃ (Μαρκ. ιϛ'. 18).» Καὶ εὐλογήσας ποτήριον κεράσματος ἔδωκεν αὐτοῖς πιεῖν, καὶ οὐδεμία

τις βλάβη ἐγένετό τινι αὐτῶν· καὶ ἐπὶ τὴν αὔριον ἀπέλυσεν αὐτοὺς δοξάζοντας τὸν θεόν.

125. Πάλιν διήρχετό τις ἀνὴρ διὰ τῆς δημοσίας στράτας, δεδεμένος ἁλύσεσι τόν τε τράχηλον καὶ τὰς χεῖρας σὺν τοῖς ποσί, Γεώργιος τοὔνομα, Καππάδοξ τῷ γένει, ὑπὸ πολλὴν παραφυλακὴν σκριβώνων καὶ ὑπὸ στρατιωτῶν συνεχόμενος, ὃν ἔλεγον ἀνταρτικῇ αἰτίᾳ τοῦ βασιλέως Φωκᾶ ὑποκεῖσθαι. Οὗτος οὖν ἐπόθησεν ἀνελθεῖν πρὸς τὸν ὅσιον καὶ εὐχῆς αὐτοῦ ἀξιωθῆναι, τοῦτο δὲ καὶ οἱ παραφύλακες αὐτοῦ καταθυμίως ἔχοντες, ἀνῆλθον | σὺν αὐτῷ ἐν τῇ μονῇ, καὶ εὐξάμενοι ἐν τοῖς 259.
εὐκτηρίοις τῶν ἁγίων, ἀπῆλθον καὶ πρὸς τὸν ὅσιον ἐν ᾧ ἦν κελλίῳ· καὶ προσκυνήσαντες αὐτὸν ἔλαβον τὴν εὐχὴν αὐτοῦ. Παρεκάλεσαν δὲ αὐτὸν, ἵνα νουθετήσῃ τὸν δέσμιον ἄνδρα, ὥστε εὐγνώμονι λογισμῷ ὁδεῦσαι, καὶ μὴ ἐπιβουλεῦσαι ἑαυτῷ ἤ τινι αὐτῶν, ἵνα μὴ κινδυνεύσωσιν αὐτοὶ ἐκ τοῦ βασιλέως· ὃ δὴ καὶ πεποίηκεν ὁ ἅγιος πατὴρ, νουθετήσας αὐτὸν ἀπὸ τῶν θείων Γραφῶν καὶ φάσκων· «ὅτι τὰ ὧδε πρόσκαιρά εἰσι, τέκνον, τὰ δὲ ἐκεῖ αἰώνια· καὶ συμφέρει τινὰ ὑπὸ ἄλλου βίαν ὑπομείναντα ἀποθανεῖν, ὥσπερ ὁ δίκαιος Ἄβελ, καὶ ὁ ἄμεμπτος ἱερεὺς τοῦ θεοῦ Ζαχαρίας, καὶ ὁ ἅγιος Ἰωάννης ὁ βαπτιστὴς, καὶ οἱ ἅγιοι ἀπόστολοι καὶ μάρτυρες τοῦ Χριστοῦ, καὶ μὴ ἑαυτῷ ἐπιβουλεύσαντα, αἰωνίᾳ κρίσει ὑποβληθῆναι. Ἐννόησον γὰρ τοῦτο, τέκνον, ὅτι, εἰ μὲν ὑποκείμενος ἐφ' ᾧ κατηγορήθης, ἢ καὶ ἑτέρᾳ αἰτίᾳ ὑπομενεῖς θάνατον, δέξαι ἀσμένως ὡς ἐνταῦθα διδοὺς τὴν δίκην, καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἀνεύθυνος ἀπερχόμενος· εἰ δὲ καὶ μηδενὶ ὑποκείμενος ὀφλήματι ἀδίκως τι μέλλεις πάσχειν, στέφανον ἐκδέχου παρὰ Θεοῦ, ὡς οἱ βίᾳ τεθνηκότες ἅγιοι.» Τούτοις καὶ πολλοῖς ἄλλοις ἀπὸ τῶν θείων Γραφῶν θεραπευθεὶς τὴν ἀθυμίαν ὁ ἀνὴρ, ᾔτησεν αὐτὸν ἀξιωθῆναι τῆς μεταλήψεως τῶν θείων μυστηρίων. Ἔφη δὲ ὅσιος τοῖς αὐτὸν συνέχουσι· «τιμήσατε, τέκνα, τὸ ἅγιον τοῦ δε-

σπότου μυστήριον, καὶ λύσατε αὐτὸν ἐκ τῶν περικειμένων δεσμῶν μέχρις ἂν μεταλάβῃ· οὐ γὰρ δίκαιον πιστὸν ἄνδρα δέσμιον ὄντα ὑποδέξασθαι τὸν Χριστὸν τὸν δι' ἡμᾶς παθόντα
259. καὶ λύσαντα | ἡμᾶς ἐκ τῶν τοῦ ᾅδου δεσμῶν.» Τῶν δὲ φασκόντων συγχωρεῖν αὐτοῖς τοῦτο, ὡς μὴ τολμώντων διὰ τὸ γενναῖον εἶναι τὸν ἄνδρα, καὶ εἴπερ εἰς ἀγνωμοσύνην τραπείη, μηκέτι αὐτοὺς δύνασθαι αὐτὸν κατασχεῖν, αὐτὸς ὁ θεοφόρος λαβὼν τὸ ἅγιον ποτήριον τῆς θείας μεταλήψεως πρὸς τὸ μεταδοῦναι, ἀναβλέψας πρὸς τὸν θεὸν ἐστέναξε, καὶ εὐθέως ὑφ' ἓν αἱ κατῖναι ἠνοίχθησαν, καὶ τὰ περικείμενα δεσμὰ τῷ ἀνδρὶ ἔπεσον χαμαὶ, κτύπον ἀποτελέσαντα. Θορυβηθέντων δὲ τῶν παραφυλαττόντων αὐτὸν καὶ ἐπὶ τὰς θύρας συνδραμόντων καὶ ἀσφαλισαμένων πρὸς τὸ μὴ ἐκπηδήσαντα αὐτὸν ἐξειλῆσαι αὐτοὺς, ἔφη αὐτοῖς ὁ ὅσιος· «μηδὲν ὅλως φοβηθῆτε αὐτόν· ἐγὼ γὰρ οἶδα τὴν σύνεσιν τοῦ ἀνδρὸς, ὅτι οὐ τρέπεται εἰς ἀγνωμοσύνην». Μεταδοὺς δὲ αὐτῷ τῶν ἁγίων μυστηρίων, παρεσκεύασεν αὐτὸν καὶ γεύσασθαι τροφῆς ἅμα τοῖς σὺν αὐτῷ· καὶ εἶθ' οὕτω προσήγαγον αὐτῷ τὰ δεσμὰ καὶ ὥδευσαν τὴν ὁδὸν αὐτῶν.

126. Ἐπιτελουμένης δὲ τῆς ἀθλητικῆς συνάξεως τοῦ ἁγίου μάρτυρος Ἀντιόχου τῇ ἑκκαιδεκάτῃ τοῦ Ἰουλίου μηνὸς ἐν τῷ εὐκτηρίῳ αὐτοῦ, καὶ τοῦ ὁσίου προσκομίσαντος, ἐν τῷ ἐπᾶραι τὸν δίσκον ἄνω κατὰ τὸ εἰωθὸς τῆς χώρας ἐπὶ τὸ ὑψῶσαι τὸν ἅγιον ἄρτον, ἀρξαμένου αὐτοῦ ἐκφωνεῖν τὰ ἅγια τοῖς ἁγίοις, ἤρξατο ὁ ἅγιος ἄρτος τὴν τοῦ ἱερουργοῦ εὐπρόσδεκτον θυσίαν ἔκδηλον εἰς ἐπίδειξιν πᾶσι φέρειν, ὥσπερ ἀγαλλομένου καὶ σκιρτῶντος ἔνδειγμα ποιῶν ὑπεράνωθεν τοῦ δίσκου ἐπὶ πολὺ ἐπαιρόμενος καὶ καθιέμενος καὶ κτύπον ἀποτελῶν ἐν τῷ δίσκῳ πρὸς ἀκρόασιν καὶ ἐπίδειξιν πάντων, ὑψούμενος καὶ κατερχό-
260. μενος ἐπὶ μίαν ῥοπὴν, ὡς πάντας ἡμᾶς τοὺς | ἐκεῖσε ἑστῶτας καὶ ὁρῶντας ἐκπλαγῆναί τε καὶ φοβηθῆναι ἐπὶ τῷ γεγονότι

μεγάλῳ θαύματι, αὐτόν τε τὸν ὅσιον δάκρυσι κατανύξεως ἅμα δὲ καὶ χαρᾷ ὑπερβαλλούσῃ ἐμπιπλάμενον δοξάζειν σὺν ἡμῖν τὴν τοῦ Θεοῦ ἡμῶν ἀνυπέρβλητον ἀγαθότητα.

127. Καὶ Φωτίου δὲ τοῦ φιλοχρίστου, καὶ εὐκλεοῦς πατρικίου καὶ ἐξάρχου τῆς Ῥώμης μετέπειτα γενομένου, οὗτινος καὶ τὸν υἱὸν Γρηγόριον αὐτὸς ἀνεδέξατο ἐν τῇ ἁγίᾳ κολυμβήθρᾳ, ἐλθόντος αὐτοῦ ἐν μιᾷ πρὸς αὐτὸν καὶ ἐν τῇ θείᾳ λειτουργίᾳ προσκαρτεροῦντος, ἐν τῷ προσκομίζειν τὸν θεοφόρον ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, σιλίγνιον χρόνιον προσεῖχεν ὁ φιλόχριστος καὶ εὐκλεὴς ἀνὴρ τὸν προσφερόμενον ἅγιον ἄρτον, καὶ ἐθεώρει, ὅτι ὥσπερ θέρμη πολλὴ ἀνήρχετο ἐξ αὐτοῦ, ὥστε νομίσαι αὐτὸν πρόσφατον εἶναι τὸν ἄρτον καὶ διὰ τοῦτο θέρμην τινὰ ἀναβαίνειν. Ἐν δὲ τῇ ὥρᾳ τῆς μεταλήψεως προσελθὼν ἐπὶ τὸ μεταλαβεῖν, εὗρεν τὴν δοθεῖσαν αὐτῷ μερίδα ξηροτάτην πάνυ καὶ ἐθαύμασε· μετὰ τὴν ἀπόλυσιν δὲ προσελθὼν, ἀπήγγειλε τὸ ὀφθὲν αὐτῷ, παρακαλῶν πληροφορηθῆναι αὐτὸν περὶ τούτου. Αὐτὸς δὲ εἶπεν αὐτῷ· «ὅτι ὡς ἀξίῳ σοι τοῦτο τὸ σημεῖον ἀπεκαλύφθη, τέκνον· ἡ γὰρ χάρις τῶν ἁγίων συστέλλεται καὶ ἀνέρχεται ἀφ' ἡμῶν ἐν τοῖς οὐρανοῖς, διὰ τὴν ἀναξιότητα καὶ τὰς ἁμαρτίας ἡμῶν, πρὸς τὸ πειραθῆναι τὴν πολιτείαν ἡμῶν πολλῶν θλίψεων καὶ κινδύνων· ἀλλ' εὐξώμεθα τὸν οἰκτίρμονα θεὸν, ἵνα μετὰ φιλανθρωπίας γένωνται, ἅπερ κελεύει.» Ταῦτα δὲ ἀκούσας ὁ πανεύφημος ἀνὴρ ἔκλαυσε, καὶ λαβὼν τὰς εὐχὰς τοῦ ὁσίου ἐξῆλθε τῆς μονῆς καὶ ἐπορεύθη. Ἐπεὶ οὖν | τῶν κατὰ τὴν χώραν 260.
πόλεων καὶ χωρίων λιτανευόντων, τὰ σταυρία λιτανεύοντα ἤρξατο κλονεῖσθαι καὶ στασιάζειν, θέαμά τι φοβερὸν καὶ ἐλεεινὸν ἐπιδεικνύμενα, ἐρωτώμενος περὶ τούτου ὁ θεοφόρος ἔλεγεν· «εὔξασθε, τέκνα, ὅτι μεγάλαι θλίψεις καὶ ἀνάγκαι ἐπίκεινται τῷ κόσμῳ».

128. Δομνιτζιόλου δὲ τοῦ ἐνδοξοτάτου πατρικίου καὶ κου-

ροπαλάτου, ὑποσχομένου ποιῆσαι σταυρὸν χρυσοῦν ἐπὶ τῇ χρείᾳ τῆς τε λιτῆς καὶ τῆς προσκυνήσεως, ἀπέστειλεν ὁ ὅσιος ἕνα ἀποκρισάριον αὐτοῦ, Ἐπιφάνιον τοὔνομα, τῆς διακονίας ἠξιωμένον ἐν τῇ Πόλει πρὸς αὐτόν. Ὁ δὲ φιλόχριστος δοὺς τὸ χρυσίον τεχνίτῃ χρυσοχόῳ, ἐκέλευσε τῷ ἀποσταλέντι ἀποκρισαρίῳ προσκαρτερεῖν εἰς τὴν τοῦ τοιούτου ἔργου κατασκευήν. Καὶ ὁ ἁγιώτατος δὲ πατριάρχης Θωμᾶς, ὁ μετὰ τὸν ἐν μακαρίᾳ τῇ μνήμῃ Κυριακὸν, τὸν τῆς ἀρχιερωσύνης θρόνον τῆς βασιλευούσης πόλεως κατέχων, συγχαίρων τῇ τοῦ ἐνδόξου ἀνδρὸς καρποφορίᾳ, ἔδωκε καὶ αὐτὸς μερίδα ἐκ τοῦ τιμίου ξύλου, καὶ ἐκ τοῦ λίθου τοῦ ἁγίου Κρανίου, καὶ ἐκ τοῦ ἁγίου μνήματος τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, καὶ κράσπεδον ἐκ τοῦ ̓μαφορίου τῆς παναγίας Θεοτόκου, ἐπὶ τῷ βληθῆναι εἰς τὸ ὀμφάλιον τὸ μέσῳ τοῦ γενομένου σταυροῦ. Ἐπεὶ οὖν καὶ αὐτὸς ἦν μαθὼν παρά τινων τὴν γενομένην κίνησιν τῶν σταυρῶν ἐν ταῖς γενομέναις λιταῖς κατὰ τὴν Γαλατῶν χώραν, καὶ ἐπηρώτησε τὸν ἀποκρισάριον περὶ τούτου, εἴπερ ἀληθές ἐστι τὸ ἀνενεχθὲν αὐτῷ· τοῦ δὲ εἰπόντος ἀληθὲς εἶναι, ἀκούσας ταῦτα ὁ μακαριώτατος πατριάρχης, ἐφοβήθη ἐπὶ τῇ τοιαύτῃ φοβερᾷ ξενοφωνίᾳ, καὶ ἐμμέριμνος γενόμενος περὶ τούτου, γράφει ἐπι-
261. στολὴν προτρεπτικὴν τῷ | δούλῳ τοῦ θεοῦ ἐπὶ τὸ καταλαβεῖν αὐτὸν διὰ τάχους τὴν βασιλίδα πόλιν.

129. Ἦν δὲ παραγενόμενος πρὸς αὐτὸν ἀπὸ Πυλῶν τῶν Ἄνωθεν Θεόδωρος ὁ βασιλικὸς στράτωρ, τὸν νοῦν αὐτοῦ βεβλαμμένος ἀπὸ δαιμόνων βλάβης ἐν τῷ οἴκῳ αὐτοῦ τῷ ἐν ταῖς Ἄνω Πύλαις. Καὶ ἐπευξαμένου τοῦ θείου ἀνδρὸς τῷ εἰρημένῳ στράτορι, ἦλθεν ὁ νοῦς αὐτοῦ, καὶ ὑγιὴς γενόμενος ἐδεήθη αὐτοῦ, ἵνα εἰσερχόμενος ἐν τῇ βασιλίδι πόλει τὴν πάροδον διὰ Πυλῶν ποιήσῃ ἐπὶ σωτηρίᾳ τοῦ οἴκου αὐτοῦ, ὃ καὶ ὑπέσχετο ποιεῖν ὁ μακάριος, ἀπολύων αὐτόν.

130. Συνέβη δὲ τὸν θεοφιλέστατον Φιλούμενον τὸν ἡγού-

μενον, διανύσαντα τὸν τῆς ἐναρέτου αὐτοῦ πολιτείας δρόμον, ἐν γήρει καλῷ τελειωθῆναι, ὃν καὶ ἐντίμως κηδεύσας ὁ τοῦ Θεοῦ θεράπων, προετρέψατο τὸν ἐκείνου ὁμόζυγόν τε καὶ ὁμότροπον Ἰωάννην τὸν θεοφιλέστατον πρεσβύτερον τὴν ἥγησιν τῶν αὐτοῦ μοναστηρίων ἀναδέξασθαι. Τοῦ δὲ μὴ πειθομένου, ἀλλὰ ἀναχωρεῖν ἐπὶ τὴν ἀνατολὴν σκεπτομένου, κατέδησεν αὐτὸν διὰ τοιοῦδε ὅρου, φήσας· «ὡς εἴπερ μὴ ὑπακούσειεν αὐτῷ ἐπὶ τῇ τοιαύτῃ καθηγήσει τῶν ἀδελφῶν, μὴ ἔχειν αὐτὸν ἔτι μέρος μετ' αὐτοῦ.» Οὕτω τε πείσας αὐτὸν καὶ παραλαβών, ἐξῆλθε πορευθῆναι ἐπὶ τὴν βασιλίδα πόλιν, τὴν ἐπὶ τὸ Δορύλλεον ὁδὸν βαδίζων, διὰ τὸ καὶ προπαρακληθῆναι αὐτὸν πολλὰ ὑπὸ τῶν τῆς αὐτῆς πόλεως οἰκητόρων, καὶ ὑπὸ τῶν μοναχῶν καὶ μαθητῶν αὐτοῦ γενομένων Φωτίου καὶ Κηρύκου τῶν ἐναρέτων ἀνδρῶν, ἀφηγουμένων τῆς μονῆς τοῦ ἁγίου Γεωργίου τῆς λεγομένης Πηγῶν. Ὑπαπαντῆς δὲ αὐτῷ μεγάλης γενομένης μετὰ λιτῆς ὑπὸ πάσης τῆς πόλεως, εἰσῆλθεν ἐν αὐτῇ, καὶ λειτουργήσας ἐπηύξατο αὐτοῖς. [Ἀνελθὼν 261.
δὲ καὶ εἰς τὸ διαφέρον αὐτοῖς μοναστήριον Πηγῶν, τοῖς ἐκεῖσε ἐπευξάμενος καὶ ἐπιστηρίξας τὰς ψυχὰς αὐτῶν τῇ θεοπνεύστῳ αὐτοῦ διδασκαλίᾳ, ἐξελθὼν ὥδευσε.

131. Πλησίον δὲ τῆς μονῆς τῆς παναγίας Θεοτόκου τῶν Καθαρῶν, ὑπήντησεν αὐτῷ καὶ ὁ προϊκετεύσας αὐτὸν Θεόδωρος βασιλικὸς στράτωρ, καὶ ἤγαγεν αὐτὸν ἐν τῷ ἐμπορίῳ Πυλῶν, ἔνθα καὶ διάφοροι αὐτῷ ἐγένοντο θαυματουργίαι. Ἀπήγαγε δὲ αὐτὸν καὶ ἐν τῷ οἴκῳ αὐτοῦ τῷ ὄντι ἐν ταῖς Ἄνω Πύλαις πρὸς τὸ ἐλευθερῶσαι αὐτὸν τῆς γενομένης ἐν αὐτῷ δαιμονικῆς μεγάλης ἀνάγκης. Ἦσαν γὰρ οἵ τε ἄνθρωποι αὐτοῦ καὶ τὰ ἄλογα ἐνεργούμενα ἐκ τῶν ἀκαθάρτων πνευμάτων, καὶ ἐν τῷ ἀριστᾶν ἢ δειπνεῖν τοὺς ἐνοικοῦντας, λιθοβολίαι ἐν ταῖς τραπέζαις αὐτῶν ἐγίνοντο, φόβον τε καὶ πόνον μέγαν παρέχουσαι καὶ τοὺς ἱστοὺς τῶν γυναικῶν κατακόπτουσαι, καὶ ὑπὸ

πλήθους μυῶν καὶ ὄφεων πληρούμενος ὁ οἶκος, φόβον μέγαν παρεῖχε τοῖς ἐν αὐτῷ οὖσιν, ἄβατον αὐτοῖς τοῦτον ποιῶν. Εἰσελθὼν δὲ ἐν αὐτῷ ὁ τοῦ Χριστοῦ θεράπων, ἔμεινεν ἐκεῖ τὴν νύκτα ψαλμοῖς καὶ εὐχαῖς τὸν Θεὸν ἱκετεύσας· εὐλογήσας δὲ καὶ ὕδωρ καὶ ῥάνας ἐν παντὶ τῷ οἴκῳ, ἠλευθέρωσεν αὐτοὺς τῆς τῶν δαιμόνων βλάβης.

132. Ἐκεῖθέν τε ἐξελθὼν, ἐνέβη εἰς πλοῖον τοῦ περᾶσαι ἐπὶ τὴν βασιλίδα πόλιν. Καὶ ἦν τις ἔγγιστα αὐτοῦ καθήμενος ἐν τῷ πλοίῳ ἐπιβάτης, ἔχων πνεῦμα ἀκάθαρτον, κρυπτόμενον ἐν αὐτῷ χρόνους πολλούς· ἐν δὲ τῷ μεσοπελαγεῖν αὐτοὺς μὴ φέρον τὸ πνεῦμα τὴν χάριν τῆς ἁγιότητος αὐτοῦ, ἐκινήθη καὶ ἤρξατο ἀπομάχεσθαι καὶ ὕβρεσι δυσφημεῖν τὸν ὅσιον. Οἱ δὲ ἐν τῷ πλοίῳ μὴ γινώσκοντες ἐκ ποίας ἐνεργείας τοιαῦτα
262. λέγει, ἐπετίμων αὐτῷ, ἵνα | σιωπήσῃ καὶ μὴ εἰς τὸν δοῦλον τοῦ Θεοῦ ἐμπαροινῇ τοιαῦτα καὶ ἁμαρτάνῃ. Ὁ δὲ ὅσιος προσέταττεν αὐτοῖς ἐνδοῦναι αὐτῷ, καὶ ἐπιλαβόμενος αὐτοῦ, τύψας τὸ στῆθος αὐτοῦ τῇ χειρὶ, καὶ τῷ σημείῳ τοῦ σταυροῦ ἐπιτιμῶν, τῷ ἐν αὐτῷ κρυπτομένῳ καὶ κράζοντι ἐκέλευσεν ἐξελθεῖν· καὶ εὐθέως βρύχον καὶ ἀλαλάζον ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον, καὶ ἐφάνη τοῖς ἐν τῷ πλοίῳ ὡς μῦς ἐκ τοῦ στόματος αὐτοῦ ἐξελθόν. Ὁ δὲ ἰαθεὶς ἔπεσεν ὡσεὶ νεκρὸς, καὶ μετὰ μικρὸν ὁ σημειοφόρος διήγειρεν αὐτὸν, πάντων τῶν ἐν τῷ πλοίῳ θαυμαζόντων καὶ δόξαν τῷ Θεῷ ἀναπεμπόντων.

133. Ἐξελθόντος δὲ αὐτοῦ ἐν τῇ βασιλευούσῃ πόλει, ἀπεδέξατο αὐτὸν ὁ μακαριώτατος Θωμᾶς ὁ πατριάρχης, καὶ ἠσπάσαντο ἀλλήλους ἐν χαρᾷ πολλῇ· προσήνεγκεν δὲ αὐτῷ καὶ τὸν αὐτοῦ μαθητὴν Ἰωάννην ἐπὶ τὸ γενέσθαι αὐτὸν ἡγούμενον, μαρτυρῶν τῇ ἐναρέτῳ αὐτοῦ πολιτείᾳ, ὃ καὶ ἐποίησεν εὐθέως, αὐτῷ περιθεὶς τὸ παλλίον καὶ καταστήσας ἡγούμενον καὶ προπέμψας ἐν τοῖς ἰδίοις αὐτῶν κατὰ χώραν μοναστηρίοις. Μαθὼν δὲ καὶ ὁ βασιλεὺς Φωκᾶς τὰ περὶ τοῦ ὁσίου, ἐπεζήτη-

σεν αὐτὸν (ἦν γὰρ κλινήρης κατακείμενος ἐκ τοῦ τῶν χειρῶν καὶ ποδῶν ἄλγους). Καὶ εἰσελθόντος αὐτοῦ πρὸς αὐτὸν, καὶ ἐπιθέντος αὐτῷ τὴν χεῖρα καὶ εὐξαμένου, ἐκουφίσθη τῆς νόσου. Αἰτοῦντος δὲ αὐτὸν εὔχεσθαι ὑπέρ τε αὐτοῦ καὶ τῆς βασιλείας αὐτοῦ, ἤρξατο παραινεῖν αὐτῷ ὁ τοῦ Χριστοῦ θεράπων ὡς, «εἰ θέλει ἀεὶ μνημονεύεσθαι παρ' αὐτοῦ καὶ ἐνεργεῖν αὐτῷ τὴν εὐχὴν αὐτοῦ, παύσασθαι τῆς ἀνθρωπίνης κατακοπῆς καὶ ἐκχύσεως τῶν αἱμάτων. Τοῦτο γὰρ αὐτοῦ κατορθοῦντος, ἔφασκε καὶ αὐτὸς εἰσακούεσθαι | εὐχόμενος πρὸς τὸν θεὸν ὑπὲρ 262.
αὐτοῦ.» Ἐπιμένοντος δὲ αὐτοῦ τῇ συνήθει κατασφαγῇ προέλεγεν αὐτῷ τὰ κατὰ Θεοῦ μῆνιν μέλλοντα αὐτῷ συμβαίνειν, ὡς ἐπὶ τοῖς ῥηθεῖσιν αὐτῷ καὶ ἀγανακτῆσαι αὐτόν.

134. Ἐξελθόντος δὲ αὐτοῦ ἐκ τοῦ βασιλέως, προετρέψατο αὐτὸν ὁ μακαριώτατος Θωμᾶς ὁ πατριάρχης· ἦν γὰρ πολλὴν σχέσιν καὶ πληροφορίαν ἔχων εἰς αὐτὸν, ὡς καὶ διὰ πολλῶν δεήσεων πεῖσαι αὐτὸν ἀδελφοποίησιν ποιῆσαι μετ' αὐτοῦ, καὶ αἰτῆσαι αὐτὸν παρὰ τῷ Θεῷ πρὸς τὸ καὶ ἐν ἐκείνῳ τῷ βίῳ σὺν αὐτῷ εὑρεθῆναι. Καὶ ἐπηρώτησεν αὐτὸν, εἴ γε ἀληθὲς ἔμαθε περὶ τῆς τῶν σταυρίων ἐν ταῖς λιταῖς παραδόξου κινήσεως· καὶ μαθὼν παρ' αὐτοῦ ἀληθῆ εἶναι τὴν γενομένην αὐτῷ περὶ αὐτῶν εἰσήγησιν, ἤρξατο ἰδιαζόντως παρακαλεῖν αὐτὸν ἐξειπεῖν αὐτῷ τί εἶναι τὸ τοιοῦτον σημεῖον. Αὐτὸς δὲ τῇ ταπεινώσει χρώμενος, χαμαιριφῆ ἑαυτὸν ὀνομάζων, ἔφασκε μὴ γινώσκειν ἀποκριθῆναι αὐτῷ πρὸς τὸ ἐπερωτώμενον. Πεσὼν οὖν εἰς τοὺς πόδας αὐτοῦ καὶ κατασχὼν αὐτοὺς, διεβεβαιοῦτο μὴ ἀνίστασθαι ἀπὸ τοῦ ἐδάφους, εἰμὴ εὐλογήσοι πληροφορεῖν αὐτὸν περὶ τούτου, φάσκων ὅτι· «οἶδα καὶ πέπεισμαι γινώσκειν σε οὐ τοῦτο μόνον τὸ σημεῖον, ἀλλὰ καὶ ἄλλα πολλά· οὐ γὰρ ἂν μέχρι τοῦ νῦν ἔστεξας ἐν παρέργῳ τοῦτο ἔχειν καὶ μὴ πληροφορηθῆναι, πλὴν εἰ καὶ ἕως τοῦ παρόντος ἀπεκρύβη σοι καὶ οὐκ ἔσπευσας περὶ αὐτοῦ μαθεῖν, νῦν, ἐὰν αἰτήσῃ τὸν

Θεὸν πάντως σοι ἀποκαλύπτει ». Εὐλογήσας δὲ ὁ τοῦ Χριστοῦ δοῦλος ἐν τῷ πληροφορεῖν αὐτὸν, ἐποίησεν αὐτὸν ἀναστῆναι,
263. καὶ δάκρυσι συσχεθὲς εἶπεν αὐτῷ· « οὐκ | ἤθελόν σε θλιβῆναι, οὐ γὰρ συμφέρει σοι ταῦτα μαθεῖν. Ἐπειδὴ δὲ οὕτως ἐπιζητεῖς, ὁ τῶν σταυρίων σεισμὸς πολλὰ σημαίνει ἡμῖν ὀδυνηρὰ καὶ ἐπικίνδυνα· καὶ γὰρ ταλαντισμὸν τῆς πίστεως ἡμῶν καὶ ἀποστασίαν σημαίνει, καὶ βαρβαρικῶν πολλῶν ἐθνῶν ἐφόδους, καὶ ἔκχυσιν αἱμάτων πολλῶν, καὶ φθορὰν καὶ αἰχμαλωσίαν κοσμικὴν, καὶ ἐρήμωσιν τῶν ἁγίων ἐκκλησιῶν, καὶ κατάπαυσιν τῆς θείας δοξολογίας, καὶ τῆς βασιλείας πτῶσιν καὶ ἀκαταστασίαν, καὶ πολλὴν τῆς πολιτείας ἀπορίαν καὶ περίστασιν· λοιπὸν δὲ καὶ τοῦ ἀντικειμένου τὴν ἐπιδημίαν ἐγγίζειν προδηλοῦσι. Λοιπὸν αὐτὸς, ὡς κύβερνος τῆς Ἐκκλησίας καὶ ποιμὴν τοῦ λαοῦ, ἐνδελεχῶς, ὡς ἔστι σοι δύναμις, ἱκέτευε τὸν Θεὸν φείσασθαι τοῦ λαοῦ, καὶ μετὰ ἐλέους καὶ φιλανθρωπίας ταῦτα οἰκονομῆσαι ». Ταῦτα ὁ μακαριώτατος πατριάρχης ἀκούσας, φόβῳ πολλῷ καὶ ἀγῶνι συσχεθεὶς, μετὰ δακρύων ἤρξατο παρακαλεῖν αὐτὸν, ἵνα δεηθῇ τοῦ Θεοῦ τοῦ λαβεῖν τὴν ψυχὴν αὐτοῦ καὶ μὴ καταληφθῆναι ὑπό τινος τῶν ἐπαγγελθέντων αὐτῷ. Καὶ ἔκτοτε συνεχῶς ἰδιάζων αὐτὸς ἐν τῷ πατριαρχείῳ ἔβαλεν αὐτῷ μετάνοιαν μετὰ δακρύων παρακαλῶν καὶ λέγων· ὅτι, « εἰ ὅλως κατηξίωσας ἀδελφόν με ἔχειν καὶ τοιαύτῃ γνησιότητι διάκεισαι εἰς τὰ κατ' ἐμὲ, δεήθητι ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεὸν, ἵνα παραλάβῃ τὸ πνεῦμά μου καὶ μὴ ἴδω τοὺς μέλλοντας ἐπέρχεσθαι κινδύνους· ὅτι ὀλίγωρός εἰμι καὶ οὐχ ὑπομένω τούτων τὴν πεῖραν ἰδεῖν. »

135. Βουλομένου δὲ τοῦ θεοφόρου ἀνδρὸς ἐπὶ τὴν ἑαυτοῦ πατρίδα ἐξελθεῖν διὰ τὸ ἐγγίζειν τὸν καιρὸν τῆς ἡσυχίας αὐτοῦ, οὐ συνεχώρησεν ὁ μακαριώτατος πατριάρχης, ἐπειδὴ ἦν
263. τις | φήμη παρά τινων διαδραμοῦσα ὡς μέλλειν τὴν πόλιν μετ' ὀλίγον καιρὸν καταποθῆναι, καὶ ὡς διὰ τὴν τοιαύτην πρό-

φασιν, ἔδοξε κατασχεῖν αὐτὸν τοῦ ποιῆσαι τὸν χειμῶνα ἐν τῇ
πόλει, λέγων· «ὅτι ἀνάγκη μέ ἐστιν εἰς πρεσβείαν ὑπὲρ τῆς
πόλεως ἐνταῦθα κατασχεῖν σε, ἵνα δυσωπούμενος ὑπὸ σοῦ ὁ
Θεὸς, παράγῃ τὴν προσδοκωμένην ἀπειλήν.» Αἰτήσαντος δὲ
αὐτοῦ ἐν ἰδιάζοντι τόπῳ δοῦναι αὐτῷ τὴν καταμονὴν, ἐκέλευ-
σεν αὐτὸν ἐν τῇ μονῇ τοῦ ἁγίου Στεφάνου τῇ ἐπίκλην τῶν
Ῥωμαίων κατασταθῆναι πλησίον τοῦ Πετρίου. Καὶ γενομένης
τῆς ἑορτῆς τοῦ Γενεθλίου τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, ἐνεκλεί-
σθη ἐν τῷ διακονικῷ τῆς χειμερινῆς ἐκκλησίας τῆς αὐτῆς
μονῆς, τὴν συνήθη αὐτῷ ἡσυχίαν καὶ ἐγκράτειαν ἐκτελῶν.
Συνέβη δὲ τὸν ἁγιώτατον πατριάρχην κατακλιθῆναι εἰς ἀῤῥω-
στίαν, καὶ ἀπέστειλε πρὸς τὸν δοῦλον τοῦ θεοῦ παρακαλῶν
αὐτὸν, ἵνα εὔξηται πρὸς τὸν Θεὸν τὸ τοῦ βίου πέρας αὐτῷ
χαρίσασθαι. Ὁ δὲ τοῦ Κυρίου δοῦλος ἀντεδήλωσεν αὐτῷ λέ-
γων· «αὐτὸς μὲν, κατὰ τὸν ἅγιον ἀπόστολον Παῦλον, τὸ ἀνα-
λῦσαι καὶ σὺν Χριστῷ εἶναι ποθεῖς· ἀλλ' ἐπειδὴ τὸ μένειν σε
ἔτι ἐν σαρκὶ ἀναγκαιότερόν ἐστι διὰ τὴν τοῦ λαοῦ προστασίαν,
εὐχόμεθα μᾶλλον τὴν ζωὴν καὶ ὑγείαν σοι χαρισθῆναι.» Ὁ δὲ
μακαριώτατος πατριάρχης πάλιν ἀπέστειλε πρὸς αὐτὸν παρα-
κλήσεις λέγων· «διὰ τὸν Κύριον, πάτερ, ἐὰν ἀγαπᾷς με καὶ
τὸ γνήσιον τῆς ἀδελφικῆς διαθέσεως ἔχεις πρός με, κατὰ τὴν
σύνταξιν ἡμῶν δεήθητι τοῦ Θεοῦ ἐκτενῶς, ἵνα παραλάβῃ τὴν
παραθήκην αὐτοῦ ἐκ τοῦ στόματός μου καὶ ῥυσθῶ τῶν ἐπι-
κειμένων κινδύνων· οὐ βαστάζω γὰρ ἰδεῖν ἅπερ μοι ἐφανέρω-
σας.» Ὁ δὲ θεράπων τοῦ Θεοῦ κλίνας τὰ γόνατα καὶ ποιή-
σας εὐχὴν | ὑπὲρ αὐτοῦ ἀπέστειλεν αὐτῷ διὰ Ἐπιφανίου τοῦ 264.
ἀποκρισαρίου αὐτοῦ λέγων· «ἡμεῖς μὲν τὴν ζωήν σου ποθοῦν-
τες, χαρισθῆναι ἡμῖν εὐχόμεθα τέως αὐτὴν διὰ τὴν πάντων
ὠφέλειαν· ἐπειδὴ δὲ τὴν κέλευσίν σου ἐδεξάμεθα κατεπείγου-
σαν ἡμᾶς εὔξασθαι πρὸς τὸ ἀναλῦσαι ὑμᾶς καὶ σὺν Χριστῷ
εἶναι, τὸ κελευθὲν ἐποιήσαμεν καὶ ηὐξάμεθα, καὶ ἰδοὺ ἡ αἴ-

τησις ὑμῶν ἐπληρώθη καὶ σήμερον πορεύῃ πρὸς τὸν Χριστόν· καί, εἰ κελεύσεις, εὐλόγησον ἐπὶ τὸ ἐξελθεῖν με καὶ ἐλθεῖν συντάξασθαι ὑμῖν, εἰ δὲ μή γε, εὖξαί μοι, καὶ ἐκεῖ βλέπομεν ἀλλήλους παρὰ τῷ δεσπότῃ ἡμῶν Χριστῷ.» Ταύτην δὲ τὴν ἀπόκρισιν δεξάμενος ὁ μακαριώτατος πατριάρχης, ἐχάρη χαρὰν μεγάλην, δοξάζων τὸν Θεόν, καὶ ἔπεμψε παρακαλῶν τὸν τοῦ Θεοῦ δοῦλον μὴ ἐξελθεῖν καὶ παραλῦσαι τὸν ὅρον τῆς ἡσυχίας αὐτοῦ, ἀρκεῖσθαι, φήσας, τῇ ὑποσχέσει τῆς ἐπὶ τοῦ Χριστοῦ θεωρίας αὐτοῦ, καὶ εὐθέως ἤρξατο συντάσσεσθαι ἑκάστῳ. Μαθὼν δὲ καὶ ὁ βασιλεύς, ἐλθὼν καὶ αὐτὸς συνετάξατο αὐτῷ, καὶ οὕτω πρὸ τῆς δειλινῆς ὥρας ἐτελειώθη θαυμασίως ἐν φρονήσει ἐῤῥωμένῃ καὶ ἐκηδεύθη.

136. Θλιβομένων δὲ τῶν συνόντων τῷ ὁσίῳ ἀδελφῶν διὰ τὴν τοῦ μακαρίου πατριάρχου Θωμᾶ τελευτὴν ἀνθρωπίνῳ φρονήματι, ὡς γνωριζομένων καὶ παῤῥησίαν ἐχόντων πολλὴν παρ' αὐτῷ, αὐτὸς ἔφη αὐτοῖς· «μὴ λυπεῖσθε, ὀλίγωροι καὶ ὀλιγόπιστοι, καὶ γὰρ ὁ μέλλων γενέσθαι, οὐκ ἔλαττον τοῦ ἐν ἁγίοις τούτου ἡμᾶς ἀγαπήσει·» ὅπερ καὶ γέγονεν. Γενόμενος γὰρ πατριάρχης ὁ Σέργιος, ἀπῆλθε δι' ἑαυτοῦ πρὸς τὸν δοῦλον τοῦ Θεοῦ, μὴ συγχωρήσας προμηνυθῆναι αὐτῷ· ἀλλ' αἰφνιδιάσας αὐτόν, ὡς ἦν ἑστὼς καὶ τὸν κανόνα τῆς ψαλ-
264. μῳδίας αὐτοῦ | ποιῶν, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, αἰτῶν αὐτὸν εὐχὴν χαρίσασθαι αὐτῷ, ἵνα ἡ τοῦ Θεοῦ χάρις ἄξιον αὐτὸν τῆς ἐπισκοπῆς καὶ τοῦ ἀποστολικοῦ θρόνου ποιήσασα, χειραγωγήσῃ εἰς τὸ αὐτοῦ θέλημα, κυβερνήσασα τὰ κατ' αὐτὸν καὶ τὴν πολιτείαν ἡμῶν εἰρηνικῶς· ἅμα δὲ καὶ ταπεινόφρονι λογισμῷ εὐτελίζων ἑαυτόν, ὡς καὶ νεώτερον ὄντα καὶ ἀνάξιον τῆς τοιαύτης μεγάλης ἀρχιερωσύνης. Ὁ δὲ τοῦ Κυρίου δοῦλος ποιήσας εὐχὴν καὶ κατασπασάμενος αὐτὸν εἶπεν· «διὰ τοῦτό σε νεὸν ὄντα τῇ κήρᾳ (sic) ἐπελέξατο ὁ θεός, ἵνα ὡς νεώτερος τὸ ἄοκνον ἔχων, ὑπομείνῃς καὶ γενναίως ἐνέγκῃς τὰς

μελλούσας συμβαίνειν τῇ πολιτείᾳ ἡμῶν πολυτρόπους θλίψεις καὶ ὀδύνας, ἅσπερ προβεβηκὼς οὐχ οὕτω δύναται ὑπενεγκεῖν. Ἀσφαλίζου οὖν σεαυτὸν, καὶ κτησάμενος ὑπομονὴν ἀνδρίζου· πιστεύω γὰρ τῷ Θεῷ ὅτι καὶ πολυχρόνιον καὶ καλὴν τὴν ἐπισκοπήν σου ἐκτελεῖς.» Ἔκτοτε οὖν συχνῶς αὐτὸν μετεκαλεῖτο ὁ πατριάρχης ἐν τῷ πατριαρχείῳ, προτρεπόμενος αὐτὸν, καὶ πολὺν πόθον ἔσχε καὶ πληροφορίαν εἰς αὐτὸν πλείω τοῦ πρὸ αὐτοῦ.

137. Ἐπεὶ οὖν κατεγίνωσκεν ὁ ὅσιος τὸ λούεσθαι μετὰ τὴν μετάληψιν τῶν ἁγίων μυστηρίων, ὅπερ ποιοῦσι πολλοὶ μάλιστα τῶν ἐν ὑπεροχῇ ὄντων ἐν τῇ πόλει, περὶ τούτου προσῆλθεν αὐτῷ χορὸς κληρικῶν τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας καὶ ἔλεγον αὐτῷ· «ἐπειδὴ ἤκουσται ἡμῖν, πάτερ, ὅτι ἀπαγορεύεις τὸ λούεσθαι μετὰ τὴν ἁγίαν μετάληψιν, διὰ τοῦτο ἤλθομεν πρὸς τὴν σὴν ἁγιωσύνην ὠφεληθῆναι. Εἰπὲ οὖν, δεόμεθά σου, ἀπὸ Γραφῆς τοῦτο λέγεις; ἢ πόθεν; πληροφόρησον ἡμᾶς.» Ὁ δὲ θεσπέσιος | ἀπεκρίθη αὐτοῖς· «εἴρηκεν 265.
ὁ θεῖος λόγος, ὅτι πᾶν ψεῦδος ἐκ τοῦ πονηροῦ ἐστὶ, καὶ ὅτι ἀπολεῖ Κύριος πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος (Ψαλμ. ε'. 6.)· πιστεύσατε οὖν μοι, τέκνα, αὐτὸς ὁ Θεός με ἐπληροφόρησεν, ὅτι μεγάλως ἁμαρτάνουσιν οἱ μετὰ τὴν ἁγίαν μετάληψιν λουόμενοι διὰ στρῆνος καὶ σωματικὴν ἀπόλαυσιν, τοῦτο ποιοῦντες. Οὐδὲ γὰρ μύρῳ τις χριόμενος καὶ ἀρώμασιν ἀπολούεται τὴν εὐοσμίαν, οὐδὲ μετὰ βασιλέως τις ἀριστήσας, εὐθέως τρέχει ἐπὶ βαλανεῖον.»

138. Ἐν δὲ τῷ εἶναι αὐτὸν ἔτι ἐν τῇ μονῇ τῶν Ῥωμαίων πολλοὶ ὄχλοι συνήρχοντο εὐλογεῖσθαι ὑπ' αὐτοῦ, ὡς καὶ πασχικῷ τινι ἐλθόντι καὶ ἀστάτως πάσχοντι καὶ κράζοντι πολλὰ, ἐπιτιμήσας καὶ τῇ χειρὶ τὸ στῆθος αὐτοῦ τύπτων, ἐκέλευσε τῷ ἐν αὐτῷ ἀκαθάρτῳ πνεύματι ἐξελθεῖν, καὶ παραχρῆμα ἰάθη ἐπ' ὄψεσι τῶν τῆς αὐτῆς μονῆς καὶ Ζωΐλου τοῦ

θεοφιλεστάτου ἡγουμένου αὐτῶν μετ' ἔπειτα γενομένου, καὶ ἕτερα δὲ θαύματα πολλὰ ἐποίησεν ἐκεῖσε διάγων παρ' αὐτοῖς χάριτι Χριστοῦ τοῦ θεοῦ ἡμῶν.

139. Ὅθεν καὶ οἱ τῆς μονῆς πάντες ἅμα τῷ θεοφιλεστάτῳ αὐτῶν ἡγουμένῳ Χριστοφόρῳ, πολλῇ πίστει πρὸς αὐτὸν διακείμενοι, ἐπόθησαν τὸ ὁμοίωμα τοῦ προσώπου αὐτοῦ λαβεῖν καὶ στῆσαι αὐτὸ ἐν τῇ μονῇ αὐτῶν, μνήμης αὐτοῦ διηνεκοῦς χάριν ἐπὶ οἰκείᾳ αὐτῶν εὐλογίᾳ. Καὶ καλέσαντες ζωγράφον, ἐποίησαν αὐτὸν δι' ὀπῆς μικρᾶς θεωρεῖν τὸν ὅσιον, ἵνα σημειούμενος τὸ εἶδος τοῦ προσώπου, δυνηθῇ καθ' ὁμοίωσιν γράψαι αὐτόν· ὃ καὶ ἀπετελέσθη κατὰ τὴν πίστιν αὐτῶν, καλὸν αὐτοῦ ὁμοίωμα γράψαντος αὐτοῦ. Πρὸ τοῦ οὖν τοῦ ἀπολῦσαι αὐτὸν, ἐποίησαν αὐτὸν εἰσελθεῖν καὶ εὐλογηθῆναι τὸ ὁμοίωμα
265. αὐτοῦ | παρ' αὐτοῦ. Αὐτὸς δὲ σεμνὸν αὐτῷ προσμειδίασας ἔλεγεν· « σὺ παγκλέπτης εἶ καὶ τί ποιεῖς ὧδε; εἰ μὴ ἵνα τίποτε κλέψῃς! » Καὶ εὐλογήσας αὐτὸ ἀπέλυσε.

140. Παραγενόμενος δὲ πρὸς αὐτὸν Δομνιτζίολος ὁ ἐνδοξότατος πατρίκιος καὶ κουροπαλάτης, καὶ παρακαλέσας αὐτὸν ἔλαβεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ ἐν Ἀρκαδίαναῖς ἐπὶ τὸ εὐλογῆσαι αὐτόν· καὶ προσήγαγεν αὐτῷ Εἰρήνην τὴν ἑαυτοῦ φιλόχριστον γυναῖκα λέγων αὐτῷ· « εὖξαι τῇ συνδούλῳ μου ταύτῃ, δέσποτα, ὅτι μόνον πολλὰ κοιμᾶται καὶ τέκνον οὐ ποιεῖ, καὶ ἐν ἀθυμίᾳ ἐσμέν. » Αὐτὸς δὲ ὁ θεοφόρος ποιήσας αὐτῇ εὐχὴν, εἶπεν αὐτῷ· « ὅτι θεοῦ χάριτι τρεῖς παῖδας τέξεται αὕτη, καὶ τοὺς τρεῖς ἄρρενας ». Προσήγαγε δὲ αὐτῷ καὶ ὅλους τοὺς ἀνθρώπους αὐτοῦ, παῖδάς τε καὶ παιδίσκας, ἐπὶ τὸ εὐλογῆσαι αὐτούς· ἐν οἷς ἦν μία παιδίσκη ὄπισθεν πάντων, ἥτις ἦν ἔχουσα κρυπτὸν δαιμόνιον, ἐν ἀῤῥωστίᾳ πάντοτε κατακειμένη· καὶ μετὰ κόπου τότε ἐκ τῆς κλίνης διεγερθεῖσαν αὐτὴν, ἀπομήκοθεν θεωρήσας ὀπίσω πάντων ὁ ἀληθῶς σημειοφόρος, προσέταξεν ἔγγιστα αὐτοῦ ἀχθῆναι· καὶ ἐπιλα-

βόμενος αὐτῆς τῇ εὐωνύμῳ χειρὶ, ἤρξατο τῇ δεξιᾷ αὐτοῦ τύπτειν τὸ στῆθος αὐτῆς, καὶ ἐγκράζειν τῷ ἐνεργοῦντι δαίμονι πρὸς τὸ φανεροῦσθαι καὶ μὴ κατακρύπτεσθαι. Εὐθέως δὲ ἐκινήθη ὁ δαίμων καὶ ἤρξατο κράζειν πολλὰ ὡς βίαν πάσχων ὑπ' αὐτοῦ. Αὐτὸς δὲ κατακάμψας αὐτὴν εἰς τὸ ἔδαφος, καὶ ἐπιστήσας τὸν πόδα αὐτοῦ ἐπὶ τὸν τράχηλον αὐτῆς, βλέπων ἐπὶ ἀνατολὰς ἐποίει ὑπὲρ αὐτῆς εὐχὴν ἡσύχως καθ' ἑαυτὸν, μόνον τῶν χειλέων αὐτοῦ κινουμένων, φωνῆς δὲ αὐτοῦ μὴ ἀκουομένης· εἰς δὲ τὸ τέλος τῆς εὐχῆς τὴν δοξολογίαν, | τῆς 266.
ἁγίας Τριάδος ἐτράνωσεν εἰς ἐξάκουστον πάντων. Ἐγένετο οὖν ἡ παῖς ἐπὶ ὥραν ἄφωνος, καὶ πάντων εὐλογηθέντων, ἤγειρε καὶ τὴν παιδίσκην, ὑγιῆ γενομένην, ἥτις ἔκτοτε διέμεινεν ἐῤῥωμένη καὶ ἐργαζομένη τὸν ἅπαντα τῆς ζωῆς αὐτῆς χρόνον. Προτραπεὶς δὲ ὁ σημειοφόρος ἀνὴρ ὑπὸ τοῦ πανευφήμου ἀνδρὸς, καὶ χαρᾶς μεγάλης καὶ εὐφροσύνης αὐτῷ τε καὶ παντὶ τῷ οἴκῳ αὐτοῦ γενομένης, οὕτως ἐκεῖθεν ἐξῆλθε· καὶ κατὰ τὸν θεόπνευστον λόγον αὐτοῦ, τρεῖς υἱοὺς ἔτεκεν ἡ προειρημένη πατρικία, εὐθέως ἀπὸ τῆς εὐχῆς αὐτοῦ καὶ τῆς ἡμέρας ἐκείνης ἀρξαμένη τῆς τοῦ πρώτου αὐτῆς παιδος συλλήψεως. Ἀπολυθεὶς δὲ ἐκ τοῦ βασιλέως καὶ τοῦ πατριάρχου ὁ τοῦ Χριστοῦ δοῦλος, ὑπέστρεψεν εἰς τὸ μοναστήριον αὐτοῦ.

141. Ἐν δὲ τῷ χωρίῳ Σκοῦδρις νέφος ὑπήρχετο κατὰ καιρὸν ἐπὶ τὸ μέρος τοῦ πλησίον μοναστηρίου τοῦ Ἀρχαγγέλου, καὶ ἔῤῥιπτε χάλαζαν πολλὴν εἰς τοὺς παρακειμένους λόφους, καὶ συνήγετο πλημμύρα ὑδάτων πολλὴ σφόδρα ἐν τῷ πλησίον τοῦ μοναστηρίου χειμάῤῥῳ, καὶ κατήρχετο εἰς τὸ χωρίον καὶ ἠφάνιζε τούς τε οἴκους αὐτῶν καὶ τὴν γῆν τῶν καρπῶν αὐτῶν. Ἐν ἑνὶ οὖν χωρίῳ κατὰ τὸ εἰωθὸς ἐπελθόντος τοῦ ἀγρίου νέφους πολλῷ πλείω τῶν λοιπῶν καθόδων, κατελθὼν ὁ χείμαῤῥος βιαίως καὶ ἀφορήτως, εἰσῆλθεν εἰς τὸ χωρίον καὶ ἔλαβε τοὺς οἴκους τοῦ ἡμίσεως χωρίου σὺν τοῖς ἀλόγοις καὶ

τοῖς ἀνθρώποις, γυναιξί τε καὶ τέκνοις, καὶ τοῖς μικροῖς βρέ-
φεσι σὺν ταῖς κούνναις αὐτῶν ἐπιπλέουσιν ἅμα καὶ τῶν ὀρ-
νέων, ἐλεεινῷ θεάματι, κατασύρων ἅπαντας εἰς τὸν παρακεί-
266. μενον ποταμὸν τὸν λεγόμενον Σάγαριν, | μηδεμιᾶς βοηθείας
ἐξελέσθαι αὐτοὺς δυναμένης. Μετὰ οὖν τὸ λωφῆσαι τὴν τοι-
αύτην ἀφόρητον ἀνάγκην, αὐτοὶ οἱ περιλειφθέντες οἰκοδεσπό-
ται τοῦ λοιποῦ ἡμίσεως χωρίου, παραγενόμενοι μετὰ δακρύων
πρὸς τὸν ὅσιον καὶ ἱκετεύσαντες, ἔλαβον αὐτὸν καὶ ἀπήγαγον
ἐπὶ τὸν τόπον καθ' ὃν τὸ νέφος εἰώθει κατεκχύνειν· εὐξάμενος
δὲ πρὸς τὸν Θεὸν, ἔστησεν ἐκεῖ σταυρὸν, καὶ Θεοῦ χάριτι οὐ-
κέτι ἄγριον νέφος γέγονεν ἐν τῷ τόπῳ. Εἰ δὲ καί ποτε ἀπὸ
χιόνων ἢ πολλῶν ὑετῶν πλημμύρα ὑδάτων ἐγένετο, οὐχ ὑπε-
ρέβη τὴν ἀρχαίαν αὐτοῦ ὁ χείμαῤῥος νομὴν, οὐδέ τις βλάβη ἐξ
αὐτοῦ ἔκτοτε εἰς τὸ χωρίον ἐγένετο.

142. Βουνοῦσσος δὲ ὁ ἀνήμερος ὕπατος, κατιὼν τότε ἐπὶ
τὰ τῆς ἀνατολῆς μέρη καὶ πλησιάσας τῇ μονῇ, ἀκούων τὴν
τοῦ θεοφόρου ἁγιωσύνην, καὶ καταιδεσθεὶς ὁ τοιοῦτος θρασὺς
καὶ ἀπάνθρωπος, προέμπεμψε πρὸς αὐτὸν ἱκετεύων αὐτὸν σκυλ-
μὸν ὑπομείναντα κατελθεῖν ἐν τῷ πλησίον τῆς Ἀλλαγῆς εὐ-
κτηρίῳ τοῦ ἁγίου μάρτυρος Γεμέλλου πρὸς τὸ ἐκεῖ προσκυ-
νῆσαι αὐτὸν καὶ εὐχῆς αὐτοῦ ἀξιωθῆναι, φάσκων μὴ δύνασθαι
διὰ τὴν κατεπείγουσαν αὐτὸν σπουδὴν ἀνελθεῖν ἐν τῇ μονῇ
αὐτοῦ. Κατελθὼν οὖν ἐκεῖσε ὁ ὅσιος, ἐδέξατο αὐτὸν, καὶ ἐν
τῷ ποιεῖν αὐτῷ τὴν εὐχὴν, ἑστῶτος αὐτοῦ καὶ μὴ ὑποκλίνον-
τος αὐτοῦ τὸν αὐχένα, αὐτὸς ἐπιλαβόμενος τῶν ἐπὶ μετώπῳ
τριχῶν τῆς κεφαλῆς αὐτοῦ καὶ ἑλκύσας, κατένευσεν αὐτὸν
κάτω (οὕτως εἴωθεν ἡ ἀρετὴ τῇ παῤῥησίᾳ κεχρῆσθαι καὶ μὴ
φοβεῖσθαι τὴν ἀνθρωπίνην ἐξουσίαν· δίκαιος γὰρ, φησὶν, ὡς
λέων πέποιθεν (Ψαλμ. κα'.))· ὥστε ἡμᾶς τοὺς συνόντας αὐ-
τῷ ἐκπλαγῆναί τε καὶ φοβηθῆναι ἐπὶ τῇ τοιαύτῃ τοῦ δι-
267. καίου τόλμῃ, διὰ τὴν περιβόητον | καὶ θηριότροπον τοῦ ἀνδρὸς

ὠμότητα λογιζομένους, ὡς μέλλοντα αὐτὸν εἰς ὕβριν τοῦτο λογισάμενον ἀγανακτεῖν. Ὁ δὲ ἀσμένως τήν τε εὐχὴν καὶ ἐπιτίμησιν αὐτοῦ δεξάμενος, ἐτίμησέ τε καὶ τὰς χεῖρας αὐτοῦ καταφιλήσας, καὶ ἐν τῷ ἰδίῳ στήθει περιλαβὼν διὰ πόνον τινὰ συνέχοντα αὐτὸν, ἐδέετο αὐτοῦ εὔξασθαι πρὸς τὸ ἀπαλλαγῆναι αὐτόν. Αὐτὸς δὲ τοῖς ἑαυτοῦ δακτύλοις τὸ στῆθος αὐτοῦ ἠρέμα κρούων, ἔφησεν αὐτῷ· « χρὴ εὔξασθαι πρῶτον, ἵνα ὁ ἔνδοθέν σου ἄνθρωπος διορθωθῇ καὶ ὑγιάνῃ· ἐκείνου γὰρ θεραπευομένου, πάντως καὶ ὁ ἔξωθεν ὑγιαίνει· κἀγὼ οὖν εὔχομαι καὶ σὺ δὲ εἰς τὸ ἀγαθὸν ἐπίδος σεαυτὸν καὶ φοβοῦ τὸν Θεὸν, ἵνα καὶ ἡ ἐμὴ εὐχὴ ἐνεργὴς γένηται. Ἐὰν δὲ ἐγὼ εὔχωμαι, καὶ σὺ ἀμελῇς πρὸς διόρθωσιν, ἀνενέργητος ἡ εὐχή μου γίνεται. Οἰκτίρμων οὖν καὶ ἐλεήμων γίνου πρὸς τὸ χριστιανικώτατον γένος, καὶ μὴ τῇ ἀποτομίᾳ χρῶ πρὸς τὴν ἐγχειρισθεῖσάν σοι ἐξουσίαν, ἀλλὰ τὸ ἴδιον τῶν πταισμάτων συνειδὸς ἐρευνῶν, σύμπασχε τοῖς παραπίπτουσι, καὶ μὴ ἐκχέῃς ποτὲ αἷμα ἀθῶον. Εἰ γὰρ ἐπὶ ψιλῆς ὕβρεως λόγου τοῦ εἰπεῖν τινα μωρὸν, ἐκδίκησις μέλλει γίνεσθαι, πόσῳ μᾶλλον αἷμα, ἐκχυνόμενον ἀδίκως, ἐκζητηθήσεται ὑπὸ τοῦ Θεοῦ; » Ταύτας οὖν αὐτῷ τὰς νουθεσίας ὡς ἐν ἀκάρπῳ γῇ καταβαλόντος, ἐκβαλὼν τινα νομίσματα, λόγῳ καρποφορίας αὐτῷ ἐπεδίδου· μὴ ἀνασχομένου δὲ αὐτοῦ δέξασθαι, κατασχὼν τὴν χεῖρα αὐτοῦ ἔλαβε τριμίσια, ἱκετεύων κἂν ταῦτα δέξασθαι, καὶ διαδοῦναι πρὸς ἓν κατὰ ψυχὴν τῶν ἐν τῇ μονῇ ἀδελφῶν. Αὐτὸς δὲ πρὸ τοῦ θεωρῆσαι αὐτὰ, ἔφησεν αὐτῷ· « ταῦτα πεντήκοντά εἰσι καὶ πρὸς ἓν δοθῆναι | ἑκάστῳ οὐκ ἐπαρκοῦσι, καὶ καταλλάσσονται δὲ, καὶ δια- 267.
δίδοται αὐτοῖς ἐξ ἰσότητος. » Ὁ δὲ θαυμάσας ἐπὶ τῷ διαγνωστικῷ αὐτοῦ λόγῳ, ὡς θεοπνεύστῳ ὄντι, ἀπεκρίθη αὐτῷ· « ναὶ, πάτερ τίμιε, μὰ τὰς ὁσίας εὐχάς σου πεντήκοντά εἰσι καθὼς εἶπε τὸ ἅγιόν σου στόμα· πλὴν εὐθέως πέμπω ἄλλα τοσαῦτα πρὸς ἀναπλήρωσιν πάντων. » Ὃ καὶ ἐποίησεν. Ἀπολυθεὶς γὰρ

ἐκ τοῦ ὁσίου καὶ καταλαβὼν τὴν βασταγὴν αὐτοῦ, ἔπεμψε τὰ ὑπεσχεθέντα παρ' αὐτοῦ. Οὕτως οἶδεν ἡ ἀρετὴ τῶν δικαίων καὶ τοὺς θρασεῖς καὶ ἀνημέρους κατευθύνειν, ὑποκλίνειν αὐτοὺς πείθουσα τοῖς αὐτῆς ἐργάταις.

143. Τὸ δὲ κοινὸν τοῦ χωρίου Ἀπουκούμεως ἔσφαξεν ἕνα βοῦν, καὶ ἤσθιον αὐτοῦ τὰ κρέα. Συνέβη δὲ πάντας αὐτοὺς ἀριστῶντας πεσεῖν ὡς νεκρούς, τὰ δὲ καταλειφθέντα κρέα μελανὰ γεγονότα, δυσωδίαν πολλὴν ἀπέβαλλον. Τινὲς δὲ τοῦ χωρίου, μὴ μετασχόντες τῶν κρεῶν, παρεγένοντο πρὸς τὸν ὅσιον ἀναγγεῖλαι αὐτῷ τὴν γενομένην ἐν τῷ χωρίῳ αὐτῶν ἀνάγκην. Αὐτὸς δὲ ἀπήγγειλεν αὐτοῖς ἀπὸ φάλαγγος δαιμόνων, παρελθούσης διὰ τοῦ λέβητος, τῶν κρεῶν γενέσθαι τὴν τοιαύτην βλάβην· μὴ δυνάμενος δὲ συνελθεῖν αὐτοῖς διά τινα ἀρχοντικὴν τότε παρουσίαν, εὐλόγησεν ὕδωρ καὶ ἀπέστειλε δι' ἑνὸς τῶν ἀδελφῶν ἐπὶ τὸ ποτίσαι καὶ ῥαντίσαι τοὺς κινδυνεύοντας. Καὶ τούτου γενομένου, πάντες ὡς ἐξ ὕπνου ἀνέστησαν, ἑνὸς μόνου τελευτήσαντος· τοῦ γὰρ προοίκου Ἰωάννου ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ μὴ ἀναμείναντος τὴν τοῦ ὁσίου εὐχήν, ἀλλὰ πρὸς γυναῖκα δραμόντος ἐπαοιδίαις χρωμένην καὶ περίαπτον ἀπ' αὐτῆς λαβόντος, καὶ τῷ ἀδελφῷ προσδήσαντος, πάραυτα ἐτελεύτησεν.

268. 144. Ἐν αὐτῷ | πάλιν τῷ χωρίῳ νέφος ἄγριον ἐπήρχετο κατὰ τὸν καιρὸν τῆς τρύγης καὶ ἐχαλάζου τοὺς καρποὺς αὐτῶν ἐπὶ πλείστους χρόνους· ἐπελθόντος δὲ τοῦ σημειοφόρου καὶ εὐχὴν ἐν τῷ τόπῳ ποιήσαντος καὶ σταυρὸν στήσαντος, εἰς τὸν ἐπιόντα καιρὸν ἐπελθὸν τὸ νέφος, παρῆλθε τὸν τόπον καὶ οὐκ ἔτι ἐγένετο ἐπ' αὐτοῖς ἡ τοιαύτη βλάβη· ὅθεν καὶ οἱ ἄνθρωποι ὑπὲρ τῶν τοιούτων εὐεργεσιῶν τόπον ἀμπελικὸν προσήγαγον τῇ μονῇ αὐτοῦ τῷ Θεῷ εὐχαριστοῦντες.

145. Καὶ ἐν ἄλλοις δὲ χωρίοις τοιαῦτα θαύματα ἐγένοντο καὶ ἐπὶ κανθάρων καὶ ἀκρίδων καὶ σκωλήκων καὶ μυωξῶν, κα-

τεσθιόντων τὸ θέρος καὶ τὴν ἄμπελον. Καὶ ὅπου ἄν τι τοιοῦτον συνέβαινεν, εὐθέως πρὸς αὐτὸν συνέτρεχον καὶ ἐλάμβανον αὐτὸν, ἢ ὕδωρ, εὐλογηθὲν ἐκ τῆς χειρὸς αὐτοῦ, ἐπὶ τὸ ῥαντίσαι τοὺς λυμαινομένους τόπους, καὶ εὐθέως τοῦ ζητουμένου ἐτύγχανον. Πάλιν τε νέφους ἀγρίου εἰ συνέβαινε κατάχυσιν γενέσθαι ἔν τισι χωρίοις, ἢ ποταμῶν ὑπερβάσεις ἐπιβλαβεῖς παρὰ τὸ σύνηθες, ἐν σπουδῇ παραγενόμενοι οἱ τὴν ἐξ αὐτῶν ὑπομένοντες βλάβην, καὶ λαμβάνοντες τὸν ὅσιον καὶ ἀποφέροντες κατὰ τὸν τόπον, ἢ καὶ σταυρὸν λαμβάνοντες ἐκ χειρὸς αὐτοῦ μετὰ εὐχῆς καὶ καταπηγνύντες ἐν τῷ τυραννουμένῳ τόπῳ, οὐκ ἔτι τὴν τοιαύτην ὑπέμενον συμφοράν. Θνήσεις τε βοῶν καὶ ἑτέρων θρεμμάτων, φοράδων τε λέγω καὶ παντοίων ἀλόγων καὶ πετεινῶν, ἢ καὶ ἀνθρώπων, ὅταν ἐγίνοντο ὁμοίως λαμβάνοντες αὐτὸν, ἢ τὴν εὐχὴν αὐτοῦ μετὰ εὐλογηθέντος ὕδατος, ἢ τὰ κάπιστρα καὶ τοὺς κώδωνας τῶν ἀλόγων εὐλογηθέντα ὑπ' αὐτοῦ ἀποφέροντες, τῶν ἰαμάτων ἐτύγχανον. Περιεργίᾳ δὲ ἐὰν ἐγίνετο | ἔν τισιν ὑπὸ τῶν πονηρῶν 268.
πνευμάτων, τὴν εὐχὴν αὐτοῦ οἱ βλαβέντες κομιζόμενοι, τῆς βλάβης ἠλευθεροῦντο. Μῖσος ἀνδρογύνων ὅταν ἔν τισιν ἐγίνετο, παρεγίνοντο καὶ τὴν εὐχὴν αὐτοῦ ἐλάμβανον, καὶ τοῦ μίσους ἀπηλλάττοντο. Ἀτεκνίαν δὲ ἐὰν εἶχον ἀνδρόγυνα ἀπὸ νεότητος μέχρι γήρους, λαμβάνοντες τὴν εὐχὴν αὐτοῦ καὶ τὰς ζώνας ὑπ' αὐτοῦ εὐλογηθείσας, τῷ αὐτῷ χρόνῳ ἔτικτον παῖδας. Ἐπὶ νοσούντων δὲ κατακειμένων ἐν τοῖς ἰδίοις οἴκοις, οἱ συγγενεῖς αὐτῶν ἢ ἔλαιον, ἢ ὕδωρ εὐλογηθὲν παρ' αὐτοῦ ἀπάγοντες, ὑγιεῖς αὐτοὺς ἀπελάμβανον. Πάθεσί τε παντοίοις καὶ τραύμασιν οἱ συνεχόμενοι, λαμβάνοντες τὴν εὐχὴν αὐτοῦ, ἐτύγχανον τῆς ἰάσεως. Εἰ δὲ καί τινες ἰατρικῆς ἔχρῃζον ἐπιμελείας ἔν τισι πάθεσιν, ἢ χειρουργίας, ἢ πόσει καθαρτικῇ, ἢ θερμοῖς χρήσασθαι, τὸ συμφέρον ἑκάστῳ ὁ θεόπνευστος, ὅστις ἔμπειρος ἰατρὸς καὶ δι' αὐτῆς τῆς τέχνης γενόμενος, προσέταττεν, οὓς μὲν χει-

ρουργίας τυχεῖν συμβουλεύων, καὶ ποίῳ ἰατρῷ χρήσασθαι ὤφειλον σαφῶς ἐξονομάζων.

146. Ἑτέρους δὲ θέλοντας χειρουργηθῆναι, ἢ ἄλλης ἰατρικῆς ἐπιμελείας τυχεῖν, οὐκ εἴα ἀποτρέπων αὐτοῖς τοῦτο, καὶ θερμίζειν μᾶλλον συνεβούλευεν, ἐξονομάζων καὶ τὰ θερμά, οἷς χρήσασθαι ὤφειλον. Ἄλλους θέλοντας θερμίσαι ἐν τοῖς λεγομένοις Δαβλίοις, ἢ εἰς τὰ πόσιμα, τὰ λεγόμενα Ἄψοδα, ἀπελθεῖν καὶ πιεῖν ἴσως, διεκώλυεν· προσέταττεν δὲ μᾶλλον πόσει καθαρτικῇ χρήσασθαι παρ' ᾧ ὠνόμαζεν ἰατρῷ. Ἑτέρους πάλιν τὸ αὐτὸ ποιεῖν οὐ συνεχώρει, ἀλλ' ἐν τοῖς ποσίμοις θερμοῖς ἀπέστελλεν, ἢ καὶ ἐν ἄλλοις θερμοῖς ἐξέπεμπεν. Ἄλλους δὲ τε-
269. τραυματισμένους | καὶ σύριγγας ἔχοντας, τοὺς μὲν ἴσως θέλοντας χειρουργηθῆναι, εἰς θερμὰ ἐξέπεμπε, τοὺς δὲ ἐμπλάστροις χρήσασθαι παρήγγελλεν, οἷς περ αὐτὸς ὠνόμαζεν. Καὶ ἁπλῶς ἑκάστῳ τῶν παραγινομένων τὸ πρὸς θεραπείαν προσφόρως συνεβούλευεν ὡς ἑκάστου τὸ πάθος ἔχρῃζεν, ὡς ἄριστος ἰατρὸς καὶ τοῦ ἀληθινοῦ ἀρχιΐατρου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μαθητής, καὶ οὐδεὶς ἀπετύγχανε τῆς ὑγείας τῶν τῷ λόγῳ αὐτοῦ ἐξακολουθούντων, ὡς πληροῦσθαι δι' αὐτοῦ τὴν τοῦ Δαβὶδ πρὸς Θεὸν εὐχαριστίαν τὴν ᾀδομένην· ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε (ΛΕ'. 7). Εἰ μέντοι γε συνέβη τινὰ τῶν παρ' αὐτοῦ ἐπιτραπέντων παριδεῖν καὶ ἐναλλαγὴν ποιῆσαι πρὸς τὸ κελευθὲν αὐτῷ, εἴτε ἄλλῳ ἰατρῷ χρήσασθαι, καὶ οὐχὶ τῷ παρ' αὐτοῦ ἐξονομασθέντι, εἴτε ἄλλοις ἐμπλάστροις ἢ ἐπιμελείᾳ ἑτέρᾳ, ἢ ἑτέροις θερμοῖς, τούτου δυσίατον τὸ συνέχον πάθος ἐγίνετο, ἕως μετέβη εἰς τὴν παρ' αὐτοῦ προσταχθεῖσαν ἐπιμέλειαν, καὶ εἰς τὰ ἐξ αὐτοῦ ἐξονομασθέντα θερμά, καὶ εἰς τὸν ὑπ' αὐτοῦ ὁρισθέντα ἰατρόν.

147. Τοῖς δὲ ἀνατιθεμένοις αὐτῷ τοὺς λογισμοὺς καὶ τὰ κρυπτὰ τῆς καρδίας νοσήματα, κατάλληλον ἐδίδου θεραπείας βοήθημα· καὶ τοῖς παραπεσοῦσιν ἐν διαφόροις πταίσμασι, χρό-

νον τινα ὥριζεν πρὸς μετάνοιαν, ἐν νηστείαις, προσευχαῖς τε καὶ ἐλεημοσύναις αὐτοὺς καθαίρων· τῶν δὲ ἐπικρυπτόντων τὰ ἑαυτῶν ψυχικὰ ἕλκη, προέλεγεν αὐτοῖς τινα τῶν αὐτοῖς πεπραγμένων, νουθετικῶς συμβουλεύων ἐπιμελείας τυχεῖν· Τοὺς δὲ ἐν πολυορκίαις καὶ βλασφημίαις ἁλισκομένους, αὐστηρῷ βλέμματι προσέχων, ἀποστῆναι τῆς τοιαύτης συνηθείας διεμαρτύρατο, καὶ ἐν πολλοῖς δάκρυσι καὶ δεήσεσι | καὶ ἀγαθοεργίαις ἐξιλεώ- 269.
σασθαι τὸ θεῖον περὶ τῶν τοιούτων παρανομιῶν, τὴν ἐκ τοῦ ψαλμῳδοῦ προφέρων μαρτυρίαν· «ὅτι περ εἰ τοὺς μόνον τὸ ψεῦδος λαλοῦντας ἀπολεῖ ὁ κύριος, πόσῳ μᾶλλον τοὺς καὶ ὅρκους προσεπιτιθέντας καὶ ἐπιορκίας ἐπισωρεύοντας, ἀποτόμῳ ὀργῇ χρήσεται καὶ αἰωνίᾳ τούτους παραδώσει κολάσει; Ἀποδώσεις γὰρ τῷ Κυρίῳ τοὺς ὅρκους σου, θεία διαμαρτύρεται φωνή· καὶ ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρα κρίσεως· εἰ δὲ ῥήματος ἀργοῦ ὑφέξομεν εὐθύνας, πῶς ὑπενέγκωμεν τὴν ἀπειλὴν τοῦ Θεοῦ ἐπὶ ταῖς πολυορκίαις καὶ ταῖς κακοπραγίαις ἡμῶν;» Τοὺς δὲ ἐν λύπῃ καὶ ἐν ἔχθρᾳ ὄντας πρὸς ἀλλήλους εἰρήνευε, καὶ τοὺς δίκας πραγμάτων ἔχοντας εἰς λυσιτέλειαν ἦγε, νουθετῶν αὐτοὺς μὴ ἀδικεῖν ἀλλήλους, καὶ μηδὲν ἡγεῖσθαι τὰ παρόντα πράγματα, ἀλλὰ παντὸς πλούτου προτιμᾶν μᾶλλον τὴν τοῦ Θεοῦ ἐντολὴν τὴν λέγουσαν· «ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν (Ματθ. ιθ'. 19)·» ἡ γὰρ ἀγάπη, φησί, τῷ πλησίον κακὸν οὐ κατεργάζεται, καὶ ὁ ἀγαπῶν τὸν ἀδελφὸν ἀγαπᾷ τὸν Θεόν. Φιλοξένους τε καὶ ἐλεήμονας εἶναι πάντας παρεκάλει, ὡς λύτρωσιν ἁμαρτιῶν ἐκ τούτων ἀξιωθησομένους, καὶ τροφὴν εἰς τὸ μέλλον προαποτιθεμένους. Ἦν δὲ ὁ μακάριος πολὺ συμπαθὴς καὶ εὔσπλαγχνος περὶ πάντας, καὶ ὅστις δ' ἂν κατεδυναστεύετο παρ' ἄρχοντος (*), ἢ ἀνύτου

(*) Ἐπεξηγεῖται ἡ λέξις ἐν τῇ ᾤᾳ διοικητοῦ.

ἤ τινος ἄλλου, παρεγένετο πρὸς αὐτὸν καὶ ἀνετίθετο αὐτῷ τὸ πρᾶγμα. Ὁ δὲ μακάριος κατὰ τὴν Γραφὴν πράττων τὴν λέγουσαν· ἐξέλεσθε πένητα καὶ πτωχὸν ἐκ χειρὸς ἁμαρτωλοῦ, ῥύσασθε αὐτόν. Ἔτι δὲ καὶ τοῦ Ἰὼβ μιμήσασθαι θέλων (τὴν) δικαιοπραγίαν, τὸ διέσωσα πτωχὸν ἐκ
270. χειρὸς [δυ[ναστῶν]................... Ἄλλαις δὲ τὴν μετὰ τῶν ἁγίων συνοίκησιν αὐτοῦ ἐπιδεικνύων, μετὰ πλήθους λαμπροφορούντων ἐπιφαίνεται, εἰς δόξαν τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ Τριάδος, τῆς καὶ μετὰ τέλος τοὺς ἀληθινοὺς καὶ ἁγίους αὐτῆς προσκυνητὰς μεγαλυνούσης.

148. Ταῦτα δὲ πάντα Θεοῦ συνεργίᾳ ἐγὼ ἐξεθέμην ὁ ἁμαρτωλὸς καὶ ἀνάξιος αὐτοῦ δοῦλος Ἐλεύσιος, ὁ καὶ Γεώργιος ὑπ' αὐτοῦ τοῦ ἁγίου ἐπονομασθείς, ὃς οὐκ ἄμοιρος τῶν αὐτοῦ εὐεργεσιῶν γέγονα, ἀλλὰ καὶ μειζόνως μετέσχον τούτων. Τῶν γὰρ ἐμῶν γονέων ἐκ τοῦ χωρίου Ἀδιγερμαρῶν ὁρμωμένων, ἱκανοὺς χρόνους ζησάντων ἀλλήλοις καὶ παιδοποιΐας ἐστερημένων ἐλθόντων αὐτῶν πρὸς τὸν ἅγιον καὶ εὐχὴν παρ' αὐτοῦ λαβόντων καὶ τὰς ζώνας εὐλογηθέντων, διὰ τῆς εὐχῆς αὐτοῦ συλληφθεὶς ἐτέχθην· καὶ νήπιος προσενεχθεὶς αὐτῷ ἐν τῇ ἁγίᾳ μονῇ αὐτοῦ ἀνετράφην καὶ ὑπὸ τοῦ θεοφιλεστάτου ἡγουμένου ἐδιδάχθην τὰ πρὸς τὴν χρείαν γράμματα, τὴν ὑπὲρ ἐμοῦ ἀντεισαγωγὴν τῶν ἐμῶν γονέων ἕτερον υἱὸν εἰληφότων διὰ τῆς εὐχῆς τοῦ ἁγίου, ὃν τῆς αὐτοῦ ἐπωνυμίας ἠξίωσαν. Ἐμαθητεύθην δὲ τῷ ἁγίῳ καὶ θεράποντι τοῦ Χριστοῦ τούτῳ, ἰδοὺ δωδέκατον ἔτος, ἐν οἷς ἠξιώθην καὶ πολλῶν θαυμάτων αὐτοῦ αὐτόπτης γενέσθαι. Τὰ δὲ ἐν τοῖς πρώτοις αὐτοῦ καὶ μέσοις χρόνοις γεγονότα, φιλοπονήσας ἔμαθον παρὰ τῶν κατ' ἐκείνους τοὺς καιροὺς αὐτῷ διακονησάντων καὶ αὐτοπτῶν γεγονότων, καὶ ἑτέρων τῶν τῇ πείρᾳ τὴν ἴασιν δεξαμένων, ἐξ ὧν τὰ μὲν ἔλαθον, τὰ δὲ ὄκνῳ παρέδραμον διὰ τὴν ἐμαυτοῦ μικροψυχίαν, ἐκθέμενος ἐκ τῶν πολλῶν ὀλίγα· εἰ γάρ τις ἅπαντα ἱστορῆσαι

| θελήσοι, οὐδ' αὐτὸν οἶμαι τὸν συγγραφέα ἐπαρκέσαι πρὸς τὴν 270.
ἐξήγησιν ἀλλ' ἐπιλείψει αὐτῷ καὶ ὁ χρόνος διηγουμένῳ. Ἐτελειώθη δὲ ὁ ὅσιος καὶ τρισμακάριος καὶ ἅγιος δοῦλος καὶ πιστὸς θεράπων τοῦ Χριστοῦ Θεόδωρος ἐν ἔτει τρίτῳ τῆς βασιλείας τοῦ εὐσεβοῦς καὶ φιλοχρίστου ἡμῶν βασιλέως Ἡρακλείου, ἐν δὲ πρώτῳ ἔτει τῆς βασιλείας τοῦ θεοφυλάκτου καὶ θεοστεφοῦς υἱοῦ αὐτοῦ Ἡρακλείου τοῦ νέου Κωνσταντίνου, τῶν αἰωνίων αὐγούστων καὶ αὐτοκρατόρων, ἰνδικτίονος πρώτης, μηνὶ ἀπριλίῳ ΚΒ'. διαφασκούσης (*) ἡμέρας Κυριακῆς, εἰς τὰ ἀπολούσια τοῦ ἁγίου Πάσχα, οὗπερ εὐχαῖς καὶ πρεσβείαις εὕροιμεν ἔλεος ἐπὶ τοῦ βήματος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν σὺν αὐτῷ καταξιωθῶμεν ἅμα καὶ πᾶσι τοῖς τὴν μνήμην αὐτοῦ ἐπιτελοῦσιν, εἰς δόξαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

(*) Χ. διαφαυούσης.

Bayerische Staatsbibliothek MÜNCHEN

ΠΙΝΑΞ

ΤΩΝ ΕΝ ΤΩι ΚΕΙΜΕΝΩι ΣΠΟΥΔΑΙΟΤΕΡΩΝ ΟΝΟΜΑΤΩΝ ΚΑΙ ΣΠΑΝΙΩΤΕΡΩΝ ΛΕΞΕΩΝ.

Ἄβαρες 48, 19, 49. κζ'.—θ'. (*)
Ἀγαλλιανὸς (συγκλητικὸς) κ'.
Ἀγάπιος (Κρὴς) ς'.
Ἀγέλιος (ἐπίσκ.) 236, 10.
Ἄγκυρα 363, 22. 364, 27. 376, 5. 380, 2. 384, 390, 23. 403, 27. 414, 415, 1. 416, 27. 433, 434, 10. 464, 29. ιη'.
Ἀγκύρων (-Ἀγκυρανῶν) 490, 23.
ἀγριόχηνον 442, 25.
ἀδελφοποίησις 418.
Ἀδιγερμαρῶν (χωρίον) 494, 13.
Ἀδριανὸς (Αἴλιος) 218, 11.
Ἀέτιος (πρόοικος) 474, 8.
Ἀθανάσιος (ὁ μέγας) 199, 16. 202, 24, 230, 4. 231, 232, 233, 12. 234, 235, 236, 2. ζ'.
Ἀθανάσιος (Γαγγρῶν ἐπίσκ.) 254. 4.
Ἀθηναῖοι 70, 9. 195, 28. 196, 7. 258, 24.
Ἄθως 71, 2.
Αἰάντων (χωρ.) 474, 6.
Αἰγαὶ 342, 26.
Αἰλία (πόλις) 218, 15.
Αἰμιλιανὸς (ἐπίσκ. Γερμίων) 423, 28. 424, 8. 449, 29. 450, 452, 6. 458, 22.
Αἶνος 140.
Ἀκακίου (ἁγ. ναὸς) 237, 7.
ἀκοίμητος κανδήλα 422,10. 460, 28.
Ἄκρηνα 434, 14.
Ἀλεκτορία (χωρ.) 448, 31. 474, 8.
Ἀλεξάνδρεια 198, 199, 232, 20. 237, 27. 270.
Ἀλεξανδρέων (λαὸς) 232, 22.
Ἀλέξανδρος (ἐπίσκ.) 198, 199, 13. 200, 202, 230, 5.
Ἀλέξανδρος (ἐπίσκ. Κωνστ.) 230, 5.
Ἀλέξανδρος (ἡγεμ. Καππαδ.) 345, 18. 346, 347,
Ἀλέξανδρος (τοπαρχ. Γαγγρῶν) 238.
Ἀλέξανδρος (κόμης Καισαρ.) 357.
ἀληθάργητος κηλὶς 430, 19.
Ἀλιγένης (μοναστ.) 450.
Ἀλλαγὴ 418, 19.
Ἀλμυρὸς (ποταμ.) 260. 26.

(*) Τῶν δίς ἢ καὶ πλέον ἀπαντώντων ἐν τῇ αὐτῇ σελ. παραλείπεται ὁ στίχος.

Ἀμίαντος (ἐπίσκ. π. Κίνας) 421, 2.
Ἀμμία 340, 341, 342, 22.
Ἀμόριον (πόλ.) 456, 6. 458, 13.
Ἀναστάσιος (ἰλλούστρ.) 456, 28. 457, 7. (-μοναχ.) 149.
Ἀναστάσεως ν. 224, 20. 408, 30.
Ἀναστασιούπολις 363, 414, 415, 419, 30. 422, 423, 14. 425, 428, 430, 14, 435, 15.
Ἀναστασιουπολιτῶν (πόλις) 363, 21. 364, 27. 376, 5. 380, 399, 22.
Ἀνατολή. 230, 1. 232, 6. 233, 28. 234, 235, 236, 10. 237, 18, 407, 12. 410, 2. 469. 21. 471, 3. 479, 6. 488. 16.
Ἀνδρέας (μαθ. Θεοδ.) 405, 26. 406.
Ἀνδρέας (μοναχὸς) 418, 11.
Ἀνδρέας (υἱὸς συγκλητικῆς) 459, 3.
Ἀνδρέας (πρωτοπρεσβύτερος) 425, 7, 426, 9.
ἀνηλύω 451, 8.
Ἀνίκητος (ξενοδόχ.) 419.
Ἀνίκητος (ἡγούμ.) 460, 31. 461,
Ἀντιόχεια 202, 2. 204, 21. 222, 8. 231, 6. 230, 21. 232, 237, 28. 351, 16.
Ἀντίοχος (ἅγ. ἐξ ἐρήμ.) 427. 10.
Ἀντίοχος (μάρτ.) 476, 21.
Ἀντίπατρος (πρόοικος) 474, 5.
Ἀντώνιος (ἅγ.) ζ'.
Ἀντώνιος (ἀρχιεπ. Κωνστ.) 120, 9.
ἀνύτης 463, 30.
ἀπαράνοικτος 248, 22.
Ἀποκούμεως (χωρ.) 490, 5.
ἀποκρισάριος 478.
ἀπολούσια 495, 7.
Ἀποστόλων (ναὸς) 224, 13.
Ἄραβες (Κρῆτες) 4, 3. 11, 15. 19, 19. κζ'.
Ἀρανία 473, 14.
Ἀργυρίσκος Πύρρος 286, 25.
Ἄρειος 198, 11, 199, 200, 8. 201, 202, 7. 206, 25. 208, 30. 209, 1. 210, 30. 211, 15. 230, 231, 3. 232, 3. 235, 31. 237, 14. 240, 6.
Ἀρκαδιαναὶ 486, 18.
Ἄρκεα (ἡ Ἀρκέα) 375, 2. 412, 30.
ἄρκος 389, 16.
ἀρμαρίτης 400, 27.
Ἀρμενία 117, 10, 236, 3.
ἄρμενον (πλοίου) 441, 11.
Ἀρσῖνος (μαθ. Θεοδώρ.) 404. 24. 405, 406.
Ἄρτεμις 375.
Ἀρχαγγέλου (ναὸς) 393, 28. 399, 14. 422, 6. 423. 18. 424, 1. 450, 452, 15. 453. 7. (-εὐκτήρ.) 434, 12. (—μοναστ.) 487, 23. (ἐκκλ.) 461, 1.
ἀσηκρῆτις 471, 11.
Ἀσιᾶτις (γῆ) 139, 5.
Ἀσκανία (λίμνη) 247, 1.
Ἀσσυρία 348, 30.
Ἀστακηνὰ (ὄρ.) 246, 29.
αὖγος 369, 18.
Αὐτονόμου ἁγ. (μοναστ.) 407, 26.
Ἀφροδίτης (ἄγαλμα) 218.
Ἄφρος (Ἀντιόχ.) 427, 14.
Ἀχιλλᾶς (ἐπίσκ. Ἀλεξανδρ.) 198, 5.
Ἀχιλλεὺς (Αἰγύπτιος) 170, 14.
Ἀχόλιος (ἐπίσκ. Θεσσαλ.) 237, 29.
Ἄψοδα (ὕδατα) 492, 7.

Βαβύλας (ἅγ.) ζ'.
βαδιστὴς 428, 28.
Βαγλατία 364, 15.
Βάκχου (μαρτ.) 412, 11.
Βαλεντία (πόλ. Ἰσπαν.) 310, 15.
Βαλλέριος (ἐπίσκ.) 309, 25.
Βαρλαὰμ (μάρτ.) 351, 352, 353, 354, 355, 356, 357.
Βασίλειος (ὁ μέγας) ζ'. κη'.
Βασιλίσκος (αὐτοκρ.) 278, 29.
βασταγή, 490, 1.
Βάτου (χωρ.) 337, 7.
βέργα 388, 19.
Βηκία (μοναστ.) 404, 3.
Βιθυνία 166, 3. 168, 28. 223, 17. 224, 13. 239, 245, 7.
Βικέντιος (μάρτ.) 285, 2. 309, 310, 7. 311, 30. 313, 12. 315, 4. 316, 2. 320, 323.
Βίκτωρ (μάρτ.) 285, 1. 298, 299, 300, 302, 304, 21. 305, 21. 308, 7. 309, 324, 6.
Βλάττα (ἀδελφ. Θεοδ.) 369, 25. 484.
βληθῆναι εἰς τὸ ξύλον 453, 11.
Βολλάνδης (Ἰωαν.) γ'.
βομβῶν 367, 30. 368, 5.
Βουζαίων (χωρ.) 401, 5.
Βουλλερὸν 150, 12.
βουνίον 461, 18. 462, 18. 464. 467 8.
Βουνοῦσος (ὕπατος) 488, 15.
Βρεττανία 168, 16. 171, 17. 217, 1.
βρεττανικαὶ (νῆσοι) 173, 13. 217. 1,
βρεττανικαὶ (δυνάμεις) 177, 24.
Βρεττανός, 171, 17.
Βριάνεια καὶ Βριανία 406, 14, 461, 1.
Βιζάντιον 133, 149, 150, 160, 5. 195, 202, 16. 219, 30.
Βυζάντιοι 196, 7. 247, 6. γ'. ϛ'. ιδ'. ιε'. ιη'. κ'.

Γάγγης (ποταμ.) 217, 4.
Γαγγρὰ 338, 11. ιϛ'.
Γάδειρα 216, 30.
γαδειραῖος (τράχηλος) 168, 11.
Γαϊνὴ 258, 14.
Γαλατία 383, 31. 401, 31. 402. 2. 406, 8. 410, 31. 419, 428, 21. 478, 12. ιη'.
Γαλάται 168, 18. 173, 14. 363, 252, 11. ὡς—ἐφάγομεν 419, 20.
γαλατικὸς 177, 24.
Γαλατίου (εἰς τὰ—) 406, 19.
Γαληνῶν (χωρ.) 406, 19.
Γαλλέριος 1 168, 169, 194, 23.
Γαλλία 169, 26.
Γελάσιος (Καισαρ.) 166, 12. 167, 10. 171, 30. κε'. κϛ'.
Γελάσιος (Ῥουφῖνος) 214, 5.
Γεμέλλου ἅγ. (ναὸς) 369, 30. 384, 20. 488, 20.
Γερμανοὶ 173, 14.
Γερμανικεία 234, 25.
Γερμίων (πόλ.) 423, 6. 424, 4. 449, 30. 450, 9. 458, 22.
Γερόντιος (συσχολίτης Θεοδ.) 370, 18, 371.
Γεώργιος (πρωτοκαγγελάριος) 149, 26. 150.
Γεώργιος (ἀντάρτης) 475, 3.

Γεώργιος (Γρηγόριος ὅσιος) 154.
Γεώργιος Κεδρηνὸς ιε'.
Γεώργιος (μαθητὴς Θεοδ.) 331, 15. 494, 10. κδ'.
Γεώργιος (μάρτυς) 365, 9. 368, 369, 10. 371, 9. 376, 11. 411, 9. 432, 26. 437, 24, 441, 31. 448, 11. 449, 28. 452, 457, 27, 464, 2. 470, 9.
Γεώργιος (μητροπ.) 451, 22.
Γεωργίου (μαρτύριον, εὐκτ. ναὸς) 367, 7. 368, 13. 379, 19. 382, 18. 384, 1. 399, 4. 412, 6. 415, 12. 423, 460, 471, 7, 477, 9. 479, 15 (μονὴ)
γιαλώπια ιϛ'.
Γλυκέριος ἅγ. 373, 18.
Γόρδιος (μάρτ.) ζ'.
γραμματιστὴς 240, 20.
Γρατιανὸς 237, 17.
Γρηγόριος (ὅσιος) 130, 26. 137, 5. 138, 28. 148, 13. 149, 5. 154. 160, 8. 163,
Γρηγόριος (ἐπίσκ.) 231, 24. 232, 18.
Γρηγόριος (ὁ Θεολόγος) 237, 28.
Γρηγόριος (ὁ Νύσσης) 237, 30. ζ'.
Γρηγόριος (υἱὸς πατρικ.) 477, 6.
Γορδιανὴ 401, 31.
γούλα 389, 25.

Δαβλία 492, 7.
Δαλμάτης 167, 21.
Δαμασκηνῶν (πόλις) 298, 17.
Δαμιανὸς ἅγ. 397, 17. 498, 15.
Δατιανὸς 309, 28. 310, 12. 312, 23. 313, 314, 317, 4. 318, 12. 319, 320, 322, 323, 4.
δάτον 470, 7. κε'.
δειλινὴ ὥρα 484, 11.
Δεκάπολις 131, 7. 132, 21. 133, 30.
Δέκιος 245, 7. 246, 1. 247, 12, 250, 19.
δελτίδια 258, 12.
δεξιάριον 371, 25.
Δεσποινία 363, 27. 384,
Δημήτριος (μάρτ.) 41, 18. 42, 8, 44, 23. 45, 46, 12. 50, 2. 52, 3. 54, 1. 56, 60, 61, 8. 64, 9. 67, 68, 12. 69, 71, 18. 73, 17. 77, 8. 78, 79, 24. 81, 19. 82, 2. 83, 22. 86, 21. 87, 88, 89, 90, 30. 98, 99. 100, 101, 102, 11. 103, 24. 107, 13. 108, 109, 110, 111. κζ'.—η'.
Δημήτριος (πρεσβύτ.) 474, 6.
Δημόκριτος (ἡγεμ.) 341, 23. 342
Διοκλητιανὸς 165, 25. 166, 4. 167 19. 169, 170, 198, 4. 244, 29. 286, 328, 6.
Δία (νῆσος) 17. 5. 38, 8.
Διονυσίου ἁγ. (ἐκκλ.) 224, 21.
Διονύσιος (κελλαρίτης) 453, 27.
Διοσκόνεως (χωρ.) 390, 23.
δισκοποτήριον 399, 31. 411, 27.
δομέστικοι 450, 19.
Δομετιανὸς (διάκονος) 416, 25. 417, 5.
Δομνίκα (ὁσία) 268, 20. 269, 7. 272, 14. 273, 274, 18. 275, 22. 276, 281, 29. 283, 13. 284.

Δομνιτζίολος (ἀνεψ. Φωκᾶ) 469, 19. 477, 31. 486, 17. κε'.
Δορύλλεον (πόλ.) 479, 11.
Δουγαΐας (χωρ.) 417, 31.
δράκων 262, 10. 263, 16. κ'.
Δράκοντος (ὄρος) 407, 24.
Δρυΐνων (μοναστ.) 419, 9. 420, 31.
Δυνάμεως (ναὸς) 224, 21.
Δωροθέα 273, 26. 279, 281, 8. 282, 5.

Εἰρηναῖος (ἔπαρχος) 282, 18.
Εἰρήνη (βασιλ.) 124, 8.
Εἰρήνη (γυν. Δομνιτζιόλου) 486, 19.
Εἰρήνη 424, 13.
Εἰρήνης ἁγ. (ναὸς) 224, 21. 230. 19. 238, 23.
Εἰρηνικοῦ ἁγ. (ἐκκλησ.) 394.
Εἰρηνούπολις 131, 8.
εἴσοδα 368, 2. κδ'.
Ἑλένη ἁγ. 165, 30. 172, 23. 190, 191, 1. 218, 6. 223, 18. 228, 13, 229, 27.
Ἐλεύσιος (ἐπίσκ. Κυζίκου) 238, 1.
Ἐλεύσιος (μαθ. Θεοδώρ.) 494, 10.
ἐλεφαντίασις 185, 5. —ᾶσαι 448, 18.
Ἑλλὰς 42, 18. 49, 22. 54, 10. 70, 30. 83, 21. 86, 23. 87, 29. 218, 25. κη'.—λ'.
Ἕλληνες 61, 2. 70, 71, 23. 74, 5. 75, 6. 82, 18. 83, 90, 22. 91, 94, 13. 98, 106, 17. 108, 8. 186, 188, 2. 194, 15. 195, 196, 1. 200, 201, 206, 6. 209, 11. 214, 218, 25. 236, 257, 9. 298, 20. 308, 29. 346, 15. 351, 13. 467, 29. γ'. κδ'. κς'.
ἑλληνικὸς, 54, 17. 255, 31.
Ἑλληνὶς 70, 4. 270, 12. 273, 21.
Ἐλλησπόντιος 168, 13.
Ἑλλήσποντος 140, 8.
Ἐλπιδία 363, 27. 375, 18. 384, 390, 27.
Ἐλπίδιος (μοναχ.) 407, 11.
Ἐλπίδιος (τόπος) 407, 15.
Ἐμπόριον (πυλῶν) 479, 23.
Ἐνθάδιος (ἐπίσκ.) 413, 26.
ἔνεδρον 473, 17.
ἐπιγυρεύω 465, 13.
Ἐνίστρατον (κώμη) 386, 2.
ἐξέμπλιον 400, 14. 1.
ἐπανκλύω 470, 24.
ἐπαοιδία 490, 12.
Ἐπιφάνιος (ἀποκρισ.) 478, 3.
ἐργαστὰ (βρώματα) 365, 26.
Ἑρκούλιος 55, 14. 59, 5. 61, 6. 167, 31. 168, 170, 10. 177, 5. 223, 10.
Ἑρμογένης (στρατηλ.) 232, 28. 233, 22.
ἑσπερινὰ 426, 8.
Εὐάγριος (μοναχ.) 405, 25. 406, 4.
Εὐανθία 273, 26.
Εὐχράνοις (χωρ.) 446, 20.
Εὐαρζίας (χωρ.) 412, 28.
Εὔβοια 7, 23. 8, 27, 14, 19. 24. 17. 26, 8. 34, 11. κζ'.
Εὐδοξιὰς (πόλις) 424, 5.
Εὐδόξιος (ἐπίσκ. Γερμανικείας) 234, 24.
Εὐήθιος (ἐπίσκ. Ἐφέσου) 238, 2.

*

Εὐκραοῦς (χωρ.) 430, 7.
Εὐκραῶν 464, 18.
Εὐμόρφιος 322, 30.
Εὔξεινος 168.
Εὑρέτης (μάρτ.) 373, 4.
Εὐριπίδης 70, 19.
Εὐρώπη 168, 25. 196, 202, 6. 216, 21.
Εὐσέβιος (ἀρχιεπ. Θεσσαλον.) κϑ'.
Εὐσέβιος (Παλαιστ.) 167, 11. 213, 10. 214, 7. ζ'.
Εὐσέβιος (Νικομηδ.) 220, 2. 202, 7. 231, 232.
Εὐστάθιος (ἐπίσκ. Ἀντιοχείας) 202, 2. 204, 20.
Εὐτόλμιος 461, 18.
Εὐτρόπιος (ἱστορ.) 167, 15. κς'.
Εὐτύχιος (ὀστιάριος) 443, 26.
Εὐφράτης 168, 21.
Εὐφρατησία 201, 24.
Εὐφράντας (ἄρχων) 462, 1. 464.
Ἔφεσος 193, 7. 202, 9. 238, 2. 458, 31. 459, 2. 453, 2.
Ἐφέσιος (Πορφ. μάρτ.) 357, 18.
ἐχαλάζου 490, 23.

ζάβα 387.
Ζαμβρίας (μάγ.) 191, 31. 193, 8.
Ζαχαρίας (μοναχ.) 151.
Ζαχαρίου προφ. (εὐκτήρ.) 275, 12.
Ζευξίππου (λουτρ.) 233, 25.
Ζήνων (βασιλ.) 278, 29.
Ζωΐλος (ἐπίσκ.) 458, 9.
Ζωΐλος (ἡγούμ.) 485, 31.
Ζωσιμᾶς 16, 17. 37, 8.

ἥγησις 479, 4.
Ἡλιόδωρος (ταξεώτης) 295, 22.
Ἡλιούπολις 469, 24.
Ἡλιουπολιτῶν (πόλ.) 392, 4. 434, 11. 453, 1.
Ἡμέριος (στρατηγ.) 3, 20. 8, 19.
Ἡράκλεια 196, 19. 403.
Ἡράκλειος (βασιλ.) 495.
Ἡρακλῆς 245, 11.
Ἥσυχος (τόπος) 407, 15.

Θελκιανὸς (βασιλ.) ιη'. κ'. κα'.
Θέογνις (ἐπισκ. Νικαίας) 202, 8.
Θεοδόσιος (βασιλ.) ιη'. κα'.
Θεοδόσιος (ἐπίσκ. Ἀναστασ.) 364, 26. 376, 5. 380, 1.
Θεοδόσιος (ἐπίσκ. Θεσσαλον.) 49, 5. κθ'.
Θεοδόσιος (ὁ μέγας) 221, 16. 222, 4. 225, 5. 237, 17. 269, 10. 274, 11. 275, 9. 278, 21.
Θεοδόσιος (προτίκτωρ.) 429, 30. 431. 3.
Θεόδοτος (ἐπίσκ. Κωνσταν.) 120, 9.
Θεόδοτος Κουράππης (μάγας) 393. 19 395, 396, 5.
Θεόδοτος (πατὴρ Μάμαντος) 338, 3. 339. 3.
Θεόδουλος (ναύκληρος) 473, 25.
Θεόδουλος (πρεσβύτ.) 147, 6.
Θεοδώρα (βασιλὶς) 122, 7. 124, 14. 225, 1.
Θεοδώρα (δούλη) 447, 6.
Θεοδώρα (σύζ. Κωνσταντίου) 168, 5.
Θεοδώρα (σύζυγ. σελεντιαρ.) 443, 8.
Θεοδώρητος (Κύρου) 214, 6.

Θεοδώρου ἁγ. (μοναστ.) 120, 31. 125. 19. 461, 1. (χωρίον) 437, 29.
Θεόδωρος (διάκον.) 446, 8.
Θεόδωρος (κτήτωρ) 403, 7.
Θεόδωρος (Μονοσάνδαλος) 443, 25.
Θεόδωρος (ὁ Σφᾶξ) 234, 15.
Θεόδωρος (πατὴρ Νεοφύτου μάρτ.) 240, 14. 241.
Θεόδωρος (ὁ ἐν τῷ ὄρ τοῦ Δράκοντος ἀσκήσ.) 407, 23.
Θεόδωρος (Συκεώτης) 362, 25. 363, 6. 365, 2. 368, 12. 370, 371, 2. 373, 28. 377, 378, 3'. 380, 21. 381, 11. 382, 3. 392, 5. 399, 29. 401, 22. 406, 414, 9. 415, 1. 419, 29. 420, 19. 424, 425, 427, 428, 429, 6. 433, 26, 434, 6. 435, 29. 438, 24. 439, 4. 440, 30. 442, 30. 445, 13. 446, 6. 447, 15. 450, 451, 452, 5. 453, 16. 455, 21. 456, 21. 457, 4. 458, 12. 459, 462, 8. 463, 6. 467, 9. 474, 26. 495, 2. κγ'.
Θεόδωρος (στράτωρ.) 478, 24. 479, 22.
Θεόδωρος (Τήρων) ζ'.
Θεοτόκου (μοναστ. ναὸς, εὐκτήριον) 424, 12. 425, 7. 436, 12. 437, 6. 447, 7. 450, 453, 19. 455, 10. 456, 29. 457, 458, 1. 468, 471, 472, 473, 26. 479, 21.
Θεοκτίστη ὁσ. 11, 8. 17, 8. 29, 6. 39, 8. θ'. ια'. ις'. λ'.
Θεόφιλος (βασιλ.) 122, 6.
Θερμὰ 492.
Θεσσαλία 141, 5.
Θεσσαλονικεὺς 41, 26.
Θεσσαλονίκη 48, 26, 55, 10. 69, 10. 72, 21. 141, 6. 145, 9. 150, 28. 151, 159, 13. 195, 8. 233, 27. 237, 29. κζ.—θ'.
Θεωνᾶς (ἐπίσκ.) 202, 10.
Θημωνία 465.
Θράκη 168, 25. 232, 29. 234. 15.
Θωμᾶς πατριάρχ.) 478, 7. 480, 25. 481, 484, 14.
Θωμᾶς (σακκελ.) 446, 8.

Ἰάκωβος (πρόεδρ. Νισιβινῶν) 201, 22.
Ἴβηρες 168, 180, 14. 216, 28.
Ἰγνάτιος (μητροπ. Σηλυβρ.) 164, 25. ις'. κε.
Ἱέρεια (παλάτ.) 448, 22.
Ἱερεμίας ὁ Β'. δ'.
Ἴλιον 195.
Ἰλλούστριος 456, 457, 458, 19.
Ἰλλυρία 48, 26. 159, 13. 160, 4.
Ἰνδοὶ 216, 28. 217, 5.
Ἰοπολιτῶν (πόλ.) 373, 2.
Ἴος (νῆσος) 4, 4. 19, 20.
Ἰουλιανὸς (αὐτοκρ.) 174.
Ἰουλιανὸς (μαθ. Θεοδώρ.) 442, 23.
Ἰουλιανὸς (πρεσβύτ.) 434, 19, 435, 14. 425, 426. 466, 18.
Ἰουλιανοῦ (λίμνη) 273, 6.
Ἰούλιος (κόμης) 213, 7.
Ἰούλιος (ἐπίσκ.) 202, 21. 231, 232.
Ἰουστινιανὸς 223, 30, 363, 30.
Ἰσχυρία 138, 8. 437, 7.
Ἰσπανία ἢ Σπανία 201, 5. 202, 6. 237, 17. 309, 19.

Ἱσπανοὶ 169, 25. 385, 26.
Ἴστρος (ποταμ.) 168, 26.
Ἰταλία 177, 234, 298, 16.
ἰταλικὸς 180, 14.
Ἰωάννου βαπτ. (εὐκτήρ. ναὸς), 368, 1. 374, 2. 386, 30. 399, 9.
Ἰωάννης (ἐπίσκ. Κωνστ.) 120, 9. 123, 16.
Ἰωάννης (διάκ.) 433, 13.
Ἰωάννης (Θεολόγ.) 225, 20.
Ἰωάννης (μαθητ. Δεκαπολίτου) 154, 14.
Ἰωάννης (μαθητ. Θεοδώρ.) 413, 24. 479, 4. 480, 27.
Ἰωάννης (ἰλλούστριος) 456, 12, 458, 19.
Ἰωάννης (πρεσβύτ.) 427, 1.
Ἰωάννης (πράοικος) 409, 17.
Ἰωάννης (ὑποδιάκ.) 446, 447, 4.
Ἰωάννης Χρυσ. ζ΄.

Καδοσίας (ἐπίσκ.) 452, 11.
Καθαρῶν (μονὴ) 479, 22.
καθήγησις 479, 8.
Καισάρεια 171, 30. 201, 24. 202, 3. 213, 10. 340, 23. 344, 28. 345, 16, 357, 21. 360, 6. κς΄.
Καισαρεὺς 166, 11. 338, 21.
κακηγκάκως 431, 31.
Κάλλεων (ἐμπόριον) 473, 24.
Καλπῖνον 393, 14.
καμηλοπηδῶν (τάξις) 364, 1.
κανδηδάτον 150, 22.
κανθήλιον 422, 2.
Καπιτώλιον 182, 13.
Καπίτων (ὁ Λύκιος) κς΄.
Καππαδοκία 328, 17. 338, 21. 345, 19. 357, 21. 469, 25.
Καππαδοκῶν (ἐπαρχία) 166, 12. 171, 30. 202, 3.
Καππάδοξ 457, 27. 475, 6.
κάπιστρα 491, 15.
Καστίνα (χωρ.) 385, 22.
καστρίσιος 446, 1.
κατακοπὴ 481.
κατῖναι 476, 10.
κατούδιον 442, 27.
Καρῖνος (βασιλ.) 165, 26.
Κάρος (βασιλ.) 167, 20.
Καρύας (ποταμ.) 410, 16.
Καυκάσεια 168, 22.
Κελτῶν (ἔθνη) 168, 19.
κήρα 484, 30.
Κήρυκος (μαθ. Θεοδώρ.) 479, 13.
κηρωτὴ 436, 12.
Κιλικία 328, 17.
Κιλίκων (γῆ) 252, 11.
Κίλιξ (Νάρκισσος) 234, 15.
Κίννας (πόλ.) 415, 3. 421, 3.
κνιπία. 423, 6.
Κλαύδιος (βασιλ.) 165, 24. 167, 20.
κλεοπάτρα (πάθος) 448, 19.
Κλήμης (Ἀλεξ.) κη΄.
κλουβὸς 406, 452.
Κογκατέως (χωρ.) 385, 30.
Κολονοσὸς (χωρ. Λυκαονίας) 407, 9.
Κολλουρᾶς (ἐπώνυμ.) 390, 24.
κόλλυβα ἢ κόλυβα, 366.
Κομητᾶν 425, 16. 426, 19.
κόξα 435, 22.
Κόπας (ποταμ.) 410, 7.
κοπὴ 470, 17.

Κοσμᾶς (πατὴρ Θεοδώρ. Σ.) 364, 1.
Κοσμᾶς (ἅγ.) 397, 17. 398, 14.
κοῦνναι 488, 2.
Κόρινθος 141, 15.
Κοτυαέων (μητρόπ.) 286, 22.
κουβούκλιον 437, 17.
Κουδρούβης (ἐπίσκ.) 201, 5. 202, 6.
Κουκουσὸς 236, 3.
Κουράππος (ἐπώνυμ.) 393, 20.
κουροπαλάτης 469, 20. 477, 31. 486, 17.
κοχλία τοῦ κρυπτοῦ 441, 1.
Κρανίου (τόπος) 218, 15 (λίθος) 478, 11.
Κρατιανῶν (πόλ.) 401, 5.
Κρῆτες (Ἄραβες) 11, 15. 29, 13.
Κρήτη 3, 17. 4, 3. 7. 4. 8, 17, 7. 19, 23. 21. 24, 2. 25, 4. 38, 8. 39, 7.
Κροῖσος 260, 11.
κυεστιονάριος 308, 13.
Κυζίκου (ἐπίσκ.) 238, 1.
Κύθηρα ε'.
κυλάδας ιθ'.
κυνηγοὶ 8, 27. 26, 8.
Κυπριανὸς ιη'.—κ'.
Κύπρου (ἐπίσκ.) 210, 30. 207, 5.
κυπρία 454, 4.
Κυριακὸς (πατριάρχ.) 433, 20. 434, 1. 437, 445, 20, 448, 8.
Κύριλλος (ἐπίσκ. Ἱεροσολύμ.) 237, 28.
κυριομέγας 452, 26.
Κῦρος 214, 6.
Κώνστανς (πάππος μ. Κωνστ.) 165, 24. 167, 31.
Κώνστανς (υἱὸς μεγάλ. Κωνστ.) 223, 13. 233, 14. 234, 9. 235.
Κωνσταντία (ἀδελ. Κωνσταν. τοῦ μεγάλου) 194, 20.
Κωνστάντιος (πατὴρ τοῦ μ. Κωνστ.) 165, 166, 167, 168, 169 171, 17. 173, 2. 177,
Κωνστάντιος (υἱὸς μεγάλ. Κωνστ.) 223, 13. 225, 3. 230, 231, 232, 26. 233, 234, 6. 235, 237, 14. 261, 17. 262. 15. ιζ'.
Κωνσταντῖνος (ὁ μέγας) 165, 168, 1. 169, 170, 171, 172, 173, 8. 174, 176, 177, 178, 179, 180, 4. 189, 30. 190, 9. 192, 20. 193, 5. 194, 195, 196, 197, 200, 6. 202, 13. 204, 10. 211, 213, 21. 214, 17. 216, 218, 20. 220, 14. 222, 9. 225, 2. 228, 13. 229, 233, 5. 235, 3. 237, 5. 238, 24. κε'.
Κωνσταντῖνος (υἱὸς) 223,
Κωνσταντῖνος (υἱὸς Ἡρακλ.) 495. 5.
Κωνσταντινούπολις 195, 25. 197, 19. 202, 12. 230, 6. 232, 30. 233, 5. 235. 3. 236, 6. 237, 5. 238, 24. 256, 11. 272, 8. 399, 30. 400, 26. 411, 16. 433, 20. 437, 4. δ'.

Λαγαντινὴ 464, 18.
Λαζανὴ (κώμη) 264, 16 ιζ'.
Λαζοὶ 469, 25.
Λάμψακος 238, 1.
Λατερανήσιον 185, 2.
Λατζέας 403, 8.

* *

Λαύρα (κυρ. Σάβα) 407, 9. 418, 10.
λεκτίκιον 414, 19. 452, 10. 453, 1. 472, 8.
Λεόντιος (ἐπίσκ. Καισαρ. τῆς Καππαδοκῶν) 202, 3.
Λεόντιος (μαθητ. Θεοδώρ.) 407, 15.
Λέσβος 11, 8. 29, 5. κζ'.
Λέων Ἀλλάτιος θ'. ιβ'.
Λέων (Σοφὸς) 3, 17. 19, 5. 11. θ'. ι'. ιδ'. ις'. κγ'.
Λέων (ὁ ἐξ Ἀρμενίας) 117, 10. 121, 20.
Λέων Α'. 225, 5.
Λιβάδιος (συγκλητικὸς) 241.
Λιβάνιος 174, 17.
Λιβύα 168, 20. 194, 26. 199, 216.
λίβελλος 437, 7.
Λιβέριος (πάπας) 238, 7.
Λικία 201, 27.
Λικίνιος 181, 29. 194, 195, 5. 201, 25.
Λουκιανὸς κβ.
λουκτάτωρ 441, 13.
Λοῦππος (μάρτ.) 63, 15. 65, 27.
λουρίκιν 387.
Λυαῖος 45, 24. 46, 5. 57, 21. 58, 59, 23. 60, 100, 106, 22.
Λυκαονία 4,7, 9. 435, 20.
Λυκοῦργος 258, 25.

μάγιστρος 150.
μαγιστριανὸς 364, 9.
Μαγνέντιος 235, 30.
Μαζαμίας (χωρίον) 393, 20. 394, 9.
Μακάριος (ἐπίσκ. Ἱεροσολ.) 202, 3.
Μακάριος Νοταρᾶς Κορίνθιας ε'.
Μακεδονία 235, 11. κζ'.
Μακεδόνιος (ἐπίσκ. Κωνσταν. ἀρειανὸς) 230, 232, 12. 233, 234, 26. 236, 237.
Μακεδόνες 48, 26. 55, 10. 71, 21. 195, 28.
Μάμας (μάρτ.) 328, 341, 342, 343, 28. 345. ζ.
Μάμμα 341, 1. 375, 28.
μάμμη 375, 28. 379, 383, 5.
μανιάκιον 387, 9.
Μάννας (σελεντ.) 442, 1.
Μαντίνιον 237, 27.
Μαξέντιος 166, 17. 177, 180, 18'.
Μαξιμιανὸς 44, 22. 55, 14. 58, 1. 59, 25. 98, 30. 166, 4. 167, 31. 168, 169, 244, 29.
Μαξιμῖνος 166, 17. 194, 23.
Μάξιμος 231, 12. 328, 15. 329, 10. 331, 11. 337, 9.
Μάξιμος Μαργούνιος ε'.
Μαρία (μήτηρ Γρηγορ. Δεκαπολ.) 131, 11.
Μαρία (μήτηρ. Θεοδώρ.) 363, 26. 364, 4. 390, 22.
Μαρῖνος 389, 12.
Μάρης (ἐπίσκ. Χαλκιδόνος) 202, 8.
Μαρκιανὸς (ἀναγνώστης) 234, 3.
Μαρκιανὸς (βασιλ.) 225, 5.
Μαρκιανὸς (ἐπίσκ. Λαμψάκου) 238, 1.
Μάρκος (καθηγούμενος) 141, 7.
Μάρκος (ὁ Σύρος) 234, 15.
Μαρμαρικὴ 202, 10.
Μαρτῖνος (μαθ. Θεοδώρ.) 417, 31.
Μαρτύριος (ἀναγνώστης) 234.
Μαρώνεια 150, 17.

Μασσαγέται, 217, 4.
Ματρώνα 341, 30. 342, 24.
Μαυρίκιος (αὐτοκρ.) 48, 18. 410, 411. 427, 12. 433, 27. 448, 16. 468, 19. 469. ιη'.
Μαυρούσια (ἔθνη) 139, 10. 194, 26.
'μαφόριον ἢ ὠμαφόριον 424, 18. 434. 478, 13.
Μεθόδιος (πατριαρχ. Κωνστ.) 123, 26. 124, 13. 126, 18.
Μελέτιος (ἐπισκ. Ἀντιοχείας) 237, 28.
Μερκουρᾶς (πράκτωρ) 141.
Μηνᾶς (μονὴ) 145, 10. 147, 1.—151, 7.
Μηνᾶς (μάρτ.) 284, 23. 286, 12. 287, 18. 288, 24. 289, 291, 292, 293, 22. 294, 295, 7. 296, 298, 12. 324, 6.
Μηνόφας (ἐπίσκ. Ἐφέσου) 202, 9.
μητάτον 438, 1. 446, 20.
Μητροφάνης (ἀρχ. Κωστxντ.) 202, 13.
Μιλτιάδης (ἐπίσκ. Ῥώμης) 184, 2.
Μίθυμνα 11, 8. 29, 5.
Μιχαὴλ (αὐτοκρ.) 117, 7. 122, 8. 126, 26.
Μιχαὴλ (οἶκος) 399, 7.
Μιχαὴλ Ψελλὸς θ'. ι'. ιβ'. ιγ'. ιζ'. λ'.
Μνηζινὴ 394, 10.
Μοναχὴ (Θεοκτ.) 11, 9. 29, 6.
μονόλυκος 368, 31.
Μονοσάνδαλος (ἐπωνυμ.) 443, 26.
Μοσσύνη 386, 2.
μούλα 449, 16.
Μοῦσα, μουσεῖον 70, 73, 27.
Μουσγῆ (χωρ.) 424.
Μοψουεστίας (ἐπίσκ. Μακεδ.) 234, 25.
Μυριαγγέλων (ναὸς) 451, 24.
Μύρα 201. 27.
Ναβατιανοὶ 236, 11. ιζ'.—η'.
Νάβατος 236, 24. 264, 17. 266, 18.
Ναξία 4, 8. 8, 19, 25. 25, 3.
Νάρκισσος ὁ Κίλιξ (ἐπίσκ.) 234, 15.
ναύκληρος 441, 1.
Νεάπολις 142, 2.
Νεῖλος (πολ.) 247, 1. 325, 24.
Νεκτάριος (ἐπίσκ.) 238, 273, 3.
Νεόφυτος (μάρτ.) 240, 243, 21. 247, 22.
Νέστωρ (μάρτ.) 45, 27. 46, 58, 59, 60, 61, 3. 65, 25. 99, 31. 100, 20. 106, 23.
Νίκαια 201, 19. 202, 210, 13. 227, 1. 231, 26. 234, 31. 238, 16. 239, 12. 245, 5. 246, 28. 247, 27. 393, 2. ζ'. κδ'.
Νικήτας Παφλαγὼν ια'. ιβ'. ιδ'. ιε'. ις'.
Νικηφόρος (πατριάρ. Κωνσταν.) 166, 117, 120, 28. 121, 11. 123, 27. 124, 17.
Νικηφόρος Χῖος ς'.
Νικόδημος ὁ Νάξιος ς'.
Νικόλαος (ἅγ.) 201, 27.
Νικόλαος Καβάσιλας κζ'.
Νικομήδεια 168, 29. 169, 27. 199, 10. 200, 2. 202, 8. 245, 10. 452, 11.

Νισιβινῶν (πόλ.) 201, 22.
Νίσιρις 7, 8. 11, 15. 23, 21. 29, 13. κζ'.
Νόννα 273, 27.
Νοτάριος (σακκελλάριος) 447, 8.
νουμέρων (τάγμα) 288, 20.

ξαντήριος ὄνυξ 347, 30.
Ξηρορρύαξ (ποτ.) 405, 5,
Ξυλοφάγος (Καφηρεὺς) 7, 24. 24, 18.

ὀδοστρωσία 220, 27.
Οἰκονόμος 392, 4. 393, 10.
Ὀλύμπος 150, 30. 241, 27.
Ὄλυμπος (ἐν Βιθυνίᾳ) ιγ'.
Ὅμηρος 195.
ὀμματοπονικὴ συμφορὰ 455, 6.
ὀξάλμη 246.
ὀπισθάγκωνα 369, 8.
Ὀρβικίου (μονὴ) 447, 8.
Ὀρέστης (μάρτ.) 328, 329, 17. 330, 331, 332, 333, 12. 336, 12.
Ὀρφεὺς 70, 22.
ὀστιάριος 431, 12. 443, 26.
Οὐάλενς 167, 15. 237, 15.
Οὐαλλέριος βλέπ. Βαλλέριος.
Οὐαρανᾶς (τόπ.) 438. 2.
Οὐάραχος (βασ. Περσῶν) 167, 27.
Οὔαρος (ὕπαρχ. Βιθυν.) 245, 7. 249, 15.
Οὐετάπης (μοναστ.) 420, 30.

Παλαιστίνη 199, 8. 222, 13. 170, 12. κε'.—ς'.
Παλαιστηνὸς 167, 11. 213, 11. 214, 7.
παλλίον 480, 29.
=Παννονία κη'.
Πάρος 3, 12. 4, 6. 15, 10. 17, 6. 19, 34, 11. 39, 6. κζ'.
Πάσχα 29, 10. 212, 388, 30. 376, 25 436, 26. 418, 27.
πατρίκιος 469, 19. 477, 486, 17.
Πατρόφιλος (ἐπίσκ. Σκυθοπόλεως) 202, 9.
παυλάκιν (πάθος) 448, 19.
Παύλου ἀποστ. (εὐκτήρ.) 420, 3.
Παῦλος (ἀρχιεπ.) 414, (μητροπ.) 433, 20. (πρεσβύτ.) 435, 19.
Παῦλος (ἐπίσκ. Καισαρ.) 201, 24.
Παῦλος (ὁμολητὴς) 230, 231, 3. 232, 233, 234, 235, 236, 3. 237, 18. 238, 18.
Παφλαγόνων (χώρ.) 236. 23. 252, 14. 338, 2.
Παφνούτιος (αἰγύπτιος) 201, 28.
Πείρινθος 196, 19,
πενταςφράγιστος 400, 12.
Πεντηκοστή 393, 14.
Περικλῆς 267, 1.
πεύκινα κα'.
Παύλος (ἀρχιεπ.) 414. (μητροπ. 433, 20. (πρεσβύτ.) 435, 19.
Παύλου Ἀποστ. (εὐκτήρ.) 420. 3.
Περματαΐας (χωρ.) 407, 16. 463,
περσικὸς 249, 6.
Περσὶς—ίδος 246, 26.
Πέρσαι 71, 4. 167, 27. 196, 2. 407, 20. 410, 29. 469, 22. 470.
Πεσινουντίων (μητρόπ.) 450, 15.

Πετρὶν (μον.) 384, 24. κε'.
Πετρίου (χωρίον) 483, 6.
Πέτρος (μοναχ.) 151, 162.
Πέτρος (ἀρχ. Ἀλεξανδρ.) 198, 3.
Πέτρος (ἀδελφὸς Μαυρικίου) 411, 4.
Πέτρος 440, 8.
Πεσῶν (χωρίον) 468, 9.
Πηγῶν (μοναστ. ἁγ. Γεωργίου) 478, 15.
Πηγάσιος (πρίγκιψ) 290, 27.
Πηλούσιον 170, 17.
Πίδρος, 434, 12.
πλακίον 462, 3.
Πλάτωνος ἁγ. (εὐκτήρ.) 412, 10, 416, 11. 452, 25.
Πλάτων (φιλόσ.) 70, 13. 71, 11. 93, 15.
πλουμβάτος 295, 13.
Πόλις (ἁγία) 408, 31.
Πόλις (Κωνσταντ.) 471, 3. 478, 4.
πολυορκίαι 493.
Πόντος 168, 27. 403, 7. 473, 24.
Πορφύριος (μάρτ.) 357, 17. 358, 359.
Πρόβος 167, 20.
πραίτωρ 238, 14.
πρεδεύω—ομαι 427, 13. 465, 14. 469, 23.
Προικόνησος 139.
προκένσον 448, 22.
προτίκτωρ 423, 29, 429, 29.
πρυτανεῖα 70, 17. 75, 19.
Πύλαι Ἄνω 478.
Πυρρηναῖα (ὄρ.) 168, 18.
Πύρρος (Ἀργυρίσκος) 286, 25.
πρῶτοι τοῦ χωρίου 452, 2. 463. 467, 14.
πρῶτοι τῆς πόλεως 459, 2.
πρωτοκαγγελάριος 149, 26.
Πρωτομέρια 461, 17.

Ῥαββεῖς 191, 6.
Ῥεάκη (χωρίον) 410, 2.
Ῥεπέρατος (μαθητ. Θεοδώρ.) 407, 5.
Ῥήγιον 141, 19. 142, 1.
Ῥῆνος 177, 25.
ῥούκουλον 322.
ῥουτιλλιακῶν (τάγμα) 286, 19. 288, 21.
Ῥουφῆνος 214, 6.
Ῥουφίνα 338, 4. 339, 21. 340, 6.

Σάβας 406, 5. 418, 10.
Σάγαρις (ποταμ.) 458, 24. 488, 4.
σαγίον 384, 4.
Σαλμανίας (χωρίον) 453, 8,
Σαλουταρία 286, 23.
Σαμάρεια 15, 23.
Σάνδου (χωρίον) 453, 28. 461, 17. 463, 7. 464.
Σαρακηνοὶ 144, 26. 162, 13.
Σαράπιδος (ναὸς) 342, 17.
Σαρδικὴ 235.
σαρπὸς 422, 18.
Σαυρομᾶται 217, 3.
Σεβάστεια 472, 20.
Σεβαστιανὸς (δοὺξ) 298, 18.
Σεβαστιανὸς (αὐτοκρ.) 309, 7.
Σεβῆρος (αὐτοκρ.) 166, 16. 196.
σεκρέτον 430, 30.
σελεντιάριος 442.
Σελήνη (ἄγαλμ.) 5, 3. 21, 1.
Σαραπίων (θεὸς) 343, 2. 348, 11.

* * *

Σέργιος (διάκονος) 445, 31. 446, 10.
Σεργίου μάρτ. (εὐκτήρ.) 412, 11.
Σέργιος (πατὴρ Δεκαπολ.) 131, 11.
Σέργιος (πατριχ.) 469, 26.
Σέργιος (πατριάρχ.) 484, 19.
Σηλυμβρία 164, 25. κε'
Σίβερις (ποτ.) 394, 10. 404, 11. 406, 19. 472, 8.
Σίλβεστρος (πάπας) 183, 30. 184, 185, 3. 191, 192, 31, 193, 194, 6, 202, 19.
σιλίγνιον 477, 6.
Σιλινδούκομις 474, 8.
Σικελία 88, 22. 141, 16. 142, 23.
Σινὰ 407, 13.
σίτλας 400, 29.
Σκλαβηνία 140, 25. 148.
Σκοῦδρις (χωρ.) 487, 18.
σκρίβωνες 475, 6.
Σκύθαι—ικὸς 62, 2. 195, 9. 217, 4.
Σκυθούπολις 202, 9·
σκυλμὸς 488 18.
Σολομὼν (κληρ.) 453, 2.
Σόλων 258, 24.
Σοφίας (ναὸς) 224, 19. 234, 7. 416, 30. 451, 25.
Σπαρτιᾶται 258, 25.
σπεκουλάτωρ 308, 23.
Σποράκιον 437, 30.
Σπυρίδων ἁγ. 201, 29. 207, 5. 208, 15.
σπυριδωτὸς 322, 18.
σταυροδόχος 358, 3.
Στεφανὶς (μάρτ.) 405, 17. 307, 16. 309, 5. 324.
Στεφάνου ἁγ. (μοναστ.) 420, 3.—(ἐπίσκ.) 452, 40.
Στέφανος (μάγειρ.) 365, 26. 366, 368, 11. 369, 19· 407, 26.
στιχάριον 379, 1. 390, 25.
στράτα 363, 413, 421, 15. 475, 3.
στράτωρ 778, 24. 479, 22.
στρῆνος 485, 22.
Συκαῖς 437, 6.
Συκεὼν 363, 20. 414, 9. 419, 30
Συμεώνης (ἀρχιμ.) 133, 28. 137 4. 154, 27. 159, 16. 160, 6.
Συμεὼν (Μεταφραστὴς) η'—ιη'.
Συμεὼν (μοναχὸς) 5, 26. 22, 4.
Συνέσιος κη'.
συντακτίτης 400, 28.
Συράκουσαι 142, 23.
Συρία 170, 12. 194, 25. 202, 2. 222, 23.
Σύροι 15, 21. 168, 23.
Σύρος (Μάρκ.) 234, 10.
συσχολίτης 370, 18. 381, 17.
Σωζόπολις 455, 11. 457, 19. 458, 12.
Σωκράτης (Βυζάντ.) 214, 7.—(φιλόσ.) 93.

ταξεῶται 288, 11. 295, 23.
Ταυρακωνησία 202, 6.
Ταράσιος 124, 3.
Ταρπηΐον 183, 31.
Ταυταενδίας (γέφυρ.) 455, 16. 458 24.
τετράντον 410, 10.
Τζίδραμα 370, 20.
Τζοῦτζος (ἐπώνυμ.) 392, 5.

Τίγρις 168, 21.
Τιβέριος (αὐτοκρ.) 410, 27. 411, 18.
Τιμοθέα 273, 27.
Τιμόθεος (γεωγ.) 464, 465, 9.
Τιμόθεος (ἐπίσκ.) 237, 27. 413, 5.
Τραϊνοῦ (γέφυρ.) 246, 31.
Τράπεζα (ἁγ.) 4, 26. 7, 4. 23, 17.
Τραπέζας (χωρ.) 373, 18.
τριβοῦνος 288, 22.
τρικέφαλον 442, 26.
τρίκογχον 412, 9.
τρικωμία 468, 12.
τριμίλιον 373, 8.
τριμίσιον 489, 22.
Τριμυθοῦς 201, 30, 207, 5.
τρίμυτον 378, 8.
τρύγη 393, 28. 490, 23.
Τροφωνίου (μαντ.) 249, 17.
Τυανεῖς 328, 22. 337.
Τύρος 231, 22.

ὑδρίον 467, 25. 468, 7.
Ὑδροῦς 144.
Ὑνία 468.
Ὑπάτιος (μάρτ.) 252, 2. 255, 16. 257, 9. 258, 23. 262, 14. 264. 267, 20. ις—κβ΄.

Φαρμούτιος (ποτ.) 247.
Φάρος 272, 6.
Φαῦστος (ἡγεμ.) 339, 1. 341, 23.
Φερεντῖνος 455, 16· 458, 25.
Φίλιππος 69, 13. 235, 11.
Φίλιππος (ὕπαρχ.) 233.
Φιλογόνιος (ἐπισκ.) 204, 20.
φιλοτιμία 365, 31.
Φιλούμενος 386, 3. 389, 4. 399, 22. 411, 22. 423, 23. 478, 31.
Φιρμιλιανὸς (ταξίαρχ.) 286, 19. 288, 21.
φλόγα 297, 12.
Φλορέντιος (πρεσβύτ.) 459, 29.
Φλωρεντία 240, 14.
Φοῖβος (ποτ.) 337, 12.
Φοινίκη 168, 23. 194, 24.
φοῦρνος 247, 23. 248.
Φρυγία 286, 23.
φυγάδαινα (πάθος) 459, 31.
Φωκᾶς (ἀσηκρ.) 471, 12.
Φωκᾶς (αὐτοκρ.) 469, 19. 475, 7. 480, 31.
Φώτιος (ἔξαρχ.) 477, 4.
Φώτιος (μοναχ.) 479, 13,

χαλινὸν (εἰς τὸ—) 459, 30.
Χαλκηδόνιος (Μάρης) 234, 15. 202, 8.
Χαλκηδὼν 199, 10. 238, 20.
χαναναῖτις (γῆ) 124, 26.
χλωροσαύρα 474.
Χοβουᾶ (βασ. Σκυθῶν) κα΄.—β΄.
χολόκουκκα 432, 2.
Χουζιβᾶ (μοναστ.) 383, 12.
Χριστόπολις 140, 23. 150, 6.
Χριστόφορος (μοναστ.) 372, 18. 385, 14, 405, 474, 10. (ἡγουμ.) 486, 5.

Ψίλις (ποτ.) 407, 26.

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΥΓΕΝΩΝ ΚΑΙ ΦΙΛΟΜΟΥΣΩΝ ΣΥΝΔΡΟΜΗΤΩΝ.

ΕΝ ΒΕΝΕΤΙΑι

Σεβ. Νικοκάβουρας (ἀρχιμανδρίτης)	σ. 1
Χρῆστος Τριανταφύλλου (διὰ τὴν κοινότητα)	» »

ΕΝ ΝΕΑΠΟΛΕΙ

Γεράσιμος Σιμάτος (ἀρχιμανδρίτης)	» »

ΕΝ ΛΙΒΟΡΝΩι

Παρθένιος Κελαΐδῆς (ἀρχιμανδρίτης)	σ. 2
Φανῆ Γ. Μαυρογορδάτου	» 1
Κατίνα Ῥ. Ῥοδοκανάκη	» »
Σεμίραμις Μ. Μαυρογορδάτου	» »

ΕΝ ΜΑΣΣΑΛΙΑι

Ἠλίας Καντᾶς (πρεσβύτερος)	» »

ΕΝ ΜΑΓΧΕΣΤΡΙΑι

Β. Μῶρος (ἀρχιμανδρίτης)	» »

ΕΝ ΤΥΝΙΔΙ

Ἡ ἐκκλησία ἅγιος Γεώργιος	» »
Νικηφόρος Κάντας (ἱερεὺς)	» »
Σπυρίδων Κωνσταντόπουλος	» »
Γεώργιος Καυγιτόπουλος	» »

ΕΝ ΤΕΡΓΕΣΤΗι

Θεόφιλος Θεοδωρόπουλος (ἀρχιμανδρίτης)	» »
Κ. Σάθας	» 2

Ἰ. Γ. Χ. Κωστῆς (διὰ τὴν ἑλλην. κοινότητα)	σ.	1
Δημήτριος Ἀντωνόπουλος	»	»
Ἰωάννης Μπούκουρας	»	»
Ἰωάννης Οἰκονόμος	»	»
Θεμιστοκλῆς Εὐστρατιάδης	»	»
Στυλιανὸς Νεγρεπόντης	»	»
Νικόλαος Μανέτας	»	»
Διονύσιος Βλασσόπουλος	»	»
Χαρίκλεια Κ. Σάθα	»	»
Εὐριδίκη Μάγκου	»	»
Φανῆ Φραγκίαδου	»	»

ΕΝ ΑΘΗΝΑΙΣ

Σεβ. Μητροπολίτης Λαρίσσης Νεόφυτος	»	»
Λεωνίδας Δεληγεώργης	»	»
Ἀναστάσιος Ζαρμάνης (βουλευτὴς)	»	»
Θεοχάρης Χριστδ. Γερογιάννης (ἰατρὸς)	»	»
Σέργιος Βαφειάδης Σάμιος (φοιτ. τῆς φιλολογίας)	»	»

ΕΝ ΛΕΒΑΔΕΙΑι

Ἱερὰ Μονὴ ὁσίου Λουκᾶ	»	»
Νικόδημος Ἡλιάδης (ἡγούμενος)	»	»
Δανιὴλ Κίνας καὶ	»	»
Ἰωάσαφ Καστρίτης (σύμβουλοι)	»	»

ΕΝ ΝΑΥΠΛΙΩι

Σεβ. ἀρχιεπ. Ἀργολίδος Νίκανδρος	»	10
Πέτρος Φαρμακόπουλος (δικηγόρος)	»	1

ΕΝ ΜΕΣΣΗΝΙΑι

Σεβ. Ἀρχιεπ. Μεσσηνίας Πανάρετος	»	»
Ἱερὰ Μονὴ Καλογραιῶν	»	»
» » Βουλκάνου	»	»

ΕΝ ΚΑΛΑΒΡΥΤΟΙΣ:

Ἡ κατὰ τὸν δῆμον Λαπαθῶν ἱερὰ Μ. ἁγ. Νικολάου		»	1

ΕΝ ΠΑΤΡΑΙΣ

Ἱερὰ Μονὴ Ὀμπλοῦ		»	»
» » Γηροκομείου		σ.	2
Προκόπιος Θεοδωρόπουλος (προηγούμενος)		»	1
Ἀνανίας Γεωργόπουλος (ἡγούμενος)		»	»
Ἰωακεὶμ Νικολαΐδης		»	»
Θεόφιλος Δημακόπουλος	ἱερομόναχοι	»	»
Ἀγαθάγγελος Γιαννακόπουλος	ἱερομόναχοι	»	»
Βαρθολομαῖος Γεωργιάδης (ἱερ. τοῦ στρατοῦ)		»	»
Γρηγόριος Φακόπουλος	ἱεροδιάκονοι	»	»
Φιλάρετος Φωτόπουλος	ἱεροδιάκονοι	»	»
Φιλόθεος Ἰωαννίδης (ἱερ. τοῦ ιε΄. πεζ. τάγματος)		»	»
Κωνσταντῖνος Σπηλιωτόπουλος (σακκελλάριος)		»	»
Φώτιος Παναγιωτόπουλος	ἱερεῖς	»	»
Ἀγγελῆς Κωνσταντινόπουλος	ἱερεῖς	»	»
Γεώργιος Β. Τσερτίδης		»	»
Κυριάκος Κάννας		»	»
Ἀνδρέας Καλογερόπουλος		»	»
Π. Δ. Καρατζᾶς		»	»
Ἰωάννης Π. Μέγαρης		»	»
Ἀντώνιος Γ. Πράπας		»	»
Ἀθανάσιος Παπανικολάου		»	»
Παναγῆς Γκίκας		»	»
Γεώργιος Κουρμέντελος		»	»
Γεώργιος Βλαχοπαπαδόπουλος		»	»
Λεωνίδας Γ. Ῥηγόπουλος ἐκ Γορτυνίας		»	»
Ἀνδρέας Χρηστόπουλος		»	»
Ἰωάννης Φινόπουλος		»	»

Ἀνδρέας Β. Πάσχας (Βιβλιοπώλης) σ. 1
Βασίλειος Γιαννακόπουλος » »
Ἰωάννης Ἀνδρεόπουλος » »
Σπυρίδων Παπασπυρόπουλος » »
Ἀριστ. Σακκελλαρόπουλος » »
Παναγιωτάκης Κυργιαζόπουλος » »
Κωνσταντῖνος Ἰωάνν. Καλαντζῆς » »
» » Δ. Κωνσταντινόπουλος (δημοδιδ.) » »
Δημήτριος Κοντοδημόπουλος » »

Ἐκ τῆς ἐν Πύργῳ Μονῆς Βλαχερνῶν » »
Ἀμβρόσιος Πρινόπουλος (ἡγούμενος) » »
Κύριλλος Χρηστόπουλος (σύμβουλος) » »
Χριστοφόρος Χρηστόπουλος (ἱερομόν.) » »

ΟΙ ΕΝ ΜΥΤΙΛΗΝΗ:

Σεβ. ἀρχιεπ. Μυτιλήνης Κωνσταντῖνος » »
Νικηφόρος Λεβαιτερίδης (ἀρχιδιάκ.) » »
Γαβριὴλ Αὐγουστίδης (ἱεροδιάκ.) » »
Ἱερὰ Μονὴ Πιθαρίου » »
» » Ὑψηλοῦ. » »

ΕΝ ΚΕΦΑΛΛΗΝΙΑ:

Σεβ. ἀρχιεπ. Κεφαλληνίας Γερμανὸς » »

ΕΝ ΠΑΡΙΣΙΟΙΣ

Le Comte de Riant » »

ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ

Sua Eccellenza Basile de Chitrovo σ. 2

ΠΑΡΟΡΑΜΑΤΑ

ἐν	σελ.	7	στίχ.	7	ἀντὶ	ὃ	γράφε	ὅ	
»	»	»	»	26	»	ὑμῶν	»	ἡμῶν	
»	»	29	»	6	»	ἐπὶ	»	ἔτι	
»	»	34	»	9	»	αἰσίως	»	αἰσίων	
»	»	»	»		»	τελωτᾷ	»	τελευτᾷ	
»	»	76	»	9	»	κα	»	καὶ	
»	»	95	»	16	»	οἶος	»	οἶος	
»	»	96	»	7	»	ἀνάγκη	»	ἀνάγκῃ	
»	»	100	»	10	»	τὸν τὲ	»	τόν τε	
»	»	109	»	11	»	ὑμᾶς	»	ἡμᾶς	
»	»	122	»	13	»	ἀνδρίαν	»	ἀνδρείαν	
»	»	123	»	8	»	κατὰτ' αὐτὸς	«	κατὰ ταὐτὸν	
»	»	127	»	13	»	βλάσφημος	»	βλασφήμους	
»	»	133	»	15	»	μητριακῆς	»	μητρικῆς	
»	»	138	»	15	»	κείνου	»	ἐκείνου	
»	»	140	»	8	»	ἠρῶτα	»	ἠρώτα,	
»	»	143	»	9	»	ψυχωλέτειρα	»	ψυχολέτειραν	
»	»	156	»	25	»	συνέζευζεν	»	συνέζευξεν	
»	»	161	»	4	»	νόνῳ	»	νόσῳ	
»	»	164	»	18	»	κατηγλαϊμένος	»	κατηγλαϊσμένος	
»	»	173	»	12	»	πατρῷαν	»	πατρῴαν	
»	»	185	»	8	»	οὐρανὸν	»	οὐρανῶν	
»	»	197	»	6	»	ἑαυτὸν	»	ἑαυτὴν	
»	»	202	»	8	»	Μάρις	»	Μάρης	
»	»	235	»	20	»	ἐμποδῶν	»	ἐμποδὼν	
»	»	241	»	22	»	το	»	. Τὸ	
»	»	264	»	88	»	καταδέσαι	»	καταιδέσαι	
»	»	283	»	21	»	αὐτὸν	»	αὐτὴν	
»	»	325	»	1	»	(ἐγὼ	»	ἄνευ παρενθέσεως	
»	»	364	»	27	»	ὁ ἡγεμ.	»	ὦ ἡγέμ.	
»	»	358	»	17	»	πιστεύσετε	»	πιστεύσητε	
»	»	374	»	1	»	πῆς	»	τῆς	
»	»	469	»	23	»	προεδρεύοντι	»	πρεδεύοντι.	

Διορθούσθω καὶ τὸ ἐν σελ. 3 σημ. 4. «τὸ Λέοντος προτίθεται ἐκ τοῦ ΕΚ.» εἰς τὸ προστίθεται ἐκ τοῦ κώδ. τοῦ Μεταφραστοῦ, καὶ εἴ τι ἄλλο περί τε τὴν στίξιν καὶ ὀρθογραφίαν διαφυγὸν τῆς ἡμ. προσοχῆς ἢ καὶ παροραθὲν ὡς εὐκόλως ἐννοούμενον.

Τιμᾶται διὰ τοὺς μὴ συνδρομητὰς φρ. 12, καὶ εὑρίσκεται, ἐκτὸς τοῦ ἑλλ. τυπογρ. Βενετίας, καὶ ἐν Ἀθήναις παρὰ τῷ Σπ. Κουσολίνῳ (Βιβλιοπώλῃ).

F. X. BEER, Kgl. Hofbu
MÜNCHE
Weinstrasse N

Bayerische StaatsBibliothek
Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Joannes, Theophilos

[Nichtlateinische Schriftzeichen]

1884

V.ss.c. 112 e
urn:nbn:de:bvb:12-bsb11891041-6